ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

18

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ Α' ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΛΟΓΟΙ Α'—ΚΑ'

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ

Ὑπὸ

ΧΡΙΣΤΟΜΑΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ


Φιλολόγου

'Επόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητής Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Ὑφηγητής Πανεπιστημίου

'Επιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1979

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

18

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ Α΄ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΛΟΓΟΙ Α΄ — ΚΑ΄

ΕΙΣΑΓΩΓΗ

Εἶναι γνωστὸν ὅτι ἀπὸ τῆς χειροτονίας του εἰς διάκονον (380 μ.Χ.) καὶ ἰδιαιτέρως ἀπὸ τῆς εἰς πρεσβύτερον χειροτονίας του (386 μ.Χ.) ἕως τῆς ἐκλογῆς του διὰ τὸν ἀρχιερατικὸν θρόνον τῆς Κωνσταντινουπόλεως (26 Φεβρουαρίου 398) ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐπὶ μίαν 18ετίαν ὑπηρέτησε τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας ἀναπτύξας πλουσίαν φιλανθρωπικὴν δρᾶσιν, ἐκ παραλλήλου ὅμως ἐπεδόθη μετὰ ζήλου εἰς τὸ κατηχητικὸν ἔργον τῆς Ἐκκλησίας συγγράφων ἔργα ἀλλὰ καὶ ἐκφωνῶν ποικίλους λόγους πνευματικῆς οἰκοδομῆς· εἰς τὴν περίοδον αὐτὴν τῆς εἰς Ἀντιόχειαν δράσεώς του ἀνήκουν οἱ λόγοι τοὺς ὁποίους ἐξεφώνησεν ἀναλύων τὴν Α΄ πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Ἀποστόλου Παύλου.

Ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος πρέπει νὰ εἶχεν ἰδιαιτέρους λόγους διὰ νὰ ἐπιλέξῃ τὴν ἐπιστολὴν αὐτὴν πρὸς ἀνάλυσιν εἰς τὸ ποίμνιόν του. Αἱ ἔντονοι ἀντιθέσεις, αἱ ὁποῖαι ἐχαρακτήριζον τὴν κοινωνικὴν ζωὴν τῆς Κορίνθου τῶν πρώτων χριστιανικῶν χρόνων, ἠπείλουν καί τὴν χριστιανικὴν κοινότητα τῆς Ἀντιοχείας. Τὰ προβλήματα τοῦ γάμου, τῶ ἐρίδων καὶ φατριασμῶν, ἡ πορνεία γενικῶς καὶ ἡ ἀνηθικότης τῶν εἰς Χριστὸν βαπτισθέντων, αἱ δικαστικαὶ διαφοραὶ τῶν Χριστιανῶν μεταξύ των ἦσαν ὀξύτατα προβλήματα, τὰ ὁποῖα συνεκλόνιζον τὴν νεαρὰν Ἐκκλησίαν τῆς Κορίνθου καὶ ἀπησχόλησαν πολὺ τὸν Ἀπόστολον Παῦλον, ἀλλὰ συγχρόνως τὰ ἴδια αὐτὰ προβλήματα συνετάρασσον καὶ τὴν ἐκκλησίαν τῆς Ἀντιοχείας καὶ κατ' ἐπέκτασιν τὴν καθόλου χριστιανικὴν κοινωνίαν τῶν πρώτων βυζαντινῶν χρόνων. Ἑπομένως τὰ περισσότερα ἀπὸ τὰ προβλήματα, τὰ ὁποῖα θίγονται εἰς τὴν Α΄ πρὸς Κορινθίους ἐπιστολήν, εἶχον ἄμεσον ἐνδιαφέρον καὶ διὰ τοὺς Χριστιανοὺς τῆς Ἀντιοχείας καί γενικώτερον τῆς χριστιανικῆς Ἀνατολῆς.

Πέραν τῶν ἀνωτέρω καὶ εἰς τὰ θέματα τῆς Α΄ πρὸς Κορινθίους ἐπιστολῆς, τὰ ὁποῖα ἀφεώρων ἀποκλειστικῶς τὴν κατάστασιν τῆς Κορίνθου (εἰδωλόθυτα, περίπτωσις τοῦ Κορινθίου πόρνου κλπ.) ὁ ἀπαράμιλλος διδάσκαλος καὶ ποιμὴν εὑρίσκει σημεῖα νὰ τονίσῃ, τὰ ὁποῖα ἐνδιέφερον καὶ ἀπησχόλουν τοὺς Χριστιανοὺς τῆς ἐποχῆς του.

Εἰς τὰς ὁμιλίας του ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος δὲν ἀναλύει ἁπλῶς τὴν σκέψιν τοῦ Ἀποστόλου Παύλου· πολὺ περισσότερον, ἀνατέμνει τὴν χριστιανικὴν κοινωνίαν καὶ ἀποκαλύπτει τὴν ἐπικαιρότητα τῶν λόγων τοῦ Μεγάλου Ἀποστόλου· διὰ τὸν λόγον αὐτὸν εἰς τὰς ὁμιλίας του εὑρίσκομεν πλῆθος πληροφοριῶν διὰ τὰ κοινωνικὰ προβλήματα τῆς Ἀντιοχείας καὶ γενικώτερον τῆς Βυζαντινῆς Αὐτοκρατορίας κατὰ τὰ τέλη τοῦ 4ου αἰῶνος μ.Χ.

Παρατηροῦμεν εἰς τὰς ὁμιλίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ὅτι πολλάκις χρησιμοποιοῦνται χωρία τῆς ἁγίας Γραφῆς καὶ ἰδιαιτέρως τῆς Καινῆς Διαθήκης, τὰ ὁποῖα διαφέρουν κατά τι ἀπὸ τὰ παραδεδομένα κείμενα· τὸ φαινόμενον ἀποδίδεται εἰς τὸ γεγονὸς ὅτι ὁ ὁμιλητὴς δὲν ἦτο δυνατὸν νὰ ἐνθυμῆται ἐπακριβῶς τὸ ἁγιογραφικὸν κείμενον ἢ πιθανὸν εἶχεν ὑπ' ὄψιν του ἀπολεσθὲν σήμερον χειρόγραφον. Ἐὰν ἡ παράδοσις τοῦ χρυσοστομείου κειμένου εἶναι ἰσχυρὰ καὶ ἐὰν ἡ συγκεκριμένη γραφὴ παραδίδεται ἀπὸ ὅλα ἢ σχεδὸν ὅλα τὰ χειρόγραφα τῆς ὁμιλίας, εἰς τὴν ἔκδοσίν μας διατηροῦμε τὴν γραφα τῆς ὁμιλίας, εἰς τὴν ἔκδοσίν μας διατηροῦμεν τὴν δεδομένον κείμενον τοῦ ἐν χρήσει corpus τῆς Π.Δ. ἢ Κ.Δ.

Ἡ γλῶσσα τῆς μεταφράσεως εἶναι ἡ ἁπλῆ καθαρεύουσα, διότι κατ' ἀνάγκην στοιχεῖ εἰς τὴν γενικωτέραν γλωσσικὴν γραμμὴν τῶν ἐκδόσεων Ε.Π.Ε.

ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Α΄ ΕΠΙΣΤΟΛΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

Ἡ Κόρινθός ἐστι μὲν νῦν πόλις τῆς Ἑλλάδος ἡ πρώτη, πολλοῖς δὲ τὸ παλαιὸν πλεονεκτήμασι βιωτικοῖς ἐκόμα, καὶ πρὸ τῶν ἄλλων πάντων τῇ τῶν χρημάτων περιουσίᾳ· διὸ καί τις τῶν ἔξωθεν συγγραφέων ἀφνειὸν ἐκάλει τὸ χωρίον. Ἐν γὰρ τῷ ἰσθμῷ κεῖται τῆς Πελοποννήσου καὶ πολλὴν εἶχεν ἐμπορίας ὑπόθεσιν. Ἦν δὲ καὶ ῥητόρων πολλῶν ἔμπλεως ἡ πόλις καὶ φιλοσόφων· καί τις τῶν ἑπτὰ καλουμένων σοφῶν ἀπὸ τῆς πόλεως ταύτης ἦν. Ταῦτα δὲ ἡμῖν οὐ φιλοτιμίας ἕνεκεν εἴρηται, οὐδὲ πρὸς ἐπίδειξιν πολυμαθείας· τί γὰρ δὴ καὶ ἔστι τὸ ταῦτα εἰδέναι; ἀλλὰ πρὸς τὴν ὑπόθεσιν ἡμῖν συντελεῖ τῆς ἐπιστολῆς. Πολλὰ δὲ καὶ αὐτὸς ἔπαθεν ὁ Παῦλος ἐν ταύτῃ τῇ πόλει· καὶ ὁ Χριστὸς δὲ ἐν ταύτῃ αὐτῷ φανείς φησι· «Μὴ σιγήσῃς, ἀλλὰ λάλει· διότι λαός μοι πολύς ἐστιν ἐν τῇ πόλει ταύτῃ»· καὶ ἔμεινεν ἐκεῖ δύο ἔτη. Ἐν ταύτῃ ὁ δαίμων ἐξῆλθεν, ὃν οἱ Ἰουδαῖοι ἐπορκίζοντες τὰ ἀνήκεστα ἔπαθον παρ' αὐτοῦ· ἐν ταύτῃ τὰς βίβλους συναγαγόντες τῶν γοήτων οἱ μετανοήσαντες κατέκαυσαν, καὶ ὤφθησαν μυριάδες πέντε· ἐν ταύτῃ καὶ ἐπὶ Γαλλίωνος τοῦ ἀνθυπάτου ἐπὶ τοῦ βήματος ὁ Παῦλος ἐτύπτετο.

Ὁρῶν τοίνυν ὁ διάβολος πόλιν μεγάλην καὶ πολυάνθρωπον τῆς ἀληθείας ἐπειλημμένην, καὶ πλούτου καὶ σοφίας ἕνεκεν θαυμαστὴν οὖσαν, καὶ τῆς Ἑλλάδος τὸ κεφάλαιον— τὰ γὰρ Ἀθηναίων καὶ Λακεδαιμονίων ἀθλίως διέκειτο λοιπόν, τῆς ἀρχῆς πάλαι μεταπεσούσης — καὶ θεασάμενος ὅτι μετὰ πολλῆς τῆς προθυμίας ἐδέξαντο τὸν τοῦ Θεοῦ λόγον, τί ποιεῖ; Διαιρεῖ τοὺς ἀνθρώπους· ᾔδει γάρ, ὅτι καὶ βασιλεία ἡ πασῶν ἰσχυροτέρα ἀφ' ἑαυτὴν μερισθεῖ-

---

1. Βλ. Θουκυδ. 1,13
2. Περίανδρος ὁ Κορίνθιος
3. Πράξ. 18, 9-10
4. αὐτ. 13-19
5. αὐτ. 18, 12

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ Α΄ ΕΠΙΣΤΟΛΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

Ἡ Κόρινθος εἶναι τώρα ἡ πρώτη πόλις τῆς Ἑλλάδος, κατὰ τὴν παλαιὰν δὲ ἐποχὴν ὑπερηφανεύετο διὰ πολλὰ ὑλικὰ πλεονεκτήματα, καὶ περισσότερον ἀπὸ ὅλα τὰ ἄλλα διὰ τὴν ἀφθονίαν τῶν χρημάτων· διὰ τοῦτο καὶ κάποιος ἀπὸ τοὺς ἐθνικοὺς συγγραφεῖς[1] ὠνόμαζε τὴν περιοχὴν πλουσίαν· διότι εὑρίσκεται εἰς τὸν ἰσθμὸν τῆς Πελοποννήσου καὶ εἶχε πολὺ ἀνεπτυγμένον ἐμπόριον. Ἐπὶ πλέον ἡ πόλις ἦτο γεμάτη ἀπὸ πολλοὺς ρήτορας καὶ φιλοσόφους, καὶ μάλιστα ἕνας[2] ἀπὸ τοὺς ὀνομαζομένους ἑπτὰ σοφοὺς ἦτο ἀπὸ αὐτὴν τὴν πόλιν. Αὐτὰ σᾶς τὰ λέγω ὄχι διὰ ὑπερηφάνειαν οὔτε διὰ νὰ σᾶς δείξω πολυμάθειαν· πρὸς τί λοιπὸν ἀποσκοπεῖ τὸ νὰ γνωρίζωμεν αὐτά; Συντελεῖ εἰς τὴν κατανόησιν τῆς ὑποθέσεως τῆς ἐπιστολῆς. Πολλὰ ἔπαθε καὶ ὁ ἴδιος ὁ Παῦλος εἰς αὐτὴν τὴν πόλιν· ἐπίσης καὶ ὁ Χριστὸς εἰς αὐτὴν ἐφάνη εἰς αὐτὸν καὶ τοῦ εἶπε: «Μὴ σιωπήσῃς, ἀλλὰ νὰ ὁμιλῇς· διότι ἔχω πολὺν λαὸν εἰς τὴν πόλιν αὐτὴν»[3]· καὶ πράγματι ἔμεινεν ἐκεῖ δύο ἔτη. Εἰς αὐτὴν τὴν πόλιν ἐξῆλθεν ὁ δαίμων, τὸν ὁποῖον ἐξώρκιζον οἱ Ἰουδαῖοι καὶ ἔπαθον φοβερὰ πράγματα ἀπὸ αὐτόν· εἰς αὐτὴν ὅσοι ἀπὸ τοὺς μάγους μετενόησαν συνεκέντρωσαν τὰ βιβλία των καὶ τὰ κατέκαυσαν καὶ ἡ ἀξία των ὑπελογίσθη εἰς πενήντα χιλιάδας ἀργύρια[4]· εἰς αὐτὴν καὶ ἐπὶ ἀνθυπάτου Γαλλίωνος ὁ Παῦλος ἐκτυπήθη ἐπάνω εἰς τὸ βῆμα[5].

Ἐπειδὴ λοιπὸν ὁ διάβολος ἔβλεπε μίαν πόλιν μεγάλην καὶ πολυάνθρωπον, θαυμαστὴν διὰ τὸν πλοῦτον καὶ τὴν σοφίαν της, τὴν σημαντικωτέραν πόλιν τῆς Ἑλλάδος —διότι τότε ἡ δύναμις τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων εὑρίσκετο εἰς ἀθλίαν κατάστασιν, διότι πρὸ πολλοῦ εἶχον χάσει τὴν ἐξουσίαν— νὰ δέχεται τὴν ἀλήθειαν καὶ ἐπειδὴ εἶδεν ὅτι μὲ πολλὴν προθυμίαν ἐδέχθησαν τὸν λόγον τοῦ Θεοῦ, τί κάμνει; Προκαλεῖ διαιρέσεις εἰς τοὺς ἀνθρώπους, διότι ἐγνώριζεν ὅτι καὶ ἡ ἰσχυροτέρα βασιλεία ὅλων, ἐὰν μόνη της διαιρεθῇ, δὲν θὰ ἠμπορέσῃ νὰ διατηρηθῇ. Διὰ

σα, οὐ σταθήσεται. Εἶχε δὲ ἀφορμὴν πρὸς τὴν ἐπιβουλὴν ταύτην τὸν πλοῦτον, τὴν σοφίαν τῶν οἰκούντων. Ἐντεῦθεν συμμορίας ποιησάμενοι καθ' ἑαυτοὺς καὶ αὐτοχειροτόνητοι γενόμενοί τινες, προειστήκεσαν τοῦ πλήθους, καὶ οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις ἑαυτοὺς προσένεμον, τοῖς μὲν ὡς πλουσίοις, τοῖς δὲ ὡς σοφοῖς καὶ πλέον τι δυναμένοις διδάσκειν· οἳ δὴ καὶ παραλαβόντες αὐτούς, ἐφιλοτιμοῦντο πλέον τι τοῦ ἀποστόλου δῆθεν λέγειν· ὅπερ οὖν καὶ αἰνιττόμενος ἔλεγεν· «Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς», δηλῶν ὅτι οὐ παρὰ τὴν οἰκείαν ἀπορίαν, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀσθένειαν τὸ μὴ πολλὰ ἀκοῦσαι γέγονε· καὶ τό, «Χωρὶς ἡμῶν ἐπλουτήσατε», τοῦτό ἐστιν ἐνδεικνυμένου. Καὶ ἦν τοῦτο οὐ μικρὸν ἀλλὰ πάντων ὀλεθριώτερον, τὸ διεσπάσθαι τὴν ἐκκλησίαν.

Καὶ ἕτερον δὲ μετὰ τούτων ἁμάρτημα ἐτολμᾶτο αὐτόθι, τὸ μητρυιᾷ τινα συγγενόμενον μὴ μόνον μὴ ἐπιπλήττεσθαι, ἀλλὰ καὶ ὀχλαγωγεῖν, καὶ τοῖς μετ' αὐτοῦ παρέχειν μέγα φρονεῖν· διό φησι, «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε». Καὶ μετὰ τοῦτο πάλιν τινὲς τῶν δῆθεν τελειοτέρων, καὶ ὑπὸ γαστριμαργίας τῶν εἰδωλοθύτων ἀπογευόμενοι, καὶ ἐν τοῖς ἱεροῖς κατακλινόμενοι, τὰ πάντα ἐλυμαίνοντο. Ἄλλοι πάλιν μάχας ἔχοντες καὶ φιλονεικίας ὑπὲρ χρημάτων, τοῖς ἔξωθεν δικαστηρίοις τὰ καθ' ἑαυτοὺς ἐπέτρεπον. Καὶ κομῆται δὲ πολλοὶ παρ' αὐτοῖς περιῄεσαν, οὓς καὶ ἀποκείρασθαι κελεύει.

Ἦν τι καὶ ἕτερον πλημμέλημα οὐ μικρόν, τὸ καθ' ἑαυτοὺς ἐσθίειν ἐν ταῖς ἐκκλησίαις καὶ μὴ μεταδιδόναι τοῖς δεομένοις. Μετὰ δὲ τοῦτο καὶ ἕτερον ἐπλημμέλουν, ἐπὶ τοῖς χαρίσμασι μέγα φρονοῦντες, καὶ πρὸς ἀλλήλους ἐντεῦθεν ζηλοτύπως ἔχοντες, ὅπερ καὶ αὐτὸ μάλιστα διέσπα τὴν ἐκκλησίαν. Καὶ ὁ περὶ τῆς ἀναστάσεως δὲ λόγος ἐχώλευε

6. Α' Κορ. 3,1
7. αὐτ. 4,8
8. αὐτ. 5,2

τὴν ἐπιβουλὴν δὲ αὐτὴν ὡς ἀφορμὴν εἶχε τὸν πλοῦτον καὶ τὴν σοφίαν τῶν κατοίκων. Ἐξ αἰτίας αὐτῶν μερικοὶ ἔκαμαν μόνοι των ὁμάδας καὶ αὐτοεχειρτονήθησαν ἀρχηγοὶ καὶ προΐσταντο τοῦ πλήθους, καὶ ἄλλοι μὲν προσεκολλῶντο εἰς αὐτούς, ἄλλοι δὲ εἰς ἐκείνους, ὡς δῆθεν περισσότερον πλουσίους ἢ σοφοὺς καὶ περισσότερον ἱκανοὺς διδασκάλους· καὶ αὐτοὶ λοιπὸν παρελάμβανον τοὺς ὀπαδούς των καὶ ἐκαυχῶντο ὅτι δῆθεν ἐδίδασκον περισσότερα ἀπὸ τὸν ἀπόστολον· αὐτὸ ἀκριβῶς καὶ ὑπαινίσσετο, ὅταν ἔλεγεν: «Δὲν ἠμπόρεσα νὰ σᾶς ὁμιλήσω ὡς πρὸς πνευματικοὺς ἀνθρώπους»[6], ὑποδηλώνων ὅτι συνέβη νὰ μὴ ἀκούσουν πολλὰ ὄχι ἐξ αἰτίας τῆς ἰδικῆς του ἐλλείψεως ἀλλὰ ἐξ αἰτίας τῆς ἀδυναμίας ἐκείνων· ὅπως ἐπίσης τοῦτο φανερώνει καὶ τὸ «Ἐπλουτήσατε χωρὶς ἐμᾶς»[7]. Καὶ αὐτὴ ἡ διάσπασις τῆς Ἐκκλησίας δὲν ἦτο μικρὸν γεγονὸς ἀλλὰ τὸ ὀλεθριώτερον ὅλων.

Συγχρόνως μὲ αὐτὰ εἰς τὸν ἴδιον τόπον ἀπετολμήθη καὶ δεύτερον ἁμάρτημα: κάποιος ἐδημιούργησε σχέσεις μὲ τὴν μητρυιάν του καὶ ὄχι μόνον αὐτὸν δὲν τὸν ἐπέπληξαν ἀλλὰ καὶ ἐθορύβουν καὶ ὅσοι ἀνῆκον εἰς τὴν ἰδίαν ὁμάδα μὲ αὐτὸν ὑπερηφανεύοντο· διὰ τοῦτο λέγει: «Καὶ ὅμως σεῖς φουσκώνετε ἀπὸ ὑπερηφάνειαν καὶ δὲν ἐπενθήσατε μᾶλλον»[8]. Καὶ μετὰ ἀπὸ αὐτὸ μερικοὶ πάλιν ἀπὸ τοὺς δῆθεν τελειοτέρους κατέστρεφον τὰ πάντα μὲ τὸ νὰ γεύωνται τὰ κρέατα τῶν θυσιῶν ἀπὸ γαστριμαργία καὶ μὲ τὸ νὰ κοιμῶνται εἰς τὰ εἰδωλολατρικὰ ἱερά. Ἄλλοι πάλιν, ἐπειδὴ εἶχον προστριβὰς καὶ φιλονεικίας διὰ χρήματα, ἀνέθετον τὰς ὑποθέσεις των εἰς τὰ δικαστήρια τῶν ἐθνικῶν. Ἐπίσης μεταξὺ αὐτῶν ἐκυκλοφόρουν πολλοὶ μὲ μακριὰ μαλλιά· αὐτοὺς τοὺς παραγγέλλει νὰ κόπτουν τὰ μαλλιά των.

Ὑπῆρχε καὶ κάποιο ἄλλο ὄχι μικρὸν πλημμέλημα, τὸ ὅτι ἔτρωγον μόνοι των εἰς τὰς ἐκκλησίας καὶ δὲν προσέφερον εἰς ὅσους εἶχον ἀνάγκην. Μετὰ δὲ ἀπὸ αὐτὸ διέπραττον καὶ ἄλλο πλημμέλημα: Ὑπερηφανεύοντο διὰ τὰ χαρίσματά των καὶ διὰ τὸν λόγον αὐτὸν ὑπῆρχε ζηλοτυπία μεταξύ των, πρᾶγμα τὸ ὁποῖον ἐπίσης ἐδημιούργει μεγάλην διάσπασιν τῆς Ἐκκλησίας. Εἶχον ἐπίσης αὐτοὶ προβλήματα μὲ τὸ θέμα τῆς ἀναστάσεως· μερικοὶ δηλαδὴ ἀπὸ

παρ' αὐτοῖς· ἔνιοι γὰρ αὐτῶν οὐ σφόδρα ἐπίστευον ἀνάστασιν εἶναι σωμάτων, τὰ τῆς Ἑλληνικῆς μωρίας ἔτι νοσοῦντες. Καὶ γὰρ ἅπαντα ταῦτα ἀπὸ τῆς κατὰ τὴν φιλοσοφίαν τὴν ἔξωθεν ἀνοίας ἐτίκτετο, καὶ αὕτη ἦν τῶν κακῶν ἡ μήτηρ· ἐντεῦθεν καὶ διῄρηντο, καὶ αὐτὸ τοῦτο ἀπὸ τῶν φιλοσόφων μαθόντες. Καὶ γὰρ ἐκεῖνοι κατ' ἀλλήλων ἔστησαν, ἀεὶ ὑπὲρ φιλαρχίας καὶ κενοδοξίας ἕκαστος τοῖς ἀλλήλων ἐναντιούμενοι δόγμασι, καὶ σπουδάζοντες ἐφευρεῖν τι τοῖς προτέροις. Ταῦτα δὲ ἔπασχον, ἐπειδὴ λογισμοῖς ἐπέτρεπον τὰ καθ' ἑαυτούς. Ἔγραψαν μὲν οὖν αὐτῷ διὰ Φουρτουνάτου καὶ Στεφανᾶ καὶ Ἀχαϊκοῦ, δι' ὧν καὶ αὐτὸς γράφει· καὶ τοῦτο ἐδήλωσεν ἐν τῷ τέλει τῆς ἐπιστολῆς· οὐ μὴν περὶ πάντων ἀλλὰ περὶ γάμου καὶ παρθενίας· διὸ καὶ ἔλεγε, «Περὶ δὲ ὧν ἐγράψατέ μοι».

Αὐτὸς μέντοι καὶ ὑπὲρ ὧν ἔγραψαν καὶ ὑπὲρ ὧν οὐκ ἔγραψαν, ἐπιστέλλει πάντα μετὰ ἀκριβείας μαθὼν αὐτῶν τὰ ἐλαττώματα. Καὶ τὸν Τιμόθεον δὲ ἀποστέλλει μετὰ τῶν γραμμάτων, εἰδὼς ὅτι πολλὴν μὲν ἰσχὺν ἔχει καὶ τὰ γράμματα, οὐ μικρὰν δὲ αὐτοῖς οἴσει προσθήκην καὶ ἡ παρουσία τοῦ μαθητοῦ. Ἐπειδὴ δὲ αἰσχυνόμενοι οἱ διανειμάμενοι τὴν ἐκκλησίαν, μὴ δόξωσι φιλοτιμίας ἕνεκεν τοῦτο πεποιηκέναι, προκαλύμματα τοῦ πάθους ἐπενόησαν, τὸ τὰ τελειότερα δῆθεν διδάσκειν, καὶ σοφώτεροι τῶν ἄλλων εἶναι, κατ' αὐτοῦ πρῶτον ὁ Παῦλος ἵσταται τοῦ νοσήματος, τὴν ῥίζαν τῶν κακῶν ἀναστέλλων καὶ τὴν ἐντεῦθεν φυεῖσαν διχόνοιαν· καὶ πολλῇ κέχρηται τῇ παρρησίᾳ»· ἦσαν γὰρ αὐτῷ καὶ μαθηταὶ οὗτοι μάλιστα πάντων· διό φησιν, «Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε».

Καὶ ἀσθενέστερόν γε τῶν ἄλλων διέκειντο· διό φησιν, «Οὐ γὰρ ὡς πνευματικοῖς ἐλάλησα· οὔπω γὰρ ἐδύνασθε,

9. αὐτ. 7,1
10. αὐτ. 9,2
11. αὐτ. 3, 1-2

αὐτοὺς δὲν ἐπίστευον πολὺ ὅτι ὑπάρχει ἀνάστασις τῶν σωμάτων, διότι ἔπασχον ἀκόμη ἀπὸ τὴν ἑλληνικὴν μωρίαν. Διότι πράγματι ὅλα αὐτὰ προήρχοντο ἀπὸ τὴν ἀνοησίαν τῆς φιλοσοφίας τῶν Ἐθνικῶν καὶ αὐτὴ ἦτο ἡ μήτηρ ὅλων· ἀπὸ ἐδῶ προήρχοντο καὶ αἱ διαιρέσεις, καὶ αὐτὸ ἀκριβῶς τὸ ἔμαθαν ἀπὸ τοὺς φιλοσόφους. Ἐκεῖνοι, ὡς γνωστόν, ἐφιλονείκουν μεταξύ των καὶ πάντοτε ὁ κάθε ἕνας ἠναντιοῦτο εἰς τὰς ἀπόψεις τοῦ ἄλλου ἀπὸ φιλαρχίαν καὶ κενοδοξίαν καὶ προσεπάθουν νὰ ἐφεύρουν κάτι ἐπὶ πλέον. Αὐτὰ τὰ ἐπάθαιναν, ἐπειδὴ ἐστήριζον τὴν λύσιν τῶν προβλημάτων των εἰς τὴν λογικήν. Ἔστειλαν δὲ ἐπιστολὴν εἰς αὐτὸν διὰ τοῦ Φουρτουνάτου, τοῦ Στεφανᾶ καὶ τοῦ Ἀχαϊκοῦ, διὰ τῶν ὁποίων καὶ ὁ ἴδιος στέλλει τὴν ἐπιστολήν· καὶ τοῦτο τὸ ἐδήλωσεν εἰς τὸ τέλος τῆς ἐπιστολῆς· δὲν τοῦ ἔγραψαν ὅμως δι' ὅλα τὰ προβλήματά των ἀλλὰ μόνον περὶ γάμου καὶ παρθενίας· διὰ τοῦτο καὶ ἔλεγε: «Σχετικῶς μὲ ὅσα μοῦ ἐγράψατε»[9].

Αὐτὸς ὅμως καὶ δι' ὅσα τοῦ ἔγραψαν καὶ δι' ὅσα δὲν τοῦ ἔγραψαν τοὺς γράφει εἰς τὴν ἐπιστολήν του, ἀφοῦ ἔμαθα μὲ ἀκρίβειαν ὅλα τὰ ἐλαττώματά των. Ἀποστέλλει δὲ μαζὶ μὲ τὴν ἐπιστολὴν καὶ τὸν Τιμόθεον γνωρίζων ὅτι καὶ ἡ ἐπιστολὴ μὲν ἔχει πολλὴν δύναμιν ἀλλὰ ὅτι καὶ ἡ παρουσία τοῦ μαθητοῦ θὰ τοὺς προσθέσῃ πολλά. Ἐπειδὴ δὲ ἐκεῖνοι ποὺ ἐδημιούργουν διαιρέσεις εἰς τὴν Ἐκκλησίαν ἀπὸ ἐντροπὴν μήπως φανοῦν ὅτι ἀπὸ φιλοδοξίαν εἶχον κάμει τοῦτο, ἐπενόησαν προκαλύματα τοῦ πάθους των, ὅτι δῆθεν ἐδίδασκον τὰ τελειότερα καὶ ὅτι ἦσαν σοφώτεροι τῶν ἄλλων, ὁ Παῦλος ἀντιμετωπίζει πρῶτον αὐτὸ τὸ νόσημα κόπτων τὴν ρίζαν τῶν κακῶν καὶ τὴν διχόνοιαν ποὺ ἤρχισεν ἀπὸ ἐδῶ· καὶ μάλιστα χρησιμοποιεῖ πολλὴν παρρησίαν· διότι αὐτοὶ ἦσαν μαθηταί του περισσότερον ἀπὸ ὅλους· διὰ τοῦτο λέγει: «Ἐὰν δι' ἄλλους δὲν εἶμαι ἀπόστολος, ἀλλὰ δι' ἐσᾶς τοὐλάχιστον εἶμαι, διότι σεῖς εἶσθε ἡ σφραγὶς τῆς ἀποστολῆς μου»[10].

Καὶ ὅμως ἦσαν ἀσθενέστεροι ἀπὸ τοὺς ἄλλους εἰς τὴν πίστιν· διὰ τοῦτο λέγει: «Δὲν ὡμίλησα πρὸς ἐσᾶς ὡς πρὸς πνευματικοὺς ἀνθρώπους, διότι δὲν ἠμπορούσατε ἀκόμη, ἀλλὰ οὔτε καὶ τώρα ἀκόμη ἠμπορεῖτε»[11]. Καὶ τὸ λέγει αὐτό, διὰ νὰ μὴ νομίσουν ὅτι ἀ-

ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε». Τοῦτο δὲ λέγει, ἵνα μὴ νομίσωσιν ὅτι ὑπὲρ τοῦ παρελθόντος τοῦτο λέγει χρόνου. «Διὸ ἐπήγαγε· «ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε». Πλὴν ἀλλ' οὐδὲ πάντας εἰκὸς ἦν διεφθάρθαι, ἀλλ' εἶναί τινας ἐν αὐτοῖς καὶ σφόδρα ἁγίους. Καὶ τοῦτο ἐν μέσῳ τῆς ἐπιστολῆς ἐδήλωσεν εἰπών, «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ», καὶ ἐπαγαγών, «Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ». Ἐπεὶ οὖν ἐξ ἀπονοίας πάντα ἐτίκτετο τὰ κακὰ καὶ τοῦ νομίζειν εἰδέναι τι πλέον, ταύτην πρὸ τῶν ἄλλων καθαιρεῖ καὶ ἀρχόμενός φησι.

---

12. αὐτ. 4, 3, 6

ναφέρεται εἰς τὸ παρελθόν. Διὰ τοῦτο προσέθεσεν: «ἀλλὰ οὔτε καὶ τώρα ἀκόμη ἠμπορεῖτε». Ἀλλ' ὅμως οὔτε ἦτο φυσικὸν ὅλοι νὰ ἔχουν παρεκτραπῆ ἀλλὰ μεταξὺ αὐτῶν ἦσαν μερικοὶ πολὺ ἅγιοι. Καὶ τοῦτο τὸ ἐδήλωσεν εἰς τὸ μέσον τῆς ἐπιστολῆς μὲ τὸ νὰ εἴπῃ: «Ὅσον ἀφορᾷ δὲ ἐμέ, μοῦ εἶναι ἐντελῶς ἀδιάφορον νὰ κριθῶ ἀπὸ ἐσᾶς», καὶ προσέθεσεν: «Αὐτὰ δὲ τὰ ἐφήρμοσα εἰς τὸν ἑαυτόν μου καὶ εἰς τὸν Ἀπολλώ»[12]. Ἐπειδὴ λοιπὸν αὐτὰ τὰ κακὰ προήρχοντο ἀπὸ παράλογον ἀλαζονείαν καὶ ἀπὸ τὴν πεποίθησιν ὅτι γνωρίζει κανεὶς κάτι περισσότερον, αὐτὴν τὴν ἀσθένειαν θεραπεύει πρὸ τῶν ἄλλων, καὶ εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς του λέγει.

ΟΜΙΛΙΑ Α'
Α' Κορ. 1, 1-3

«Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».

1. Ὅρα πῶς εὐθέως ἐκ προοιμίων τὸν τῦφον κατέβαλε καὶ χαμαὶ ἔρριψε πᾶσαν αὐτῶν τὴν οἴησιν κλητὸν ἑαυτὸν εἰπών. Οὐ γὰρ αὐτὸς εὗρον, φησίν, ὅπερ ἔμαθον, οὐδὲ οἰκείᾳ κατέλαβον σοφίᾳ, ἀλλὰ διώκων καὶ πορθῶν τὴν ἐκκλησίαν ἐκλήθην. Ἐνταῦθα δὲ τοῦ μὲν καλοῦντος τὸ πᾶν, τοῦ δὲ κληθέντος οὐδέν, ὡς εἰπεῖν, γίνεται ἢ τὸ ὑπακοῦσαι μόνον. «Χριστοῦ Ἰησοῦ». Ὁ διδάσκαλος ὑμῶν Χριστὸς καὶ ὑμεῖς ἀνθρώπους ἐπιγράφεσθε τῆς διδασκαλίας προστάτας; «Διὰ θελήματος Θεοῦ». Ὁ γὰρ Θεὸς τοῦτο ἠθέλησε τὸ οὕτως ἡμᾶς σωθῆναι. Οὐδὲν γὰρ ἡμεῖς κατωρθώσαμεν, ἀλλὰ διὰ τοῦ θελήματος τοῦ Θεοῦ τὴν σωτηρίαν εὑράμεθα· καὶ ἐπειδὴ αὐτῷ ἔδοξεν, ἐκλήθημεν, οὐκ ἐπειδὴ ἄξιοι ἦμεν. «Καὶ Σωσθένης ὁ ἀδελφός». Πάλιν μετριάζει συντάττων ἑαυτῷ τὸν ἐλάττονα πολλῷ· καὶ γὰρ πολὺ τὸ μέσον ἦν Παύλου καὶ Σωσθένους. Εἰ δέ, ἔνθα τοσοῦτον ἦν τὸ μέσον συνέταξεν ἑαυτῷ τὸν καταδεέστερον, τί ἂν ἔχοιεν εἰπεῖν ἐκεῖνοι οἱ τοὺς ὁμοτίμους ὑπερορῶντες; «Τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ». Οὐ τοῦδε καὶ τοῦδε, ἀλλὰ τοῦ Θεοῦ. «Τῇ οὔσῃ ἐν Κορίνθῳ». Ὁρᾷς πῶς καθ' ἑκάστην λέξιν κατέβαλεν αὐτῶν τὸ φύσημα τὴν διάνοιαν ἐθίζων διὰ πάντων πρὸς τὸν οὐ-

---

1. Α' Κορ. 1, 1-3

ΟΜΙΛΙΑ Α΄
Α΄ Κορ. 1,1-3

«Ἐγὼ ὁ Παῦλος καλεσμένος μὲ τὸ θέλημα τοῦ Θεοῦ νὰ εἶμαι ἀπόστολος καὶ ὁ Σωσθένης ὁ ἀδελφός, πρὸς τὴν Ἐκλησίαν τοῦ Θεοῦ ποὺ εὑρίσκεται εἰς τὴν Κόρινθον, πρὸς ἐκείνους ποὺ εἶναι ἁγιασμένοι διὰ τοῦ Ἰησοῦ Χριστοῦ, ποὺ ἔχουν κληθῆ νὰ εἶναι ἅγιοι μαζὶ μέ ὅλους ποὺ ἐπικαλοῦνται εἰς κάθε τόπον τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος εἶναι ἰδικός των καὶ ἰδικός μας Κύριος· νὰ ἔχετε χάριν καὶ εἰρήνην ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ τὸν Κύριόν μας Ἰησοῦν Χριστόν»[1].

1. Πρόσεξε πῶς εὐθὺς ἀμέσως ἀπὸ τὸ προοίμιον ἀπέκλεισε τὴν ἀλαζονείαν καὶ μὲ τὸ νὰ ὀνομάσῃ τὸν ἑαυτόν του κλητὸν ἀπέρριψε κάθε ὑπερηφάνειαν αὐτῶν. «Ὅ,τι ἔμαθα, λέγει, δὲν τὸ ἀνεκάλυψα μόνος μου οὔτε τὸ κατενόησα μὲ τὴν ἰδικήν μου σοφίαν ἀλλὰ ἐκλήθην εἰς τὸ ἀποστολικὸν ἔργον ἐνῷ ἐδίωκα καὶ ἐπολιορκοῦσα τὴν Ἐκκλησίαν». Ἐδῶ τονίζεται ὅτι τὸ πᾶν εἶναι ἔργον τοῦ καλοῦντος, ὁ δὲ κληθεὶς τίποτε γενικῶς δὲν κάμνει παρὰ μόνον νὰ ὑπακούσῃ. «Χριστοῦ Ἰησοῦ»· ὁ διδάσκαλός σας εἶναι ὁ Χριστὸς καὶ ἐσεῖς ἀνθρώπους ἀποκαλεῖτε διδασκάλους; «Μὲ τὸ θέλημα τοῦ Θεοῦ»· δηλαδὴ ὁ Θεὸς τὸ ἠθέλησε ἔτσι νὰ εὕρωμεν τὴν σωτηρίαν· ἐμεῖς ὅμως τίποτε δὲν κατωρθώσαμεν, ἀλλὰ εὕρομεν τὴν σωτηρίαν διὰ τοῦ θελήματος τοῦ Θεοῦ· καὶ μᾶς ἐκάλεσεν, ὄχι ἐπειδὴ ἤμεθα ἄξιοι ἀλλ' ἐπειδὴ ἔτσι ἔκρινε καλὸν Ἐκεῖνος. «Καὶ Σωσθένης ὁ ἀδελφὸς». Πάλιν δεικνύει τὴν μετριοφροσύνην του, θέτων τὸν πολὺ κατώτερόν του εἰς ἴσην ἀξίαν μὲ τὸν ἑαυτόν του· διότι βεβαίως ὑπῆρχε μεγάλη ἀπόστασις μεταξὺ Παύλου καὶ Σωσθένους. Ἐὰν δὲ ἐδῶ ποὺ ὑπῆρχε τόση ἀπόστασις ἔθεσε τὸν κατώτερον εἰς ἴσην ἀξίαν μὲ τὸν ἑαυτόν του, τί θὰ ἠμποροῦσαν νὰ εἴπουν ἐκεῖνοι οἱ ὁποῖοι περιφρονοῦν τοὺς ἰσοτίμους των; «Πρὸς τὴν ἐκκλησίαν τοῦ Θεοῦ». Ὄχι πρὸς τὴν ἐκκλησίαν αὐτοῦ ἢ ἐκείνου, ἀλλὰ τοῦ Θεοῦ. «Ἡ ὁποία εὑρίσκεται εἰς τὴν Κόρινθον». Βλέπεις πῶς εἰς κάθε λέξιν συνέτριψε τὴν ἔπαρσιν αὐτῶν συνηθίζων δι' ὅ-

ρανόν; Ἐκκλησίαν δὲ Θεοῦ καλεῖ δεικνὺς ὅτι ἡνῶσθαι αὐτὴν χρή. Εἰ γὰρ Θεοῦ ἐστιν, ἥνωται, καὶ μία ἐστίν, οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ. Τὸ γὰρ τῆς Ἐκκλησίας ὄνομα οὐ χωρισμοῦ, ἀλλὰ ἑνώσεως καὶ συμφωνίας ἐστὶν ὄνομα. «Ἡγιασμένος ἐν Χριστῷ Ἰησοῦ». Πάλιν τοῦ Ἰησοῦ τὸ ὄνομα, οὐδαμοῦ ἀνθρώπων τίθησι. Τί δὲ ἐστιν ὁ ἁγιασμός; Τὸ λουτρόν, ὁ καθαρισμός. Ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς οἰκείας ἀκαθαρσίας, ἧς ἀπήλλαξε, καὶ πείθει μικρὰ φρονεῖν· οὐ γὰρ ἐν τοῖς οἰκείοις κατορθώμασιν ἀλλ' ἐν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἡγιάσθησαν. «Κλητοῖς ἁγίοις». Καὶ γὰρ τοῦτο αὐτὸ τὸ πίστει σωθῆναι, φησίν, οὐκ ἐξ ὑμῶν· οὐ γὰρ προσήλθετε πρῶτοι, ἀλλ' ἐκλήθητε· ὥστε οὐδὲ τὸ μικρὸν τοῦτο, ὑμέτερον ὅλον. Καίτοι, εἰ καὶ προσήλθετε μυρίων ὄντες ὑπεύθυνοι κακῶν, οὐδὲ οὕτως ὑμῖν χάρις ἀλλὰ τῷ Θεῷ. Διὰ τοῦτο καὶ Ἐφεσίοις γράφων ἔλεγε: «Χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν». Οὐδὲ ἡ πίστις ὑμῶν ὁλόκληρος· οὐ γὰρ ὑμεῖς ἐπιστεύσατε προλαβόντες, ἀλλὰ κληθέντες ὑπηκούσατε. «Σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Οὐ τοῦ δεῖνος καὶ τοῦ δεῖνος ἀλλὰ τοῦ ὀνόματος τοῦ Κυρίου. «Ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν». Εἰ γὰρ καὶ πρὸς Κορινθίους τὰ γράμματά ἐστι γεγραμμένα μόνον, ἀλλὰ καὶ πάντων τῶν ἐν πάσῃ τῇ γῇ μέμνηται πιστῶν δεικνὺς ὅτι τὴν ἐπὶ τῆς οἰκουμένης μίαν δεῖ εἶναι Ἐκκλησίαν, καίτοι τόποις πολλοῖς κεχωρισμένην, καὶ πολλῷ μᾶλλον τὴν ἐν Κορίνθῳ. Εἰ δὲ ὁ τόπος χωρίζει, ἀλλ' ὁ Κύριος αὐτοὺς συνάπτει κοινὸς ὤν· διὸ καὶ ἑνῶν αὐτοὺς ἐπήγαγεν, «ἡμῶν τε καὶ αὐτῶν».

Πολὺ δὲ τοῦτο ἐκείνου κυριώτερον. Ὥσπερ γὰρ οἱ ἐν ἑνὶ τόπῳ ὄντες, ὅταν πολλοὺς ἔχωσιν ἐναντίους δεσπότας, διεσπασμένοι εἰσί, καὶ οὐδὲν ἀπὸ τοῦ τόπου εἰς ὁμόνοιαν

---

2. Ἐφ. 2,8

λων τὴν σκέψιν των πρὸς τὸν οὐρανόν; Τὴν ὀνομάζει δὲ Ἐκκλησίαν τοῦ Θεοῦ διὰ νὰ δείξῃ ὅτι πρέπει νὰ εἶναι ἡνωμένη· διότι, ἐὰν εἶναι τοῦ Θεοῦ, ἔχει ἑνότητα καὶ εἶναι μία, ὄχι μόνον εἰς τὴν Κόρινθον ἀλλὰ καὶ εἰς ὅλην τὴν οἰκουμένην, διότι αὐτὴ ἡ ἰδία ἡ λέξις «Ἐκκλησία» σημαίνει ἕνωσιν καὶ συμφωνίαν, ὄχι χωρισμόν. «Πρὸς ἐκείνους ποὺ εἶναι ἁγιασμένοι διὰ Ἰησοῦ Χριστοῦ». Πάλιν θέτει τὸ ὄνομα τοῦ Ἰησοῦ, πουθενὰ τὸ ὄνομα ἀνθρώπων. Τί εἶναι ὁ ἁγιασμός; Τὸ λουτρόν, ὁ καθαρισμός. Ὑπενθυμίζει δηλαδὴ εἰς αὐτοὺς τὴν ἀκαθαρίαν των, ἀπὸ τὴν ὁποίαν τοὺς ἀπήλλαξε, καὶ θέλει νὰ τοὺς πείσῃ νὰ εἶναι ταπεινόφρονες, διότι ἐπέτυχον τὸν ἁγιασμόν των ὄχι μὲ τὰ ἰδικά των κατορθώματα, ἀλλὰ χάρις εἰς τὴν ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. «Ποὺ ἔχουν κληθῆ νὰ εἶναι ἅγιοι»· τονίζει ὅτι καὶ τὸ ὅτι ἀκόμη ἐσώθητε μὲ τὴν πίστιν, πάλιν δὲν εἶναι ἔργον ἰδικόν σας· διότι δὲν ἐπλησιάσατε μὲ ἰδικήν σας πρωτοβουλίαν τὸν Χριστόν, ἀλλ' ἐκεῖνος σᾶς ἐκάλεσε· ὥστε καθόλου δὲν εἶναι ἰδικόν σας οὔτε καὶ τοῦτο τὸ μικρὸν ἔργον. Καὶ ὅμως, ἂν καὶ ἐπλησιάσατε τὸν Χριστὸν ὄντες ὑπεύθυνοι διὰ ἀμέτρητα κακά, οὔτε τοῦτο ὀφείλεται εἰς σᾶς, ἀλλὰ εἰς τὸν Θεόν. Διὰ τοῦτο καὶ εἰς τὴν ἐπιστολήν του πρὸς τοὺς Ἐφεσίους ἔλεγε: «Ἔχετε σωθῆ μὲ τὴν χάριν διὰ τῆς πίστεως καὶ αὐτὸ δὲν εἶναι ἰδικόν σας κατόρθωμα»[2]. Οὔτε ἡ πίστις εἶναι ἐξ ὁλοκλήρου ἰδικόν σας ἔργον, διότι δὲν προηγήθη ἡ πίστις σας, ἀλλὰ σᾶς ἐκάλεσε ὁ Χριστὸς καὶ ἐσεῖς ὑπηκούσατε. «Μαζὶ μὲ ὅλους ποὺ ἐπικαλοῦνται τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»· ὄχι τὸ ὄνομα αὐτοῦ ἢ ἐκείνου, ἀλλὰ τὸ ὄνομα τοῦ Κυρίου. «Εἰς κάθε τόπον, Κύριος ἰδικός των καὶ ἰδικός μας»· δηλαδή, ἂν καὶ ἡ ἐπιστολὴ ἀπευθύνεται μόνον πρὸς τοὺς Κορινθίους, ἐνθυμεῖται ὅμως καὶ ὅλους τοὺς πιστοὺς τῆς γῆς, διὰ νὰ δείξῃ ὅτι μία πρέπει νὰ εἶναι ἡ Ἐκκλησία εἰς τὴν οἰκουμένην, ἂν καὶ εἶναι χωρισμένη εἰς πολλοὺς τόπους, καὶ πολὺ περισσότερον ὅτι μία πρέπει νὰ εἶναι ἡ ἐκκλησία τῆς Κορίνθου. Καὶ ἂν ἀκόμη χωρίζῃ ὁ τόπος, ὁ Κύριος ὅμως ποὺ εἶναι ὁ ἴδιος δι' ὅλους τοὺς ἑνώνει· διὰ τοῦτο διὰ νὰ τοὺς ἑνώσῃ προσέθεσεν «ἰδικός μας καὶ ἰδικός των».

Τοῦτο εἶναι πολὺ σπουδαιότερον ἀπὸ ἐκεῖνο. Ὅπως ἀκριβῶς δηλαδὴ ὅσοι εὑρίσκονται εἰς τὸν ἴδιον τόπον, ὅταν ἔχουν πολλοὺς ἀρχηγοὺς ποὺ φιλονεικοῦν μεταξύ των, εἶναι καὶ αὐτοὶ διεσπασμέ-

ρανόν; Ἐκκλησίαν δὲ Θεοῦ καλεῖ δεικνὺς ὅτι ἡνῶσθαι αὐτὴν χρή. Εἰ γὰρ Θεοῦ ἐστιν, ἥνωται, καὶ μία ἐστίν, οὐκ ἐν Κορίνθῳ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ. Τὸ γὰρ τῆς Ἐκκλησίας ὄνομα οὐ χωρισμοῦ, ἀλλὰ ἑνώσεως καὶ συμφωνίας ἐστὶν ὄνομα. «Ἡγιασμένος ἐν Χριστῷ Ἰησοῦ». Πάλιν τοῦ Ἰησοῦ τὸ ὄνομα, οὐδαμοῦ ἀνθρώπων τίθησι. Τί δὲ ἐστιν ὁ ἁγιασμός; Τὸ λουτρόν, ὁ καθαρισμός. Ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς οἰκείας ἀκαθαρσίας, ἧς ἀπήλλαξε, καὶ πείθει μικρὰ φρονεῖν· οὐ γὰρ ἐν τοῖς οἰκείοις κατορθώμασιν ἀλλ' ἐν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἡγιάσθησαν. «Κλητοῖς ἁγίοις». Καὶ γὰρ τοῦτο αὐτὸ τὸ πίστει σωθῆναι, φησίν, οὐκ ἐξ ὑμῶν· οὐ γὰρ προσήλθετε πρῶτοι, ἀλλ' ἐκλήθητε· ὥστε οὐδὲ τὸ μικρὸν τοῦτο, ὑμέτερον ὅλον. Καίτοι, εἰ καὶ προσήλθετε μυρίων ὄντες ὑπεύθυνοι κακῶν, οὐδὲ οὕτως ὑμῖν χάρις ἀλλὰ τῷ Θεῷ. Διὰ τοῦτο καὶ Ἐφεσίοις γράφων ἔλεγε: «Χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν». Οὐδὲ ἡ πίστις ὑμῶν ὁλόκληρος· οὐ γὰρ ὑμεῖς ἐπιστεύσατε προλαβόντες, ἀλλὰ κληθέντες ὑπηκούσατε. «Σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Οὐ τοῦ δεῖνος καὶ τοῦ δεῖνος ἀλλὰ τοῦ ὀνόματος τοῦ Κυρίου. «Ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν». Εἰ γὰρ καὶ πρὸς Κορινθίους τὰ γράμματά ἐστι γεγραμμένα μόνον, ἀλλὰ καὶ πάντων τῶν ἐν πάσῃ τῇ γῇ μέμνηται πιστῶν δεικνὺς ὅτι τὴν ἐπὶ τῆς οἰκουμένης μίαν δεῖ εἶναι Ἐκκλησίαν, καίτοι τόποις πολλοῖς κεχωρισμένην, καὶ πολλῷ μᾶλλον τὴν ἐν Κορίνθῳ. Εἰ δὲ ὁ τόπος χωρίζει, ἀλλ' ὁ Κύριος αὐτοὺς συνάπτει κοινὸς ὤν· διὸ καὶ ἑνῶν αὐτοὺς ἐπήγαγεν, «ἡμῶν τε καὶ αὐτῶν».

Πολὺ δὲ τοῦτο ἐκείνου κυριώτερον. Ὥσπερ γὰρ οἱ ἐν ἑνὶ τόπῳ ὄντες, ὅταν πολλοὺς ἔχωσιν ἐναντίους δεσπότας, διεσπασμένοι εἰσί, καὶ οὐδὲν ἀπὸ τοῦ τόπου εἰς ὁμόνοιαν

2. Ἐφ. 2,8

λων τὴν σκέψιν των πρὸς τὸν οὐρανόν; Τὴν ὀνομάζει δὲ Ἐκκλησίαν τοῦ Θεοῦ διὰ νὰ δείξῃ ὅτι πρέπει νὰ εἶναι ἡνωμένη· διότι, ἐὰν εἶναι τοῦ Θεοῦ, ἔχει ἑνότητα καὶ εἶναι μία, ὄχι μόνον εἰς τὴν Κόρινθον ἀλλὰ καὶ εἰς ὅλην τὴν οἰκουμένην, διότι αὐτὴ ἡ ἰδία ἡ λέξις «Ἐκκλησία» σημαίνει ἕνωσιν καὶ συμφωνίαν, ὄχι χωρισμόν. «Πρὸς ἐκείνους ποὺ εἶναι ἁγιασμένοι διὰ Ἰησοῦ Χριστοῦ». Πάλιν θέτει τὸ ὄνομα τοῦ Ἰησοῦ, πουθενὰ τὸ ὄνομα ἀνθρώπων. Τί εἶναι ὁ ἁγιασμός; Τὸ λουτρόν, ὁ καθαρισμός. Ὑπενθυμίζει δηλαδὴ εἰς αὐτοὺς τὴν ἀκαθαρίαν των, ἀπὸ τὴν ὁποίαν τοὺς ἀπήλλαξε, καὶ θέλει νὰ τοὺς πείσῃ νὰ εἶναι ταπεινόφρονες, διότι ἐπέτυχον τὸν ἁγιασμόν των ὄχι μὲ τὰ ἰδικά των κατορθώματα, ἀλλὰ χάρις εἰς τὴν ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. «Ποὺ ἔχουν κληθῆ νὰ εἶναι ἅγιοι» τονίζει ὅτι καὶ τὸ ὅτι ἀκόμη ἐσώθητε μὲ τὴν πίστιν, πάλιν δὲν εἶναι ἔργον ἰδικόν σας· διότι δὲν ἐπλησιάσατε μὲ ἰδικήν σας πρωτοβουλίαν τὸν Χριστόν, ἀλλ᾽ ἐκεῖνος σᾶς ἐκάλεσε· ὥστε καθόλου δὲν εἶναι ἰδικόν σας οὔτε καὶ τοῦτο τὸ μικρὸν ἔργον. Καὶ ὅμως, ἂν καὶ ἐπλησιάσατε τὸν Χριστὸν ὄντες ὑπεύθυνοι διὰ ἀμέτρητα κακά, οὔτε τοῦτο ὀφείλεται εἰς σᾶς, ἀλλὰ εἰς τὸν Θεόν. Διὰ τοῦτο καὶ εἰς τὴν ἐπιστολήν του πρὸς τοὺς Ἐφεσίους ἔλεγε: «Ἔχετε σωθῆ μὲ τὴν χάριν διὰ τῆς πίστεως καὶ αὐτὸ δὲν εἶναι ἰδικόν σας κατόρθωμα»[2]. Οὔτε ἡ πίστις εἶναι ἐξ ὁλοκλήρου ἰδικόν σας ἔργον, διότι δὲν προηγήθη ἡ πίστις σας, ἀλλὰ σᾶς ἐκάλεσε ὁ Χριστὸς καὶ ἐσεῖς ὑπηκούσατε. «Μαζὶ μὲ ὅλους ποὺ ἐπικαλοῦνται τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ» ὄχι τὸ ὄνομα αὐτοῦ ἢ ἐκείνου, ἀλλὰ τὸ ὄνομα τοῦ Κυρίου. «Εἰς κάθε τόπον, Κύριος ἰδικός των καὶ ἰδικός μας» δηλαδή, ἂν καὶ ἡ ἐπιστολὴ ἀπευθύνεται μόνον πρὸς τοὺς Κορινθίους, ἐνθυμεῖται ὅμως καὶ ὅλους τοὺς πιστοὺς τῆς γῆς, διὰ νὰ δείξῃ ὅτι μία πρέπει νὰ εἶναι ἡ Ἐκκλησία εἰς τὴν οἰκουμένην, ἂν καὶ εἶναι χωρισμένη εἰς πολλοὺς τόπους, καὶ πολὺ περισσότερον ὅτι μία πρέπει νὰ εἶναι ἡ ἐκκλησία τῆς Κορίνθου. Καὶ ἂν ἀκόμη χωρίζῃ ὁ τόπος, ὁ Κύριος ὅμως ποὺ εἶναι ὁ ἴδιος δι᾽ ὅλους τοὺς ἑνώνει· διὰ τοῦτο διὰ νὰ τοὺς ἑνώσῃ προσέθεσεν «ἰδικός μας καὶ ἰδικός των».

Τοῦτο εἶναι πολὺ σπουδαιότερον ἀπὸ ἐκεῖνο. Ὅπως ἀκριβῶς δηλαδὴ ὅσοι εὑρίσκονται εἰς τὸν ἴδιον τόπον, ὅταν ἔχουν πολλοὺς ἀρχηγοὺς ποὺ φιλονεικοῦν μεταξύ των, εἶναι καὶ αὐτοὶ διεσπασμέ-

ὠφελοῦνται, διάφορα τῶν δεσποτῶν ἐπιταττόντων, καὶ πρὸς ἑαυτοὺς ἑλκόντων — «Οὐ δύνασθε γάρ», φησί, «Θεῷ δουλεύειν καὶ μαμωνᾷ»— οὕτως οἱ ἐν διαφόροις τόποις ὄντες, ἐὰν μὴ διαφόρους ἔχωσι κυρίους, ἀλλ' ἕνα μόνον, οὐδὲν ἀπὸ τῶν τόπων εἰς ὁμόνοιαν παραβλάπτονται τοῦ Κυρίου τοῦ ἑνὸς συνάπτοντος αὐτούς. Οὐ λέγω τοίνυν, φησίν, ὅτι πρὸς Κορινθίους Κορίνθιοι ὄντες ὁμονοεῖν ὀφείλετε μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐν τῇ οἰκουμένῃ πάσῃ κοινὸν ἔχοντες δεσπότην. Διὰ τοῦτο καὶ ἐκ δευτέρου προσέθηκε τό, «ἡμῶν» Ἐπειδὴ γὰρ εἶπε, «τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», ἵνα μὴ δόξῃ χωρίζειν παρὰ τοῖς ἀνοήτοις, ἐπάγει πάλιν, «Κυρίου ἡμῶν τε καὶ αὐτῶν». Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἀναγνώσομαι κατὰ τὸ νόημα οὕτω. «Παῦλος καὶ Σωσθένης τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν τε καὶ αὐτῶν ἐν παντὶ τόπῳ, κἂν ἐν Ῥώμῃ, κἂν ὅπου δήποτε ἂν ὦσι· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ἢ οὕτω πάλιν, ὃ καὶ μᾶλλον ἡγοῦμαι ἀληθέστερον εἶναι· «Παῦλος καὶ Σωσθένης τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν». Τουτέστι, χάρις ὑμῖν καὶ εἰρήνη ὑμῖν τοῖς ἐν Κορίνθῳ ἡγιασμένοις καὶ κλητοῖς γενομένοις· οὐ μόνοις ἀλλὰ μετὰ πάντων τῶν ἐν παντὶ τόπῳ ἐπικαλουμένων τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτῶν. Εἰ δὲ ἀπὸ χάριτος ἡ εἰρήνη, τί μέγα φρονεῖς, τί μέγα φυσᾷς χάριτι σωθείς; εἰ δὲ εἰρήνην ἔχεις πρὸς τὸν Θεόν, τί ἑτέροις σεαυτὸν προσνέμεις; τοῦτο γὰρ διαστασιάζειν ἐστί. Τί γάρ, εἰ πρὸς τόνδε εἰρηνεύετε, καὶ πρὸς τόνδε καὶ

νοι καὶ καθόλου δὲν τοὺς φέρει ὁμόνοιαν τὸ γεγονὸς ὅτι ζοῦν εἰς τὸν ἴδιον τόπον, διότι καθένας ἀπὸ τοὺς ἀρχηγοὺς δίδει διαφορετικὰς διαταγὰς καὶ τοὺς θέλει μὲ τὸ μέρος του — διότι λέγει, «Δὲν εἶναι δυνατὸν νὰ ὑπηρετῆτε συγχρόνως τὸν Θεὸν καὶ τὸν μαμωνᾶν», ἔτσι καὶ ὅσοι κατοικοῦν εἰς διαφορετικοὺς τόπους, ἐὰν δὲν ἔχουν διαφορετικοὺς ἀρχηγοὺς ἀλλὰ μόνον ἕνα, τότε καθόλου δὲν παραβλάπτεται ἡ ὁμόνοιά των ἀπὸ τὸ γεγονὸς ὅτι ζοῦν εἰς διαφορετικοὺς τόπους, διότι ὁ ἕνας κύριός των τοὺς συνενώνει. Λέγει λοιπόν· «Δὲν ἐννοῶ ὅτι ἐσεῖς ποὺ εἶσθε Κορίνθιοι ὀφείλετε νὰ ἔχετε ὁμόνοιαν μὲ Κορινθίους μόνον, ἀλλὰ μέ ὅλους τοὺς πιστοὺς ὅλης τῆς οἰκουμένης, διότι ἔχετε τὸν ἴδιον Κύριον· διὰ τοῦτο προσέθεσε τὴν λέξιν «ἡμῶν» καὶ διὰ δευτέραν φοράν. Ἐπειδὴ δηλαδὴ εἶπε «τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», διὰ νὰ μὴ φανῇ εἰς τοὺς ἀνοήτους ὅτι χωρίζει τοὺς πιστούς, προσθέτει πάλιν «ποὺ εἶναι Κύριος ἰδικός μας καὶ ἰδικός των». Καὶ διὰ νὰ γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, θὰ διαβάσω τὸ ἀπόσπασμα κατὰ τὸ νόημα ὡς ἑξῆς: «Ἐγὼ ὁ Παῦλος καὶ ὁ Σωσθένης πρὸς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ποὺ εὑρίσκεται εἰς τὴν Κόρινθον καὶ πρὸς ὅλους ὅσοι ἐπικαλοῦνται τὸ ὄνομα τοῦ Κυρίου ποὺ εἶναι ἰδικός μας καὶ ἰδικός των Κύριος ὁπουδήποτε καὶ ἂν εὑρίσκωνται εἴτε εἰς τὴν Ρώμην εἴτε ὁπουδήποτε. Ἡ χάρις καὶ ἡ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριόν μας Ἰησοῦν Χριστὸν νὰ εἶναι εἰς ἐσᾶς». Ἢ πάλιν ὡς ἑξῆς ποὺ νομίζω ὅτι εἶναι ὀρθότερον: «Ἐγὼ ὁ Παῦλος καὶ ὁ Σωσθένης πρὸς ἐκείνους τοὺς κατοίκους τῆς Κορίνθου ποὺ εἶναι ἁγιασμένοι, ποὺ ἔχουν κληθῆ νὰ εἶναι ἅγιοι, μαζὶ μέ ὅλους ὅσοι ἐπικαλοῦνται τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, τοῦ ἰδικοῦ των καὶ ἰδικοῦ μας Κυρίου, εἰς κάθε τόπον». Δηλαδή, εἴθε νὰ ἔχετε ἀπὸ τὸν Θεὸν τὴν χάριν καὶ τὴν εἰρήνην σεῖς οἱ πιστοὶ τῆς Κορίνθου ποὺ σᾶς ἐκάλεσε καὶ σᾶς ἡγίασεν ὁ Κύριος, καὶ ὄχι μόνον ἐσεῖς ἀλλὰ ὅλοι ὅσοι εἰς οἱονδήποτε τόπον ἐπικαλοῦνται τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ ποὺ εἶναι ἰδικός μας καὶ ἰδικός των Κύριος. Καὶ ἂν ἡ εἰρήνη εἶναι ἀποτέλεσμα τῆς χάριτος, διατί μεγαλοφρονεῖς, διατί ὑπερηφανεύεσαι πολύ, ἀφοῦ μὲ τὴν χάριν τοῦ Θεοῦ ἐσώθης; Καὶ ἂν ἔχῃς εἰρήνην μὲ τὸν Θεόν, διατί τάσσεσαι μὲ ὡρισμένους; διότι τοῦτο εἶναι διαίρεσις εἰς φατρίας. Ποῖον τὸ ὄφελος λοιπόν, ἐὰν μὲ αὐτὸν εὑρίσκεσθε εἰς εἰρηνικὰς σχέσεις, καὶ

χάριν ἔχετε; Ἐγὼ δὲ ἀπὸ τοῦ Θεοῦ αἰτῶ ταῦτα ὑμῖν ἀμφότερα γενέσθαι, καὶ ἀπ᾽ αὐτοῦ καὶ πρὸς αὐτόν. Οὔτε γὰρ βέβαια μένει, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς· οὔτε, ἐὰν μὴ πρὸς αὐτὸν ᾖ, ἔσται τι πλέον ὑμῖν. Οὐδὲν γὰρ ὄφελος ἡμῖν, κἂν πρὸς πάντας ὦμεν εἰρηνικοί, πρὸς δὲ τὸν Θεὸν ἐκπεπολεμωμένοι· ὥσπερ οὐδὲν βλάβος ἡμῖν, κἂν παρὰ πάντων πολεμώμεθα, τῷ δὲ Θεῷ εἰρηνεύωμεν. Καὶ πάλιν οὐδὲν ὄφελος, κἂν παρὰ πᾶσιν εὐδοκιμῶμεν, τῷ δὲ Κυρίῳ προσκρούωμεν· οὐδεὶς κίνδυνος, κἂν πάντες ἡμᾶς ἀποστρέφωνται καὶ μισῶσιν, ὁ δὲ Θεὸς ἀποδέχηται καὶ φιλῇ. Ἡ γὰρ ὄντως χάρις, ἡ ὄντως εἰρήνη παρὰ τοῦ Θεοῦ. Ὁ μὲν γὰρ τὴν παρὰ τῷ Θεῷ χάριν ἔχων οὐδένα δέδοικε, κἂν μυρία πάσχῃ δεινά· οὐ λέγω ἄνθρωπον ἀλλ᾽ οὐδὲ αὐτὸν τὸν διάβολον· ὁ δὲ τούτῳ προσκεκρουκώς, πάντας ὑποπτεύει, κἂν ἐν ἀσφαλείᾳ εἶναι δοκῇ. Ἄστατον γὰρ τὸ τῶν ἀνθρώπων γένος, καὶ οὐ φίλοι μόνον οὐδὲ ἀδελφοὶ ἀλλ᾽ ἤδη καὶ πατέρες μεταβαλλόμενοι πολλάκις ἀπὸ μικρᾶς αἰτίας τοῦτον, ὃν ἐγέννησαν, ὃν ἐφύτευσαν, πάντων πολεμίων μᾶλλον ἤλασαν· καὶ παῖδες πατέρας ἐξέβαλον. Σκόπει δέ.

2. Εἶχε χάριν ὁ Δαυῒδ παρὰ τῷ Θεῷ· εἶχε χάριν ὁ Ἀβεσσαλὼμ παρὰ τοῖς ἀνθρώποις· οἷον οὖν τέλος ἑκάτερος ἔσχε καὶ τίς ηὐδοκίμησε μᾶλλον, ἴστε. Εἶχε χάριν ὁ Ἀβραὰμ παρὰ τῷ Θεῷ, ὁ δὲ Φαραὼ παρὰ τοῖς ἀνθρώποις· χαριζόμενοι γὰρ αὐτῷ τὴν γυναῖκα τοῦ δικαίου προύδωκαν. Τίς οὖν λαμπρότερος γέγονε καὶ μακάριος; παντί που δῆλον. Καὶ τί λέγω περὶ δικαίων; Εἶχον χάριν οἱ Ἰσραηλῖται παρὰ τῷ Θεῷ, ἐμισοῦντο δὲ παρὰ ἀνθρώπων τῶν Αἰγυπτίων· ἀλλ᾽ ὅμως τῶν μισούντων περιεγένοντο καὶ ἐκράτησαν μεθ᾽ ὅσης ἅπαντες ἴστε περιφανείας.

εἰς αὐτὸν χρεωστῆτε εὐγνωμοσύνην; Ἐγὼ ὅμως ζητῶ νὰ ἔχετε καὶ τὰ δύο ἀπὸ τὸν Θεόν, καὶ τὴν εἰρήνην καὶ τὴν χάριν, ἀπὸ Αὐτὸν νὰ προέρχωνται καὶ πρὸς Αὐτὸν νὰ κατευθύνωνται· διότι οὔτε εἶναι σταθερά, ἐὰν δὲν προέρχωνται ἀπὸ τὸν οὐρανόν, οὔτε πάλιν ἔχομεν καμμίαν ὠφέλειαν, ἐὰν δὲν κατευθύνωνται πρὸς τὸν Θεόν. Καθόλου δὲν ὠφελούμεθα, ἂν ἔχωμεν εἰρήνην ἀκόμη καὶ μὲ ὅλους τοὺς ἀνθρώπους, ἐνῷ ἔχομεν πόλεμον μὲ τὸν Θεόν· ὅπως ἐπίσης καθόλου δὲν βλαπτόμεθα, ἀκόμη καὶ ἂν ὅλοι μᾶς πολεμοῦν, ἐφ' ὅσον ἔχομεν εἰρήνην μὲ τὸν Θεόν. Ἐξ ἄλλου δὲν ἔχομεν καμμίαν ὠφέλειαν, ἂν ὅλοι μᾶς ἐκτιμοῦν, εὑρισκώμεθα ὅμως εἰς ἀντίθεσιν μὲ τὸν Κύριον. Δὲν διατρέχομεν κανένα κίνδυνον, καὶ ἂν ὅλοι μᾶς ἀποστρέφωνται καὶ μᾶς μισοῦν, ὁ Θεὸς ὅμως μᾶς ἀποδέχεται καὶ μᾶς ἀγαπᾷ· καὶ τοῦτο, διότι ἡ ἀληθινὴ χάρις καὶ ἡ ἀληθινὴ εἰρήνη προέρχονται ἀπὸ τὸν Θεόν. Ἐκεῖνος μὲν ποὺ ἔχει τὴν χάριν ἀπὸ τὸν Θεόν, κανένα δὲν φοβεῖται, ἀκόμη καὶ ἂν πάσχῃ τὰ πάνδεινα, καὶ δὲν ἐννοῶ μόνον ἄνθρωπον, ἀλλὰ δὲν φοβεῖται οὔτε αὐτὸν τὸν ἴδιον τὸν διάβολον· ὅποιος ὅμως εὑρίσκεται εἰς ἀντίθεσιν μὲ τὸν Θεόν, ὅλους τοὺς ὑποπτεύεται, καὶ ἂν ἀκόμη θεωρῆται ὅτι εὑρίσκεται εἰς ἀσφάλειαν. Διότι χαρακτηρίζεται ἀπὸ ἀστάθειαν τὸ ἀνθρώπινον γένος καὶ ὄχι μόνον φίλοι οὔτε μόνον ἀδελφοί, ἀλλὰ ἀκόμη καὶ πατέρες πολλάκις χωρὶς σοβαρὰν αἰτίαν ἀλλάσσουν τὰ συναισθήματά των καὶ ἐκδιώκουν ἀπὸ πλησίον των ὡς τὸν μεγαλύτερον ἐχθρόν των αὐτὸν ποὺ ἐγέννησαν καὶ ἐδημιούργησαν· ἄλλοτε πάλιν παιδιὰ ἐκδιώκουν τοὺς πατέρας των. Πρόσεξε τὸ ἑξῆς.

2. Ὁ Δαυῒδ εἶχε ἐκτίμησιν εἰς τὸν Θεόν, ἐνῶ ὁ Ἀβεσσαλὼμ εἶχε ἐκτίμησιν εἰς τοὺς ἀνθρώπους· λοιπὸν τί εἴδους τέλος εἶχεν ὁ καθένας ἐξ αὐτῶν καὶ ποῖος ηὐδοκίμησε περισσότερον τὸ γνωρίζετε. Ὁ Ἀβραὰμ εἶχε ἐκτίμησιν εἰς τὸν Θεόν, ὁ δὲ Φαραὼ εἶχε ἐκτίμησιν εἰς τοὺς ἀνθρώπους· προσφέροντες ἐκδούλευσιν εἰς αὐτόν, ἐπρόδωσαν τὴν γυναῖκα τοῦ δικαίου ἀνθρώπου. Ποῖος λοιπὸν ὑπῆρξεν ἐνδοξότερος καὶ εὐτυχέστερος; Βεβαίως εἶναι εἰς ὅλους φανερόν. Τί ἀναφέρω παραδείγματα δικαίων ἀνθρώπων; Οἱ Ἰσραηλῖται εἶχον ἐκτίμησιν εἰς τὸν Θεόν, ἀλλὰ ἐμισοῦντο ἀπὸ τοὺς ἀνθρώπους τοὺς Αἰγυπτίους· καὶ ὅμως οἱ Ἰσραηλῖται ὑπερίσχυσαν αὐτῶν, ἀπὸ τοὺς ὁποίους ἐμισοῦντο καὶ ὅλοι σας γνωρίζετε πόσον περίλαμπρος ἦτο ἡ νίκη των.

Τοῦτο τοίνυν σπουδάζωμεν ἅπαντες· κἂν δοῦλος ᾖ τις, τοῦτο εὐχέσθω, πρὸ τοῦ δεσπότου παρὰ τῷ Θεῷ χάριν εὑρεῖν· κἂν γυνή τις ᾖ, πρὸ τοῦ ἀνδρὸς παρὰ τοῦ Σωτῆρος Θεοῦ χάριν ζητείτω· κἂν στρατιώτης ᾖ, πρὸ τοῦ βασιλέως καὶ πρὸ τοῦ ἄρχοντος τὴν ἄνωθεν εὔνοιαν ζητείτω· οὕτω γὰρ καὶ παρὰ ἀνθρώποις ἐπέραστος ἔσῃ. Πῶς δ' ἄν τις εὕροι χάριν παρὰ τῷ Θεῷ; Πῶς δὲ ἑτέρως, εἰ μὴ ἀπὸ ταπεινοφροσύνης; «Ὁ Θεός» γάρ, φησίν, «ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν», καὶ «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καὶ τεταπεινωμένην καρδίαν ὁ Θεός οὐκ ἐξουδενώσει». Εἰ γὰρ παρὰ ἀνθρώποις οὕτω ποθεινὸν τὸ ταπεινόν, πολλῷ μᾶλλον παρὰ Θεῷ.

Οὕτω καὶ οἱ ἐξ ἐθνῶν χάριν εὗρον, οὕτω καὶ οἱ Ἰουδαῖοι τῆς χάριτος ἐξέπεσον· τῇ γὰρ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν». Ὁ ταπεινὸς οὗτος καὶ ἐπίχαρις γίνεται καὶ πᾶσιν ἡδὺς καὶ εἰρήνῃ σύντροφος διηνεκεῖ καὶ οὐδεμίαν ἔχων πολέμων ὑπόθεσιν. Κἂν γὰρ ὑβρίσῃς, κἂν λοιδορήσῃς, κἂν ὁτιοῦν εἴπῃς, σιγήσεται καὶ πράως οἴσει καὶ τοσαύτην ἕξει τὴν εἰρήνην πρὸς πάντας, ὅσην οὐδὲ ἔστιν εἰπεῖν, καὶ πρὸς τὸν Θεὸν δέ. Τὰ γὰρ τοῦ Θεοῦ προστάγματα μετὰ ἀνθρώπων εἰρηνεύειν ἐστί, καὶ ὁ βίος ἅπας ἡμῖν οὕτω κοτορθοῦται ἐν τοῖς πρὸς ἀλλήλους· οὐ γὰρ δὴ Θεόν τις ἀδικῆσαι δυνήσεται· ἀνώλεθρος γὰρ ἡ φύσις ἐκείνη καὶ παντὸς ἀνωτέρα πάθους.

Οὐδὲν οὕτω θαυμαστὸν ποιεῖ τὸν Χριστιανὸν ὡς ταπεινοφροσύνη. Ἄκουσον γοῦν τοῦ Ἀβραὰμ λέγοντος· «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός», καὶ τοῦ Θεοῦ περὶ Μωϋσέως πάλιν, ὅτι πραότατος ἦν πάντων ἀνθρώπων. Οὐδὲν γὰρ ἐκείνου ταπεινότερον γέγονεν, ὃς δῆμον τοσοῦτον ἄγων καὶ τὸν βασιλέα καὶ τὸ στρατόπεδον ἅπαν τῶν Αἰγυπτίων

---

3. Παρ. 3,34
4. Ψαλ. 50,19
5. Ρωμ. 10,3
6. Γεν. 18,27

Λοιπὸν ὅλοι ἂς φροντίζωμεν διὰ τὸ ἑξῆς: ἂν κάποιος εἶναι δοῦλος, νὰ εὔχεται περισσότερον νὰ ἔχῃ ἐκτίμησιν εἰς τὸν Θεὸν παρὰ εἰς τὸν κύριόν του· ἡ γυναῖκα νὰ ζητῇ νὰ ἔχῃ ἐκτίμησιν εἰς τὸν σωτῆρα Θεὸν παρὰ εἰς τὸν σύζυγόν της, καὶ ὁ στρατιώτης νὰ ἐπιζητῇ νὰ ἔχῃ τὴν εὔνοιαν τοῦ οὐρανοῦ μᾶλλον παρὰ τοῦ βασιλέως καὶ τοῦ ἄρχοντος· διότι ἔτσι θὰ εἶσαι ἀξιαγάπητος καὶ ἀπὸ τοὺς ἀνθρώπους. Ἀλλὰ πῶς εἶναι δυνατὸν κάποιος νὰ εὕρῃ τὴν χάριν εἰς τὸν Θεόν; Πῶς ἀλλιῶς παρὰ μὲ τὴν ταπεινοφροσύνην; Διότι λέγει: «Ὁ Θεὸς ἐναντιώνεται εἰς τοὺς ὑπερηφάνους, εἰς τοὺς ταπεινοὺς ὅμως δίδει χάριν»[3]· καὶ «Ἡ καλύτερη θυσία πρὸς τὸν Θεὸν εἶναι πνεῦμα συντετριμμένον, καὶ ταπεινὴν καρδίαν ὁ Θεὸς δὲν θὰ ἀπορρίψῃ»[4]. Διότι, ἐὰν ἡ ταπεινοφροσύνη εἶναι τόσον ποθητὴ ἀπὸ τοὺς ἀνθρώπους, πολὺ περισσότερον εἶναι ἐπιθυμητὴ ἀπὸ τὸν Θεόν.

Διὰ τὸν λόγον τοῦτον οἱ ἐξ ἐθνῶν Χριστιανοὶ εὗρον χάριν εἰς τὸν Θεόν, ἐνῷ διὰ τὸν ἴδιον λόγον οἱ Ἰουδαῖοι ἔχασαν τὴν χάριν τοῦ Θεοῦ· «Διότι δὲν ὑπετάγησαν εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ»[5]. Ὁ ἄνθρωπος ποὺ ἔχει ταπεινοφροσύνην ἀποκτᾷ καὶ τὴν χάριν καὶ γίνεται εἰς ὅλους ἀγαπητὸς καὶ συνεχῆ εἰρήνην ἔχει καὶ ἠρεμίαν· διότι, καὶ ἂν ἀκόμη τὸν ὑβρίσῃς καὶ τὸν κακολογήσῃς καὶ τοῦ εἴπῃς ὁ,τιδήποτε, θὰ τὰ ὑποφέρῃ μὲ σιωπὴν καὶ πραότητα καὶ θὰ διατηρῇ ἀπερίγραπτον εἰρήνην πρὸς ὅλους καὶ πρὸ παντὸς πρὸς τὸν Θεόν· διότι εἶναι ἐντολαὶ τοῦ Θεοῦ τὸ νὰ ζῶμεν εἰρηνικῶς μὲ τοὺς ἀνθρώπους, καὶ ἔτσι, ἂν ἔχωμεν εἰρήνην μεταξύ μας, ὅλη ἡ ζωή μας διέρχεται μὲ ἠρεμίαν· διότι βεβαίως κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ βλάψῃ τὸν Θεόν· ἡ φύσις ἐκείνου δὲν ὑφίσταται καμμίαν φθορὰν καὶ καμμίαν βλάβην.

Τίποτε δὲν κάμνει τὸν Χριστιανὸν τόσον ἀξιοθαύμαστον ὅσον ἡ ταπεινοφροσύνη. Ἄκουσε τοὺς λόγους τοῦ Ἀβραάμ: «Ἐγὼ εἶμαι χῶμαι καὶ στάχτη»[6]. Πρόσεξε καὶ τὴν γνώμην τοῦ Θεοῦ διὰ τὸν Μωϋσῆ, ὅτι δηλαδὴ αὐτὸς ἦτο ὁ πραότατος ἐξ ὅλων τῶν ἀνθρώπων. Κανεὶς δὲν εἶχε μεγαλυτέραν ταπεινοφροσύνην ἀπὸ ἐκεῖνον· ἂν καὶ ἦτο ἀρχηγὸς τόσου μεγάλου πλήθους ἀνθρώπων, ἂν καὶ κατεπόντισε ὡς μυίας τὸν βασιλέα καὶ ὅλον τὸν στρατὸν τῶν Αἰγυπτίων, ἂν καὶ ἔκαμε τόσα κατορθώματα καὶ εἰς τὴν Αἴγυ-

καθάπερ μυίας καταποντίσας, καὶ τοσαῦτα μὲν ἐν Αἰγύπτῳ, τοσαῦτα δὲ ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης ἐργασάμενος καὶ ἐπὶ τῆς ἐρήμου καὶ τοσαύτης ἀπολαύσας μαρτυρίας ὡς εἷς τῶν πολλῶν ὢν οὕτω διέκειτο· καὶ τοῦ γαμβροῦ ταπεινότερος ἦν καὶ ἐδέχετο τὴν παρ' ἐκείνου γνώμην. Καὶ οὐδὲ ἐδυσχέραινεν οὐδὲ εἶπε, τί τοῦτο; μετὰ τοσαῦτα καὶ τοσαῦτα κατορθώματα ἦλθες ὑμῖν συμβουλεύων; ὅπερ πάσχουσιν οἱ πολλοί, κἂν ἀρίστην τις εἰσηγήσηται γνώμην, διὰ τὸ τοῦ προσώπου ταπεινὸν καταφρονοῦντες.

'Αλλ' οὐκ ἐκεῖνος οὕτως, ἀλλὰ διὰ ταπεινοφροσύνης πάντα κατώρθου. 'Εντεῦθεν καὶ τῶν βασιλικῶν κατεφρόνησεν αὐλῶν, ἐπειδὴ ταπεινὸς ἦν ὄντως· τὸ γὰρ ὑγιὲς φρόνημα καὶ τὸ ὑψηλὸν ἡ ταπεινοφροσύνη ποιεῖ. Πόσης γὰρ οἴει μεγαλοφροσύνης εἶναι καὶ μεγαλοψυχίας τὸ καὶ οἰκίας καὶ τραπέζης ὑπεριδεῖν βασιλικῆς; Καὶ γὰρ ὡς θεοὶ τιμῶνται οἱ βασιλεῖς παρ' Αἰγυπτίοις καὶ πλούτου καὶ θησαυρῶν ἀπολαύουσι μυρίων. 'Αλλ' ὅμως πάντα ἀφεὶς ἐκεῖνα καὶ αὐτὰ τῆς Αἰγύπτου ῥίψας τὰ σκῆπτρα, τοῖς αἰχμαλώτοις καὶ καταπονουμένοις, τοῖς ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δαπανωμένοις, οὓς οἱ δοῦλοι αὐτοῦ ἐβδελύττοντο — «'Εβδελύττοντο γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι», φησί — τούτοις προσέδραμε καὶ τῶν δεσποτῶν αὐτοὺς προετίθει. Ὅθεν δῆλον ὅτι ὁ ταπεινὸς οὗτός ἐστιν ὁ ὑψηλὸς καὶ μεγαλόφρων. Καὶ γὰρ ἡ ἀπόνοια ἀπὸ εὐτελοῦς γίνεται διανοίας καὶ ἀγεννοῦς ψυχῆς, καὶ ἡ ἐπιείκεια ἀπὸ μεγαλόφρονος, ἀπὸ μεγαλοψύχου γνώμης.

3. Καὶ εἰ βούλεσθε, ἐπὶ τῶν ὑποδειγμάτων ἑκάτερα ἐξετάσωμεν. Εἰπὲ γάρ μοι, τί τοῦ 'Αβραὰμ γέγονεν ὑψηλότερον; καίτοιγε ἐκεῖνος ἦν ὁ λέγων, «'Εγώ εἰμι γῆ καὶ σποδός»· ἐκεῖνος ἦν ὁ λέγων, «Μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ». 'Αλλ' οὗτος ὁ οὕτω ταπεινὸς λαφύρων κατεφρόνησε Περσικῶν καὶ τροπαίων ὑπερεῖδε βαρβαρικῶν. Τοῦτο δὲ ἀπὸ πολλῆς ὑψηλοφροσύνης καὶ

7. Ἐξ. 1,13
8. Γεν. 13,8

πτον καὶ εἰς τὴν Ἐρυθρὰν Θάλασσαν καὶ εἰς τὴν ἔρημον, τέλος ἂν καὶ εἶχε τόσας μαρτυρίας διὰ τὰ λαμπρὰ ἔργα του, παρ' ὅλα αὐτὰ συμπεριεφέρετο ὡς εἷς κοινὸς ἄνθρωπος· ἦτο περισσότερον ταπεινὸς καὶ ἀπὸ τὸν πενθερόν του καὶ ἐδέχετο τὴν γνώμην ἐκείνου· δὲν ἐδυσανασχέτει καὶ οὔτε τοῦ εἶπε· Τί λέγεις τώρα; ἦλθες νὰ συμβουλεύσῃς ἐμέ, ὁ ὁποῖος ἔχω κάμει τόσον θαυμαστὰ καὶ τόσα πολλὰ κατορθώματα; Εἶναι αὐτὸ ἀκριβῶς ποὺ παθαίνουν οἱ περισσότεροι, ἀκόμη καὶ ἂν κάποιος τοὺς ἐκφράσῃ μίαν γνώμην ἀρίστην, διότι περιφρονοῦν τὴν ταπεινὴν ἐμφάνισιν.

Ἐκεῖνος ὅμως δὲν συμπεριεφέρετο ἔτσι, ἀλλὰ πάντα τὰ κατώρθωνε διὰ τῆς ταπεινοφροσύνης. Διὰ τὸν λόγον αὐτὸν περιεφρόνησε καὶ τὰ βασιλικὰ ἀνάκτορα, ἐπειδὴ ἦτο πραγματικῶς ταπεινός. Ἡ ταπεινοφροσύνη εἶναι αὐτὴ ποὺ φέρει τὸ ὑγιὲς καὶ ἀνώτερον φρόνημα. Πόσην μεγαλοφροσύνην καὶ πόσον μεγαλεῖον ψυχῆς νομίζεις ὅτι δείχνει τὸ νὰ περιφρονήσῃ κανεὶς ἀνάκτορον καὶ βασιλικὴν τράπεζαν; Ὡς γνωστόν, εἰς τοὺς Αἰγυπτίους οἱ βασιλεῖς τιμῶνται ὡς θεοὶ καὶ χαίρονται ἀμέτρητα πλούτη καὶ θησαυρούς. Καὶ ὅμως, ἀφοῦ ἐγκατέλειψεν ὅλα ἐκεῖνα καὶ τὸν ἴδιον τὸν θρόνον τῆς Αἰγύπτου, ἔσπευσεν εἰς βοήθειαν τῶν αἰχμαλώτων καὶ καταπονουμένων, αὐτῶν ποὺ τοὺς ἔτρωγεν ὁ πηλὸς καὶ ἡ κατασκευὴ πλίνθων καὶ τοὺς ὁποίους ἐσιχαίνοντο ἀκόμη καὶ οἱ δοῦλοι του —«Διότι ἐσιχαίνοντο αὐτοὺς οἱ Αἰγύπτιοι»[7], λέγει· ἔσπευσεν εἰς βοήθειαν αὐτῶν καὶ τοὺς ἐπροτίμησε ἀπὸ τοὺς ἄρχοντας. Τοῦτο φανερώνει ὅτι αὐτὸς ὁ ταπεινὸς εἶναι ὁ ἀνώτερος καὶ μεγαλόφρων. Ἡ ὑπεροψία εἶναι βεβαίως προϊὸν εὐτελοῦς διανοίας καὶ κατωτέρας ψυχῆς, ἐνῷ ἡ πραότης εἶναι ἀποτέλεσμα τῆς ὑπάρξεως μεγαλόφρονος καὶ μεγαλοψύχου σκέψεως.

3. Ἐὰν λοιπὸν θέλετε, ἂς ἐξετάσωμεν κάθε ἕνα μὲ παραδείγματα: Εἰπέ μου ποῖος ὑπῆρξε ἀνώτερος ἀπὸ τὸν Ἀβραάμ; Καὶ ὅμως ἐκεῖνος ἦτο ποὺ ἔλεγεν: «Ἐγὼ εἶμαι χῶμα καὶ στάχτη»· ἐκεῖνος ἦτο ποὺ ἔλεγεν· «Ἂς μὴ ὑπάρχῃ διαμάχη μεταξύ μας»[8]. Καὶ αὐτὸς ὁ τόσον ταπεινὸς περιεφρόνησε περσικὰ λάφυρα καὶ τρόπαια διὰ νίκας κατὰ βαρβάρων· ἔτσι ἐφέρετο λόγῳ τῆς πολλῆς ὑψηλοφροσύνης καὶ τῆς ἀνωτερότητος τῆς σκέψεώς του· διότι ὑ-

μεγαλοφυοῦς διανοίας ἐποίει. Ἐκεῖνος γάρ ἐστιν ὑψηλὸς ὁ γνησίως ταπεινός, οὐχ ὁ κόλαξ οὐδὲ ὁ εἴρων. Ἕτερον γὰρ μεγαλοφροσύνη καὶ ἕτερον ἀπόνοια· καὶ τοῦτο δῆλον ἐκεῖθεν. Εἴ τις γὰρ τὸν πηλὸν πηλὸν ἡγοῖτο καὶ καταφρονοῖ, ἕτερος δέ τις τὸν πηλὸν ὡς χρυσὸν ὁ τὸν πηλὸν μὴ θαυμάζοι, τίς ἄρα ἐστὶν ὁ ὑψηλός; οὐχὶ ὁ τὸν πηλὸν μὴ θαυμάζων; τίς δὲ ὁ ταπεινὸς καὶ εὐτελής; οὐχὶ ὁ θαυμάζων αὐτὸν καὶ μέγα τιθέμενος;

Οὕτω δὴ καὶ ἐνταῦθα λογίζου, ὅτι ὁ μὲν γῆν καὶ σποδὸν ἑαυτὸν λέγων ὑψηλὸς ἂν εἴη, καίτοιγε ἀπὸ ταπεινοφροσύνης λέγει· ὁ δὲ μὴ γῆν καὶ σπονδὸν ἑαυτὸν νομίζων ἀλλὰ περιέπων ἑαυτὸν καὶ μεγαλοφρονῶν, οὗτος μὲν οὖν ἂν εἴη εὐτελὴς τὰ μικρὰ μεγάλα τιθέμενος. Ὅθεν δῆλον ὅτι ἀπὸ πολλοῦ διανοίας ὕψους ἐφθέγγετο τὸ ῥῆμα ἐκεῖνο ὁ πατριάρχης. «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»· ἀπὸ ὕψους, οὐκ ἀπὸ ἀπονοίας. Καθάπερ γὰρ ἐπὶ σωμάτων ἄλλο μέν ἐστιν εὐεκτοῦντα καὶ σφριγῶντα εἶναι, ἄλλο δὲ φλεγμαίνοντα — καίτοιγε ἀμφότερα ὑψηλῆς ἐστι σαρκός, ἀλλὰ τὸ μὲν διεφθαρμένης, τὸ δὲ ὑγιοῦς — οὕτω καὶ ἐνταῦθα ἕτερόν ἐστι εἶναι ἀπονενοημένον, ὅπερ ἐστὶ φλεγμαίνοντα εἶναι, καὶ ἕτερόν ἐστιν ὑψηλόν, ὅπερ ἐστὶν εὐεκτοῦντα εἶναι.

Καὶ πάλιν ἐστί τις ὑψηλὸς τῷ μέτρῳ τοῦ σώματος· ἄλλος δὲ βραχὺς ὤν, προσλαβὼν ἐμβάτας ὑψηλότερος γίνεται· τίνα οὖν καλέσομεν ὑψηλὸν καὶ μέγαν, εἰπέ μοι; οὐκ εὔδηλον ὅτι τὸν οἴκοθεν τὸ ὕψος ἔχοντα; Ἐκεῖνος γὰρ ἀλλότριον ἔχει τοῦτο, καὶ τῶν ταπεινῶν ἐπιβὰς οὕτω γέγονεν ὑψηλός· ὃ πολλοὶ πάσχουσι τῶν ἀνθρώπων, ἐπὶ χρημάτων καὶ δόξης ἑαυτοὺς ἀναβιβάζοντες, ὅπερ οὐκ ἔστιν ὕψος. Ὑψηλὸς γάρ ἐστιν ὁ μηδενὸς δεόμενος τούτων ἀλλὰ καταφρονῶν ἁπάντων καὶ οἴκοθεν ἔχων τὸ μέγεθος. Γενώμεθα τοίνυν ταπεινοί, ἵνα γενώμεθα ὑψηλοί· «Ὁ γὰρ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται».

---

9. Ματθ. 23,12

ψηλόφρων εἶναι ὁ γνησίως ταπεινός, ὄχι ὁ κόλαξ οὔτε ὁ εἴρων. Ἄλλο πρᾶγμα εἶναι ἡ μεγαλοφροσύνη καὶ ἄλλο ὑπεροψία· τοῦτο εἶναι φανερὸν ἀπὸ τὸ ἑξῆς παράδειγμα: ἐὰν δηλαδὴ κανεὶς θεωρῇ τὸν πηλὸν πηλὸν καὶ δὲν τὸν προσέχῃ, ἐνῷ κάποιος ἄλλος θαυμάζει τὸν πηλὸν ὡς χρυσὸν καὶ τοῦ δίδει μεγάλην σημασίαν, ποῖος ἄρά γε εἶναι ὁ ἀνώτερος; Δὲν εἶναι αὐτὸς ποὺ δὲν θαυμάζει τὸν πηλόν; Καὶ ποῖος εἶναι ὁ κατώτερος καὶ εὐτελής; Δὲν εἶναι ἐκεῖνος ποὺ τὸν θαυμάζει καὶ τοῦ δίδει μεγάλην ἀξίαν;

Ἔτσι λοιπὸν σκέψου καὶ τοῦτο, ὅτι αὐτὸς μὲν ποὺ ἀποκαλεῖ τὸν ἑαυτόν του χῶμα καὶ στάχτην, ἠμπορεῖ νὰ εἶναι ἀνώτερος, ἂν καὶ εἶναι ταπεινόφρων εἰς τοὺς λόγους του, ἐκεῖνος ὅμως ποὺ δὲν θεωρεῖ τὸν ἑαυτόν του χῶμα καὶ στάχην, ἀλλὰ τὸν περιποιεῖται καὶ μεγαλοφρονεῖ, αὐτὸς ἴσως εἶναι εὐτελής, ἀφοῦ τὰ μικρὰ τὰ θεωρεῖ σπουδαῖα. Ἔτσι εἶναι φανερὸν ὅτι ὁ πατριάρχης ἀπὸ πολλὴν ἀνωτερότητα σκέψεως ἔλεγε τὸν λόγον τοῦτον: «Ἐγὼ εἶμαι χῶμα καὶ στάχτη»· ἀπὸ ἀνωτερότητα, ὄχι ἀπὸ ἀλαζονείαν. Ὅπως ἀκριβῶς συμβαίνει μὲ τὰ σώματα: ἄλλο μὲν ἔχει δύναμιν καὶ σφρῖγος, ἄλλο δὲ πάσχει ἀπὸ φλόγωσιν· καὶ ὅμως καὶ τὰ δύο εἶναι σάρκες μὲ ζωὴν μὲ τὴν διαφορὰν ὅτι τὸ μὲν ἕνα ἀνήκει εἰς πάσχουσαν, τὸ δὲ ἄλλο εἰς ὑγιῆ σάρκα· τὸ ἴδιον συμβαίνει καὶ προκειμένου περὶ τῆς διανοίας: ἄλλη κατέχεται ἀπὸ ἀλαζονείαν καὶ κατὰ συνέπειαν πάσχει, ἐνῷ ἄλλη εἶναι ἀνωτέρα καὶ ὑγιής.

Ἄλλο παράδειγμα: ἄλλος εἶναι ὑψηλὸς εἰς τὸ σῶμα, καὶ ἄλλος, ἐπειδὴ εἶναι κοντός, παίρνει ὑψηλὰ ὑποδήματα καὶ γίνεται ὑψηλότερος· εἰπέ μου λοιπόν: ποῖον θὰ ὀνομάσωμεν ὑψηλὸν καὶ μέγαν; Δὲν εἶναι ὁλοφάνερον ὅτι θὰ θεωρήσωμεν ὑψηλὸν αὐτὸν ποὺ ἔχει ἰδικόν του ὕψος; Διότι ἐκεῖνος ὁ ἄλλος ἔχει ὕψος ποὺ δὲν τοῦ ἀνήκει, ἀλλὰ ἐπάτησεν ἐπὶ κατωτέρων καὶ ἔτσι ἔγινεν ὑψηλός. Αὐτὸ παθαίνουν πολλοὶ ἄνθρωποι: ἀνεβάζουν τὸν ἑαυτόν των ἐπὶ χρημάτων καὶ δόξης, ἀλλὰ τοῦτο βεβαίως δὲν εἶναι ὕψος, διότι ὑψηλὸς εἶναι αὐτὸς ποὺ δὲν ἔχει ἀνάγκην κανενός, ἀλλὰ ὅλα τὰ βοηθητικὰ διὰ τὴν ἀπόκτησιν ὕψους τὰ περιφρονεῖ, διότι ἔχει ἰδικόν του ὕψος. Ἂς εἴμεθα λοιπὸν ταπεινοί, διὰ νὰ γίνωμεν ὑψηλοί: «Διότι ἐκεῖνος ποὺ ταπεινώνει τὸν ἑαυτόν του θὰ ὑψωθῇ»[9].

Ἀλλ' οὐχ ὁ ἀπονενοημένος τοιοῦτος, ἀλλὰ πάντων ἐστὶν εὐτελέστερος· καὶ γὰρ ἡ πομφόλυξ πεφύσηται, ἀλλ' οὐκ ἔστιν ὑγιὲς τὸ φύσημα. Διὰ τοῦτο καὶ τούτους πεφυσιωμένους καλοῦμεν. Ὁ μὲν γὰρ μετριοφρονῶν οὐδὲ ἐπὶ τοῖς μεγάλοις μέγα φρονεῖ τὸ ταπεινὸν εἰδὼς τὸ ἑαυτοῦ· ὁ δὲ εὐτελὴς καὶ ἐπὶ τοῖς μικροῖς μέγα φαντάζεται. Κτησώμεθα τοίνυν τὸ διὰ ταπεινοφροσύνης ὕψος· ἐπισκεψώμεθα τῶν ἀνθρωπίνων τὴν φύσιν, ἵνα ἐκκαῶμεν τῷ πόθῳ τῶν μελλόντων. Ἑτέρως γὰρ οὐκ ἔστι γενέσθαι ταπεινόν, ἀλλ' ἢ διὰ τοῦ τῶν θείων ἔρωτος καὶ τῆς τῶν παρόντων ὑπεροψίας. Ὥσπερ γὰρ εἴ τις βασιλείας ἐπιτυγχάνειν μέλλοι, εἶτα ἀντὶ τῆς ἁλουργίδος ἐκείνης ἰδιωτικήν τινά τις καὶ ἡμεῖς πάντων καταγελασόμεθα τῶν παρόντων, εἰ τῆς τιμῆς ἐπιθυμήσαμεν ἐκείνης. Οὐχ ὁρᾶτε τοὺς παῖδας, ὅταν παίζοντες τάξιν ποιῶσι καὶ στρατιώτας καὶ προηγῶνται αὐτῶν κήρυκες καὶ ῥαβδοῦχοι, καὶ μέσος ὁ παῖς ἐν χώρᾳ ἄρχοντος βαδίζῃ ὡς παιδικὰ τὰ γινόμενα; Τοιαῦτά ἐστι τὰ ἀνθρώπινα καὶ τούτων εὐτελέστερα σήμερον ὄντα καὶ αὔριον οὐκ ὄντα.

Ὑψηλότεροι τοίνυν γενώμεθα τούτων, καὶ μὴ μόνον αὐτῶν μὴ ἐπθιυμῶμεν, ἀλλὰ καὶ αἰσχυνώμεθα εἴ τις ἡμῖν ταῦτα προτείνοι. Οὕτω γὰρ τὸν τούτων ἐκβαλόντες ἔρωτα, τὸν θεῖον ἐκεῖνον ἕξομεν καὶ τῆς ἀθανάτου δόξης ἀπολαύσομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

10. Ραβδοῦχοι: Ἄρχοντες (δικασταί, διαιτηταί, κριταὶ ἀγώνων) ἢ ἁπλοῖ ὑπάλληλοι κατὰ τὴν Ἀρχαιότητα, οἱ ὁποῖοι ἐκράτουν ῥάβδον ὡς σημεῖον τοῦ ἀξιώματος καὶ τῆς δυνάμεώς των.

Ὁ ἀλαζὼν ὅμως δὲν εἶναι τέτοιος, ἀλλὰ εἶναι εὐτελέστερος ὅλων· βεβαίως ἡ φούσκα ἔχει ὄγκον, ἀλλὰ ὁ ὄγκος δὲν εἶναι πραγματικός· διὰ τοῦτο καὶ τοὺς ἀνθρώπους αὐτοὺς τοὺς ὀνομάζομεν φουσκωμένους. Ὁ μετριόφρων δὲν μεγαλοφρονεῖ οὔτε διὰ τὰ σημαντικά, διότι γνωρίζει τὴν ταπεινότητά του, ὁ εὐτελὴς ὅμως ἀκόμη καὶ διὰ τὰ τιποτένια κομπάζει πολύ. Ἂς ἀποκτήσωμεν λοιπὸν τὸ ὕψος ποὺ ἐπιτυγχάνεται διὰ τῆς ταπεινοφροσύνης· ἂς ἀναλογισθῶμεν τὴν φύσιν τῶν ἀνθρωπίνων, διὰ νὰ πυρποληθῶμεν ἀπὸ τὸν πόθον τῶν μελλόντων· διότι δὲν εἶναι δυνατὸν κατ᾽ ἄλλον τρόπον νὰ γίνωμεν ταπεινοὶ παρὰ μὲ τὸν πόθον τῶν θεϊκῶν καὶ τὴν περιφρόνησιν τῶν παρόντων. Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν ἕνας πρόκειται νὰ γίνῃ βασιλεύς, καὶ ὅμως κατόπιν ἀντὶ τῆς βασιλικῆς ἐκείνης πορφύρας κάποιος τοῦ δώσῃ ἁπλῆν τιμήν, θὰ τὴν θεωρήσῃ μηδέν, ἔτσι καὶ ἐμεῖς θὰ περιγελῶμεν τὰ παρόντα, ἐὰν ἐπιθυμήσωμεν ἐκείνην τὴν τιμήν. Δὲν βλέπετε τὰ παιδιά, ὅταν, καθὼς παίζουν, σχηματίζουν παράταξιν στρατιωτῶν καὶ προηγοῦνται αὐτῶν κήρυκες καὶ ραβδοῦχοι[10] καὶ εἰς τὸ μέσον βαδίζῃ τὸ παιδὶ ὡς ἄρχων, δὲν βλέπετε ὅτι αὐτὰ ποὺ κάμνουν εἶναι παιδικά; Τὰ ἀνθρώπινα εἶναι τέτοια καὶ εὐτελέστερα ἀπὸ αὐτά· σήμερον ὑπάρχουν καὶ αὔριον δὲν ὑπάρχουν.

Ἂς γίνωμεν λοιπὸν ἀνώτεροι ἀπὸ αὐτά, καὶ ὄχι μόνον νὰ μὴ ἐπιθυμῶμεν αὐτά, ἀλλὰ καὶ νὰ ἐντρεπώμεθα, ἐὰν κάποιος μᾶς προτείνῃ αὐτά. Ἔτσι δηλαδή, ἀφοῦ ἀποβάλωμεν τὸν πόθον δι᾽ αὐτά, θὰ ἔχωμεν ἐκεῖνον τὸν θεϊκὸν πόθον καὶ θὰ ἀπολαύσωμεν τῆς ἀθανάτου δόξης· αὐτὴν εἴθε ὅλοι ἐμεῖς νὰ τὴν ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα, ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ Β'

Α' Κορ. 1, 4 - 9

«Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ».

1. Ὁ τοῖς ἄλλοις παραινεῖ ποιεῖν λέγων· «Ἐν εὐχαριστίᾳ τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν», τοῦτο καὶ αὐτὸς ἔπραττε διδάσκων ἡμᾶς ἀπὸ τούτων ἄρχεσθαι τῶν λόγων ἀεὶ καὶ πρὸ πάντων εὐχαριστεῖν τῷ Θεῷ. Οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τὸ εὐχαρίστους εἶναι, καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ ἄλλων. Διὸ καὶ πάσης σχεδὸν ἐπιστολῆς τοῦτο προτίθησιν· ἐνταῦθα δὲ καὶ ἀναγκαιότερον, ἢ ἐν ταῖς ἄλλαις αὐτὸ πράττει. Ὁ γὰρ εὐχαριστῶν καὶ ὡς εὖ παθὼν εὐχαριστεῖ καὶ ἐπὶ χάριτι εὐχαριστεῖ· ἡ δὲ χάρις οὐκ ὀφειλὴ οὐδὲ ἀμοιβὴ οὐδὲ ἀντίδοσις· ὃ πανταχοῦ μὲν ἀναγκαῖον λέγειν, πολλῷ δὲ πλέον ἐπὶ Κορινθίων τῶν κεχηνότων πρὸς τοὺς διατεμόντας τὴν ἐκκλησίαν. «Τῷ Θεῷ μου». Ἀπὸ πολλῆς τῆς διαθέσεως τὸ κοινὸν ἁρπάζει καὶ ἰδιοποιεῖται, ὃ καὶ προφήτης ἔθος ἀεὶ λέγειν· «Ὁ Θεός, ὁ Θεός μου». Καὶ εἰς προτροπὴν αὐτοὺς ἐνάγει τοῦ καὶ αὐτοὺς τοῦτο λέγειν. Ὁ γὰρ οὕτω λέγων ἀπὸ πάντων τῶν ἀνθρωπίνων ἀναχωρεῖ καὶ χωρεῖ πρὸς ἐκεῖνον, ὃν μετὰ πολλῆς καλεῖ τῆς διαθέσεως.

Τοῦτο γὰρ δύναται λέγειν γνησίως ὁ ἀπὸ τῶν βιωτικῶν ἀναβαίνων ἀεὶ πρὸς τὸν Θεὸν καὶ ἁπάντων αὐτὸν προτιθεὶς πάντοτε καὶ εὐχαριστῶν διηνεκῶς οὐχ ὑπὲρ τῆς ἤδη δοθείσης χάριτος, ἀλλ', εἴ ποτέ τι καὶ μετὰ ταῦτα ἀγαθὸν γέγονε, καὶ ὑπὲρ τούτου τὴν αὐτὴν ἀναφέρει εὐφημίαν αὐτῷ. Διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, εὐχαριστῶ, ἀλλά, «πάντοτε περὶ ὑμῶν», παιδεύων αὐτοὺς καὶ ἀεὶ εἰδέναι χάριν

---

1. Α' Κορ. 1,4-5
2. Φιλιπ. 4,6

ΟΜΙΛΙΑ Β'
Α' Κορ. 1,4-9

«Εὐχαριστῶ τὸν Θεόν μου πάντοτε διὰ σᾶς, διὰ τὴν χάριν τοῦ Θεοῦ ποὺ ἐδόθη εἰς ἐσᾶς, διὰ τοῦ Ἰησοῦ Χριστοῦ, διότι εἰς ὅλα ἐγίνατε πλούσιοι δι' αὐτοῦ»[1].

1. Τοῦτο συμβουλεύει τοὺς ἄλλους νὰ κάμνουν λέγων: «Μὲ εὐχαριστίαν νὰ γίνωνται γνωστὰ τὰ αἰτήματά σας πρὸς τὸν Θεόν»[2], τοῦτο καὶ ὁ ἴδιος τὸ ἔπραττε διδάσκων ἡμᾶς νὰ ἀρχίζωμεν πάντοτε μὲ αὐτὰς τὰς λέξεις καὶ πρὶν ἀπὸ κάθε ἐνέργειάν μας νὰ εὐχαριστῶμεν τὸν Θεόν. Διότι τίποτε δὲν εἶναι τόσον ἀρεστὸν εἰς τὸν Θεὸν ὅσον τὸ νὰ εὐχαριστοῦμεν καὶ διὰ τοὺς ἑαυτούς μας καὶ διὰ τοὺς ἄλλους· διὰ τοῦτο εἰς κάθε σχεδὸν ἐπιστολὴν προτάσσει τοῦτο. Ἐδῶ ὅμως πράττει τοῦτο, ἐπειδὴ εἶναι μεγαλυτέρα ἀνάγκη παρὰ εἰς τὰς ἄλλας ἐπιστολάς· διότι αὐτὸς ποὺ εὐχαριστεῖ εὐχαριστεῖ καὶ διότι εὐηργετήθη καὶ διότι ἔλαβε τὴν χάριν· ἡ δὲ χάρις δὲν εἶναι ὀφειλὴ οὔτε ἀμοιβὴ οὔτε ἀνταπόδοσις. Τοῦτο εἶναι μὲν ἀναγκαῖον νὰ τονίζεται παντοῦ, πολὺ περισσότερον ὅμως εἰς τὴν περίπτωσιν τῶν Κορινθίων, οἱ ὁποῖοι παρέμενον ἀδρανεῖς πρὸς ὅσους προεκάλεσαν διαιρέσεις εἰς τὴν ἐκκλησίαν. «Τῷ Θεῷ μου». Μὲ πολλὴν λαχτάραν ἁρπάζει καὶ κάμνει ἰδικόν του αὐτὸ ποὺ ἀνήκει εἰς ὅλους, πρᾶγμα ποὺ ἐσυνήθιζον καὶ οἱ προφῆται νὰ κάνουν λέγοντες· «ὁ Θεός, ὁ Θεός μου». Προτρέπει λοιπὸν καὶ αὐτοὺς νὰ λέγουν τοῦτο· διότι αὐτὸς ποὺ ἔτσι ὁμιλεῖ περὶ τοῦ Θεοῦ ἀναχωρεῖ ἀπὸ ὅλα τὰ ἀνθρώπινα καὶ προχωρεῖ πρὸς ἐκεῖνον, τὸν ὁποῖον καλεῖ μὲ πολλὴν λαχτάραν.

Τοῦτο δηλαδὴ δύναται νὰ τὸ λέγῃ πραγματικῶς ἐκεῖνος ποὺ διαρκῶς ἀνεβαίνει ἐπάνω ἀπὸ τὰ βιοτικὰ πρὸς τὸν Θεὸν καὶ πάντοτε αὐτὸν προτιμᾷ ἀπὸ ὅλα ἀνεξαιρέτως καὶ συνεχῶς τὸν εὐχαριστεῖ ὄχι διὰ τὴν χάριν, ἡ ὁποία τοῦ ἔχει ἤδη δοθῆ, ἀλλὰ καὶ διὰ ὅ,τι καλὸν τοῦ ἔχει συμβῆ κατόπιν διὰ τοῦτο ἐπίσης τὸν ὑμνεῖ. Διὰ τὸν λόγον αὐτὸν δὲν εἶπεν ἁπλῶς «εὐχαριστῶ» ἀλλὰ «πάντοτε περὶ ὑμῶν», διδάσκων αὐτοὺς πάντοτε νὰ αἰσθάνωνται εὐγνωμοσύνην

καὶ μηδενὶ ἑτέρῳ ἀλλ' ἢ τῷ Θεῷ μόνον. «Ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ». Ὁρᾷς πῶς πανταχόθεν αὐτοὺς διορθοῦται; Ἔνθα γὰρ χάρις ἐστίν, ἔργα οὐκ ἔστιν· ἔνθα ἔργα, οὐκέτι χάρις ἐστίν. Εἰ τοίνυν χάρις, τί μέγα φρονεῖτε; πόθεν πεφυσιωμένοι ἐστέ; «Τῇ δοθείσῃ ὑμῖν». Καὶ διὰ τίνος ἐδόθη; ἆρα δι' ἐμοῦ, ἢ δι' ἑτέρου ἀποστόλου; Οὐδαμῶς, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ· τὸ γάρ, «ἐν Χριστῷ Ἰησοῦ», τοῦτό ἐστιν. Ὅρα πῶς πολλαχοῦ τό, ἐν, ἀντὶ τοῦ, δι' οὗ, ἐστίν. Οὐκ ἄρα ἔλαττον τοῦτο τοῦ, διά. «Ὅτι ἐν παντὶ ἐπλουτίσθητε». Πάλιν διὰ τίνος; «Ἐν αὐτῷ», φησί. Καὶ οὐχ ἁπλῶς ἐπλουτίσθητε, ἀλλὰ καὶ «ἐν παντί». Ὅταν οὖν καὶ πλοῦτος ᾖ, καὶ Θεοῦ πλοῦτος, καὶ ἐν παντί, καὶ διὰ τοῦ μονογενοῦς, ἐννόησον τὸν ἄφατον θησαυρόν. «Ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει». Λόγῳ οὐ τῷ ἔξωθεν, ἀλλὰ τῷ τοῦ Θεοῦ. Ἔστι γὰρ γνῶσις λόγου χωρὶς καὶ ἔστι γνῶσις μετὰ λόγου. Καὶ γάρ εἰσι πολλοὶ γνῶσιν μὲν ἔχοντες, λόγον δὲ οὐκ ἔχοντες, οἷον οἱ ἰδιῶται καὶ μὴ δυνάμενοι παραστῆσαι σαφῶς ἅπερ ἔχουσιν ἐν διανοίᾳ.

Ἀλλ' οὐχ ὑμεῖς τοιοῦτοι, φησίν, ἀλλὰ καὶ νοῆσαι καὶ εἰπεῖν ἱκανοί. «Καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν». Ἐν τάξει ἐπαίνων καὶ εὐχαριστίας σφόδρα αὐτῶν καθάπτεται. Οὐ γὰρ διὰ τῆς ἔξωθεν φιλοσοφίας, φησίν, οὐδὲ διὰ τῆς ἔξωθεν παιδεύσεως, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Θεοῦ, καὶ τοῦ πλούτου καὶ τῆς γνώσεως καὶ τοῦ λόγου τοῦ παρ' αὐτοῦ δοθέντος ἠδυνήθητε μαθεῖν τὰ τῆς ἀληθείας δόγματα καὶ βεβαιωθῆναι εἰς τὸ μαρτύριον τοῦ Κυρίου, τουτέστιν, εἰς τὸ κήρυγμα. Πολλῶν γὰρ ἀπελαύσατε σημείων, πολλῶν θαυμάτων, ἀφάτου χάριτος, ὥστε δέξασθαι τὸ κήρυγμα. Εἰ τοίνυν ἐβεβαιώθητε διὰ σημείων καὶ χάριτος, τίνος ἕνεκεν παρασαλεύεσθε; Ταῦτα δὲ ὁμοῦ καὶ καθαπτομένου καὶ προκαταλαμβάνοντος αὐτούς ἐστι τὰ ῥήματα.

«Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι». Μέγα ἐνταῦθα ζητεῖται· εἰ οἱ πλουτισθέντες ἐν παντὶ λό-

---

3. Α΄ Κορ. 1.6
4. αὐτ. 7

καὶ πρὸς κανένα ἄλλον παρὰ μόνον πρὸς τὸν Θεόν. «Διὰ τὴν χάριν τοῦ Θεοῦ». Βλέπεις πῶς μὲ κάθε τρόπον τοὺς διορθώνει; Ὅπου δηλαδὴ εἶναι ἡ χάρις δὲν ἰσχύουν τὰ ἔργα· ὅπου ἰσχύουν τὰ ἔργα δὲν ὑπάρχει χάρις. Ἐὰν λοιπὸν ἰσχύῃ ἡ χάρις διατί μεγαλοφρονεῖτε; Διὰ ποῖον λόγον ἀλαζονεύεσθε; «Ἡ ὁποία ἐδόθη εἰς ἐσᾶς». Καὶ διὰ τίνος ἐδόθη; μήπως δι' ἐμοῦ ἢ δι' ἑτέρου ἀποστόλου; Καθόλου, ἀλλὰ διὰ τοῦ Ἰησοῦ Χριστοῦ· διότι τό, «ἐν Χριστῷ Ἰησοῦ», αὐτὸ σημαίνει. Πρόσεξε πῶς θέτει παντοῦ τὸ «ἐν» ἀντὶ τοῦ, «δι' οὗ»· βεβαίως τοῦτο εἶναι ἰσχυρότερον τοῦ «διά». «Διότι ἐγίνατε πλούσιοι εἰς ὅλα». Πάλιν διὰ τίνος; «Δι' αὐτοῦ», λέγει. Καὶ ὄχι ἁπλῶς ἐπλουτίσθητε, ἀλλὰ καὶ «εἰς ὅλα». Ὅταν λοιπὸν ὑπάρχῃ πλοῦτος καὶ μάλιστα πλοῦτος Θεοῦ καὶ εἰς ὅλα καὶ διὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, σκέψου τὸν ἄφατον θησαυρόν. «Εἰς κάθε λόγον καί, κάθε γνῶσιν». Λόγον ὄχι κοσμικόν, ἀλλὰ τοῦ Θεοῦ· διότι ὑπάρχει γνῶσις χωρὶς λόγον καὶ ὑπάρχει γνῶσις μὲ λόγον. Βεβαίως ὑπάρχουν πολλοὶ ποὺ ἔχουν μὲν γνῶσιν, ἀλλὰ δὲν ἔχουν λόγον, ὅπως εἶναι π.χ. οἱ ἁπλοϊκοὶ ἄνθρωποι ποὺ δὲν ἠμποροῦν νὰ ἐκφράσουν μὲ σαφήνειαν ὅσα σκέπτονται.

Ὅμως ἐσεῖς, λέγει, δὲν εἶσθε τέτοιοι, ἀλλὰ εἶσθε ἱκανοὶ καὶ νὰ σκέπτεσθε καὶ νὰ ὁμιλῆτε. «Καθὼς ἐστερεώθη ἡ μαρτυρία διὰ τὸν Χριστόν μεταξύ σας»[3]. Τοὺς ψέγει πολύ, διότι δὲν ἔχουν τάξιν εἰς τοὺς ἐπαίνους καὶ τὴν εὐχαριστίαν· διότι —λέγει— ἠμπορέσατε νὰ μάθητε τὰ δόγματα τῆς ἀληθείας καὶ νὰ στερεωθῆτε εἰς τὴν μαρτυρίαν τοῦ Κυρίου, δηλαδὴ εἰς τὸ κήρυγμα, ὄχι μὲ τὴν βοήθειαν τῆς κοσμικῆς φιλοσοφίας οὔτε τῆς κοσμικῆς παιδείας, ἀλλὰ μὲ τὴν βοήθειαν τῆς χάριτος τοῦ Θεοῦ καὶ τοῦ πλούτου καὶ τῆς γνώσεως καὶ τοῦ λόγου ποὺ ἐκεῖνος σᾶς ἔδωκε. Ἀπελαύσατε δηλαδὴ πολλῶν σημείων, πολλῶν θαυμάτων, ἀφάτου χάριτος, ὥστε νὰ δεχθῆτε τὸ κήρυγμα. Ἐὰν λοιπὸν ἐστερεώθητε διὰ σημείων καὶ διὰ τῆς χάριτος, διὰ ποῖον λόγον συνταράσσεσθε; Μὲ τοὺς λόγους τούτους συγχρόνως καὶ τοὺς ψέγει καὶ τοὺς προλαμβάνει.

«Ὥστε νὰ μὴ ὑστερῆτε εἰς κανὲν χάρισμα»[4]. Ἐδῶ ζητεῖται νὰ ἐξακριβωθῇ κάτι σημαντικόν, κατὰ πόσον δηλαδὴ εἶναι σαρκικοὶ αὐτοὶ ποὺ ἐπλουτίσθησαν εἰς κάθε λόγον, ἐφ' ὅσον καθόλου δὲν

γῳ, ὡς μηδὲν ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, οὗτοι σαρκικοί εἰσιν. Εἰ γὰρ παρὰ τὴν ἀρχὴν τοιοῦτοι ἦσαν, πολλῷ μᾶλλον νῦν. Πῶς οὖν αὐτοὺς σαρκικοὺς καλεῖ; «Οὐ γὰρ ἠδυνήθην ὑμῖν λαλῆσαι», φησίν, «ὡς πνευματικοῖς ἀλλ' ὡς σαρκικοῖς». Τί οὖν ἐστι εἰπεῖν; Ὅτι παρὰ τὴν ἀρχὴν πιστεύσαντες καὶ παντοίων ἐπιτυχόντες χαρισμάτων —καὶ γὰρ ἐζήλουν αὐτὰ— ὕστερον ῥᾳθυμότεροι γεγόνασιν· ἢ εἰ μὴ τοῦτο, ὅτι οὐ πρὸς ἅπαντας οὔτε ταῦτα οὔτε ἐκεῖνα λέγεται· ἀλλὰ τὰ μὲν πρὸς τοὺς ὑπευθύνους ταῖς κατηγορίαις, τὰ δὲ πρὸς τοὺς κομῶντας τοῖς ἐπαίνοις. Ὅτι γὰρ εἶχον ἔτι χαρίσματα, «Ψαλμόν τις ἔχει», φησίν, «ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω», καί· «Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν».

Ἔστι δὲ καὶ ἕτερόν τι εἰπεῖν, ὅτι ὥσπερ ἔθος ἡμῖν λέγειν τὸ πλέον ἅπαν, οὕτω καὶ ἐνταῦθα εἴρηκε. Μετὰ δὲ τούτων οἶμαι καὶ τὸ ἑαυτοῦ αὐτὸν αἰνίττεσθαι, ὅτι καὶ αὐτὸς τὰ σημεῖα ἐπεδείξατο, καθάπερ καὶ ἐν τῇ δευτέρᾳ πρὸς αὐτοὺς ἐπιστολῇ λέγει· «Τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ», καὶ πάλιν· «Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας;». Ἤ, ὅπερ ἔφην, καὶ τῶν ἑαυτοῦ ἀναμιμνήσκει καὶ πρὸς τοὺς ἔτι ὄντας δοκίμους ταῦτα λέγει. Ἦσαν γὰρ πολλοὶ ἅγιοι ἐκεῖθεν, οἵτινες ἔταξαν ἑαυτοὺς εἰς διακονίαν τῶν ἁγίων καὶ ἀπαρχὴ γεγόνασι τῆς Ἀχαΐας, καθάπερ πρὸς τῷ τέλει δηλοῖ. Ἄλλως δέ, κἂν μὴ σφόδρα τῆς ἀληθείας ἔχωνται οἱ ἔπαινοι, ἀλλ' ὅμως οἰκονομικῶς ἔγκεινται προοδοποιοῦντες τῷ λόγῳ. Ὁ μὲν γὰρ ἐκ προοιμίων εὐθέως φορτικὰ φθεγγόμενος ἀπέκλεισε τοῖς λόγοις τὴν ἀκοὴν παρὰ τοῖς ἀσθενεστέροις. Ἄν τε γὰρ ὁμότιμοι ὦσιν οἱ ἀκούοντες, ὀργίζονται· ἄν τε σφόδρα ἐλάττους, λυπηθήσονται.

---

5. Α' Κορ. 3,1
6. αὐτ. 14,26
7. αὐτ. 29
8. Β' Κορ. 12, 12-13
9. Α' Κορ. 16,15

ὑστέρησαν εἰς κανὲν χάρισμα. Διότι, ἐὰν ἦσαν εἰς τὴν ἀρχὴν πλούσιοι εἰς κάθε λόγον, πολὺ περισσότερον θὰ ἔπρεπε νὰ εἶναι τώρα. Πῶς λοιπὸν τοὺς ὀνομάζει σαρκικούς; Διότι λέγει: «Δὲν ἠδυνήθην νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὡς πνευματικοὺς ἀλλ' ὡς σαρκικούς»[5]. Τί θέλει νὰ εἴπῃ; Ὅτι εἰς τὴν ἀρχὴν ἐπίστευσαν καὶ ἐδόθησαν εἰς αὐτοὺς παντὸς εἴδους χαρίσματα, διότι βεβαίως τὰ ἐπεθύμουν· ἀλλὰ κατόπιν ἔγιναν πολὺ νωθροί· ἤ, ἐὰν δὲν συνέβη τοῦτο, οἱ βαρεῖς χαρακτηρισμοί του καὶ εἰς τὴν μίαν καὶ εἰς τὴν ἄλλην περίπτωσιν δὲν ἀπευθύνονται πρὸς ὅλους, ἀλλὰ ἄλλοτε πρὸς τοὺς ὑπευθύνους τῶν κατηγοριῶν καὶ ἄλλοτε πρὸς τοὺς ὑπερηφανευομένους διὰ τοὺς ἐπαίνους· διότι εἶχον ἀκόμη χαρίσματα, λέγει. «Εἴτε κανεὶς ἔχει ψαλμὸν εἴτε ἀποκάλυψιν εἴτε γλῶσσαν εἴτε ἑρμηνείαν· ὅλα ἂς γίνωνται πρὸς οἰκοδομήν[6], καὶ «Προφῆται δὲ δύο ἢ τρεῖς ἂς ὁμιλοῦν»[7].

Ἀλλὰ καὶ κάτι ἀκόμη ἠμποροῦμεν νὰ εἴπωμεν, ὅτι δηλαδή, ὅπως καὶ ἐμεῖς συνηθίζομεν νὰ γενικεύωμεν ἓν σύνηθες γεγονός, μὲ αὐτὸ τὸ πνεῦμα τὸ ἔχει γράψει ἐδῶ. Συγχρόνως νομίζω ὅτι ὑπαινίσσεται καὶ τὸν ἑαυτόν του, ὅτι δηλαδὴ καὶ ὁ ἴδιος τοὺς ἔδειξε τὰ σημεῖα, ὅπως ἀναφέρει καὶ εἰς τὴν δευτέραν ἐπιστολήν του πρὸς αὐτούς: «Τὰ χαρακτηριστικὰ ὅμως τοῦ ἀληθινοῦ ἀποστόλου ἐπραγματοποιήθησαν ἐμπρός σας μὲ κάθε ὑπομονήν», καὶ πάλιν· «Κατὰ τί εἴσθε λοιπὸν κατώτεροι ἀπὸ τὰς ἄλλας ἐκκλησίας;»[8] Ἤ, ὅπως εἶπον, ὑπενθυμίζει καὶ τὰ ἰδικά του σημεῖα καὶ λέγει αὐτὰ πρὸς ὅσους ἀκόμη ἦσαν δόκιμοι. Διότι ὑπῆρχον ἐκεῖ πολλοὶ Χριστιανοί, οἱ ὁποῖοι ἔταξαν τοὺς ἑαυτούς των εἰς τὴν ὑπηρεσίαν τῶν ἁγίων καὶ ὑπῆρξαν οἱ πρῶτοι Χριστιανοὶ τῆς Ἀχαΐας, ὅπως ἀναφέρει εἰς τὸ τέλος τῆς ἐπιστολῆς του[9]. Ἐξ ἄλλου καὶ ἂν ἀκόμη οἱ ἔπαινοι δὲν ἀνταποκρίνωνται πλήρως εἰς τὴν πραγματικότητα, πάντως χωρὶς δυσκολίαν διευκολύνουν νὰ λεχθοῦν ὅσα πρέπει νὰ λεχθοῦν. Διότι ἐκεῖνος ποὺ εὐθὺς ἀμέσως ἀπὸ τὴν ἀρχὴν λέγει λόγους ποὺ δυσαρεστοῦν, συνήθως ἔχει ὡς ἀποτέλεσμα νὰ μὴ τὸν ἀκούουν οἱ πλέον ἀνυπόμονοι· ἂν δηλαδὴ ἐκεῖνοι ποὺ τὸν ἀκούουν εἶναι ἰσότιμοι, ὀργίζονται· καὶ ἂν εἶναι πολὺ κατώτεροι, θὰ λυπηθοῦν.

῞Ιν' οὖν μὴ τοῦτο γένηται, ἀπὸ ἐγκωμίων δοκούντων εἶναι ποιεῖται τὴν ἀρχήν. Οὐδὲ γὰρ αὐτῶν ἐγκώμιον τοῦτο ἦν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος, τὸ γὰρ ἁμαρτημάτων ἀφεθῆναι καὶ δικαιωθῆναι, τοῦτο τῆς ἄνωθεν ἦν δωρεᾶς. Διά τοι τοῦτο καὶ ἐνδιατρίβει τούτοις, ἃ τοῦ Θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν, ἵνα ἐπιπλεῖον αὐτῶν ἐκκαθάρῃ τὸ νόσημα. «᾿Απεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν ᾿Ιησοῦ Χριστοῦ». Τί θορυβεῖτε γάρ, φησί, τί ταράττετε; ὅτι οὐ πάρεστι Χριστός; Πάρεστι μὲν οὖν, καὶ ἡ ἡμέρα λοιπὸν ἐπὶ θύραις. Καὶ σκόπει τὴν σοφίαν, πῶς αὐτοὺς ἀπαγαγὼν τῶν ἀνθρωπίνων ἐφόβησεν ἀναμνήσας τοῦ βήματος τοῦ φοβεροῦ καὶ δείξας ὅτι οὐ προοιμίων δεῖ μόνον χρηστῶν ἀλλὰ καὶ τέλους. Δεῖ γὰρ μετὰ τῶν χαρισμάτων τούτων καὶ τῆς ἄλλης ἀρετῆς τὴν ἡμέραν ἀναμνῆσαι ἐκείνην· καὶ πολλῶν χρεία πόνων, ὥστε δυνηθῆναι πρὸς τὸ τέλος ἐλθεῖν.

2. ᾿Αποκάλυψιν δὲ λέγει δεικνὺς ὅτι, εἰ καὶ μὴ ὁρᾶται, ἀλλ' ἔστι, καὶ πάρεστι καὶ νῦν, καὶ τότε φανήσεται. ῾Υπομονῆς οὖν χρεία· διὰ τοῦτο γὰρ ἐλάβετε τὰ θαύματα, ἵνα μείνητε βέβαιοι.

«῝Ος καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους». ᾿Ενταῦθα δοκεῖ μὲν αὐτοὺς θεραπεύειν, πάσης δὲ κολακείας ἀπήλλακται τὸ λεγόμενον. Καὶ γὰρ οἶδεν αὐτῶν καθάπτεσθαι, ὡς ὅταν λέγῃ· «῾Ως μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες»· καὶ πάλιν, «Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;» καί, «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;». Λανθανόντως δὲ αὐτῶν καὶ κατηγορεῖ· τὸ γὰρ εἰπεῖν, «βεβαιώσει», καὶ τό, «ἀνεγκλήτους», δείκνυσι καὶ σαλευομένους ἔτι καὶ ἐγκλήματος ὑπευθύνους ὄντας.

Σὺ δὲ σκόπει πῶς αὐτοὺς τῷ ὀνόματι ἀεὶ τοῦ Χριστοῦ προσηλοῖ. Καὶ ἀνθρώπου μὲν οὐδενός, οὔτε ἀποστόλου οὔτε διδασκάλου, συνεχῶς δὲ αὐτοῦ τοῦ ποθουμένου μέ-

---

10. αὐτ. 1,8
11. αὐτ. 4,18
12. αὐτ. 21
13. Β΄ Κορ. 13,3

Διὰ νὰ μὴ συμβῇ λοιπὸν τοῦτο, ἀρχίζει μὲ κάτι ποὺ φαίνεται ὅτι εἶναι ἐγκώμιον· ἀλλ' ὅμως δὲν εἶναι ἐγκώμιον αὐτῶν, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ· διότι ἡ συγχώρησις τῶν ἁμαρτημάτων καὶ ἡ λύτρωσις εἶναι δῶρα τοῦ Θεοῦ. Διὰ τὸν λόγον ἀκριβῶς αὐτὸν ἐπιμένει εἰς αὐτά, τὰ ὁποῖα ἀποδεικνύουν τὴν ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, διὰ νὰ θεραπεύσῃ πλήρως τὴν πνευματικήν των ἀσθένειαν. «Καθὼς περιμένετε τὴν ἀποκάλυψιν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ». Διατί λοιπόν —λέγει—θορυβεῖσθε καὶ ταράσσεσθε; Διότι δὲν εἶναι ἐδῶ ὁ Χριστός; Εἶναι λοιπὸν ἐδῶ παρὼν καὶ ἡ ἡμέρα τῆς κρίσεως πλησιάζει. Πρόσεξε τὴν σοφίαν του, πῶς, ἀφοῦ ἀπέσπασε τὴν προσοχήν των ἀπὸ τὰ ἀνθρώπινα, τοὺς προεκάλεσε φόβον μὲ τὸ νὰ τοὺς ὑπενθυμίσῃ τὸ φοβερὸν βῆμα καὶ νὰ τοὺς δείξῃ ὅτι δὲν πρέπει μόνον νὰ ἀρχίζῃ κανεὶς καλῶς, ἀλλὰ καί νὰ τελειώνῃ. Διότι οἱ Χριστιανοὶ ἔχοντες τὰ χαρίσματα αὐτὰ καὶ ἀσκοῦντες τὰς ἄλλας ἀρετὰς πρέπει νὰ ἐνθυμοῦνται τὴν ἡμέραν ἐκείνην, καὶ χρειάζονται πολλοὶ κόποι, ὥστε νὰ ἠμπορέσουν νὰ φθάσουν εἰς τὸ τέλος.

2. Ἀναφέρει δὲ τὴν λέξιν «ἀποκάλυψιν» ὑποδηλώνων ὅτι καὶ ἂν ἀκόμη δὲν τὸν βλέπωμεν, ἀλλ' ὅμως ὑπάρχει καὶ εἶναι ἐδῶ τώρα καὶ θὰ φανερωθῇ καὶ τότε. Χρειάζεται λοιπὸν ὑπομονή· καὶ ἀκριβῶς διὰ τοῦτο ἔχετε τὰ θαύματα, διὰ νὰ μείνετε σταθεροὶ εἰς τὴν πίστιν.

«Ὁ ὁποῖος καὶ θὰ σᾶς στερεώσῃ μέχρι μέλους ὥστε νὰ εἶσθε ἀκατηγόρητοι»[10]. Ἐδῶ φαίνεται ὅτι προσπαθεῖ νὰ τοὺς θεραπεύσῃ καὶ ὁ λόγος του δὲν ἔχει καθόλου κολακείαν. Βεβαίως γνωρίζει νὰ τοὺς ψέγῃ, ὅπως ὅταν λέγῃ· «Μερικοὶ ὑπερηφανεύθησαν ὡσὰν νὰ μὴ ἐπρόκειτο νὰ ἔλθω πρὸς ἐσᾶς»[11]· καὶ πάλιν· «Τί θέλετε; Νὰ ἔλθω μὲ ράβδον πρὸς ἐσᾶς ἢ μὲ ἀγάπην καὶ πνεῦμα πραότητος;»[12]· καὶ «Ἐὰν ζητῆτε ἀπόδειξιν διὰ τὸν Χριστόν, ὁ ὁποῖος ὁμιλεῖ δι' ἐμοῦ»[13]. Κατὰ ἔμμεσον τρόπον τοὺς κατηγορεῖ ἐπίσης· διότι τὸ νὰ εἴπῃ «θὰ σᾶς στερεώσῃ» καὶ «ἀκατηγορήτους», δεικνύει ὅτι εὑρίσκονται ἀκόμη εἰς ἀναταραχὴν καὶ εἶναι ὑπὸ κατηγορίαν.

Σὺ ὅμως πρόσεξε πῶς τοὺς συνδέει κάθε φορὰν σταθερῶς μὲ τὸ ὄνομα τοῦ Χριστοῦ. Δὲν ὑπενθυμίζει κανένα ἄνθρωπον, οὔτε ἀπόστολον οὔτε διδάσκαλον ἀλλὰ συνεχῶς τὸν ἴδιον τὸν ποθούμενον ὡσ-

μνηται, καθάπερ ἀπὸ μέθης τινὸς τοὺς καρηβαροῦντας ἀνενεγκεῖν παρασκευάζων. Οὐδαμοῦ γὰρ ἐν ἑτέρᾳ ἐπιστολῇ οὕτω συνεχῶς κεῖται τὸ ὄνομα τοῦ Χριστοῦ· ἐνταῦθα μέντοι ἐν ὀλίγοις στίχοις πολλάκις, καὶ διὰ τούτου σχεδὸν τὸ πᾶν ὑφαίνει προοίμιον. Σκόπει δὲ ἄνωθεν. «Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ τῇ χάριτι τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν· ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

Ὁρᾷς τὴν συνέχειαν τοῦ ὀνόματος τοῦ Χριστοῦ; Ὅθεν δῆλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι οὐκ εἰκῇ οὐδὲ ἁπλῶς τοῦτο ποιεῖ, ἀλλὰ τῇ πυκνότητι τῆς καλῆς ταύτης προσηγορίας τὴν φλεγμονὴν αὐτῶν ἐπαντλῶν, καὶ τὴν σηπεδόνα τοῦ νοσήματος ἐκκαθαίρων. «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ». Βαβαί, πόσον εἶπεν ἐνταῦθα; πόσον μέγεθος δωρεᾶς ἐνέφηνεν; Εἰς κοινωνίαν τοῦ μονογενοῦς ἐκλήθητε, φησί, καὶ ἀνθρώποις ἑαυτοὺς προσνέμετε; τί ταύτης τῆς ἀθλιότητος χεῖρον; Καὶ πῶς ἐκλήθητε; Διὰ τοῦ Πατρός. Ἐπειδὴ γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνεχῶς ἔλεγε περὶ τοῦ Υἱοῦ, ἵνα μὴ νομίσωσιν, ὅτι ὡς ἐλάττονος αὐτοῦ οὕτω μέμνηται, προσένειμεν αὐτὸ τῷ Πατρί. Οὐ γὰρ διὰ τοῦδε καὶ τοῦδε, φησίν, ἀλλὰ διὰ τοῦ Πατρὸς ἐκλήθητε, δι' αὐτοῦ καὶ ἐπλουτίσθητε. Πάλιν ἐκλήθητε, οὐκ αὐτοὶ προσήλθετε.

Τί δέ ἐστιν, «εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ»; Ἄκουσον αὐτοῦ τοῦτο αὐτὸ σαφέστερον ἑτέρωθι λέγοντος· «Εἰ ὑπο-

---

14. Α' Κορ. 1,9

ἀν νὰ προσπαθῇ νὰ θεραπεύσῃ τὸν πονοκέφαλον ἀνθρώπων ποὺ τοὺς κατέλαβεν ἡ μέθη. Διότι πουθενὰ εἰς καμμίαν ἄλλην ἐπιστολὴν δὲν εὑρίσκεται τὸ ὄνομα τοῦ Χριστοῦ τόσον συνεχῶς, ἐδῶ ὅμως εἰς ὀλίγους στίχους ἀναφέρεται πολλάκις, καὶ μὲ αὐτὸ ὑφαίνει ὅλον σχεδὸν τὸ προοίμιον. Πρόσεξε ἀπὸ τὴν ἀρχήν: «Ἐγὼ ὁ Παῦλος καλεσμένος διὰ νὰ εἶμαι ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ... πρὸς τοὺς ἁγιασμένους διὰ Ἰησοῦ Χριστοῦ... εἰς τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ... ἂς εἶναι ἡ χάρις καὶ ἡ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν. Εὐχαριστῶ τὸν Θεόν μου διὰ τὴν χάριν ποὺ ἐδόθη εἰς ἐσᾶς διὰ Ἰησοῦ Χριστοῦ... καθὼς ἐστερεώθη μεταξύ σας ἡ μαρτυρία διὰ τὸν Χριστόν... καθὼς περιμένετε τὴν ἀποκάλυψιν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ· ὁ ὁποῖος καὶ θὰ σᾶς στερεώσῃ ἀκατηγορήτους κατὰ τὴν ἡμέραν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Ἀξιόπιστος εἶναι ὁ Θεός, διὰ τοῦ ὁποίου ἐκλήθητε νὰ ἔχετε κοινωνίαν μὲ τὸν Υἱόν του Ἰησοῦν Χριστόν τὸν Κύριόν μας. Σᾶς παρακαλῶ δὲ διὰ τοῦ ὀνόματος τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ».

Βλέπεις ὅτι συνεχῶς ἀναφέρει τὸ ὄνομα τοῦ Χριστοῦ; Ἔτσι εἶναι φανερὸν καὶ εἰς τοὺς πλέον ἀνοήτους ὅτι δὲν κάμνει τοῦτο τυχαίως οὔτε ἀσκόπως, ἀλλὰ μὲ τὴν πυκνότητα τῆς καλῆς αὐτῆς ἀναφορᾶς τοῦ ὀνόματος τοῦ Χριστοῦ θεραπεύει τὴν φλεγμονήν των καὶ καθαρίζει πλήρως τὴν σαπίλαν τοῦ νοσήματός των. «Ἀξιόπιστος εἶναι ὁ Θεός, διὰ τοῦ ὁποίου ἐκλήθητε νὰ ἔχετε κοινωνίαν μὲ τὸν Υἱόν του»[14]. Ὢ! πόσον σπουδαῖον λόγον εἶπε ἐδῶ! Πόσον μέγεθος δωρεᾶς ἐφανέρωσε! «Σᾶς ἐκάλεσεν ὁ Θεός», λέγει, «νὰ ἑνωθῆτε μὲ τὸν μονογενῆ Υἱόν του, καὶ ἐσεῖς προσκολλᾶσθε εἰς ἀνθρώπους; Τί εἶναι χειρότερον ἀπὸ αὐτὴν τὴν ἀθλιότητα; Καὶ ποῖος σᾶς ἐκάλεσεν; Ὁ Πατήρ». Διότι, ἐπειδὴ συνεχῶς ἔλεγε διὰ τὸν Υἱὸν «δι' αὐτοῦ» καὶ «ἐν αὐτῷ», ἀπέδωσε τοῦτο εἰς τὸν Πατέρα, διὰ νὰ μὴ νομίσουν ὅτι ὁμιλεῖ ἔτσι, διότι δῆθεν ὁ Πατὴρ εἶναι κατώτερος αὐτοῦ. Δηλαδὴ δὲν σᾶς ἐκάλεσε —λέγει— αὐτὸς ἢ ἐκεῖνος, ἀλλὰ ὁ Πατὴρ καὶ αὐτὸς σᾶς ἐπλούτισε. Πάλιν «σᾶς ἐκάλεσε», δὲν προσήλθατε μόνοι σας.

Καὶ τί σημαίνει «εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ»; Ἄκουσέ τον νὰ λέγῃ σαφέστερον τὸ ἴδιον κάπου ἀλλοῦ: «Ἐὰν ὑπομένωμεν, ὁ

μένομεν, καὶ συμβασιλεύσομεν· εἰ συναποθνήσκομεν, καὶ συζήσομεν». Εἶτα, ἐπειδὴ μέγα εἴρηκε, προσέθηκε καὶ λογισμὸν πληροφορίαν ἔχοντα ἀναντίρρητον· «Πιστὸς» γάρ, φησίν, «ὁ Θεὸς» τουτέστιν, ἀληθής. Εἰ δὲ ἀληθής, ἃ ἐπηγγείλατο καὶ ποιήσει· ἐπηγγείλατο δὲ κοινωνοὺς ἡμᾶς ποιήσειν τοῦ μονογενοῦς Υἱοῦ· ἐπὶ τοῦτο γὰρ καὶ ἐκάλεσεν· «Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα αὐτοῦ καὶ ἡ κλῆσις τοῦ Θεοῦ». Ταῦτα δὲ προοικονομεῖ νῦν ἐν τῷ λόγῳ, ὥστε μὴ μετὰ τὸ σφοδρὸν τῶν ἐγκλημάτων εἰς ἀπόγνωσιν αὐτοὺς ἐμπεσεῖν. Πάντως γὰρ τὰ παρὰ τοῦ Θεοῦ ἕψεται, ἂν μὴ σφόδρα ἡμεῖς ἀφηνιάσωμεν· καθάπερ οἱ Ἰουδαῖοι καλούμενοι οὐκ ἤθελον δέξασθαι τὰ ἀγαθά. Τοῦτο δὲ οὐκέτι τοῦ καλοῦντος ἦν ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. Αὐτὸς μὲν γὰρ ἐβούλετο δοῦναι, ἐκεῖνοι δὲ μὴ θελήσαντες λαβεῖν ἑαυτοὺς ἐξέβαλον. Εἰ μὲν γὰρ εἰς ἐπίπονον καὶ ἐπίμοχθον ἐκάλει πρᾶγμα, οὐκ ἦσαν μὲν οὐδὲ οὕτω συγγνώμης ἄξιοι παραιτούμενοι, πλὴν ἀλλ' εἶχον αὐτὸ τοῦτο λέγειν· εἰ δὲ ἐπὶ καθαρμὸν καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν καὶ χάριν καὶ δωρεὰν καὶ τὰ παρεσκευασμένα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ Θεὸς ὁ καλῶν καὶ δι' ἑαυτοῦ καλῶν, ποίας ἂν εἶεν συγγνώμης ἄξιοι οἱ μὴ προστρέχοντες;

Μὴ τοίνυν τὸν Θεὸν αἰτιάσθω τις. Οὐ γὰρ παρὰ τὸν καλοῦντα γίνεται τὸ μὴ πιστεῦσαι ἀλλὰ παρὰ τοὺς ἀποπηδῶντας. Ἀλλ' ἔδει, φησί, καὶ ἄκοντας ἐναγαγεῖν. Ἄπαγε· οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει. Τίς γὰρ ἐπὶ τιμὰς καὶ στεφάνους καὶ εὐωχίας καὶ πανηγύρεις καλῶν ἄκοντας καὶ δεδεμένους ἕλκει; Οὐκ ἔστιν οὐδείς· τοῦτο γὰρ ὑβρίζοντός ἐστιν. Εἰς γέενναν ἄκοντας πέμπει, εἰς δὲ βασιλείαν ἑκόντας καλεῖ· εἰς τὸ πῦρ δεδεμένους ἄγει καὶ οἰμώζοντας, εἰς δὲ τὰ μυρία ἀγαθὰ οὐχ οὕτως· ἐπεὶ τοῦτο καὶ αὐτὰ διαβάλλει τὰ ἀγαθά, εἰ μὴ τοιαύτη αὐτῶν ἐστιν ἡ φύσις, ὡς καὶ ἑκόντας προσδραμεῖν καὶ χάριν εἰδότας πολλήν.

---

15. Β' Τιμ. 2, 11-12
16. Ρωμ. 11,29

πωσδήποτε θὰ συμβασιλεύσωμεν· ἐὰν ἀποθνήσκωμεν μαζί του, ὁπωσδήποτε θὰ ζήσωμεν μαζί του»[15]. Κατόπιν, ἐπειδὴ εἶπεν μέγαν λόγον προσέθεσε καὶ ἀναντίρρητον δικαιολογίαν· λέγει· «Διότι ὁ Θεὸς εἶναι ἀξιόπιστος», δηλαδὴ ἀληθής· ἐὰν δὲ εἶναι ἀληθής, θὰ πραγματοποιήσῃ ὅσα ὑπεσχέθη· διότι διὰ τὸν λόγον ἀκριβῶς αὐτὸν μᾶς ἐκάλεσεν. «Διότι τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ δὲν ἀνακαλοῦνται»[16]. Αὐτὰ τὰ γράφει τώρα εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς του, ὥστε νὰ μὴ πέσουν εἰς ἀπόγνωσιν μετὰ τὰς σφοδρὰς κατηγορίας του ἐναντίον των. Διότι ὁπωσδήποτε θὰ συμβοῦν ὅσα θέλει ὁ Θεός, ἐκτὸς ἂν ἐμεῖς ἔχωμεν τελείως ἀφηνιάσει, ὅπως ἀκριβῶς οἱ Ἰουδαῖοι, πού, ἐνῷ ἐκαλοῦντο ἀπὸ τὸν Θεόν, δὲν ἤθελον νὰ δεχθοῦν τὰ ἀγαθά. Τοῦτο πλέον δὲν ὠφείλετο εἰς τὸν καλοῦντα, ἀλλὰ εἰς τὴν ἀγνωμοσύνην ἐκείνων· διότι ὁ μὲν Θεὸς ἤθελε νὰ προσφέρῃ, ἐκεῖνοι δὲ μὲ τὸ νὰ μὴ θελήσουν νὰ δεχθοῦν ἀπέρριψαν τοὺς ἑαυτούς των. Ἐὰν δηλαδὴ τοὺς ἐκάλει εἰς ἐπίπονον καὶ κουραστικὸν ἔργον, δὲν θὰ ἦσαν οὔτε τότε ἄξιοι συγγνώμης, ἐὰν δὲν ἐδέχοντο, ἀλλὰ τοὐλάχιστον θὰ εἶχον τὴν δυσκολίαν τοῦ ἰδίου τοῦ ἔργου ὡς δικαιολογίαν· ἐφ' ὅσον ὅμως μᾶς καλεῖ εἰς καθαρισμὸν καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν καὶ χάριν καὶ δωρεὰν καὶ τὰ ἕτοιμα ἀγαθά, τὰ ὁποῖα ὀφθαλμὸς δὲν εἶδε καὶ οὖς δὲν ἤκουσε καὶ καλῶν εἶναι ὁ Θεὸς καὶ μόνος του μᾶς καλεῖ, ποίας συγγνώμης θὰ ἦσαν ἄξιοι ὅσοι δὲν θὰ προσέτρεχον;

Κανεὶς λοιπὸν ἂς μὴ κατηγορῇ τὸν Θεόν, διότι ἡ ἀπιστία δὲν ὀφείλεται εἰς τὸν καλοῦντα, ἀλλὰ εἰς ἐκείνους ποὺ ἀποφεύγουν. Ἀλλὰ θὰ ἔλεγε κάποιος ὅτι ἔπρεπε καὶ χωρὶς τὴν θέλησίν των νὰ τοὺς ἐπαναφέρῃ· μακρὰν τὸ τοιοῦτον, διότι δὲν βιάζει οὔτε ἀναγκάζει. Ποῖος δηλαδὴ καλεῖ εἰς τιμὰς καὶ στεφάνους καὶ εὐωχίας καὶ πανηγύρεις καὶ σύρει τοὺς προσκεκλημένους παρὰ τὴν θέλησίν των καὶ δεμένους; Κανείς· τοῦτο θὰ τὸ ἔκαμνε κάποιος ἀλαζών. Εἰς τὴν κόλασιν τοὺς στέλλει παρὰ τὴν θέλησίν των, εἰς τὴν βασιλείαν ὅμως τῶν οὐρανῶν τοὺς καλεῖ μὲ τὴν θέλησίν των· εἰς τὸ πῦρ τοὺς φέρει δεμένους καὶ θρηνοῦντας, ὄχι ὅμως κατὰ τὸν ἴδιον τρόπον καὶ εἰς τὰ ἄπειρα ἀγαθά· διότι τοῦτο δυσφημεῖ τὰ ἴδια τὰ ἀγαθά, ἐὰν ἡ φύσις των δὲν εἶναι τοιαύτη, ὥστε οἱ προσκαλούμενοι νὰ προσέρχωνται μὲ τὴν θέλησίν των καὶ πολὺ εὐγνωμονοῦντες.

3. Καὶ πόθεν οὐ πάντες αὐτὰ αἱροῦνται, φησί; Παρὰ τὴν οἰκείαν ἀσθένειαν. Καὶ τίνος ἕνεκεν αὐτῶν οὐκ ἐκκόπτει τὴν ἀσθένειαν; Καὶ πῶς, εἰπέ μοι, καὶ τίνι τρόπῳ ἐκκόψαι ἐχρῆν; Οὐχὶ κτίσιν εἰργάσατο διδάσκουσαν αὐτοῦ τὴν φιλανθρωπίαν καὶ τὴν δύναμιν; «Οἱ οὐρανοὶ» γάρ, φησί, «διηγοῦνται δόξαν Θεοῦ». Οὐχὶ καὶ προφήτας ἔπεμψεν; οὐχὶ καὶ ἐκάλεσε καὶ ἐτίμησεν; οὐχὶ ἐθαυματούργησεν; οὐ νόμον ἔδωκε καὶ γραπτὸν καὶ φυσικόν; οὐ τὸν Υἱὸν ἀπέστειλεν; οὐκ ἀποστόλους ἔπεμψεν; οὐ σημεῖα εἰργάσατο; οὐ γέενναν ἠπείλησεν; οὐ βασιλείαν ἐπηγγείλατο; οὐ καθ' ἑκάστην ἡμέραν ἀνατέλλει τὸν ἥλιον αὐτοῦ; οὐχὶ ἅπερ ἐπέταξεν, οὕτως εὔκολα καὶ ῥᾴδια, ὡς πολλοὺς ὑπερβαίνειν αὐτοῦ τὰ προστάγματα τῇ περιουσίᾳ τῆς φιλοσοφίας; «Τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνι καὶ οὐκ ἐποίησε;»

Καὶ διὰ τί μὴ ἐποίησεν ἡμῖν φυσικὴν τὴν γνῶσιν, φησί, καὶ τὴν ἀρετήν; Τίς ταῦτά φησιν; ὁ Ἕλλην ἢ ὁ Χριστιανός; Ἀμφότεροι μέν, ἀλλ' οὐχ ὑπὲρ τῶν αὐτῶν, ἀλλ' ὁ μὲν ὑπὲρ τῆς γνώσεως, ὁ δὲ ὑπὲρ τοῦ βίου φιλονεικεῖ. Οὐκοῦν πρῶτον πρὸς τὸν ἡμέτερον ἐροῦμεν. Οὐ τοσοῦτον γάρ μοί ἐστι τῶν ἔξω λόγος, ὅσον τῶν οἰκείων μελῶν. Τί οὖν φησιν ὁ Χριστιανός; Αὐτὴν ἔδει τὴν γνῶσιν ἡμῖν ἐνθεῖναι τῆς ἀρετῆς. Ἐνέθηκε μὲν οὖν· εἰ γὰρ μὴ ἐνέθηκε, πόθεν ᾔδειμεν τὰ πρακτέα καὶ τὰ μὴ πρακτέα; πόθεν οἱ νόμοι καὶ τὰ δικαστήρια; Ἀλλ' οὐ τὴν γνῶσιν ἀλλὰ τὴν πρᾶξιν αὐτήν. Καὶ τίνος ἔμελλες λαμβάνειν τὸν μισθόν, εἰ τὸ πᾶν ἔμελλεν ἔσεσθαι τοῦ Θεοῦ; Εἰπὲ γάρ μοι, σὲ καὶ τὸν Ἕλληνα ἁμαρτάνοντας ὁμοίως ὁ Θεὸς κολάζει; Οὐδαμῶς· ἔχεις γὰρ τέως τὴν ἀπὸ τῆς γνώσεως παρρησίαν.

Τί οὖν; εἴ τις ἄρα εἶπε νῦν, ὅτι ὑπὲρ τῆς γνώσεως καὶ σὺ καὶ ὁ Ἕλλην τῶν αὐτῶν ἀξιωθήσεσθε, ἆρα οὐκ ἂν ἐδυσχέρανας; Ἔγωγε οἶμαι· εἶπες γὰρ ἂν ὅτι ἔχων εὑρεῖν οἴκοθεν τὴν γνῶσιν ὁ Ἕλλην οὐκ ἠθέλησεν. Ἂν οὖν καὶ

---

17. Ψαλ. 18,2

18. Φιλοσοφία: Εἰς τοὺς ἐκκλησιαστικοὺς συγγραφεῖς ὁ ὅρος σημαίνει γενικῶς τὴν χριστιανικὴν θεολογίαν καὶ τὴν κατὰ Χριστὸν ἄσκησιν καὶ ζωήν.

19. Ἡσ. 5,4

3. Καὶ διὰ ποῖον λόγον ὅλοι δὲν προτιμοῦν αὐτά; θὰ ἔλεγε κάποιος. Ἐξ αἰτίας τῆς ἰδικῆς των ἀσθενείας. Καὶ διὰ ποῖον λόγον δὲν ἐξαφανίζει τὴν ἀσθένειάν των; Εἰπέ μου ὅμως, μὲ ποῖον τρόπον ἔπρεπε νὰ τὴν ἐξαφανίσῃ; Δὲν ἐδημιούργησε τὴν κτίσιν, ἡ ὁποία φανερώνει τὴν φιλανθρωπίαν καὶ τὴν δύναμίν του; Λέγει δηλαδή: «Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ»[17]. Δὲν ἔστειλε καὶ προφήτας; Δὲν τοὺς ἐκάλεσε καὶ δὲν τοὺς ἐτίμησε; Δὲν ἐθαυματούργησεν; Δὲν ἔδωκε καὶ γραπτὸν νόμον καὶ νόμον τῆς συνειδήσεως; Δὲν ἔστειλε τὸν Υἱόν του; Δὲν ἔστειλε τοὺς ἀποστόλους; Δὲν ἔκανε σημεῖα; Δὲν χρησιμοποίησε ὡς ἀπειλὴν τὴν κόλασιν; Δὲν ὑπεσχέθη βασιλείαν; Καθημερινῶς δὲν ἀνατέλλει τὸν ἥλιόν του; Ὅσα παρήγγειλε δὲν εἶναι τόσον κατορθωτὰ καὶ εὔκολα, ὥστε πολλοὶ νὰ ὑπερβοῦν τὰς ἐντολάς του μὲ τὴν πολλὴν φιλοσοφίαν των;[18] «Τί ἔπρεπε νὰ εἶχε κάμει εἰς τὸν ἀμπελῶνα καὶ δὲν τὸ ἔκαμε;»[19].

Καὶ διατί δὲν μᾶς ἔκαμε φυσικὴν τὴν γνῶσιν καὶ τὴν ἀρετήν; θὰ ἔλεγε κάποιος. Ποῖος ἰσχυρίζεται αὐτά; ὁ ἐθνικὸς ἢ ὁ Χριστιανός; Καὶ οἱ δύο, ἀλλὰ ὄχι διὰ τὴν ἰδίαν αἰτίαν· ὁ μὲν πρῶτος φιλονεικεῖ διὰ τὴν γνῶσιν, ἐνῷ ὁ δεύτερος διὰ τὸν βίον. Λοιπὸν πρῶτον θὰ ἀπαντήσωμεν εἰς τὸν ἰδικόν μας, διότι δὲν σκέπτομαι τόσον τοὺς ἔξω τῆς πίστεως ὅσον τὰ ἰδικά μας μέλη. Τί ἰσχυρίζεται λοιπὸν ὁ Χριστιανός; Ἔπρεπεν ὁ Θεὸς νὰ θέσῃ ἐντός μας τὴν ἰδίαν τὴν γνῶσιν τῆς ἀρετῆς. Τὴν ἔθεσεν λοιπόν· διότι, ἐὰν δὲν τὴν ἔθετεν, ἀπὸ ποῦ ἐγνωρίζαμεν ὅσα ἔπρεπε καὶ ὅσα δὲν ἔπρεπε νὰ κάνωμεν; Ποῦ στηρίζονται οἱ νόμοι καὶ τὰ δικαστήρια; Ὄχι λοιπὸν τὴν γνῶσιν, ἀλλὰ τὴν ἰδίαν τὴν πρᾶξιν. Καὶ τίνος μισθὸν ἐπρόκειτο νὰ λαμβάνῃς, ἐὰν τὸ πᾶν ἦτο ἔργον τοῦ Θεοῦ; Εἰπέ μου, ὁ Θεὸς τιμωρεῖ ἐσένα καὶ τὸν ἐθνικὸν ἐξ ἴσου, ὅταν ἁμαρτάνετε; Καθόλου, διότι σὺ ἔχεις μέχρι τώρα τὴν παρρησίαν ποὺ προέρχεται ἀπὸ τὴν γνῶσιν.

Τί λοιπόν; Ἐὰν κάποιος σοῦ ἔλεγε τώρα ὅτι χάρις εἰς τὴν γνῶσιν καὶ σὺ καὶ ὁ Ἕλλην θὰ ἀξιωθῆτε τῶν ἰδίων ἀμοιβῶν, ἆρά γε δὲν θὰ ἐδυσανασχέτεις; Ἐγὼ τοὐλάχιστον τὸ νομίζω· διότι θὰ ἔλεγες ὅτι ὁ Ἕλλην, ἐνῷ ἠδύνατο μόνος του νὰ εὕρῃ τὴν γνῶσιν,

ἐκεῖνος λέγῃ ὅτι ἔδει τὸν Θεὸν ἐνθεῖναι τὴν γνῶσιν ἡμῖν φυσικῶς, οὐχὶ καταγελάσῃ καὶ πρὸς αὐτὸν ἐρεῖς, διὰ τί γὰρ μὴ ἐζήτησας; διὰ τί μὴ ἐσπούδασας καθάπερ ἐγώ; καὶ μετὰ πολλῆς στήσῃ τῆς παρρησίας καὶ ἐρεῖς ὅτι ἀνοίας ἐσχάτης ἦν τὸ ἐγκαλεῖν τῷ Θεῷ, ὅτι μὴ τῇ φύσει τὴν γνῶσιν ἐνέθηκε. Ταῦτα δὲ ἐρεῖς, ἐπειδή σοι κατώρθωται τὰ τῆς γνώσεως· οὕτω καὶ τὰ τοῦ βίου εἰ κατώρθωτο, οὐκ ἂν ταῦτα ἐζήτησας, ἀλλ' ἐπειδὴ ἀποκάμνεις πρὸς τὴν ἀρετήν, διὰ τοῦτο τοὺς ἀνοήτους τούτους προβάλλῃ λόγους. Πῶς δὲ καὶ ἐχρῆν ποιῆσαι ἀνάγκῃ γίνεσθαι καλόν; Οὐκοῦν ἔμελλεν ἡμῖν τὰ ἄλογα φιλονεικεῖν τῆς ἀρετῆς, ἅτε ἡμῶν σωφρονέστερα ἔνια ὄντα.

'Αλλ' ἐβουλόμην, φησίν, εἶναι ἀνάγκῃ καλὸς καὶ πάντων ἀποστερεῖσθαι τῶν μισθῶν ἢ προαιρέσει φαῦλος καὶ κολάζεσθαι καὶ τιμωρεῖσθαι. 'Αλλ' οὐκ ἔστιν ἀνάγκῃ ποτὲ καλὸν εἶναι. Εἰ μὲν οὖν ἀγνοεῖς τὸ πρακτέον, δεῖξον, καὶ τότε ἐροῦμεν ὅπερ εἰπεῖν δεῖ· εἰ δὲ οἶδας πονηρὰν τὴν ἀσέλγειαν οὖσαν, τίνος ἕνεκεν οὐ φεύγεις τὸ πονηρόν; Οὐ δύναμαι, φησίν. 'Αλλ' ἕτεροι οἱ τὰ μείζω κατορθώσαντες κατηγορήσουσί σου καὶ ἐπιστομίσουσί σε ἐκ περιουσίας πολλῆς. Σὺ μὲν γὰρ ἴσως καὶ μετὰ γυναικὸς ὢν οὐ σωφρονεῖς, ἄλλος δὲ καὶ χωρὶς γυναικὸς ἀκέραιον διατηρεῖ τὴν ἁγνείαν. Τίνα οὖν ἔχεις ἀπολογίαν τὸ μέτρον οὐ φυλάττων, ἑτέρου ὑπὲρ τὰ σκάμματα πηδῶντος; 'Αλλ' οὐκ εἰμὶ τοιοῦτος, φησί, τοῦ σώματος τὴν φύσιν ἢ τὴν προαίρεσιν. 'Επειδὴ μὴ θέλεις, οὐκ ἐπειδὴ μὴ δύνασαι· καὶ γὰρ δείκνυμι πάντας πρὸς ἀρετὴν ἐπιτηδείως ἔχοντας. "Ο γὰρ μὴ δύναταί τις ποιῆσαι, οὐδὲ ἀνάγκης ἐπικειμένης δυνήσεται ποιῆσαι· εἰ δὲ ἀνάγκης ἐπικειμένης δύναται, ὁ μὴ ποιῶν παρὰ προαίρεσιν οὐ ποιεῖ. Οἷόν τι λέγω· ἀναπτῆναι καὶ πρὸς τὸν οὐρανὸν ἀρθῆναι σῶμα ἔχοντα βαρύ, πάντως καὶ ἀδύνατον.

Τί οὖν; εἰ βασιλεὺς ἐπέταξε τοῦτο πρᾶξαι καὶ θάνατον ἠπείλησε λέγων ὅτι τοὺς μὴ πετομένους ἀνθρώπους

δὲν ἠθέλησεν. Ἂν λοιπὸν καὶ ἐκεῖνος λέγῃ ὅτι ὁ Θεὸς ἔπρεπε νὰ θέσῃ ἐντός μας τὴν γνῶσιν κατὰ τρόπον φυσικόν, δὲν θὰ τὸν κοροϊδεύσῃς καὶ δὲν θὰ τοῦ εἴπῃς· Διατί λοιπὸν δὲν τὴν ἐζήτησε καὶ σύ; Διατί δὲν ἔσπευσες, ὅπως ἀκριβῶς ἐγώ; καὶ μὲ πολλὴν παρρησίαν θὰ σταθῇς καὶ θὰ εἴπῃς ὅτι εἶναι ἡ μεγαλυτέρα μωρία τὸ νὰ κατηγορῇ κανεὶς τὸν Θεόν, ὅτι δὲν ἔθεσεν ἐκ φύσεως τὴν γνῶσιν ἐντὸς τοῦ ἀνθρώπου. Θὰ εἴπῃς αὐτά, ἐπειδὴ σὺ ἔχεις κατακτήσει τὴν γνῶσιν. Ἔτσι, ἂν εἶχες κατορθώσει καὶ τὰ τῆς ζωῆς, δὲν θὰ ἐζήτεις αὐτά, ἀλλὰ ἐπειδὴ ἔχεις ἀποκάμει εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς, διὰ τοῦτο προβάλλεις τούτους τοὺς ἀνοήτους λόγους. Πῶς ὅμως ἔπρεπε νὰ θεωρῆται καλὸν αὐτό, τό ὁποῖον κάμνει κάποιος ἀναγκαστικῶς; Ἐν τοιαύτῃ περιπτώσει τὰ ζῶα θὰ συνηγωνίζοντο μὲ ἐμᾶς διὰ τὴν ἀρετήν, διότι μερικὰ εἶναι σωφρονέστερα ἀπὸ ἡμᾶς.

Θὰ ἔλεγε κάποιος: Ἀλλὰ θὰ ἤθελον νὰ εἶμαι καλὸς ἀναγκαστικῶς καὶ νὰ ἀποστερηθῶ ὅλων τῶν ἀμοιβῶν παρὰ νὰ εἶμαι μὲ τὴν θέλησίν μου φαῦλος καὶ νὰ κολάζωμαι καὶ νὰ τιμωροῦμαι. Ἀλλὰ δὲν εἶναι ποτὲ δυνατὸν νὰ εἶναι κάποιος ἀναγκαστικως καλός. Ἐὰν μὲν λοιπὸν ἀγνοῇς τί πρέπει νὰ πράξῃς, δεῖξέ το, καὶ τότε θὰ εἴπωμεν ὅ,τι πρέπει· ἐὰν ὅμως γνωρίζῃς ὅτι ἡ ἀσέλγεια εἶναι πονηρὰ πρᾶξις, διὰ ποῖον λόγον δὲν ἀποφεύγεις τὸ πονηρόν; Λέγεις, Δὲν δύναμαι. Ἀλλὰ ἄλλοι ποὺ κατώρθωσαν μεγαλύτερα θὰ σὲ κατηγορήσουν καὶ θὰ σὲ ἀποστομώσουν μὲ πολλὰ ἐπιχειρήματα. Σὺ δηλαδὴ ἴσως, παρ' ὅλον ὅτι ἔχεις γυναῖκα, δὲν εἶσαι σώφρων, ἐνῷ ἄλλος, ἂν καὶ στερεῖται γυναικός, διατηρεῖ ἀκεραίαν τὴν ἁγνότητά του. Ποίαν λοιπὸν ἀπολογίαν ἔχεις διὰ τὸ ὅτι δὲν τηρεῖς τὸ μέτρον, ἐνῷ ἄλλος ὑπερβαίνει τὸ σύνηθες. Ἀλλὰ —θὰ ἔλεγε κάποιος— ἡ φύσις τοῦ σώματός μου καὶ ἡ βούλησίς μου δὲν εἶναι τέτοια. Δὲν εἶναι, ἐπειδὴ δὲν θέλεις, ὄχι ἐπειδὴ δὲν δύνασαι· διότι ἀποδεικνύω ὅτι ὅλοι δύνανται νὰ ἀσκήσουν τὴν ἀρετήν. Δηλαδὴ κάποιος ὅ,τι δὲν δύναται νὰ τὸ κάνῃ, δὲν θὰ δυνηθῇ νὰ τὸ κάνῃ οὔτε καὶ ὅταν εὑρίσκεται εἰς τὴν ἀνάγκην· ἐκεῖνος ὅμως ποὺ δύναται, ὅταν ἀναγκάζεται, ἐὰν δὲν τὸ κάμνῃ, δὲν τὸ κάμνει, ἐπειδὴ δὲν θέλει. Τὸ ἑξῆς περίπου ἐννοῶ: Εἶναι ὁπωσδήποτε ἀδύνατον ὁ ἄνθρωπος νὰ πετάξῃ καὶ νὰ σηκωθῇ πρὸς τὸν οὐρανόν, ἐπειδὴ ἔχει σῶμα βαρύ.

Λοιπόν; Ἐὰν κάποιος βασιλεὺς τὸν διέτασσε νὰ πράξῃ τοῦτο καὶ τὸν ἠπείλει μὲ θάνατον λέγων ὅτι διατάσσει οἱ ἄνθρωποι ποὺ

ἀποτέμνεσθαι. κελεύω καὶ καίεσθαι ἢ ἄλλο τι πάσχειν τοιοῦτον, ἆρα ἄν τις ὑπήκουσεν; Οὐδαμῶς· οὐ δέχεται γὰρ ἡ φύσις. Ἂν δὲ ἐπὶ σωφροσύνης τὸ αὐτὸ τοῦτο γένηται καὶ θῇ διατάγματα τὸν ἀσελγαίνοντα κολάζεσθαι, καίεσθαι, μαστίζεσθαι, μυρία πάσχειν δεινά, ἆρα οὐκ ἂν ἐπείσθησαν πολλοὶ τῷ προστάγματι; Οὐχί, φησί· καὶ γὰρ κεῖται καὶ νῦν νόμος ὁ κελεύων μὴ μοιχεύειν, καὶ οὐ πάντες πείθονται. Οὐκ ἐπειδὴ ὁ φόβος ἠσθένησεν, ἀλλ' ἐπειδὴ λήσεσθαι προσδοκῶσιν οἱ πολλοί· ὡς εἰ παρῆν αὐτοῖς ἀσελγαίνειν μέλλουσιν ὁ νομοθέτης καὶ ὁ δικάζων, ἴσχυσεν ἂν ὁ φόβος ἐκβαλεῖν τὴν ἐπιθυμίαν. Ἐπεὶ κἂν ἐλάττονα ταύτης ἑτέραν ἀνάγκην ἐπαγάγω καὶ λαβὼν αὐτὸν ἐκ τῆς ἐρωμένης γυναικὸς ἀπαγάγω καὶ δήσας καθείρξω, δυνήσεται ἐνεγκεῖν καὶ μηδὲν παθεῖν ἀηδές.

Μὴ τοίνυν λέγωμεν ὅτι ὁ δεῖνα φύσει καλὸς καὶ ὁ δεῖνα φύσει κακός. Εἰ γὰρ φύσει ἀγαθός, οὐδέποτε δυνήσεται γενέσθαι κακός· καὶ εἰ φύσει κακός, οὐκ ἄν ποτε γένοιτο ἀγαθός. Νῦν δὲ ὁρῶμεν ὀξυρρόπους τὰς μεταβολὰς καὶ ἀπὸ τούτων εἰς θάτερα μεταβάλλοντας καὶ ἀπ' ἐκείνων εἰς ταῦτα μεταπίπτοντας. Καὶ ταῦτα οὐκ ἐν ταῖς γραφαῖς ἔστιν ἰδεῖν μόνον, οἷον ὅτι τελῶναι γεγόνασιν ἀπόστολοι καὶ μαθηταὶ προδόται καὶ πόρναι γυναῖκες σώφρονες καὶ λησταὶ εὐδοκίμησαν καὶ μάγοι προσεκύνησαν καὶ ἀσεβεῖς εἰς εὐσέβειαν μετέβαλον ἐπί τε τῆς καινῆς ἐπί τε τῆς παλαιᾶς· ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πολλὰ τοιαῦτα συμβαίνοντα ἴδοι τις ἄν. Εἰ δὲ φυσικὰ ἦν, οὐκ ἂν μετέπεσον. Καὶ γὰρ φύσει παθητοὶ ὄντες, οὐκ ἄν ποτε ἀπὸ σπουδῆς γενοίμεθα ἀπαθεῖς. Τὸ γὰρ φύσει τι ὄν, οὐκ ἂν ἐκπέσῃ τοῦ κατὰ φύσιν. Οὐδεὶς γοῦν ἀπὸ τοῦ καθεύδειν ἐπὶ τὸ μὴ καθεύδειν μετέπεσεν, οὐδεὶς ἀπὸ τοῦ φθείρεσθαι ἐπὶ τὸ μὴ φθείρεσθαι, οὐδεὶς ἀπὸ τὸ πεινῆν ἐπὶ τὸ μηδέποτε τοῦτο πάσχειν. Διὰ τοῦτο οὐδὲ ἐγκλήματα ταῦτά ἐστιν, οὐδὲ ὀνειδίζομεν ἑαυτοὺς ἐπὶ τούτοις· οὐδὲ μέλλων τίς τινι

δὲν πετοῦν νὰ ἀποκεφαλισθοῦν καὶ νὰ καοῦν ἢ κάτι ἄλλο τέτοιο νὰ πάθουν, ἄρά γε θὰ ὑπήκουε κανείς; Καθόλου, διότι εἶναι ἀντίθετον ἀπὸ τὴν φύσιν. Ἂν τὸ ἴδιον συμβῇ μὲ τὴν σωφροσύνην καὶ ὁ βασιλεὺς ἐκδώσῃ διατάγματα ὁ αἰσχρὸς νὰ τιμωρῆται, νὰ καίεται, νὰ μαστιγώνεται, νὰ παθαίνῃ ἄπειρα δεινά, ἄραγε πολλοὶ θὰ ἐπείθοντο εἰς τὴν διαταγήν; Ὄχι, λέγει· διότι βεβαίως ἰσχύει καὶ τώρα νόμος ποὺ ἀπαγορεύει τὴν μοιχείαν, καὶ ὅμως δὲν ὑπακούουν ὅλοι, ὄχι ἐπειδὴ ἐξησθένησεν ὁ φόβος, ἀλλὰ ἐπειδὴ οἱ περισσότεροι ἐλπίζουν ὅτι δὲν θὰ γίνουν ἀντιληπτοί· διότι, ἐάν, ὅταν ἐπρόκειτο νὰ κάνουν αἰσχρὰς πράξεις, ἦσαν πλησίον αὐτῶν ὁ νομοθέτης καὶ ὁ δικαστής, ὁ φόβος θὰ ἦτο ἱκανὸς νὰ ἀφαιρέσῃ τὴν ἐπιθυμίαν των. Ἂν ἐπιβάλω ποινὴν ἄλλην ἐλαφροτέραν αὐτῆς καί, ἀφοῦ συλλάβω τὸν μοιχόν, τὸν ἀπομακρύνω ἀπὸ τὴν ἐρωμένην τοῦ καὶ δέσμιον τὸν φυλακίσω, θὰ δυνηθῇ νὰ τὰ ὑποφέρῃ καὶ δὲν θὰ πάθῃ τίποτε βαρύ.

Νὰ μὴ λέγωμεν λοιπὸν ὅτι ὁ δεῖνα εἶναι ἐκ φύσεως καλὸς καὶ ὁ δεῖνα ἐκ φύσεως κακός· διότι, ἐὰν εἶναι ἐκ φύσεως ἀγαθός, οὐδέποτε θὰ εἶναι δυνατὸν νὰ γίνῃ κακός· καὶ ἂν εἶναι ἐκ φύσεως κακός, ποτὲ δὲν θὰ ἦτο δυνατὸν νὰ γίνῃ καλός. Τώρα ὅμως βλέπομεν ὅτι συμβαίνουν ἀπότομοι μεταβολαὶ καὶ οἱ ἄνθρωποι μεταβάλλονται καὶ μεταπίπτουν ἀπὸ τὸ καλὸν εἰς τὸ κακὸν καὶ ἀντιθέτως. Καὶ αὐτὰ δὲν εἶναι δυνατὸν νὰ τὰ ἴδωμεν μόνον εἰς τὰς γραφὰς καὶ εἰς τὴν Καινὴν καὶ εἰς τὴν Παλαιὰν Διαθήκην, ὅτι δηλαδὴ τελῶναι ἔχουν γίνει ἀπόστολοι καὶ μαθηταὶ προδόται καὶ πόρναι γυναῖκες σώφρονες καὶ ὅτι λησταὶ ἀπέκτησαν καλὴν φήμην καὶ μάγοι προσεκύνησαν καὶ ὅτι ἀσεβεῖς ἔγιναν εὐσεβεῖς· θὰ ἠμποροῦσε κάποιος νὰ ἴδῃ ὅτι πολλὰ τέτοια συμβαίνουν καθημερινῶς. Ἐὰν ὅμως ἐκ φύσεως ἦσαν ὅ,τι ἦσαν, δὲν θὰ ὑφίσταντο ἀλλαγήν. Ὡς γνωστόν, ἐκ φύσεως ὑποκείμεθα εἰς ἀλλοιώσεις, καὶ ποτὲ μὲ τὴν ἄσκησιν δὲν θὰ ἠμπορούσαμεν νὰ γίνωμεν ἀμετάβλητοι· διότι ὅ,τι κάτι εἶναι ἐκ φύσεως ποτὲ δὲν θὰ ἦτο δυνατὸν νὰ γίνῃ διαφορετικόν. Οὐδεὶς βεβαίως κατώρθωσε νὰ μὴ κοιμᾶται, ἐνῶ ἦτο εἰς τὴν φύσιν του νὰ χρειάζεται τὸν ὕπνον, οὐδεὶς ἐπέτυχε τὴν ἀφθαρσίαν, ἐνῶ ὑπέκειτο εἰς τὴν φθοράν, οὐδεὶς ἐπέτυχε νὰ μὴ πεινᾷ ποτέ, ἐνῶ ἐχρειάζετο τροφήν. Διὰ τὸν λόγον τοῦτον αὐτὰ οὔτε θεωροῦνται παραπτώματα οὔτε χλευάζομεν τοὺς ἑαυτούς μας δι' αὐτά, οὔτε κανεὶς ποτὲ θέλων νὰ κατηγορήσῃ κάποιον τοῦ εἶπε, «ὦ σὺ φθαρτὲ καὶ μετα-

ἐγκαλεῖν εἶπεν, ὡς φθαρτὲ καὶ παθητέ· ἀλλ' ἢ μοιχείαν ἢ πορνείαν ἤ τι τῶν τοιούτων ἀεὶ προφέρομεν τοῖς ὑπευθύνοις, καὶ δικασταῖς προσάγομεν τοῖς ἐγκαλοῦσι καὶ κολάζουσι, καὶ ἐπὶ τοῖς ἐναντίοις τιμῶσιν. Ὅταν οὖν καὶ ἐξ ὧν πρὸς ἀλλήλους ποιοῦμεν καὶ ἐξ ὧν δικαζόμενοι πάσχομεν καὶ ἐξ ὧν νόμους ἐγράψαμεν καὶ ἐξ ὧν ἑαυτῶν καταγινώσκομεν, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, καὶ ἐξ ὧν ῥαθυμοῦντες μὲν χείρους, φοβούμενοι δὲ βελτίους γινόμεθα, καὶ ἐξ ὧν ἄλλους ὁρῶμεν κατορθοῦντας καὶ πρὸς ἄκρον φιλοσοφίας ἀφικομένους, εὔδηλον ὅτι καὶ ἐφ' ἡμῖν κεῖται τὸ κατορθοῦν· τί μάτην ψυχραῖς ἑαυτοὺς ἀπατῶμεν οἱ πολλοὶ προφάσεσι καὶ ἀπολογίαις μὴ μόνον συγγνώμην οὐ φερούσαις, ἀλλὰ καὶ κόλασιν ἀφόρητον, δέον τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν πρὸ τῶν ὀφθαλμῶν ἔχοντας ἀρετῆς ἐπιμελεῖσθαι καὶ μικρὰ πονέσαντας τοὺς ἀκηράτους λαβεῖν στεφάνους;

Οὐδὲν γὰρ ἡμῶν ταῦτα προστήσεται τὰ ῥήματα· ἀλλ' οἱ σύνδουλοι καὶ τὰ ἐναντία κατωρθωκότες κατακρινοῦσι τοὺς διαμαρτάνοντας πάντας, τὸν ὠμὸν ὁ ἐλεήμων, τὸν πονηρὸν ὁ χρηστός, τὸν θρασὺν ὁ ἐπιεικής, τὸν βάσκανον ὁ φιλόφρων, τὸν κενόδοξον ὁ φιλόσοφος, τὸν ῥᾴθυμον ὁ σπουδαῖος, τὸν ἀκόλαστον ὁ σώφρων. Οὕτως οἴσει τὴν κρίσιν ἡμῖν ὁ Θεός, ἑκάτερά τε στήσει τὰ τάγματα, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ κολάζων. Ἀλλὰ μὴ γένοιτό τινα τῶν παρόντων γενέσθαι τῶν κολαζομένων καὶ ἀτιμουμένων ἀλλὰ τῶν στεφανουμένων καὶ τῶν τῆς βασιλείας ἐπιτυγχανόντων· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Βλ. ἀνωτέρω.

βλητέ· ἀλλὰ τὴν μοιχείαν ἢ τὴν πορνείαν ἢ κάτι σχετικὸν πάντοτε τὰ ἀποδίδομεν εἰς τοὺς ὑπευθύνους καὶ τὰ φέρομεν εἰς τοὺς δικαστάς, οἱ ὁποῖοι τὰ κατηγοροῦν καὶ τὰ τιμωροῦν, ἐνῶ τιμοῦν τὰ ἀντίθετά των. Ὅταν λοιπὸν ἡ πεῖρα ἀπὸ τὰς σχέσεις μεταξὺ τῶν ἀνθρώπων, αἱ καταδικαστικαὶ ἀποφάσεις τῶν δικαστηρίων, ἡ θέσπισις νόμων, αἱ κατηγορίαι ἐναντίον τοῦ ἑαυτοῦ μας, καὶ ὅταν ἀκόμη κανεὶς δὲν μᾶς κατηγορῇ καὶ τὸ γεγονὸς ὅτι μὲ τὴν ρύθμισιν μὲν γινόμεθα χειρότεροι, ἀπὸ τὸν φόβον δὲ καλύτεροι καὶ τὸ ὅτι βλέπομεν ἄλλους νὰ κατορθώνουν καὶ νὰ φθάνουν εἰς τὴν ἄκραν βαθμίδα τῆῆς φιλοσοφίας[20], ὅταν ἐξ ὅλων αὐτῶν εἶναι φανερὸν ὅτι καὶ ἐμεῖς ἠμποροῦμεν νὰ κατορθώσωμεν, διατί ματαίως οἱ περισσότεροι ἐξαπατῶμεν τοὺς ἑαυτούς μας μὲ ἀστηρίκτους προφάσεις καὶ ἀπολογίας, ποὺ ὄχι μόνον δὲν φέρουν τὴν συγγνώμην ἀλλὰ καὶ ἀφόρητον κόλασιν, ἐνῶ πρέπει ἔχοντες πρὸ τῶν ὀφθαλμῶν μας ἐκείνην τὴν φοβερὰν ἡμέραν νὰ φροντίζωμεν διὰ τὴν ἀρετήν, καὶ ἀφοῦ κοπιάσωμεν ὀλίγον, νὰ λάβωμεν τοὺς ἀληθινοὺς στεφάνους;

Οἱ λόγοι αὐτοὶ καθόλου δὲν θὰ μᾶς δικαιολογήσουν· ἀλλὰ τὸ γεγονὸς ὅτι συνάνθρωποι μὲ τὴν ἰδίαν ἀνθρωπίνην φύσιν ἔχουν κατορθώσει ἀνώτερα θὰ ἀποτελῇ αἰτίαν καταδίκης δι' ὅλους ὅσοι ἀποτυγχάνουν, ἡ ὕπαρξις τοῦ φιλανθρώπου θὰ ἐλέγχῃ τὸν σκληρόν, τοῦ ἐναρέτου τὸν πονηρόν, ἡ ὕπαρξις τοῦ ἐπιεικοῦς θὰ ἐλέγχῃ τὸν ὀρμητικόν, τοῦ εὐγενικοῦ τὸν φθονερόν, ἡ ὕπαρξις τοῦ φιλοσόφου θὰ ἐλέγχῃ τὸν κενόδοξον, τοῦ φιλοπόνου τὸν ράθυμον, τοῦ σώφρονος τὸν ἀκόλαστον. Ἔτσι θὰ μᾶς κρίνῃ ὁ Θεὸς καὶ θὰ χωρίσῃ τοὺς ἀνθρώπους εἰς δύο μέρη, καὶ τοὺς μὲν θὰ ἐπαινῇ, ἐνῶ τοὺς ἄλλους θὰ τιμωρῇ. Ἀλλὰ εἴθε κανεὶς ἀπὸ τοὺς παρόντας νὰ μὴ εὑρεθῇ μεταξὺ τῶν τιμωρουμένων καὶ περιφρονημένων, ἀλλὰ μεταξὺ τῶν στεφανουμένων καὶ τῶν κληρονόμων τῆς βασιλείας· εἴθε ὅλοι ἐμεῖς νὰ ἐπιτύχωμεν αὐτὴν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ.
Α' Κορ. 1, 10-17

«Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ».

1. Ὅπερ ἀεὶ ἔλεγον, ὅτι ἠρέμα καὶ κατὰ μικρὸν δεῖ τὰς ἐπιπλήξεις ποιεῖσθαι, τοῦτο καὶ ὁ Παῦλος ἐνταῦθα ποιεῖ. Μέλλων γὰρ εἰς πρᾶγμα ἐμβαίνειν πολλῶν κινδύνων γέμον καὶ τὴν ἐκκλησίαν ἐκ βάθρων ἱκανὸν ὂν ἀνασπάσαι, προσηνέστερον τῷ λόγῳ κέχρηται. Φησὶ γὰρ παρακαλεῖν αὐτούς, παρακαλεῖν δὲ διὰ τοῦ Χριστοῦ, ὡς οὐδὲ αὐτὸς ἀρκῶν μόνος ταύτην θέσθαι τὴν ἱκετηρίαν καὶ πεῖσαι. Τί δέ ἐστι, παρακαλῶ διὰ τοῦ Χριστοῦ; Τὸν Χριστὸν λαμβάνω σύμμαχον καὶ βοηθὸν αὐτοῦ τὸ ὄνομα τὸ ἠδικημένον καὶ ὑβρισμένον· σφόδρα ἐντρεπτικῶς, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτούς· ἰταμοὺς γὰρ ἡ ἁμαρτία ποιεῖ. Διὰ τοῦτο, ἂν μὲν εὐθέως σφοδρῶς ἐπιπλήξῃς, ἀπηνῆ καὶ ἀναίσχυντον εἰργάσω· ἂν δὲ ἐντρέψῃς, κατέκαμψας τὸν αὐχένα, κατέσπασας τὴν παρρησίαν, κάτω νεύειν ἐποίησας. Ὅπερ καὶ ὁ Παῦλος κατασκευάζων παρακαλεῖ τέως διὰ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

Καὶ τί ποτέ ἐστιν ὃ παρακαλεῖ; «Ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα». Τοῦ σχίσματος ἡ ἔμφασις ἱκανὸν καὶ αὐτὸ εἰς κατηγορίας ὄνομα. Οὐ γὰρ πολλὰ γέγονεν ὁλόκληρα μέρη, ἀλλὰ καὶ τὸ ἓν ἀπώλετο. Εἰ μὲν γὰρ ἐκκλησίαι ἦσαν ὁλόκληροι, ἦν πολλὰ τὰ συστήματα· εἰ δὲ σχίσματα, καὶ τὸ ἓν διεφθάρη. Τὸ γὰρ ὁλόκληρον, ὅταν εἰς πολλὰ διαιρεθῇ, οὐ μόνον πολλὰ οὐ γίνε-

---

1. Α' Κορ. 1,10

ΟΜΙΛΙΑ Γ'
Α' Κορ. 1,10-17

«Σᾶς παρακαλῶ δέ, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὅλοι νὰ λέγετε τὴν ἰδίαν ὁμολογίαν καὶ νὰ μὴ ὑπάρχουν μεταξύ σας σχίσματα, ἀλλὰ νὰ εἶσθε ἡνωμένοι μὲ τὸ ἴδιον πνεῦμα καὶ τὴν ἰδίαν γνώμην»[1].

1. Αὐτὸ ἀκριβῶς ποὺ ἔλεγον πάντοτε, ὅτι δηλαδὴ οἱ ἐπιπλήξεις πρέπει νὰ γίνωνται ὀλίγον κατ' ὀλίγον καὶ μὲ ἠρεμίαν, τοῦτο κάμνει ἐδῶ καὶ ὁ Παῦλος· ἐπειδὴ δηλαδὴ πρόκειται νὰ εἰσέλθῃ εἰς θέμα, τὸ ὁποῖον εἶναι πλῆρες πολλῶν κινδύνων καὶ ἱκανὸν νὰ καταστρέψῃ ἐκ θεμελίων τὴν Ἐκκλησίαν, γράφει μὲ περισσοτέραν πραότητα. Λέγει δηλαδὴ ὅτι τοὺς παρακαλεῖ, καὶ μάλιστα τοὺς παρακαλεῖ διὰ τοῦ Χριστοῦ, ὡσὰν οὔτε αὐτὸς μόνος νὰ ἤρκει νὰ τοὺς ἀπευθύνῃ αὐτὴν τὴν παράκλησιν καὶ νὰ τοὺς πείσῃ. Καὶ τί σημαίνει «παρακαλῶ διὰ τοῦ Χριστοῦ»; Παίρνω ὡς σύμμαχον τὸν Χριστὸν καὶ ὡς βοηθὸν τὸ ἠδικημένον καὶ ὑβρισμένον ὄνομά Του κατὰ τρόπον πολὺ ἐλεγκτικόν, ὥστε νὰ μὴ ἀρνηθοῦν ἀναισχύντως νὰ τὸν ἀκούσουν· διότι ἡ ἁμαρτία κάμνει τοὺς ἀνθρώπους θρασεῖς. Διὰ τοῦτο, ἂν μὲν ἐπιπλήξῃς τὸν ἄνθρωπον κατ' εὐθεῖαν καὶ ἐντόνως, συνήθως τὸν καθιστᾷς σκληρὸν καὶ ἀναίσχυντον· ἂν ὅμως τὸν κάμῃς νὰ ἐντραπῇ, συνήθως κάμπτεις τὸν αὐχένα του, ματαιώνεις τὴν ἀθυροστομίαν του καὶ τὸν κάμνεις νὰ κύψῃ τὴν κεφαλὴν ἀπὸ ἐντροπήν. Τοῦτο ἀκριβῶς ἐφαρμόζει καὶ ὁ Παῦλος καὶ κατὰ πρῶτον τοὺς παρακαλεῖ διὰ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

Καὶ τί εἶναι τέλος πάντων αὐτό, διὰ τὸ ὁποῖον τοὺς παρακαλεῖ; «Νὰ λέγετε ὅλοι τὴν ἰδίαν ὁμολογίαν καὶ νὰ μὴ ὑπάρχουν μεταξύ σας σχίσματα». Ἡ ἔμφασις τοῦ σχίσματος καὶ ἡ λέξις καὶ μόνον ἔθετεν εἰς κατηγορίας. Διότι μὲ τὸ σχίσμα δὲν παράγονται πολλὰ ὁλόκληρα μέρη, ἀλλὰ χάνεται καὶ τὸ ἀρχικὸν ἕν. Διότι, ἐὰν μὲν ὑπῆρχον ἐκκλησίαι ὁλόκληροι, πολλὰ θὰ ἦσαν τὰ συστήματα· ἐὰν ὅμως ὑπάρχουν σχίσματα, ἀφανίζεται καὶ τὸ ἀρχικὸν ἕν. Διότι τὸ ὁλόκληρον, ὅταν διαιρεθῇ εἰς πολλά, ὄχι μόνον δὲν γίνεται πολλά,

ται, ἀλλὰ καὶ τὸ ἓν ἀπόλλυται. Τοιαύτη τῶν σχισμάτων ἡ φύσις. Εἶτα, ἐπειδὴ σφόδρα καθήψατο τῇ προσηγορίᾳ τοῦ σχίσματος, πάλιν λεαίνει καὶ πραΰνει λέγων· «ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ». Ἐπειδὴ γὰρ εἶπεν, «ἵνα τὸ αὐτὸ λέγητε», μὴ νομίσητε, φησίν, ὅτι μέχρι ῥημάτων εἶπον εἶναι τὴν ὁμόνοιαν· τὴν γὰρ ἀπὸ διανοίας συμφωνίαν ἐπιζητῶ· ἀλλ' ἐπειδὴ ἔστι καὶ λέγειν ἀπὸ διανοίας τὸ αὐτό, οὐ μὴν ἐν πᾶσι τοῖς πράγμασι, διὰ τοῦτο καὶ τοῦτο προσέθηκε, τό, «ἦτε δὲ κατηρτισμένοι». Ὁ γὰρ ἡνωμένος ἔν τινι, ἔν τινι δὲ διχονοῶν, οὐκέτι κατήρτισται, οὐδὲ ἀπήρτισται εἰς ὁμοφροσύνην.

Ἔστι δὲ καὶ τοῖς νοήμασι συμφωνοῦντα μηδέπω καὶ τῇ γνώμῃ συμφωνεῖν· οἷον, ὅταν τὴν αὐτὴν πίστιν ἔχοντες, μὴ ὦμεν συνημμένοι κατὰ τὴν ἀγάπην. Οὕτω γὰρ κατὰ μὲν τὰ νοήματα ἡνώμεθα — τὰ γὰρ αὐτὰ νοοῦμεν — κατὰ δὲ τὴν γνώμην οὐκέτι· ὅπερ οὖν καὶ τότε ἐγένετο, τοῦ μὲν τὸν δεῖνα, τοῦ δὲ τὸν δεῖνα αἱρουμένου. Διὰ τοῦτό φησιν, ὅτι καὶ τῷ νοῒ καὶ τῇ γνώμῃ δεῖ συμφωνεῖν. Οὐδὲ γὰρ ἀπὸ τοῦ διεστάναι κατὰ τὴν πίστιν τὰ σχίσματα ἐγίνετο ἀλλὰ ἀπὸ τοῦ τὴν γνώμην διηρῆσθαι κατὰ ἀνθρωπίνην φιλονεικίαν. Ἀλλ' ἐπειδὴ ὁ ἐγκαλούμενος, ἕως ἂν μὴ ἔχῃ τοὺς μάρτυρας, ἀπαναισχυντεῖ, ὅρα πῶς μὴ συγχωρῶν εἰς ἄρνησιν ἐξελθεῖν, μάρτυρας παρήγαγεν. «Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης». Καὶ οὔτε εὐθέως τοῦτο εἶπεν, ἀλλὰ πρότερον τὸ ἔγκλημα τέθεικεν, ὅπερ πεπιστευκότος ἦν τοῖς δηλώσασιν· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐδ' ἂν ἐνεκάλεσεν· οὐ γὰρ ἂν ἁπλῶς Παῦλος ἐπίστευσεν. Οὔτε οὖν εὐθέως εἶπεν ὅτι ἐδηλώθη, ἵνα μὴ δόξῃ ὡς ἐξ ἐκείνων ἐγκαλεῖν, οὔτε ἀπεσιώπησεν, ἵνα μὴ δόξῃ ὡς ἐξ ἑαυτοῦ μόνου λέγειν.

Καὶ πάλιν ἀδελφοὺς αὐτοὺς ὀνομάζει. Κἂν γὰρ ᾖ δῆλον τὸ ἁμάρτημα, οὐδὲν κωλύει ἀδελφοὺς καλεῖν ἔτι. Σκό-

---

2. αὐτ. 11

ἀλλὰ καταστρέφεται καὶ τὸ ἕν. Τέτοια εἶναι ἡ φύσις τῶν σχισμάτων. Κατόπιν, ἐπειδὴ τοὺς ἐκατηγόρησεν ἐντόνως μὲ τὸ νὰ χρησιμοποιήσῃ τὴν λέξιν «σχίσμα», πάλιν μετριάζει καὶ πραΰνει τὸν λόγον του λέγων «νὰ εἶσθε δὲ ἑνωμένοι μὲ τὸ ἴδιον πνεῦμα καὶ τὴν ἰδίαν γνώμην». Ἐπειδὴ δηλαδὴ εἶπεν «ἵνα τὸ αὐτὸ λέγητε», νὰ μὴ νομίσητε —λέγει— ὅτι εἶπα πὼς ἡ ὁμόνοια εὑρίσκεται μόνον εἰς τοὺς λόγους· διότι ἐπιζητῶ τὴν συμφωνίαν ποὺ εὑρίσκεται εἰς τὴν σκέψιν. Ἀλλά, ἐπειδὴ εἶναι δυνατὸν νὰ ὑπάρχῃ συμφωνία εἰς τὴν σκέψιν, ἀλλὰ ὄχι εἰς ὅλα τὰ θέματα, διὰ τοῦτο προσέθεσε καὶ τὸ «νὰ εἶσθε δὲ ἑνωμένοι». Διότι ἐκεῖνος ποὺ εἰς ἓν θέμα εἶναι ἡνωμένος, ἐνῶ εἰς ἄλλο σκέπτεται διαφορετικῶς, δὲν ἔχει ἀκόμη ἑνωθῆ, οὔτε ἔχει τελειοποιηθῆ εἰς ὁμοφροσύνην.

Εἶναι δυνατὸν νὰ συμφωνῇ κάποιος μὲ τὴν σκέψιν του, ἀλλὰ νὰ μὴ συμφωνῇ καθόλου μὲ τὴν ἐσωτερικήν του διάθεσιν, ὅπως π. χ. ὅταν, ἐνῶ ἔχομεν τὴν ἰδίαν πίστιν, δὲν εἴμεθα ἡνωμένοι κατὰ τὴν ἀγάπην· ἔτσι δηλαδὴ ἑνωνόμεθα μὲν ὡς πρὸς τὸν νοῦν —διότι ἔχομεν τὰς αὐτὰς σκέψεις— ὄχι ὅμως ἀκόμη ὡς πρὸς τὴν ἐσωτερικὴν διάθεσιν. Τοῦτο ἀκριβῶς συνέβη καὶ τότε, διότι ἄλλος ἐπροτίμα τὸν τάδε, ἐνῶ ἄλλος τὸν τάδε. Διὰ τοῦτο λέγει ὅτι πρέπει νὰ συμφωνοῦμεν καὶ κατὰ τὴν σκέψιν καὶ κατὰ τὴν ἐσωτερικὴν διάθεσιν. Διότι τὰ σχίσματα δὲν συνέβησαν λόγῳ τῶν διαιρέσεων κατὰ τὴν πίστιν, ἀλλὰ λόγῳ τῶν διαιρέσεων κατὰ τὴν ψυχικὴν διάθεσιν ἐξ αἰτίας τῆς τάσεως τοῦ ἀνθρώπου πρὸς ἔριδας. Ἀλλὰ ἐπειδὴ ὁ κατηγορούμενος ἀρνεῖται ἀναισχύντως, ἕως ὅτου δὲν προσάγονται οἱ μάρτυρες, πρόσεξε πῶς προσήγαγε μάρτυρας, ἐπειδὴ δὲν ἤθελε νὰ ἀρνηθοῦν· «Διότι ἐπληροφορήθην δι' ἐσᾶς, ἀδελφοί μου, ἀπὸ τοὺς ἀνθρώπους τῆς Χλόης»[2]. Καὶ οὔτε εἶπε τοῦτο εὐθὺς ἐξ ἀρχῆς, ἀλλὰ προηγουμένως ἀνέφερε τὴν κατηγορίαν, ἀφοῦ εἶχε πιστεύει ἐκείνους ποὺ τοῦ τὴν ἀνέφεραν· ἐὰν δηλαδὴ δὲν εἶχε συμβῆ τοῦτο, οὔτε κἂν θὰ διετύπωνε κατηγορίαν, διότι ὁ Παῦλος δὲν θὰ ἐπίστευεν εὐκόλως. Οὔτε λοιπὸν εὐθὺς ἐξ ἀρχῆς εἶπεν τί τοῦ ἀνεφέρθη, διὰ νὰ μὴ φανῇ ὅτι τοὺς κατηγορεῖ ἐξ αἰτίας ἐκείνων, οὔτε τὸ ἀπεσιώπησε, διὰ νὰ μὴ φανῇ ὅτι ἡ κατηγορία ἔχει αὐτὸν καὶ μόνον ὡς πηγήν.

Καί πάλιν τοὺς ὀνομάζει ἀδελφούς· δηλαδὴ καὶ ἂν ἀκόμη εἶναι φανερὸν τὸ ἁμάρτημα, τίποτε δὲν τὸν ἐμποδίζει νὰ τοὺς ὀνομάζῃ ἀκόμη ἀδελφούς. Πρόσεξε δὲ τὴν σύνεσίν του, πῶς δὲν ἀνέφε-

πει δὲ τὴν σύνεσιν, πῶς οὐ κεχωρισμένον ἔθηκε τὸ πρόσωπον, ἀλλ' ὁλόκληρον οἰκίαν, ὥστε μὴ ἐκπολεμῶσαι αὐτοὺς πρὸς τὸν εἰρηκότα· οὕτω γὰρ καὶ περιέστειλεν ἐκεῖνον καὶ τὴν κατηγορίαν ἀδεῶς ἐξεκάλυψεν. Οὐ γὰρ τὸ ἐκείνων εἶδε μόνον ἀλλὰ καὶ τὸ τούτων συμφέρον. Διὰ τοῦτο οὐκ εἶπεν· ἐδηλώθη μοι παρά τινων, ἀλλὰ καὶ τὴν οἰκίαν δήλην ἐποίησεν, ὥστε μὴ νομίζεσθαι πλάττειν. Τί ἐδηλώθη; «Ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν». Ὅτε μὲν οὖν αὐτοῖς ἐπιτιμᾷ, λέγει, «ἵνα μὴ ἐν ὑμῖν σχίσματα ᾖ»· ὅτε δὲ τὰ ἑτέρων ἀπαγγέλλει, πραότερον ἀπαγγέλλει λέγων, «Ἐδηλώθη γάρ μοι ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν», ὥστε μὴ συγκροῦσαι τοὺς εἰρηκότας.

Εἶτα λέγει καὶ τῆς ἔριδος τὸ εἶδος. «Ὅτι ἕκαστος ὑμῶν λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ». Ἔριδας γὰρ οὐ φημί, φησί, τὰς περὶ ἰδιωτικῶν πραγμάτων, ἀλλὰ τὰς χαλεπωτέρας. «Ὅτι ἕκαστος ὑμῶν λέγει». Οὐ γὰρ μέρος, ἀλλὰ τὸ πᾶν ἐπενέμετο τῆς ἐκκλησίας ἡ φθορά. Καίτοιγε οὐδὲ περὶ ἑαυτοῦ οὐδὲ περὶ Πέτρου οὐδὲ περὶ Ἀπολλὼ ἔλεγον, ἀλλὰ δείκνυσιν ὅτι, εἰ τούτοις ἐπερείδεσθαι οὐ χρή, πολλῷ μᾶλλον ἑτέροις. Ὅτι γὰρ οὔτε περὶ αὐτῶν ἔλεγον, προϊών φησι· «Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν». Εἰ γὰρ Παύλου καὶ Ἀπολλὼ καὶ Κηφᾶ οὐκ ἐχρῆν ἐπιφημίζειν ἑαυτοῖς τὰ ὀνόματα, πολλῷ μᾶλλον ἑτέρων. Εἰ τὸν διδάσκαλον καὶ πρῶτον τῶν ἀποστόλων καὶ τοσοῦτον κατηχήσαντα δῆμον οὐκ ἐχρῆν ἐπιγράφεσθαι, πολλῷ μᾶλλον τοὺς οὐδὲν ὄντας. Μεθ' ὑπερβολῆς τοίνυν ἀπαγαγεῖν αὐτοὺς τοῦ νοσήματος σπεύδων ταῦτα τίθησι τὰ ὀνόματα. Ἄλλως δὲ καὶ ἀνεπαχθέστερον ποιεῖ τὸν λόγον οὐκ ὀνομαστὶ μεμνημένος τῶν διατεμνόντων τὴν ἐκκλησίαν, ἀλλ' ὥσπερ τισὶ προσώποις ταῖς τῶν ἀποστόλων προσηγορίαις κρύπτων αὐτούς. «Ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ».

---

3. αὐτ. 12
4. Α΄ Κορ. 4,6

ρε μεμονωμένον τὸ πρόσωπον, ἀλλὰ ὁλόκληρον τὴν οἰκίαν, ὥστε νὰ μὴ τοὺς καταστήσῃ ἐχθροὺς τοῦ πληροφοριοδότου του· ἔτσι δηλαδὴ ἐπροστάτευσεν ἐκεῖνον καὶ συγχρόνως χωρὶς φόβον ἀπεκάλυψε τὴν κατηγορίαν· διότι δὲν ἀπέβλεψε μόνον εἰς τὸ συμφέρον ἐκείνου, ἀλλὰ καὶ τὸ ἰδικόν των συμφέρον· διὰ τοῦτο δὲν εἶπεν, Μοῦ ἀνεφέρθη ἀπὸ κάποιους, ἀλλὰ ἀπεκάλυψε καὶ τὴν οἰκίαν, ὥστε νὰ μὴ θεωρηθῇ ὅτι μόνος του τὰ ἐπινοεῖ. Τί ἀνεφέρθη; «Ὅτι ὑπάρχουν ἔριδες μεταξύ σας». Ὅταν λοιπὸν τοὺς ἐπτιμᾷ, λέγει, «ἵνα μὴ ἐν ὑμῖν σχίσματα ᾖ», ἀλλά, ὅταν ἀνακοινώνῃ τοὺς λόγους ἄλλων, τοὺς ἀναφέρει μὲ ἠπιότητα, λέγων, «Ἐδηλώθη γάρ μοι ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν», ὥστε νὰ μὴ δημιουργήσῃ ἀντίθεσιν πρὸς τοὺς πληροφοριοδότας του.

Κατόπιν ἀναφέρει καὶ τὸ εἶδος τῆς ἔριδος· «Ὅτι κάθε ἕνας ἀπὸ σᾶς λέγει, ἐγὼ εἶμαι τοῦ Παύλου, ἐγὼ τοῦ Ἀπολλώ, ἐγὼ τοῦ Κηφᾶ»[3]. Ἔριδας δηλαδὴ —λέγει— δὲν ἐννοῶ τὰς διαφωνίας διὰ ἰδιωτικὰς ὑποθέσεις, ἀλλὰ τὰς σοβαρωτέρας τούτων. «Ὅτι κάθε ἕνας ἀπὸ σᾶς λέγει». Ἡ φθορὰ δηλαδὴ δὲν ἐπεξετάθη εἰς ἓν μόνον μέρος, ἀλλὰ εἰς ὁλόκληρον τὴν ἐκκλησίαν. Ἂν καὶ δὲν διεφώνουν διὰ τὸν ἑαυτόν του οὔτε διὰ τὸν Πέτρον οὔτε διὰ τὸν Ἀπολλώ, ἀλλ᾽ ὅμως δεικνύει ὅτι, ἐὰν δὲν πρέπει νὰ στηρίζωνται εἰς αὐτούς, πολὺ περισσότερον δὲν πρέπει νὰ στηρίζωνται εἰς ἄλλους. Ὅτι δηλαδὴ οὔτε δι᾽ αὐτοὺς διεφώνουν λέγει ἐν συνεχείᾳ εἰς τὴν ἐπιστολήν του: «Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν»[4]. Διότι, ἐὰν δὲν ἔπρεπε νὰ χρησιμοποιοῦν πρὸς ὄφελός των τὰ ὀνόματα τοῦ Παύλου, τοῦ Ἀπολλὼ καὶ τοῦ Κηφᾶ, πολὺ περισσότερον δὲν ἔπρεπε ἄλλων· ἐὰν δὲν ἔπρεπε νὰ ἰδιοποιοῦνται τὸν διδάσκαλον, τὸν πρῶτον τῶν ἀποστόλων, ὁ ὁποῖος ἐκατήχησε τόσον λαόν, πολὺ περισσότερον δὲν ἔπρεπεν ἐκείνους ποὺ δὲν εἶχον καμμίαν ἀξίαν. Ἐπειδὴ λοιπὸν ἐπείγεται νὰ ἀπαλλάξῃ αὐτοὺς ἀπὸ τὴν ἀσθένειαν, χρησιμοποιεῖ αὐτὰ τὰ ὀνόματα. Ἄλλωστε κάμνει τὸν λόγον του καὶ ὀλιγώτερον δυσάρεστον μὲ τὸ νὰ μὴ ἀναφέρῃ ὀνομαστικῶς τοὺς διαιροῦντας τὴν Ἐκκλησίαν, ἀλλὰ τοὺς κρύπτει χρησιμοποιῶν ὡς πρόσωπα τὰ ὀνόματα τῶν ἀποστόλων· «Ἐγὼ εἶμαι τοῦ Παύλου, ἐγὼ τοῦ Ἀπολλώ, ἐγὼ τοῦ Κηφᾶ».

2. Οὐ προτιμῶν ἑαυτὸν τοῦ Πέτρου τέθεικεν ἔσχατον ἐκεῖνον, ἀλλὰ καὶ σφόδρα τὸν Πέτρον ἑαυτοῦ προτιθείς. Κατὰ γὰρ αὔξησιν προήγαγε τὸν λόγον, ἵνα μὴ νομισθῇ φθόνῳ τοῦτο ποιεῖν καὶ ἀφαιρεῖσθαι ἐκείνους τὴν τιμὴν διὰ βασκανίαν. Διὰ τοῦτο καὶ ἑαυτὸν τέθεικε, καὶ πρῶτον. Ὁ γὰρ πρῶτον ἑαυτὸν ἀποδοκιμάζων οὐκ ἀπὸ τοῦ τιμῆς ἐρᾶν τοῦτο ποιεῖ ἀλλ' ἀπὸ τοῦ σφόδρα καταφρονεῖν τῆς τοιαύτης δόξης. Τὴν τοίνυν ἅπασαν προσβολὴν αὐτὸς δέχεται, καὶ τότε τίθησι τὸν Ἀπολλώ, καὶ τότε τὸν Κηφᾶν. Οὐ τοίνυν ἐπαίρων ἑαυτὸν τοῦτο ἐποίησεν, ἀλλ' ἐν οἷς οὐκ ἐχρῆν γίνεσθαι, διὰ τοῦ οἰκείου προσώπου πρῶτον ποιεῖται τὴν διόρθωσιν. Ἀλλ' ὅτι μὲν οἱ τῷ δεῖνι καὶ τῷ δεῖνι προσνέμοντες ἑαυτοὺς ἡμάρτανον, δῆλον· καὶ καλῶς ἐνεκάλεσεν εἰπὼν ὅτι οὐ καλῶς ποιεῖτε λέγοντες, «Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ».

Τίνος δὲ ἕνεκεν προσέθηκεν, «ἐγὼ δὲ Χριστοῦ»; Εἰ γὰρ οἱ ἀνθρώποις προσνέμοντες ἑαυτοὺς ἡμάρτανον, οὐ δήπου καὶ οἱ τῷ Χριστῷ ἑαυτοὺς ἀνατιθέντες. Ἀλλ' οὐ τοῦτο ἐνεκάλει, ὅτι τὸν Χριστὸν ἑαυτοῖς ἐπεφήμιζον, ἀλλ' ὅτι μὴ πάντες μόνον. Οἶμαι δὲ αὐτὸν καὶ οἴκοθεν αὐτὸ προστεθεικέναι βουλόμενον βαρύτερον τὸ ἔγκλημα ποιῆσαι καὶ δεῖξαι οὕτω καὶ τὸν Χριστὸν εἰς μέρος δοθέντα ἕν, εἰ καὶ μὴ οὕτως ἐποίουν τοῦτο ἐκεῖνοι. Ὅτι γὰρ τοῦτο ᾐνίξατο, διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών· «Μεμέρισται ὁ Χριστός;». Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· κατετέμετε τὸν Χριστὸν καὶ διείλετε αὐτοῦ τὸ σῶμα. Ὁρᾷς θυμόν, ὁρᾷς ἐπίπληξιν, ὁρᾷς λόγον γέμοντα ἀγανακτήσεως; Ὅταν γὰρ μὴ κατασκευάζῃ, ἀλλ' ἐρωτᾷ μόνον, ὡς ὡμολογημένου τοῦ ἀτόπου τοῦτο ποιεῖ. Τινὲς δὲ καὶ ἕτερον αὐτόν φασιν αἰνίττεσθαι διὰ τοῦ λέγειν, «Μεμέρισται ὁ Χριστός»· οἷον, διενείματο πρὸς ἀνθρώπους καὶ ἐμερίσατο τὴν ἐκκλησίαν, καὶ μοῖραν τὴν μὲν αὐτὸς ἔλαβε, τὴν δὲ ἐκείνοις ἔδωκεν. Εἶτα ἐργάζεται λοι-

---

5. αὐτ. 1,13

2. Ἀνέφερε τὸν Πέτρον τελευταῖον ὄχι διότι ἐθεώρει τὸν ἑαυτόν του ἀνώτερον ἐκείνου, ἀλλὰ ἀπεναντίας, διότι τὸν Πέτρον τὸν ἐθεώρει πολὺ ἀνώτερον τοῦ ἑαυτοῦ του. Προχώρησε δηλαδὴ τὸν λόγον του κατὰ αὔξουσαν σημασίαν, διὰ νὰ μὴ θεωρηθῇ ὅτι τὸ κάνει αὐτὸ ἀπὸ φθόνον καὶ ἀφαιρέσῃ ἀπὸ ἐκείνους τὴν τιμὴν λόγῳ βασκανίας. Διὰ τοῦτο ἔχει θέσει τὸν ἑαυτόν του καὶ πρῶτον. Ἐκεῖνος δηλαδὴ ποὺ πρῶτος ἀποδοκιμάζει τὸν ἑαυτόν του δὲν τὸ κάμνει, διότι ποθεῖ τιμήν, ἀλλὰ διότι τελείως περιφρονεῖ τὴν δόξαν τοῦ εἴδους αὐτοῦ. Δέχεται λοιπὸν ὁ ἴδιος ὅλην τὴν ἐπίθεσιν καὶ μετὰ ἀναφέρει τὸν Ἀπολλὼ καὶ ἐν συνεχείᾳ τὸν Κηφᾶν. Δὲν ἔκαμε βεβαίως τοῦτο ἐξυψώνων τὸν ἑαυτόν του, ἀλλὰ εἰς θέματα ποὺ δὲν ἔπρεπε νὰ δημιουργηθοῦν ἐπιχειρεῖ τὴν διόρθωσιν κατὰ πρῶτον μὲ τὸ ἰδικόν του πρόσωπον. Εἶναι βεβαίως φανερὸν ὅτι ἡμάρτανον ὅσοι συνέτασσον τοὺς ἑαυτούς των μὲ τὸν τάδε καὶ τὸν τάδε, καὶ καλῶς τοὺς ἐκατηγόρησε εἰπὼν ὅτι, δὲν ἐνεργεῖτε ὀρθῶς λέγοντες, «Ἐγὼ μὲν εἶμαι τοῦ Παύλου, ἐγὼ τοῦ Ἀπολλώ, ἐγὼ τοῦ Κηφᾶ».

Διὰ ποῖον λόγον προσέθεσε τὸ «Ἐγὼ δέ, τοῦ Χριστοῦ»; Διότι ἐὰν ἡμάρτανον ὅσοι συνέτασσον τοὺς ἑαυτούς των μὲ ἀνθρώπους, δὲν ἡμάρτανον βεβαίως καὶ ὅσοι ἀφιέρωνον τοὺς ἑαυτούς των εἰς τὸν Χριστόν. Ἀλλὰ δὲν ἐκατηγόρει τοῦτο, τὸ ὅτι δηλαδὴ ἰδιοποιοῦντο τὸν Χριστόν, ἀλλὰ ὅτι δὲν τὸν ἰδιοποιοῦντο ὅλοι μόνον Αὐτόν. Νομίζω ὅτι ὁ ἴδιος ἀπὸ ἰδικήν του σκέψιν ἔχει προσθέσει τοῦτο, ἐπειδὴ ἤθελε νὰ παρουσιάσῃ βαρύτερον τὸ ἁμάρτημα καὶ ἔτσι νὰ δείξῃ ὅτι ἀκόμη καὶ ὁ Χριστὸς περιωρίσθη εἰς ἓν μόνον μέρος τῶν Χριστιανῶν, ἂν καὶ ἐκεῖνοι δὲν ἔπραττον ἀκριβῶς ἔτσι· διότι μὲ τοὺς ἑξῆς λόγους ἐφανέρωσε ὅτι ἔκαμε τοιαύτην νύξιν· «Ἔχει κομματιασθῆ ὁ Χριστός»[5]. Αὐτὸ ποὺ λέγει σημαίνει· Κατεκομματιάσατε τὸν Χριστὸν καὶ διῃρέσατε τὸ σῶμα Του. Βλέπεις θυμόν, βλέπεις ἐπίπληξιν, βλέπεις λόγον γεμᾶτον ἀπὸ ἀγανάκτησιν; Ὅταν δηλαδὴ δὲν φέρῃ ἀποδείξεις, ἀλλὰ ἐρωτᾷ μόνον, τὸ κάμνει διότι εἶχον πλέον ὁμολογήσει τὸ ἄτοπον. Μερικοὶ ἰσχυρίζονται ὅτι ὁ Παῦλος ὑπονοεῖ καὶ κάτι ἄλλο μὲ τὸ νὰ λέγῃ «Μεμέρισται ὁ Χριστός», δηλαδὴ ἐχώρισε καὶ διεμοίρασε τὴν ἐκκλησίαν μὲ τοὺς ἀνθρώπους καὶ ἐπῆρε ὁ ἴδιος μὲν ἓν τμῆμα, ἄλλο δὲ τμῆμα ἔδωκεν εἰς ἐκείνους. Ἐν συνεχείᾳ ἐργάζεται διὰ τὴν ἐκρίζωσιν τοῦ κακοῦ λέγων: «Μήπως

πὸν τὴν ἀναίρεσιν τοῦ ἀτόπου, λέγων· «Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;

Ὅρα φιλόχριστον γνώμην, πῶς ἐπὶ τοῦ οἰκείου λοιπὸν ὀνόματος προσάγει τὸ πᾶν ἐκ περιουσίας δεικνὺς ὅτι οὐ προσήκει οὐδενὶ αὕτη ἡ τιμή. Καὶ ἵνα μὴ δόξῃ φθόνῳ κινούμενος ταῦτα λέγειν, διὰ τοῦτο συνεχῶς ἑαυτὸν περιστρέφει. Καὶ σκόπει τὴν σύνεσιν. Οὐ γὰρ εἶπε, μὴ Παῦλος τὸν κόσμον ἐποίησε; μὴ Παῦλος ὑμᾶς ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν; ἀλλ' ἃ ἦν τῶν πιστῶν ἐξαίρετα μόνον καὶ πολλῆς κηδεμονίας, ταῦτα τίθησι, τὸν σταυρὸν καὶ τὸ βάπτισμα καὶ τὰ ἐκ τούτων ἀγαθά. Δείκνυσι μὲν γὰρ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ ἡ τοῦ κόσμου δημιουργία, μάλιστα δὲ ἡ διὰ τοῦ σταυροῦ συγκατάβασις.

Καὶ οὐκ εἶπε, μὴ Παῦλος ἀπέθανεν ὑπὲρ ὑμῶν; ἀλλά, «μὴ Παῦλος ἐσταυρώθη;», καὶ τὸ εἶδος τοῦ θανάτου τιθείς· «ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;» Καὶ οὐκ εἶπε, μὴ Παῦλος ἐβάπτισεν ὑμᾶς; ἐβάπτισε γὰρ πολλούς· ἀλλ' οὐ τὸ ζητούμενον τοῦτο ἦν, ὑπὸ τίνος ἐβαπτίσθησαν, ἀλλ' εἰς τὸ τίνος ὄνομα ἐβαπτίσθησαν. Ἐπειδὴ γὰρ καὶ τοῦτο αἴτιον ἐγένετο σχισμάτων, τὸ ἀπὸ τῶν βαπτισάντων καλεῖσθαι, καὶ τοῦτο διορθοῦται λέγων, «Μὴ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;». Καὶ μὴ γὰρ εἴπῃς, φησί, τίς ἐβάπτισεν, ἀλλ', εἰς τὸ τίνος ὄνομα. Οὐ γὰρ ὁ βαπτίσας ἀλλ' ὁ καλούμενος εἰς τὸ βάπτισμα ζητεῖται· οὗτος γὰρ ἀφίησι τὰ ἁμαρτήματα. Καὶ ἄχρι τούτου στήσας τὸν λόγον οὐκέτι τοῖς ἑξῆς ἐπεξέρχεται. Οὐ γὰρ λέγει, μὴ Παῦλος ὑμῖν ἐπηγγείλατο τὰ μέλλοντα ἀγαθά; μὴ Παῦλος ὑπέσχετο βασιλείαν οὐρανῶν;

Τί δήποτε οὖν οὐχὶ καὶ ταῦτα προστίθησιν; Ὅτι οὐκ ἔστιν ἴσον βασιλείαν ἐπαγγείλασθαι καὶ σταυρωθῆναι. Ἐκεῖνο μὲν γὰρ οὔτε κίνδυνον εἶχεν οὔτε αἰσχύνην ἔφερε, τοῦτο δὲ ἅπαντα ταῦτα· ἄλλως δὲ καὶ ἐκεῖνα ἀπὸ τούτων κατασκευάζει. Εἰπὼν γάρ. «Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο», ἐπήγαγε, «πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν

ὁ Παῦλος ἐσταυρώθη διὰ σᾶς ἢ μήπως ἐβαπτίσθητε εἰς τὸ ὄνομα τοῦ Παύλου;»

Πρόσεξε τὴν φιλόχριστον σκέψιν, πῶς τὰ πάντα τὰ ἀναφέρει εἰς τὸ ἰδικόν του ὄνομα δεικνύων πληρέστατα ὅτι εἰς κανένα ἄνθρωπον δὲν ἀνήκει αὐτὴ ἡ τιμή· καὶ διὰ νὰ μὴ φανῇ ὅτι τὰ λέγει αὐτὰ κινούμενος ἀπὸ φθόνον, διὰ τοῦτο συνεχῶς ἐπαναφέρει τὸν ἑαυτόν του. Καὶ πρόσεξε τὴν σύνεσιν· δὲν εἶπε δηλαδή, Μήπως ὁ Παῦλος ἐδημιούργησε τὸν κόσμον; μήπως ὁ Παῦλος σᾶς ἔδωκε ζωήν; ἀλλὰ τονίζει μόνον ὅσα εἶναι διὰ τοὺς πιστοὺς ἐξαίρετα καὶ χρειάζονται πολλὴν ἐπιμέλειαν, δηλαδὴ τὸν σταυρὸν καὶ τὸ βάπτισμα καὶ τὰ ἀγαθὰ ποὺ ἀπορρέουν ἀπὸ αὐτά· διότι τὴν ἀγάπην τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον τὴν δεικνύει μὲν καὶ ἡ δημιουργία τοῦ κόσμου, προπαντὸς ὅμως ἡ συγκατάβασις διὰ τοῦ σταυροῦ.

Καὶ δὲν εἶπε, Μήπως ὁ Παῦλος ἀπέθανε διὰ σᾶς, ἀλλὰ «μήπως ὁ Παῦλος ἐσταυρώθη;» προσδιορίζων τὸ εἶδος τοῦ θανάτου· «ἢ εἰς τὸ ὄνομα τοῦ Παύλου ἐβαπτίσθητε;»· καὶ δὲν εἶπε, Μήπως ὁ Παῦλος σᾶς ἐβάπτισεν; διότι ἐβάπτισε πολλούς· ἀλλὰ δὲν ἦτο τοῦτο τὸ ζητούμενον, δηλαδὴ ἀπὸ ποῖον ἐβαπτίσθησαν, ἀλλὰ εἰς τὸ ὄνομα τίνος ἐβαπτίσθησαν. Ἐπειδὴ δηλαδὴ καὶ τοῦτο ἔγινεν αἴτιον σχισμάτων, τὸ νὰ ὀνομάζωνται (οἱ πιστοὶ) ἀπὸ τὸ ὄνομα ἐκείνων ποὺ τοὺς ἐβάπτισαν, διορθώνει καὶ τοῦτο λέγων: «Μήπως ἐβαπτίσθητε εἰς τὸ ὄνομα τοῦ Παύλου;». Μὴ μοῦ εἴπῃς δηλαδὴ —λέγει— ποῖος σὲ ἐβάπτισεν, ἀλλὰ εἰς τὸ ὄνομα τίνος· ζητεῖται δηλαδὴ ὄχι ἐκεῖνος ποὺ ἐβάπτισεν, ἀλλὰ ἐκεῖνος τὸν ὁποῖον ἐπικαλοῦνται εἰς τὸ βάπτισμα· διότι αὐτὸς συγχωρεῖ τὰ ἁμαρτήματα. Μέχρι αὐτοῦ τοῦ σημείου ὡμίλησεν ἐπ' αὐτοῦ καὶ δὲν ἐπροχώρησε πλέον εἰς τὴν συνέχειαν· διότι δὲν λέγει. Μήπως ὁ Παῦλος σᾶς ὑπεσχέθη τὰ μελλοντικὰ ἀγαθά; μήπως ὁ Παῦλος σᾶς ὑπεσχέθη βασιλείαν τῶν οὐρανῶν;

Διατί λοιπὸν δὲν προσθέτει καὶ αὐτά; Διότι τὸ νὰ ὑποσχεθῇς βασιλείαν δὲν εἶναι ἴσον μὲ τὸ νὰ σταυρωθῇς· τὸ πρῶτον μὲν οὔτε κίνδυνον περιεῖχε οὔτε ἔφερεν αἰσχύνην, τὸ δεύτερον ὅμως τὰ εἶχε ὅλα αὐτά· ἄλλωστε καὶ ἐκεῖνα τὰ ἀποδεικνύει ἀπὸ αὐτά· ἀφοῦ εἶπε δηλαδή, «Αὐτὸς ὁ ὁποῖος, ὡς γνωστόν, δὲν ἐλυπήθη τὸν ἰδικόν του Υἱόν», «πῶς μαζὶ μὲ αὐτὸν δὲν θὰ μᾶς χαρίσῃ τὰ πάντα;» προσ-

χαρίσεται;»· καὶ πάλιν, «Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα». Τούτου ἕνεκεν οὐκ ἐπήγαγεν ἐκεῖνα· καὶ ὅτι τὰ μὲν οὐδέπω εἶχον, τῶν δὲ ἤδη πεῖραν εἰλήφεσαν καὶ τὰ μὲν ἦν ἐν ἐπαγγελίαις τὰ δὲ ἤ γεγένητο.

«Εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον». Τί μέγα φρονεῖτε ἐπὶ τῷ βαπτίσαι, ὅπου γε ἐγὼ καὶ εὐχαριστῶ, ὅτι οὐκ ἐποίησα τοῦτο; Ταῦτα δὲ λέγων καθαιρεῖ τὸ ἐπὶ τούτῳ φύσημα οἰκονομικῶς, οὐχὶ τὴν δύναμιν τοῦ βαπτίσματος, μὴ γένοιτο, ἀλλὰ τὴν ἀπόνοιαν τῶν μέγα ἐπὶ τῷ βαπτίσαι φρονούντων, πρῶτον μὲν τῷ δεικνύναι ὅτι οὐκ αὐτῶν ἐστι τὸ δῶρον, δεύτερον δὲ τῷ εὐχαριστεῖν τῷ Θεῷ διὰ τοῦτο. Μέγα μὲν γὰρ τὸ βάπτισμα, ἀλλὰ μέγα αὐτὸ οὐχ ὁ βαπτίζων ποιεῖ ἀλλ' ὁ καλούμενος εἰς τὸ βάπτισμα· ἐπεὶ τὸ βαπτίσαι οὐδέν ἐστιν ὅσον εἰς ἀνθρώπινον πόνον· ἀλλὰ πολλῷ ἔλαττον τοῦ εὐαγγελίσασθαι. Μέγα μὲν γάρ ἐστι, πάλιν φημί, τὸ βάπτισμα, καὶ ἄνευ βαπτίσματος ἀμήχανον βασιλείας ἐπιτυχεῖν· ἀλλὰ δύναται αὐτὸ καὶ ἀνὴρ οὐ σφόδρα γενναῖος ποιῆσαι, τὸ δὲ εὐαγγελίσασθαι πολλοῦ δεῖται πόνου.

3. Λέγει δὲ καὶ τὴν αἰτίαν, δι' ἣν εὐχαριστεῖ, ὅτι οὐδένα ἐβάπτισε. Τίς οὖν ἐστιν αὕτη; «Ἵνα μή τις εἴπῃ», φησίν, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβαπτίσθητε». Περὶ γὰρ ἐκείνων τοῦτο ἔλεγον; Οὐδαμῶς· ἀλλὰ δέδοικα, φησί, μὴ καὶ εἰς τοῦτο προβῇ τὸ νόσημα. Εἰ γὰρ εὐτελῶν ἀνθρώπων καὶ οὐδενὸς ἀξίων λόγου βαπτιζόντων αἵρεσις γέγονεν, εἰ ἐγὼ ὁ καταγγείλας τὸ βάπτισμα πολλοὺς ἐβάπτισα, εἰκὸς ἦν συστάντας μὴ μόνον ἐπὶ τῷ ὀνόματί μου καλεῖσθαι, ἀλλὰ καὶ τὸ βάπτισμα ἐμοὶ ἐπιφημίζειν. Εἰ γὰρ ἀπὸ τῶν ἐλαττόνων τοσοῦτον ἐγένετο κακόν, ἴσως ἂν καὶ ἐπὶ πολλῷ χαλεπώτερον ἀπὸ τῶν μειζόνων προύβη. Ἐντρέψας τοίνυν τοὺς διεφθαρμένους ταύτῃ, καὶ προσειπών, «Ἐβάπτισα δὲ

---

6. Ρωμ. 8,32
7. αὐτ. 5,10
8. Α' Κορ. 1,14
9. αὐτ. 15.

ἔθεσε[6]. «Διότι ἐὰν καὶ πάλιν, ἐνῶ ἤμεθα ἐχθροί, συνεφιλιώθημεν μὲ τὸν Θεὸν διὰ τοῦ θανάτου τοῦ Υἱοῦ του, πολὺ περισσότερον, ἀφοῦ συνεφιλιώθημεν, θὰ σωθῶμεν»[7]. Διὰ τὸν λόγον τοῦτον δὲν προσέθεσεν ἐκεῖνα καὶ διότι ἄλλα μὲν δὲν τὰ κατεῖχον ἀκόμη, ἄλλα δὲ τὰ εἶχον γευθῆ· ἄλλα μὲν ἦσαν ὑποσχέσεις, ἄλλα δὲ ἦσαν πλέον γεγονότα.

«Εὐχαριστῶ τὸν Θεὸν ποὺ δὲν ἐβάπτισα κανένα ἀπὸ σᾶς, παρὰ μόνον τὸν Κρίσπον καὶ τὸν Γάϊον»[8]. Διατί μεγαλοφρονεῖτε διὰ τὸ ὅτι βαπτίζετε, ἐνῶ ἐγὼ ἀπεναντίας εὐχαριστῶ τὸν Θεόν, διότι δὲν ἔπραξα τοῦτο; Λέγων δὲ αὐτὰ ἀφαιρεῖ μὲ ἐπιμέλειαν τὴν ἀλαζονείαν διὰ τὴν ἐκτέλεσιν τοῦ βαπτίσματος, ὄχι τὴν δύναμιν τοῦ βαπτίσματος —μὴ γένοιτο— ἀλλὰ τὴν μωρίαν τῶν μεγαλοφρονούντων διὰ τὸ βάπτισμα, πρῶτον μὲν μὲ τὸ νὰ δεικνύῃ ὅτι δὲν εἶναι ἰδικόν των δῶρον, δεύτερον δὲ μὲ τὸ νὰ εὐχαριστῇ τὸν Θεὸν διὰ τοῦτο· διότι εἶναι μὲν τὸ βάπτισμα μέγα, ἀλλὰ τὸ καθιστᾷ μέγα ὄχι ὁ βαπτίζων ἀλλὰ ὁ καλούμενος εἰς τὸ βάπτισμα· τὸ βάπτισμα βεβαίως ἀπαιτεῖ σημαντικὸν ἀνθρώπινον κόπον, ἀλλὰ εἶναι πολὺ εὐκολώτερον τοῦ εὐαγγελισμοῦ. Εἶναι δηλαδὴ μέγα μὲν τὸ βάπτισμα —τὸ ἐπαναλαμβάνω— καὶ χωρὶς τὸ βάπτισμα εἶναι ἀδύνατον νὰ ἐπιτύχῃ ὁ ἄνθρωπος τὴν βασιλείαν· ἀλλὰ αὐτὸ δύναται νὰ τὸ πραγματοποιήσῃ καὶ ἄνθρωπος ποὺ δὲν εἶναι πολὺ γενναῖος, ὁ εὐαγγελισμὸς ὅμως χρειάζεται πολὺν κόπον.

3. Λέγει δὲ καὶ τὴν αἰτίαν, διὰ τὴν ὁποίαν εὐχαριστεῖ ὅτι κανένα δὲν ἐβάπτισε. Ποία λοιπὸν εἶναι αὐτή; Λέγει· «Διὰ νὰ μὴ εἴπῃ κανεὶς ὅτι ἐβαπτίσθητε εἰς τὸ ἰδικόν μου ὄνομα»[9]. Ἔλεγον λοιπὸν τοῦτο δι' ἐκείνους; Καθόλου; «Ἀλλὰ φοβοῦμαι —λέγει— μήπως τὸ νόσημα προχωρήσῃ μέχρις αὐτοῦ τοῦ σημείου. Ἐὰν δηλαδὴ ἔχῃ γίνει ἐκλογὴ μεταξὺ εὐτελῶν ἀνθρώπων ποὺ βαπτίζουν χωρὶς οἱ ἴδιοι νὰ ἔχουν καμμίαν ἀξίαν, ἐὰν ἐγὼ ποὺ ἐκήρυξα τὸ βάπτισμα ἐβάπτισα πολλούς, θὰ ἦτο φυσικὸν αὐτοὶ ἀφοῦ συνενωθοῦν ὄχι μόνον νὰ ὀνομάζωνται ἀπὸ τὸ ὄνομά μου, ἀλλὰ καὶ νὰ ταυτίζουν τὸ βάπτισμα μὲ ἐμέ»· διότι ἐὰν προεκλήθη τόσον μέγα κακὸν ἀπὸ δευτερεύοντα θέματα, ἴσως θὰ ἐδημιουργοῦντο χειρότεραι καταστάσεις ἀπὸ σοβαρωτέρας αἰτίας. Ἀφοῦ λοιπὸν ἤλεγξεν ὅσους εἶχον ἁμαρτήσει εἰς τὸ θέμα τοῦτο καὶ ἀφοῦ προσέθεσε «Ἐβάπτισα δὲ καὶ

καὶ τὸν Στεφανᾶ οἶκον»· πάλιν αὐτῶν ὑποσύρει τὸν τῦφον λέγων, «Λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα». Ἐντεῦθεν γὰρ δείκνυσιν ὅτι οὐδὲ περισπούδαστον ἦν αὐτῷ τῆς ἀπὸ τούτου τιμῆς ἀπολαύειν παρὰ τῶν πολλῶν, οὐδὲ δόξης ἕνεκεν ἐπὶ τοῦτο ἤρχετο.

Οὐ τούτοις δὲ μόνον ἀλλὰ καὶ τοῖς ἑξῆς σφόδρα αὐτῶν καταστέλλει τὴν φλεγμονὴν λέγων· «Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλὰ εὐαγγελίζεσθαι». Τὸ γὰρ ἐπιπονώτερον καὶ πολλοῦ δεόμενον μόχθου καὶ ψυχῆς σιδηρᾶς, καὶ ὃ πάντα συνεῖχε, τοῦτο ἦν. Διὸ καὶ Παῦλος αὐτὸ ἐνεχειρίζετο. Καὶ τίνος ἕνεκεν μὴ ἀποσταλεὶς βαπτίζειν, ἐβάπτιζεν; Οὐ μαχόμενος τῷ ἀποστείλαντι ἀλλ' ἐκ περιουσίας τοῦτο ποιῶν. Οὐ γὰρ εἶπεν ὅτι ἐκωλύθην, ἀλλ' ὅτι οὐκ ἀπεστάλην ἐπὶ τούτῳ, ἀλλ' ἐπὶ τῷ ἀναγκαιοτάτῳ. Τὸ μὲν γὰρ εὐαγγελίζεσθαι ἑνός που καὶ δευτέρου, τὸ δὲ βαπτίζειν παντὸς ἂν εἴη τοῦ τὴν ἱερωσύνην ἔχοντος. Ἄνθρωπον μὲν γὰρ κατηχούμενον λαβόντα καὶ πεπεισμένον βαπτίσαι παντὸς οὑτινοσοῦν ἐστιν — ἡ γὰρ προαίρεσις τοῦ προσιόντος λοιπὸν ἐργάζεται τὸ πᾶν, καὶ ἡ τοῦ Θεοῦ χάρις— ὅταν δὲ ἀπίστους δέῃ κατηχῆσαι, πολλοῦ δεῖ πόνου, πολλῆς τῆς σοφίας· τότε δὲ καὶ τὸ κινδυνεύειν προσῆν.

Ἐκεῖ μὲν γὰρ τὸ πᾶν γέγονε, καὶ πέπεισται ὁ μυσταγωγεῖσθαι μέλλων, καὶ οὐδὲν μέγα πεισθέντα βαπτίσαι· ἐνταῦθα δὲ πολὺς ὁ πόνος, ὥστε μεταπεῖσαι προαίρεσιν καὶ μεταθεῖναι γνώμην καὶ ἀναμοχλεῦσαι πλάνην καὶ καταφυτεῦσαι τὴν ἀλήθειαν. Ἀλλ' οὐ λέγει ταῦτα οὕτως οὐδὲ κατασκευάζει καί φησιν ὅτι οὐδένα πόνον ἔχει τὸ βαπτίσαι ἀλλὰ τὸ εὐαγγελίσασθαι· οἶδε γὰρ ἀεὶ μετριάζειν· ἀλλ' ἐν τῇ συγκρίσει τῆς ἔξωθεν σοφίας σφόδρα ἀποτείνεται, ἔνθα καταφορικωτέρῳ ἠδύνατο χρήσασθαι λόγῳ· Οὐ τοίνυν ἐναντιούμενος τῷ πέμποντι ἐβάπτιζεν· ἀλλ' ὥσπερ ἐπὶ τῶν

10. αὐτ. 16
11. αὐτ. 17

τὴν οἰκογένειαν τοῦ Στεφανᾶ», πάλιν ἐλαττώνει τὴν ἀλαζονείαν των λέγων· «Λοιπόν, δὲ γνωρίζω ἂν ἐβάπτισα κανένα ἄλλον»[10]· ἐδῶ δηλαδὴ δεικνύει ὅτι καθόλου δὲν τὸν ἐνδιέφερε τὸ νὰ τὸν τιμοῦν οἱ πολλοί· διὰ τοῦτο οὔτε ἐβάπτιζε χάριν δόξης.

Καὶ ὄχι μόνον μὲ αὐτὰ ἀλλὰ καὶ μὲ τὰ ἑξῆς περιορίζει πολὺ τὴν ἔντασιν τῆς ἀσθενείας των λέγων· «Διότι ὁ Χριστὸς δὲν μὲ ἔστειλε νὰ βαπτίζω ἀλλὰ νὰ κηρύττω τὸ Εὐαγγέλιον»[11]. Τοῦτο δηλαδὴ ἦτο τὸ πλέον ἐπίπονον ποὺ ἤθελε πολὺν μόχθον καὶ σιδηρᾶν ψυχὴν καὶ τὸ ὁποῖον περιελάμβανε τὰ πάντα· διὰ τοῦτο καὶ ὁ Παῦλος αὐτὸ τὸ ἔργον ἀνελάμβανε. Καὶ διὰ ποῖον λόγον ἐβάπτιζεν, ἐνῷ δὲν ἀπεστάλη νὰ βαπτίζῃ; Τὸ ἔκαμνε ὄχι ἐναντιούμενος εἰς ἐκεῖνον ποὺ τὸν ἀπέστειλεν, ἀλλὰ ἀπὸ περίσσειαν ζήλου· διότι δὲν εἶπεν ὅτι τοῦ εἶχεν ἀπαγορευθῆ νὰ βαπτίζῃ, ἀλλὰ ὅτι δὲν ἀπεστάλη ἀποκλειστικῶς διὰ τὸ ἔργον τοῦτο, ἀλλὰ δι' αὐτὸ ποὺ ἦτο τὸ πλέον ἀναγκαῖον· ὁ εὐαγγελισμὸς δηλαδὴ θὰ ἠδύνατο νὰ εἶναι ἔργον ἴσως ἑνὸς ἢ δύο ἀνθρώπων, ἐνῷ τὸ βάπτισμα παντὸς ποὺ ἔχει τὴν ἱερωσύνην· τὸ νὰ πάρῃ δηλαδὴ κανεὶς ἕνα κατηχούμενον ποὺ ἔχει πεισθῆ εἰς τὰ τῆς πίστεως καὶ νὰ τὸν βαπτίσῃ θὰ ἠδύνατο νὰ τὸ κάμῃ οἱοσδήποτε· διότι ἡ βούλησις τοῦ προσερχομένου εἰς τὴν πίστιν καὶ ἡ χάρις τοῦ Θεοῦ ἐργάζονται ἐν συνεχείᾳ τὰ πάντα· ὅταν ὅμως πρέπει νὰ κατηχήσῃ κανεὶς ἀπίστους, χρειάζεται πολὺς κόπος καὶ πολλὴ σοφία· τότε μάλιστα διέτρεχε κανεὶς καὶ κίνδυνον.

Εἰς τὸ βάπτισμα δηλαδὴ ἔχει ἤδη συντελεσθῆ ὅλη ἡ προεργασία καὶ ἔχει πεισθῆ αὐτὸς ποὺ πρόκειται νὰ βαπτισθῇ καὶ δὲν εἶναι καθόλου δύσκολον τὸ νὰ βαπτίσῃ κάποιος ἕνα ποὺ ἐπείσθη· ἡ κατήχησις ὅμως ἔχει πολὺν κόπον, ὥστε νὰ μεταπείσῃ κανεὶς τὴν βούλησιν, νὰ μεταβάλῃ τὸν νοῦν, νὰ ἀναταράξῃ τὴν πλάνην, νὰ ἐμφυτεύσῃ καλῶς τὴν ἀλήθειαν. Ἀλλὰ αὐτὰ δὲν τὰ λέγει ἄνευ λόγου οὔτε ἐπινοεῖ καὶ ἰσχυρίζεται ὅτι τὸ βάπτισμα δὲν ἔχει κανένα κόπον, ἀλλὰ ἡ κατήχησις· διότι γνωρίζει πάντοτε νὰ τηρῇ τὸ μέτρον ἀλλὰ κατὰ τὴν σύγκρισιν τῆς πίστεως μὲ τὴν κοσμικὴν σοφίαν ἀπευθύνει ἐντόνους ἐρωτήσεις ὅπου ἠδύνατο νὰ χρησιμοποιήσῃ ὁρμητικώτερον λόγον. Δὲν ἐβάπτιζε λοιπὸν ἐναντιούμενος εἰς ἐκεῖνον ποὺ τὸν ἔστελλεν, ἀλλὰ ὅπως ἀκριβῶς εἰς τὴν

χηρῶν εἰπόντων τῶν ἀποστόλων, «Οὐκ ἔστιν ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις», διηκονήσατο οὐκ ἐναντιούμενος ἐκείνοις ἀλλ' ἐκ περιουσίας ποιῶν· οὕτω καὶ ἐνταῦθα. Ἐπεὶ καὶ νῦν τοῖς μὲν ἀφελεστέροι τῶν πρεσβυτέρων τοῦτο ἐγχειρίζομεν, τὸν δὲ διδασκαλικὸν λόγον τοῖς σοφωτέροις· ἐκεῖ γάρ ἐστιν ὁ πόνος καὶ ὁ ἱδρώς. Διὸ καὶ αὐτός φησιν· «Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ». Ὥσπερ γὰρ τὸ μὲν διδάξαι τοὺς παλαίοντας ἀνδρός ἐστι γενναίου καὶ παιδοτρίβου σοφοῦ, τὸ δὲ ἐπιθεῖναι τὸν στέφανον τῷ νικήσαντι καὶ τοῦ μὴ δυναμένου παλαίειν ἐστί, καίτοιγε ὁ στέφανος λαμπρότερον ποιεῖ τὸν νικήσαντα, οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος· ἀδύνατον μὲν γὰρ χωρὶς αὐτοῦ σωθῆναι, οὐδὲν δὲ μέγα ὁ βαπτίζων ποιεῖ προαίρεσιν παρεσκευασμένην λαβών. «Οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ».

Καθελὼν τὸ φύσημα τῶν διὰ τὸ βαπτίζειν μέγα φρονούντων μεθίσταται λοιπὸν πρὸς τοὺς ἐπὶ σοφίᾳ τῇ ἔξωθεν κομπάζοντας καὶ κατ' αὐτῶν ὁπλίζεται σφοδρότερον. Πρὸς μὲν τοὺς ἐπὶ τῷ βαπτίζειν πεφυσιωμένους ἔλεγεν, «Εὐχαριστῶ, ὅτι οὐδένα ἐβάπτισα», καί, «ὅτι οὐκ ἀπέστειλέ με ὁ Χριστὸς βαπτίζειν»· καὶ οὔτε σφοδρῶς οὔτε κατασκευαστικῶς κέχρηται τῷ λόγῳ, ἀλλ' αἰνιξάμενος δι' ὀλίγων, ἅπερ ἐβούλετο, παρέδραμεν· ἐνταῦθα δὲ ἐκ προοιμίων χαλεπὴν δίδωσι τὴν πληγὴν λέγων, «ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ». Τί τοίνυν μέγα φρονεῖς, ἐφ' ᾧ ἐγκαλύπτεσθαι ἔδει; Εἰ γὰρ πολεμεῖ τῷ σταυρῷ καὶ μάχεται τοῖς εὐαγγελίοις ἡ σοφία αὕτη, οὐκ αὐχεῖν ἐπ' αὐτῇ, ἀλλὰ καὶ καταδύεσθαι δεῖ. Τοῦτο γὰρ αἴτιον τοῦ μὴ γενέσθαι τοὺς ἀποστόλους σοφούς, οὐκ ἀσθένεια τοῦ χαρίσματος, ἀλλ' ἵνα μὴ βλαβῇ τὸ κήρυγμα. Οὐκ ἄρα ἐκεῖνοι ἦσαν οἱ συνι-

---

12. Πρ. 6,2
13. Α' Τιμ. 5,17

περίπτωσιν τῶν χηρῶν, ἐνῶ οἱ ἀπόστολοι εἶπον «Δὲν εἶναι θεάρεστον νὰ ἐγκαταλείψωμεν τὸν λόγον τοῦ Θεοῦ καὶ νὰ ὑπηρετῶμεν εἰς τὰς τραπέζας»[12], εἰργάσθη χειρωνακτικῶς ὄχι ἀπὸ ἀντίθεσιν πρὸς ἐκείνους, ἀλλὰ ἐνεργῶν ἀπὸ περίσσειαν ζήλου, ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Ἐξ ἄλλου καὶ τώρα εἰς μὲν τοὺς ἁπλοϊκωτέρους τῶν πρεσβυτέρων ἀναθέτομεν τοῦτο, τὴν δὲ διδασκαλίαν εἰς τοὺς περισσότερον μορφωμένους, διότι ἐκεῖ ὑπάρχει ὁ κόπος καὶ ὁ ἱδρώς· διὰ τοῦτο καὶ ὁ ἴδιος λέγει: «Οἱ πρεσβύτεροι ποὺ εἶναι καλοὶ προϊστάμενοι νὰ κρίνωνται ἄξιοι διπλῆς τιμῆς, καὶ μάλιστα ἐκεῖνοι ποὺ κοπιάζουν εἰς τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν»[13]. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ διδασκαλία τῆς πάλης εἶναι ἔργον γενναίου ἀνδρὸς καὶ σοφοῦ παιδοτρίβου, τὸ νὰ στεφανωθῇ ὅμως ὁ νικητὴς εἶναι ἔργον καὶ ἐκείνου ἀκόμη ποὺ δὲν δύναται νὰ παλαίῃ, ἂν καὶ βεβαίως ὁ στέφανος καθιστᾷ λαμπρότερον τὸν νικητήν, ἔτσι καὶ σχετικῶς μὲ τὸ βάπτισμα: εἶναι δηλαδὴ ἀδύνατον μὲν νὰ σωθῇ κανεὶς χωρὶς αὐτό, ἐκεῖνος ὅμως ποὺ βαπτίζει δὲν κάμνει καθόλου δύσκολον ἔργον, διότι λαμβάνει παρεσκευασμένην τὴν βούλησιν. «Ὄχι μὲ ρητορικὴν ἐπιδεξιότητα, διὰ νὰ μὴ χάσῃ τὴν δύναμίν του ὁ σταυρὸς τοῦ Χριστοῦ».

Ἀφοῦ κατέστειλε τὴν ἀλαζονείαν τῶν μεγαλοφρονούντων διὰ τὸ ὅτι ἐβάπτιζον, ἐν συνεχείᾳ ἀσχολεῖται μὲ τοὺς κομπάζοντας διὰ τὴν κοσμικὴν σοφίαν των καὶ ὁπλίζεται περισσότερον ἐναντίον των· διότι πρὸς μὲν τοὺς ὑπερηφανευομένους διὰ τὸ ὅτι ἐβάπτιζον ἔλεγεν, «Εὐχαριστῶ, ὅτι οὐδένα ἐβάπτισα» καὶ «ὅτι οὐκ ἀπέστειλέ με ὁ Χριστὸς βαπτίζειν» καὶ δὲν ὡμίλησεν οὔτε μὲ σφοδρότητα οὔτε μὲ νέα ἐπιχειρήματα, ἀλλὰ παρέκαμψε τὸ θέμα, ἀφοῦ ἁπλῶς ἔθιξεν ὅσα ἤθελε μὲ ὀλίγας λέξεις· ἐδῶ ὅμως ἀπὸ τὸ προοίμιον ἀκόμη ἐπιτίθεται μὲ σφοδρότητα λέγων «διὰ νὰ μὴ χάσῃ τὴν δύναμίν του ὁ σταυρὸς τοῦ Χριστοῦ». Διατί λοιπὸν μεγαλοφρονεῖς διὰ θέμα, διὰ τὸ ὁποῖον ἔπρεπε νὰ ἐντρέπεσαι; Ἐὰν δηλαδὴ ἡ σοφία αὐτὴ πολεμῇ τὸν σταυρὸν καὶ μάχεται τὰ εὐαγγέλια, δὲν πρέπει νὰ ἐπαίρεσαι δι' αὐτήν, ἀλλ' ἀπεναντίας νὰ αἰσθάνεσαι ἐντροπήν· διότι ἡ αἰτία, διὰ τὴν ὁποίαν οἱ ἀπόστολοι δὲν ὑπῆρξαν κατὰ κόσμον σοφοί, δὲν εἶναι ἡ ἀδυναμία τοῦ χαρίσματος, ἀλλὰ ἡ πρόνοια νὰ μὴ βλαβῇ τὸ κήρυγμα. Ἐπομένως ἐκεῖνοι δὲν ἐκαλλιέργουν

στῶντες τὸν λόγον, ἀλλὰ καὶ λυμαινόμενοι· οἱ δὲ ἰδιῶται οἱ βεβαιοῦντες. Τοῦτο οἶδε κολάσαι τῦφον, τοῦτο καταστεῖλαι φλεγμονήν, τοῦτο πεῖσαι μετριάζειν.

Καὶ εἰ οὐκ ἐν σοφίᾳ λόγου, τίνος ἕνεκεν τὸν Ἀπολλὼ λόγιον ὄντα ἔπεμψαν, φησίν; Οὐ τῇ τῶν λόγων δυνάμει θαρροῦντες, ἀλλ' ὅτι δυνατὸς ἦν ἐν ταῖς γραφαῖς καὶ ἤλεγχε τοὺς Ἰουδαίους. Ἄλλως δὲ τὸ ζητούμενον ἦν, τὸ τοὺς πρωτοστάτας καὶ ἀρξαμένους σπείρειν τὸν λόγον μὴ εἶναι λογίους. Οὗτοι γὰρ ἦσαν οἱ πολλῆς δεόμενοι δυνάμεως, ὥστε ἀπώσασθαι τὴν πλάνην ἐκ προοιμίων, καὶ τότε πολλῆς ἔδει τῆς ἰσχύος εἰς αὐτὴν τὴν εἴσοδον.

4. Ὁ τοίνυν μὴ δεηθεὶς εὐπαιδεύτων ἐκ προοιμίων, εἰ μετὰ ταῦτα λογίους ἐδέξατο, οὐχ ὡς δεόμενος τοῦτο ἐποίησεν ἀλλ' ὡς οὐ διακρινόμενος· ὥσπερ γὰρ οὐκ ἐδεῖτο σοφῶν εἰς τὸ κατορθῶσαι ἅπερ ἐβούλετο, οὕτως οὐδὲ μετὰ ταῦτα εὑρεθέντας διὰ τοῦτο ἐξέβαλε.

Σὺ δὲ ἐκεῖνό μοι δεῖξον, εἰ Πέτρος λόγιος ἦν καὶ Παῦλος. Ἀλλ' οὐκ ἂν ἔχοις· ἰδιῶται γὰρ ἦσαν καὶ ἀγράμματοι. Ὥσπερ οὖν ὁ Χριστός, ὅτε τοὺς μαθητὰς ἔπεμπεν εἰς τὴν οἰκουμένην δείξας αὐτοῦ τὴν δύναμιν αὐτοῖς ἐν Παλαιστίνῃ πρῶτον καὶ εἰπών, «Ὅτε ἀπέστειλα ὑμᾶς χωρὶς βαλλαντίου καὶ πήρας καὶ ὑποδήματος, μή τινος ὑστερήσατε;», τότε ἐπέτρεψε λοιπὸν καὶ πήραν καὶ βαλλάντιον ἔχειν· οὕτω καὶ ἐνταῦθα ἐποίησε· τὸ γὰρ ζητούμενον ἦν δειχθῆναι τοῦ Χριστοῦ τὴν δύναμιν, οὐ διὰ τὴν ἔξωθεν σοφίαν ἐκβάλλεσθαι τῆς πίστεως τοὺς προσιόντας. Ὅταν οὖν Ἕλληνες κατηγορήσωσι τῶν μαθητῶν ὡς ἰδιωτῶν, πλέον ἡμεῖς ἐκείνων κατηγορῶμεν αὐτῶν. Μηδὲ λεγέτω τις ὅτι σοφὸς ἦν ὁ Παῦλος· ἀλλ' ἐπαίροντες ἐπὶ σοφίᾳ τοὺς μεγάλους παρ' ἐκείνοις καὶ ἐπὶ εὐγλωττίᾳ θαυμασθέντας, τοὺς παρ' ἡμῖν ἅπαντας λέγωμεν ἰδιώτας γεγονέναι. Οὐ μικρῶς γὰρ

14. Λουκᾶ 22,35

τὸν ρητορικὸν λόγον, ἀλλ᾽ ἀντιθέτως παρεβίαζον τοὺς κανόνας του· οἱ ἰδιῶται ἦσαν ἐκεῖνοι ποὺ τὸν ἐνίσχυον. Ἡ πρόνοια αὐτὴ δύναται νὰ καταδικάσῃ τὴν ἀλαζονείαν, νὰ ἀναχαιτίσῃ τὴν ἀσθένειαν, νὰ πείσῃ διὰ μετριοφροσύνην.

Καὶ ἂν εἶναι ἀληθὲς ὅτι δὲν ἐκήρυττον μὲ κοσμικὴν σοφίαν λόγου, διὰ ποῖον λόγον ἔστειλαν τὸν Ἀπολλώ, ποὺ ἦτο λόγιος; θὰ ἔλεγε κάποιος. Τὸν ἔστειλαν ὄχι διότι εἶχον ἐμπιστοσύνην εἰς τὴν δύναμιν τῶν λόγων του, ἀλλὰ διότι ἦτο πολὺ κατηρτισμένος εἰς τὰς Γραφὰς καὶ ἤλεγχε τοὺς Ἰουδαίους. Ἀντιθέτως, ἄλλο ἐπεδίωκον, τὸ νὰ μὴ εἶναι δηλαδὴ λόγιοι οἱ ἡγέται καὶ ὅσοι ἔσπειρον πρῶτοι τὸν λόγον· διότι αὐτοὶ ἐχρειάζοντο πολλὴν δύναμιν, ὥστε εὐθὺς ἐξ ἀρχῆς νὰ ἀπωθήσουν τὴν πλάνην, καὶ εἰς τὴν ἀρχὴν αὐτῆς τῆς προσπαθείας ἐχρειάζετο πολλὴ δύναμις.

4. Αὐτὸς λοιπὸν ποὺ δὲν ἐχρειάσθη μορφωμένους εἰς τὴν ἀρχήν, ἐὰν κατόπιν ἐγνώριζε λογίους, δὲν θὰ ἦτο κάτι ποὺ θὰ τὸ ἐχρειάζετο, ἀλλὰ κάτι ποὺ δὲν θὰ τοῦ ἔκαμνε ἰδιαιτέραν ἐντύπωσιν· ὅπως δηλαδὴ δὲν ἐχρειάζετο σοφούς, διὰ νὰ κατορθώσῃ ὅσα ἤθελεν, ἔτσι οὔτε θὰ τοὺς ἀπέκλειε δι᾽ αὐτὸν τὸν λόγον, ἐὰν κατόπιν τοὺς εἶχε.

Σὺ δὲ ἀπόδειξέ μου τὸ ἑξῆς, ἐὰν δηλαδὴ ὁ Πέτρος καὶ ὁ Παῦλος ἦσαν λόγιοι· δὲν θὰ ἠμποροῦσες, διότι ἦσαν κοινοὶ καὶ ἀγράμματοι ἄνθρωποι. Λοιπόν, ὅπως ἀκριβῶς ὁ Χριστός, ὅταν ἔστελλε τοὺς μαθητάς του εἰς τὴν οἰκουμένην, ἀφοῦ προηγουμένως τοὺς ἔδειξε τὴν δύναμίν του εἰς τὴν Παλαιστίνην καὶ ἀφοῦ τοὺς εἶπεν, «Ὅταν σᾶς ἔστειλα χωρὶς βαλλάντιον καὶ σάκκον καὶ ὑποδήματα, μήπως ἐστερήθητε τίποτε;»[14], τότε ἐν συνεχείᾳ τοὺς ἐπέτρεψε νὰ ἔχουν καὶ σάκκον καὶ βαλλάντιον· τὸ ἴδιον ἔκαμε καὶ ἐδῶ· ὁ ἀντικειμενικὸς δηλαδὴ σκοπὸς ἦτο νὰ δειχθῇ ἡ δύναμις τοῦ Χριστοῦ καὶ ὄχι ἐξ αἰτίας τῆς κοσμικῆς σοφίας νὰ ἀποκλείωνται τῆς πίστεως οἱ προσερχόμενοι. Ὅταν λοιπὸν οἱ Ἕλληνες κατηγορήσουν τοὺς μαθητὰς ὡς ἁπλοϊκούς, ἐμεῖς τοὺς κατηγοροῦμεν περισσότερον ἀπὸ ἐκείνους. Καὶ ἂς μὴ λέγῃ κανεὶς ὅτι ὁ Παῦλος ἦτο σοφός· ἀλλ᾽ ἐνῶ ἐξαίρομεν τοὺς ἰδικούς των μεγάλους ποὺ ἐθαυμάσθησαν διὰ τὴν σοφίαν καὶ εὐγλωττίαν των, ἂς λέγωμεν ὅτι ὅλοι οἱ ἰδικοί μας ὑπῆρξαν κοινοὶ ἄνθρωποι, διότι καὶ εἰς αὐτὸ τὸ

αὐτοὺς καὶ κατὰ τοῦτο καταβαλοῦμεν τὸ μέρος· οὕτω γὰρ ἔσται λαμπρὰ τὰ νικητήρια.

Ταῦτα δὲ εἶπον, ἐπειδή τινος ἤκουσά ποτε Χριστιανοῦ πρὸς Ἕλληνα καταγελάστως διαλεγομένου καὶ ἀμφοτέρων ἐν τῇ πρὸς ἀλλήλους μάχῃ τὰ ἑαυτῶν καταλυόντων· ἃ γὰρ ἔδει τὸν Χριστιανὸν εἰπεῖν, ταῦτα ὁ Ἕλλην ἔλεγε· καὶ ἃ τὸν Ἕλληνα εἰκὸς ἦν εἰπεῖν, ταῦτα ὁ Χριστιανὸς προεβάλλετο. Περὶ γὰρ Παύλου καὶ Πλάτωνος ζητήσεως οὔσης, ὁ μὲν Ἕλλην ἐπειρᾶτο δεικνύναι ὅτι ὁ Παῦλος ἦν ἀμαθὴς καὶ ἰδιώτης, ὁ δὲ Χριστιανὸς ὑπὸ ἀφελείας ἐσπούδαζε κατασκευάζειν ὅτι Πλάτωνος λογιώτερος ἦν ὁ Παῦλος. Οὕτω δὲ τοῦ Ἕλληνος ἐγίνετο τὰ νικητήρια τούτου κρατοῦντος τοῦ λόγου. Εἰ γὰρ Πλάτωνος ἐλλογιμώτερος ἦν ὁ Παῦλος, πολλοὺς εἰκὸς ἀντιλέγειν οὐχ ὅτι τῇ χάριτι, ἀλλ' ὅτι εὐγλωττίᾳ περιεγένετο. Ὥστε ὑπὲρ τοῦ Ἕλληνος ἦν τὸ λεγόμενον ὑπὸ τοῦ Χριστιανοῦ· ὃ δὲ ἔλεγεν ὁ Ἕλλην, ὑπὲρ τοῦ Χριστιανοῦ ἦν. Εἰ γὰρ Παῦλος ἀπαίδευτος ἦν, ἐκράτησε δὲ Πλάτωνος, ὅπερ ἔλεγον, λαμπρὰ γέγονεν ἡ νίκη· τοὺς γὰρ ἐκείνου μαθητὰς ἅπαντας λαβὼν ὁ ἀμαθὴς ἔπεισε καὶ πρὸς ἑαυτὸν ἤγαγεν. Ὅθεν δῆλον ὅτι οὐκ ἐν σοφίᾳ ἀνθρωπίνῃ τὸ κήρυγμα γέγονεν ἀλλὰ Θεοῦ χάριτι.

Ἵν' οὖν μὴ ταῦτα πάσχωμεν μηδὲ καταγελώμεθα οὕτω διαλεγόμενοι πρὸς Ἕλληνας, ἐπειδὰν ἡμῖν πρὸς αὐτοὺς ἀγὼν ᾖ, κατηγορῶμεν τῶν ἀποστόλων ὡς ἀμαθῶν· ἡ γὰρ κατηγορία αὕτη ἐγκώμιον. Καὶ ὅταν εἴπωσιν ἐκεῖνοι ὅτι ἄγροικοι ἦσαν οἱ ἀπόστολοι, προσθῶμεν καὶ ἡμεῖς καὶ εἴπωμεν ὅτι καὶ ἀμαθεῖς καὶ ἀγράμματοι καὶ πένητες καὶ εὐτελεῖς καὶ ἀσύνετοι καὶ ἀφανεῖς. Οὐκ ἔστι βλασφημία τῶν ἀποστόλων ταῦτα, ἀλλὰ καὶ δόξα, τὸ τοὺς τοιούτους τῆς οἰκουμένης πάσης λαμπροτέρους φανῆναι. Οὗτοι γὰρ οἱ ἰδιῶται καὶ ἄγροικοι καὶ ἀμαθεῖς τοὺς σοφοὺς καὶ δυνατοὺς καὶ τοὺς τυράννους καὶ τοὺς ἐπὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἔξωθεν πᾶσι κομπάζοντας ὡς οὐδὲ ἄνδρας, οὕτω κατηγω-

σημεῖον θὰ ὑπερισχύσωμεν αὐτῶν, καὶ ἔτσι ἡ νίκη μας θὰ εἶναι λαμπρά.

Τὰ εἶπα αὐτά, ἐπειδὴ κάποτε ἤκουσα κάποιον Χριστιανὸν νὰ συζητῇ μὲ ἕνα Ἕλληνα κατὰ τρόπον γελοῖον καὶ εἰς τὸν ἀγῶνα των ὁ καθεὶς ἐξ αὐτῶν ἐξουδετέρωνε τὰ ἴδια τὰ ἐπιχειρήματά του· διότι ὅσα ἔπρεπε νὰ εἴπῃ ὁ Χριστιανός, αὐτὰ τὰ ἔλεγεν ὁ Ἕλλην· καὶ ὅσα ἦτο φυσικὸν νὰ εἴπῃ ὁ Ἕλλην, αὐτὰ τὰ προέβαλλεν ὁ Χριστιανός. Ἡ συζήτησις δηλαδὴ ἦτο διὰ τὸν Παῦλον καὶ τὸν Πλάτωνα, καὶ ὁ μὲν Ἕλλην προσεπάθει νὰ ἀποδείξῃ ὅτι ὁ Παῦλος ἦτο ἀμαθὴς καὶ ἁπλοϊκός, ὁ δὲ Χριστιανὸς ἀπὸ ἀφέλειαν προσεπάθει νὰ παρουσιάσῃ ὅτι ὁ Παῦλος ἦτο λογιώτερος τοῦ Πλάτωνος. Καὶ ἔτσι νικητὴς ἦτο ὁ Ἕλλην, διότι ὁ λόγος του ἦτο ἰσχυρότερος· ἐὰν δηλαδὴ ὁ Παῦλος ἦτο λογιώτερος τοῦ Πλάτωνος, θὰ ἦτο ἑπόμενον πολλοὶ νὰ ὑποστηρίζουν ὅτι ὑπερίσχυσεν ὄχι μὲ τὴν χάριν, ἀλλὰ μὲ τὴν εὐγλωττίαν· ὥστε τὰ ὅσα ἔλεγεν ὁ Χριστιανὸς ἦσαν ὑπὲρ τοῦ Ἕλληνος, καὶ ὅ,τι ἔλεγεν ὁ Ἕλλην ἦτο ὑπὲρ τοῦ Χριστιανοῦ· ἐὰν δηλαδὴ ὁ Παῦλος ἦτο ἀπαίδευτος καὶ ὅμως ὑπερίσχυσε τοῦ Πλάτωνος — πρᾶγμα ποὺ τὸ ὑπεστήριζον — ἡ νίκη ὑπῆρξε λαμπρά, διότι ὁ ἀμαθής, ὅταν συνήντησε ὅλους τοὺς μαθητὰς ἐκείνου, τοὺς ἔπεισε καὶ τοὺς ἐκέρδισε. Καὶ ἔτσι εἶναι φανερὸν ὅτι τὸ κήρυγμα δὲν ἔχει γίνει μὲ τὴν ἀνθρωπίνην σοφίαν, ἀλλὰ μὲ τὴν χάριν τοῦ Θεοῦ.

Διὰ νὰ μὴ παθαίνωμεν λοιπὸν αὐτὰ καὶ νὰ μὴ μᾶς περιγελοῦν, ὅταν ἔτσι συζητῶμεν μὲ Ἕλληνας καὶ ἀγωνιζώμεθα ἐναντίον των, ἂς κατηγορῶμεν τοὺς ἀποστόλους ὡς ἀμαθεῖς, διότι ἡ κατηγορία αὐτὴ εἶναι ἐγκώμιον. Καὶ ὅταν ἐκεῖνοι εἴπουν ὅτι οἱ ἀπόστολοι ἦσαν ἀγροῖκοι, ἂς προσθέσωμεν καὶ ἡμεῖς καὶ ἂς εἴπωμεν ὅτι ἦσαν καὶ ἀμαθεῖς καὶ ἀγράμματοι καὶ πτωχοὶ καὶ εὐτελεῖς καὶ ἀσύνετοι καὶ ἀφανεῖς. Αὐτὰ δὲν εἶναι βλασφημία διὰ τοὺς ἀποστόλους, ἀλλὰ δόξα, τὸ ὅτι τέτοιοι ἄνθρωποι ἀπεδείχθησαν λαμπρότεροι ὅλης τῆς οἰκουμένης. Αὐτοὶ δηλαδὴ οἱ ἁπλοϊκοὶ καὶ ἀγροῖκοι καὶ ἀμαθεῖς κατενίκησαν τοὺς σοφοὺς καὶ δυνατοὺς καὶ τοὺς τυράννους καὶ ὅσους ἐκόμπαζον διὰ τὸν πλοῦτον καὶ τὴν δόξαν καὶ ὅλα τὰ ἐξωτερικά, τοὺς ἐξουδετέρωσαν πλήρως ὡς νὰ

νίσαντο. Ὅθεν δῆλον ὅτι μεγάλη ἡ τοῦ σταυροῦ δύναμις, καὶ οὐκ ἀνθρωπίνῃ ἰσχύϊ ταῦτα ἐγίνετο. Οὐ γὰρ ἔχει φύσιν τὰ γινόμενα, ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ κατορθούμενα. Ὅταν δὲ ὑπὲρ φύσιν τι γένηται, καὶ ὑπὲρ φύσιν παρὰ πολύ, μετὰ τοῦ προσήκοντος καὶ τοῦ χρησίμου, εὔδηλον ὅτι θείᾳ τινὶ ταῦτα δυνάμει καὶ συνεργείᾳ γίνεται.

Σκόπει δέ· Ὁ ἁλιεύς, ὁ σκηνοποιός, ὁ τελώνης, ὁ ἰδιώτης, ὁ ἀγράμματος, ἐκ Παλαιστίνης τῆς χώρας μακρὰν κειμένης ἐλθόντες, τοὺς φιλοσόφους, τοὺς ῥήτορας, τοὺς δεινοὺς εἰπεῖν ἐκ τῆς οἰκείας ἀπωσάμενοι πάντας, αὐτοὶ τούτων ἐκράτησαν ἐν χρόνῳ βραχεῖ μετὰ κινδύνων πολλῶν, δήμων, βασιλέων ἀντιπιπτόντων, τῆς φύσεως αὐτῆς μαχομένης, τοῦ χρόνου τῆς παλαιότητος, τῆς πολλῆς συνηθείας ἀντιπαλαιούσης σφοδρῶς, δαιμόνων ὁπλιζομένων, διαβόλου παρατασσομένου καὶ πάντα κινοῦντος, βασιλέας, ἄρχοντας, δήμους, ἔθνη, πόλεις, βαρβάρους, Ἕλληνας, φιλοσόφους, ῥήτορας, σοφιστάς, λογογράφους, νόμους, δικαστήρια, κολάσεις ποικίλας, θανάτους μυρίους καὶ παντοδαπούς. Ἀλλ' ὅμως ἅπαντα ταῦτα οὕτως ἠλέγχετο καὶ παρεχώρει τῶν ἁλιέων φθεγγομένων, ὡς κόνις λεπτὴ σφοδρῶν ἀνέμων ἐμβολὴν ἐνεγκεῖν μὴ δυναμένη.

Μάθωμεν τοίνυν οὕτω πρὸς Ἕλληνας διαλέγεσθαι, ἵνα μὴ ὦμεν ὡς θρέμματα καὶ βοσκήματα, ἀλλ' ὦμεν παρεσκευασμένοι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος. Καὶ τέως τοῦτο τὸ κεφάλαιον μελετήσωμεν οὐκ ὂν μικρόν, καὶ λέγωμεν πρὸς αὐτούς· πόθεν οἱ ἀσθενεῖς τῶν ἰσχυρῶν περιεγένοντο, οἱ δώδεκα τῆς οἰκουμένης, οὐχὶ τοῖς αὐτοῖς ὅπλοις κεχρημένοι, ἀλλὰ γυμνοὶ πρὸς ἐνόπλους μαχόμενοι;

5. Εἰπέ γάρ, εἰ δώδεκα ἄνδρες πολεμικῶν ἄπειροι πραγμάτων εἰς παράταξιν στρατιωτῶν ἄπειρον καὶ ὡπλισμένην εἰσπηδήσαντες, οὐκ ἄοπλοι μόνον ἀλλὰ καὶ ἀσθενεῖς τὸ σῶμα, ὑπὸ μὲν ἐκείνων οὐδὲν ἔπαθον, μηδὲ μυρίοις

μὴ ἦσαν ἄνδρες. Ἔτσι ἔγινε φανερὸν ὅτι ἡ δύναμις τοῦ σταυροῦ εἶναι μεγάλη καὶ ὅτι αὐτὰ δὲν ἐγίνοντο μὲ ἀνθρωπίνην ἰσχύν. Τὰ ὅσα συνέβησαν καὶ κατωρθώθησαν δὲν ἦσαν φυσικά, ἀλλ' ὑπερέβαινον τὴν φύσιν· καὶ ὅταν κάτι γίνῃ παρὰ τὴν φύσιν, καὶ μάλιστα πάρα πολὺ παρὰ τὴν φύσιν, καὶ συγχρόνως εἶναι πρέπον καὶ ὠφέλιμον, εἶναι σαφὲς ὅτι τοῦτο γίνεται μὲ κάποιαν θεϊκὴν δύναμιν καὶ βοήθειαν.

Πρόσεξε δὲ ὁ ἁλιεύς, ὁ σκηνοποιός, ὁ τελώνης, ὁ ἁπλοϊκός, ὁ ἀγράμματος, ἦλθον ἀπὸ τὴν Παλαιστίνην, μίαν μακρυνὴν χώραν, καὶ ἀφοῦ ἀπώθησαν ἀπὸ τὴν ἰδίαν των τὴν χώραν τοὺς φιλοσόφους, τοὺς ρήτορας, τοὺς δεινοὺς ὁμιλητάς, ἐντὸς ὀλίγου χρόνου καὶ μὲ πολλοὺς κινδύνους τοὺς ἐνίκησαν, ἂν καὶ τοὺς ἐπετίθεντο λαοὶ καὶ βασιλεῖς, ἡ ἰδία ἡ φύσις τοὺς ἐμάχετο, ἂν καὶ ἡ παλαιότης τοῦ χρόνου καὶ ἡ πολλὴ συνήθεια μὲ σφοδρότητα τοὺς ἀντηγωνίζοντο, ἂν καὶ οἱ δαίμονες ἦσαν ὡπλισμένοι καὶ ὁ διάβολος εἶχε παραταχθῆ καὶ ἐκίνει ἐναντίον των τὰ πάντα, βασιλεῖς, ἄρχοντας, λαούς, ἔθνη, πόλεις, βαρβάρους, ἐθνικούς, φιλοσόφους, ρήτορας, σοφιστάς, δικηγόρους, νόμους, δικαστήρια, ποικίλας τιμωρίας, ἀναριθμήτους καὶ παντὸς εἴδους θανάτους· ἀλλ' ὅμως ὅλα αὐτὰ μὲ τὸ κήρυγμα τῶν ἁλιέων ἀνεσκευάζοντο καὶ ὑπεχώρουν ὅπως ἡ λεπτὴ σκόνη δὲν ἠμπορεῖ νὰ ἀνθέξῃ τὴν ὁρμὴν τῶν ἀνέμων.

Ἂς μάθωμεν λοιπὸν ἔτσι νὰ συζητῶμεν μὲ τοὺς ἐθνικούς, διὰ νὰ μὴ εἴμεθα ὡς ζῶα καὶ βοσκήματα, ἀλλὰ νὰ εἴμεθα παρεσκευασμένοι διὰ τὴν ὑπεράσπισιν τῆς ἐλπίδος μας. Προηγουμένως ἂς μελετήσωμεν τοῦτο τὸ θέμα ποὺ δὲν εἶναι μικρὸν καὶ ἂς λέγωμεν πρὸς αὐτούς· Πῶς οἱ ἀσθενεῖς ἐνίκησαν τοὺς ἰσχυρούς, οἱ δώδεκα τὴν οἰκουμένην, ἐνῶ δὲν ἐχρησιμοποίουν τὰ ἴδια ὅπλα, ἀλλὰ ἐπολέμουν γυμνοὶ ἐναντίον ἐνόπλων;

5. Εἰπέ μου δηλαδή, ἐὰν δώδεκα ἄνδρες ἄπειροι ἀπὸ πολεμικὰ πράγματα εὑρίσκοντο αἰφνιδίως εἰς πολὺν μεγάλην καὶ ὡπλισμένην παράταξιν στρατιωτῶν, καὶ αὐτοὶ οἱ ἴδιοι ἦσαν ὄχι μόνον ἄοπλοι, ἀλλὰ καὶ μὲ ἀσθενικὸν σῶμα, καὶ ὅμως δὲν ἐπάθαινον τίποτε ἀπὸ ἐκείνους καὶ οὔτε ἐτραυματίζοντο, ἂν καὶ μὲ ἀπει-

βαλλόμενοι βέλεσιν ἐστρώθησαν, ἔχοντες δὲ ἐμπεπερονημένα τὰ βέλη γυμνῷ τῷ σώματι πάντας κατέβαλον, οὐχ ὅπλοις κεχρημένοι ἀλλὰ τῇ χειρὶ παίοντες, εἶτα τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους λαβόντες ἀπήγαγον, μηδὲ τραύματα αὐτοὶ δεξάμενοι· ἆρά τις ἀνθρώπινον τὸ γινόμενον εἶναι ἔφησε;

Καίτοι τὸ τῶν ἀποστόλων τρόπαιον πολλῷ ἐκείνου θαυμαστότερον. Τοῦ γὰρ γυμνὸν μὴ τρωθῆναι πολλῷ παραδοξότερον τὸ τὸν ἰδιώτην καὶ ἀγράμματον καὶ ἁλιέα τοσαύτης δεινότητος περιγενέσθαι, καὶ μήτε ὑπὸ τῆς ὀλιγότητος μήτε ὑπὸ τῆς πενίας μήτε ὑπὸ τῶν κινδύνων μήτε ὑπὸ τῆς συνηθείας τῆς προκατειληφυίας μήτε ὑπὸ τῆς τοσαύτης αὐστηρότητος τῶν πραγμάτων ὧν ἐπέταττον, μήτε ὑπὸ τῶν καθημερινῶν θανάτων, μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀπατηθέντων μήτε ὑπὸ τοῦ ἀξιώματος τῶν ἀπατησάντων διακωλυθῆναι.

Οὕτω τοίνυν αὐτοὺς καταβάλωμεν καὶ μαχώμεθα πρὸς ἐκείνους καὶ πρὸ τῶν λόγων διὰ τοῦ βίου καταπληξώμεθα. Αὕτη γάρ ἐστιν ἡ μεγάλη μάχη, οὗτος ὁ συλλογισμὸς ὁ ἀναντίρρητος ὁ διὰ τῶν ἔργων· ἐπεὶ κἂν μυρία φιλοσοφήσωμεν διὰ τῶν λόγων, βίον δὲ μὴ παρεχώμεθα ἐκείνων βελτίονα, τὸ κέρδος οὐδέν. Οὐ γὰρ τοῖς λεγομένοις προσέχουσιν, ἀλλ' ἃ πράττομεν ἐξετάζουσι, καί φασι· σὺ πρότερος τοῖς σοῖς ῥήμασι πείθου, καὶ τότε ἑτέροις παραίνει. Εἰ δὲ λέγοις μὲν μυρία εἶναι ἀγαθὰ ἐν τῷ μέλλοντι, ὡς οὐκ ὄντων δὲ οὕτω φαίνοιο τοῖς παροῦσι προσηλωμένος, τὰ ἔργα σου τῶν ῥημάτων ἐμοὶ πιστότερα. Ὅταν γὰρ ἴδω σε ἁρπάζοντα τὰ ἑτέρων, θρηνοῦντα ἀμέτρως ἐπὶ τοῖς ἀπελθοῦσι, πολλὰ ἕτερα πλημμελοῦντα, πῶς σοι πιστεύσω ὅτι ἔστιν ἀνάστασις; Κἂν γὰρ μὴ λέγωσι ταῦτα, ἐννοοῦσι ταῦτα καὶ περιστρέφουσιν ἐπὶ τῆς διανοίας. Καὶ τοῦτό ἐστι τὸ κωλῦον τοὺς ἀπίστους γενέσθαι Χριστιανούς.

Ἐναγάγωμεν τοίνυν αὐτοὺς διὰ τῆς ζωῆς τῆς ἡμετέρας. Πολλοὶ καὶ ἰδιῶται ἄνδρες φιλοσόφων οὕτω κατέπληξαν τὴν διάνοιαν, ὡς καὶ τὴν τῶν ἔργων ἐπιδειξάμενοι φι-

ρα βέλη τοὺς ἐκτύπων οἱ ἐχθροί, καὶ ἐνῶ τὰ βέλη εἶχον διατρυπήσει τὸ γυμνὸν σῶμα αὐτοὶ κατενίκησαν ὅλους χωρὶς νὰ χρησιμοποιοῦν ὅπλα, ἀλλὰ κτυπῶντες διὰ τῆς χειρός των τελικῶς ἄλλους ἐφόνευσαν, ἄλλους συνέλαβον αἰχμαλώτους, χωρὶς οἱ ἴδιοι νὰ τραυματισθοῦν· ἄραγε θὰ ἔλεγε κανεὶς ὅτι τὸ ἀποτέλεσμα εἶναι ἀνθρώπινον;

Καὶ ὅμως ἡ νίκη τῶν ἀποστόλων εἶναι πολὺ πιὸ ἀξιοθαύμαστος ἀπὸ ἐκεῖνο· διότι ἀπὸ τὸ νὰ μὴ πληγωθῇ κάποιος γυμνὸς πολὺ παραδοξότερον εἶναι ὁ ἁπλοϊκὸς καὶ ἀγράμματος καὶ ἁλιεὺς νὰ νικήσῃ τόσον δεινοὺς ἀντιπάλους καὶ νὰ μὴ ἐμποδισθῇ οὔτε ἀπὸ τὸν μικρὸν ἀριθμόν των οὔτε ἀπὸ τὴν πενίαν οὔτε ἀπὸ τοὺς κινδύνους οὔτε ἀπὸ τὴν μακροχρόνιον συνήθειαν, οὔτε ἀπὸ τὴν μεγάλην αὐστηρότητα τῶν διαταγῶν, τὰς ὁποίας ἐλάμβανον, οὔτε ἀπὸ τοὺς καθημερινοὺς θανάτους, οὔτε ἀπὸ τὸ πλῆθος τῶν ἀπατηθέντων μήτε ἀπὸ τὸ ἀξίωμα αὐτῶν ποὺ τοὺς ἐξηπάτησαν.

Ἔτσι λοιπὸν ἂς νικήσωμεν αὐτοὺς καὶ ἂς πολεμῶμεν ἐναντίον ἐκείνων καὶ ἀντὶ μὲ λόγους ἂς τοὺς καταπλήξωμεν μὲ τὴν ζωήν μας· ἡ μεγάλη μάχη, τὸ ἀκαταγώνιστον ἐπιχείρημα εἶναι ἡ παρουσίασις ἔργων, διότι, ἀκόμη καὶ ἂν φιλοσοφήσωμεν πάρα πολὺ διὰ τῶν λόγων, δὲν παρουσιάζωμεν ὅμως ζωὴν καλυτέραν ἐκείνων, τίποτε δὲν εἶναι τὸ κέρδος· διότι δὲν προσέχουν εἰς ὅσα λέγομεν, ἀλλὰ ἐξετάζουν τὰς πράξεις μας καὶ λέγουν· Σὺ πρῶτον πείσου εἰς τοὺς λόγους σου καὶ τότε συμβούλευε ἄλλους. Ἐὰν ὅμως λέγῃς μὲν ὅτι ὑπάρχουν μύρια ἀγαθὰ εἰς τὸ μέλλον, σὺ ὅμως φαίνεσαι τόσον προσηλωμένος εἰς τὰ παρόντα ὡς νὰ μὴ ὑπάρχουν τὰ μέλλοντα, τότε τὰ ἔργα σου εἶναι δι' ἐμὲ πιὸ πιστευτά. Ὅταν δηλαδὴ σὲ ἴδω νὰ ἁρπάζῃς τὰ ξένα, νὰ θρηνῇς ὑπερβολικῶς διὰ τοὺς νεκροὺς καὶ νὰ κάμνῃς πολλὰ ἄλλα σφάλματα, πῶς νὰ πιστεύσω εἰς σὲ ὅτι ὑπάρχει ἀνάστασις; Καὶ ἂν δὲν τὰ λέγουν αὐτά, τὰ σκέπτονται καὶ τὰ γυρίζουν εἰς τὸν νοῦν των, καὶ τοῦτο εἶναι ποὺ ἐμποδίζει τοὺς ἀπίστους νὰ γίνουν Χριστιανοί.

Ἂς προτρέψωμεν λοιπὸν αὐτοὺς μὲ τὴν ζωήν μας. Πολλοὶ ἁπλοϊκοὶ ἄνθρωποι ἔτσι κατέπληξαν τὸν νοῦν τῶν φιλοσόφων μὲ τὸ νὰ δείξουν τὴν φιλοσοφίαν τῶν ἔργων καὶ μὲ τὸ νὰ χρησιμο-

λοσοφίαν καὶ φωνὴν σάλπιγγος λαμπροτέραν διὰ τῆς πολιτείας καὶ φιλοσοφίας ἀφέντες· αὕτη γὰρ τῆς γλώττης ἰσχυροτέρα. Ὅταν δὲ εἴπω ὅτι οὐ χρὴ μνησικακεῖν, εἶτα τὸν Ἕλληνα μυρία ἐργάσωμαι κακά, πῶς δυνήσομαι τοῖς λόγοις αὐτὸν ἐναγαγεῖν, διὰ τῶν ἔργων αὐτὸν ἀποσοβῶν; Θηρεύσωμεν τοίνυν αὐτοὺς διὰ τῆς πολιτείας, καὶ διὰ τῶν ψυχῶν τούτων οἰκοδομῶμεν τὴν ἐκκλησίαν, καὶ τοῦτον συναγάγωμεν τὸν πλοῦτον. Οὐκ ἔστι ψυχῆς οὐδὲν ἀντάξιον, οὐδὲ ὁ κόσμος ἅπας. Ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοιοῦτον ἐργάσῃ οἷον ὁ μίαν ψυχὴν ἐπιστρέφων. «Ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται», φησί. Μέγα μὲν γὰρ ἀγαθὸν καὶ τὸ ἐλεεῖν τοὺς πενομένους, ἀλλ' οὐδὲν τοιοῦτον, οἷον τὸ πλάνης ἀπαλλάττειν· ὁ γὰρ τοῦτο ποιῶν κατὰ Παῦλον γίνεται καὶ Πέτρον.

Ἔξεστι γὰρ ἀναδέξασθαι τὸ ἐκείνων κήρυγμα, οὐχ ἵνα κινδυνεύωμεν καθάπερ ἐκεῖνοι καὶ λιμοὺς καὶ λοιμοὺς καὶ τὰ ἄλλα ὑποφέρωμεν — εἰρήνης γὰρ ὁ παρὼν καιρός — ἀλλ' ἵνα ἀπὸ τὴν ἀπὸ προθυμίας σιωπὴν ἐπιδειξώμεθα. Καὶ γὰρ ἔξεστιν οἴκοι καθημένους ταύτην τὴν ἀλείαν ἐργάζεσθαι. Εἷς τις ἔχει φίλον καὶ συγγενῆ καὶ οἰκεῖον, ταῦτα ποιείτω, ταῦτα λεγέτω, καὶ ἔσται κατὰ Πέτρον καὶ Παῦλον. Καὶ τί λέγω Πέτρον καὶ Παῦλον; Στόμα ἔσται τοῦ Χριστοῦ. «Ὁ γὰρ ἐξαγαγὼν τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται», φησί. Κἂν μὴ σήμερον πείσῃς, αὔριον πείσεις· κἂν μηδέποτε πείσῃς, σὺ τὸν μισθὸν ἕξεις ἀπηρτισμένον· κἂν μὴ πάντας πείσῃς, ὀλίγους ἀπὸ πολλῶν δυνήσῃ· ἐπεὶ καὶ οἱ ἀπόστολοι οὐχὶ πάντας τοὺς ὄντας ἀνθρώπους ἔπεισαν, ἀλλ' ὅμως πᾶσι διελέχθησαν, καὶ τὸν ἐπὶ πᾶσι μισθὸν ἔχουσιν. Οὐ γὰρ πρὸς τὸ τέλος τῶν κατορθουμένων, ἀλλὰ πρὸς τὴν γνώμην τῶν κατορθούντων ὁ Θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθε. Κἂν δύο καταβάλῃς ὀβολούς, δέχεται· καὶ ὅπερ ἐπὶ τῆς χήρας ἐποίησε, τοῦτο καὶ ἐπὶ τῶν διδασκόντων ἐργάσεται.

---

15. Ἱερ. 15,19

ποιήσουν διὰ τῆς ζωῆς καὶ τῆς ἀσκήσεώς των φωνὴν λαμπροτέραν σάλπιγγος· καὶ αὐτὴ εἶναι ἰσχυροτέρα τῆς γλώσσης. Ὅταν λοιπὸν εἴπω ὅτι δὲν πρέπει νὰ μνησικακῶμεν καὶ κατόπιν κάμνω ἄπειρα κακὰ εἰς τὸν ἐθνικόν, πῶς θὰ δυνηθῶ νὰ τὸν προτρέψω μὲ τοὺς λόγους, ἐνῷ τὸν ἀποτρέπω μὲ τὰ ἔργα μου; Ἂς θηρεύσωμεν λοιπὸν αὐτοὺς διὰ τῆς ζωῆς μας καὶ μὲ τὰς ψυχάς αὐτῶν ἂς οἰκοδομῶμεν τὴν Ἐκκλησίαν καὶ αὐτὸν τὸν πλοῦτον ἂς συγκεντρώσωμεν. Τίποτε δὲν εἶναι ἰσάξιον τῆς ψυχῆς· οὔτε ὁ κόσμος ὅλος. Ὥστε καὶ ἂν δώσῃς ἄπειρα χρήματα εἰς τοὺς πτωχούς, δὲν κάμνεις τίποτε ἰσάξιον αὐτοῦ ποὺ κάμνει κάποιος ποὺ συντελεῖ εἰς τὴν ἐπιστροφὴν μιᾶς ψυχῆς. «Ἐκεῖνος ποὺ ἀπὸ ἀνάξιον κάμνει κάποιον πολύτιμον θὰ εἶναι ὡς τὸ στόμα μου»[15], λέγει. Εἶναι μὲν μεγάλη ἀρετὴ ἡ ἐλεημοσύνη πρὸς τοὺς πτωχούς, ἀλλὰ δὲν εἶναι καθόλου τὸ ἴδιον μὲ τὸ νὰ ἀπαλλάσσῃ κάποιος τοὺς ἀνθρώπους ἀπὸ τὴν πλάνην· διότι ὅποιος κάμνει τοῦτο ὁμοιάζει τὸν Παῦλον καὶ τὸν Πέτρον.

Εἶναι δηλαδὴ δυνατὸν νὰ ἐδέχθημεν τὸ κήρυγμα ἐκείνων, ὄχι διὰ νὰ κινδυνεύωμεν ὅπως ἐκεῖνοι καὶ νὰ ὑποφέρωμεν πεῖναν καὶ ἀσθενείας καὶ ἄλλα —διότι ζῶμεν εἰς εἰρηνικὴν περίοδον— ἀλλὰ διὰ νὰ δείξωμεν τὴν μεγάλην προθυμίαν μας· καὶ μάλιστα εἶναι δυνατὸν νὰ μένωμεν εἰς τὴν οἰκίαν των καὶ συγχρόνως νὰ ἀλιεύωμεν ψυχάς. Ὅποιος ἔχει φίλον, συγγενῆ καὶ γνωστόν, ἔτσι ἂς ἐνεργῇ, αὐτὰ ἂς τοὺς λέγῃ καὶ θὰ εἶναι μὲ τὸν Πέτρον καὶ τὸν Παῦλον. Καὶ τί λέγω μὲ τὸν Πέτρον καὶ τὸν Παῦλον; Θὰ εἶναι στόμα τοῦ Χριστοῦ. «Διότι ἐκεῖνος ποὺ ἀπὸ ἀνάξιον κάμνει κάποιον πολύτιμον θὰ εἶναι ὡς τὸ στόμα μου», λέγει. Καὶ ἂν δὲν πείσῃς σήμερον, θὰ πείσῃς αὔριον· καὶ ἂν δὲν πείσῃς ποτέ, σὺ θὰ ἔχῃς πλήρη τὸν μισθόν· καὶ ἂν δὲν πείσῃς ὅλους, θὰ δυνηθῇς νὰ πείσῃς ὀλίγους ἀπὸ τοὺς πολλούς διότι καὶ οἱ ἀπόστολοι δὲν ἔπεισαν ὅλους τοὺς ἀνθρώπους, ἀλλ' ὅμως ἐκήρυξαν πρὸς ὅλους, καὶ ἔχουν μισθὸν δι' ὅλον τὸ ἔργον των. Ὁ Θεὸς δηλαδὴ ὁρίζει τοὺς στεφάνους ὄχι ἀπὸ τὸ ἀποτέλεσμα τῶν ἐνεργειῶν, ἀλλὰ ἀπὸ τὴν διάθεσιν τῶν ἐνεργούντων. Καὶ ἂν προσφέρῃς δύο ὀβολούς, τοὺς δέχεται, καὶ ὅ,τι ἔκαμεν εἰς τὴν περίπτωσιν τῆς χήρας, τοῦτο πράττει καὶ εἰς τὴν περίπτωσιν τῶν διδασκόντων.

Μὴ τοίνυν, ἐπειδὴ τὴν οἰκουμένην οὐ δύνασαι σῶσαι, καὶ τῶν ὀλίγων καταφρόνει, μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ τῶν μικρῶν ἀφελκύσῃς σεαυτόν. Κἂν ἑκατὸν μὴ δυνηθῇς, τῶν δέκα ἐπιμελήθητι· κἂν δέκα μὴ δυνηθῇς, μηδὲ τῶν πέντε καταφρονήσῃς· κἂν πέντε μὴ δυνηθῇς, τοῦ ἑνὸς μὴ ὑπερίδῃς· κἂν τὸν ἕνα μὴ δυνηθῇς, μηδὲ οὕτως ἀθύμει, μηδὲ τὰ παρὰ σαυτοῦ κωλύσῃς. Οὐχ ὁρᾷς ὅτι καὶ ἐν τοῖς συναλλάγμασιν οὐ μόνον ἀπὸ χρυσίου, ἀλλὰ καὶ ἐξ ἀργυρίου τὰς ἐμπορίας ποιοῦνται οἱ περὶ ταῦτα σχολιάζοντες; Ἂν μὲν γὰρ μηδέπω τῶν μικρῶν καταφρονῶμεν, καὶ τῶν μεγάλων ἀνθεξόμεθα· ἂν δὲ τῶν μικρῶν ὑπερίδωμεν, οὐδὲ ἐκείνων ἐπιληψόμεθα εὐκόλως. Οὕτως ἕκαστος πλούσιος γίνεται, καὶ μικρὰ καὶ μεγάλα συλλέγων. Οὕτω καὶ ἡμεῖς ποιῶμεν, ἵνα ἐν πᾶσι πλουτήσαντες ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μὴ λοιπὸν περιφρονῆς καὶ τοὺς ὀλίγους, ἐπειδὴ δὲν δύνασαι νὰ σώσῃς τὴν οἰκουμένην, οὔτε νὰ ἀποσπάσῃς τὸν ἑαυτόν σου ἀπὸ τὰ μικρά, ἐπειδὴ ἐπιθυμεῖς τὰ μεγάλα. Καὶ ἂν δὲν δυνηθῇς νὰ πείσῃς ἑκατόν, φρόντισε διὰ τοὺς δέκα· καὶ ἂν δὲν δυνηθῇς δέκα, μὴ περιφρονήσῃς καὶ τοὺς πέντε· καὶ ἂν δὲν δυνηθῇς νὰ πείσῃς πέντε μὴ ἀδιαφορήσῃς διὰ τὸν ἕνα· καὶ ἂν δὲν δυνηθῇς τὸν ἕνα, οὔτε τότε νὰ στενοχωρῆσαι, καὶ νὰ μὴ ἐμποδίσῃς τὸν ἑαυτόν σου ἀπὸ τὸ ἔργον. Δὲν βλέπεις ὅτι καὶ εἰς τὰς συναλλαγὰς ὄχι μόνον μὲ χρυσὸν ἀλλὰ καὶ μὲ ἄργυρον ἐμπορεύονται αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὸ ἐμπόριον; Ἂν δηλαδὴ δὲν περιφρονῶμεν οὔτε τὰ μικρά, θὰ ἐπιτύχωμεν καὶ εἰς τὰ μεγάλα· ἂν ὅμως ἀδιαφορήσωμεν διὰ τὰ μικρά, οὔτε ἐκεῖνα θὰ τὰ ἐπιτύχωμεν εὐκόλως. Ἔτσι γίνεται πλούσιος ὁ καθείς, μὲ τὸ νὰ συλλέγῃ δηλαδὴ καὶ μικρὰ καὶ μεγάλα. Ἔτσι ἂς κάμνωμεν καὶ ἡμεῖς, διὰ νὰ πλουτήσωμεν εἰς ὅλα καὶ νὰ ἐπιτύχωμεν τὴν βασιλείαν τῶν οὐρανῶν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ.

Α' Κορ. 1, 25

«Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;».

1. Τοῖς κάμνουσι καὶ ψυχορραγοῦσι καὶ αἱ τροφαὶ αἱ ὑγιεῖς ἀηδεῖς, καὶ οἱ φίλοι καὶ οἱ προσήκοντες ἐπαχθεῖς, καὶ οὐδὲ γνωρίζονται πολλάκις, ἀλλὰ καὶ ἐνοχλεῖν δοκοῦσιν. Οὕτω δὴ καὶ τοῖς τὰς ψυχὰς ἀπολλυμένοις συμβαίνειν εἴωθε· τὰ γὰρ πρὸς σωτηρίαν φέροντα ἀγνοοῦσι καὶ τοὺς κηδομένους αὐτῶν ἐνοχλεῖν νομίζουσι. Γίνεται δὲ τοῦτο οὐ παρὰ τὴν τοῦ πράγματος φύσιν ἀλλὰ παρὰ τὴν ἐκείνων νόσον. Καὶ ὅπερ οἱ παραπαίοντες ποιοῦσιν, ἀπεχθανόμενοι πρὸς τοὺς ἐπιμελουμένους αὐτῶν, καὶ λοιπὸν λοιδορούμενοι, τοῦτο καὶ οἱ ἄπιστοι πάσχουσιν. Ἀλλ' ὥσπερ ἐπ' ἐκείνων οἱ λοιδορούμενοι οὐκ ἀντιλοιδοροῦσιν, ἀλλὰ τότε μάλιστα αὐτοὺς ἐλεοῦσι καὶ δακρύουσι, δεῖγμα ἔσχατον τῆς ἐπιτεταμένης ἀρρωστίας τοῦτο ποιούμενοι, ὅταν τοὺς φιλτάτους ἀγνοῶσιν, οὕτω καὶ ἡμεῖς ἐπὶ τῶν Ἑλλήνων ποιήσωμεν καὶ μᾶλλον τῶν γυναικῶν ὀλολύζωμεν ἐπ' αὐτοῖς, ὅτι τὴν κοινὴν ἀγνοοῦσι σωτηρίαν. Οὐ γὰρ οὕτω γυναῖκα ἄνδρα δεῖ φιλεῖν, ὡς ἡμᾶς πάντας ἀνθρώπους, καὶ πρὸς σωτηρίαν ἐφέλκεσθαι, κἂν Ἕλλην ᾖ, κἂν ὁστισοῦν.

Θρηνῶμεν τοίνυν αὐτούς, ὅτι ὁ λόγος τοῦ σταυροῦ μωρία αὐτοῖς ἐστιν, ὁ αὐτὸς σοφία καὶ δύναμις ὤν. «Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις», φησί, «μωρία ἐστίν». Ἐπειδὴ γὰρ εἰκὸς ἦν ἐκείνους, τοῦ σταυροῦ

1. Α' Κορ. 1, 18-20

ΟΜΙΛΙΑ Δ'

Α' Κορ. 1,18—25

«Διότι τὸ κήρυγμα περὶ τοῦ σταυρικοῦ θανάτου τοῦ Χριστοῦ δι' ἐκείνους μὲν ποὺ χάνονται εἶναι μωρία· διὰ μᾶς ὅμως ποὺ σωζόμεθα εἶναι δύναμις Θεοῦ. Διότι εἶναι γραμμένον: Θὰ ἐξαφανίσω τὴν σοφίαν τῶν σοφῶν καὶ θὰ παραμερίσω τὴν σύνεσιν τῶν συνετῶν· Ποῦ εἶναι ὁ σοφός; Ποῦ εἶναι ὁ γραμματεύς; Ποῦ εἶναι ὁ ἐπιδέξιος συζητητὴς τοῦ κόσμου αὐτοῦ;»[1].

1. Διὰ τοὺς ἀσθενεῖς καὶ δι' ὅσους ψυχορραγοῦν ἀκόμη καὶ αἱ ὑγιειναὶ τροφαὶ εἶναι ἀηδιαστικαὶ καὶ οἱ φίλοι καὶ οἱ συγγενεῖς φορτικοὶ καὶ πολλάκις οὔτε κἂν ἀναγνωρίζονται, ἀλλὰ ἐπὶ πλέον φαίνονται ἐνοχλητικοί. Τὸ ἴδιον λοιπὸν συνήθως συμβαίνει καὶ μὲ ὅσους ἔχουν χάσει τὰς ψυχάς των· ἀγνοοῦν δηλαδὴ ὅσα τοὺς φέρουν τὴν σωτηρίαν καὶ νομίζουν ὅτι τοὺς ἐνοχλοῦν ὅσοι ἐνδιαφέρονται δι' αὐτούς. Τοῦτο συμβαίνει ὄχι λόγῳ τῆς φύσεως τοῦ πράγματος, ἀλλὰ λόγῳ τῆς νόσου ἐκείνων. Καὶ ὅ,τι ἀκριβῶς κάμνουν ὅσοι παραπαίουν, ποὺ ἀποστρέφονται δηλαδὴ καὶ ὑβρίζουν συνεχῶς ὅσους φροντίζουν δι' αὐτούς, τοῦτο παθαίνουν καὶ οἱ ἄπιστοι. Ἀλλὰ ὅπως ἀκριβῶς οἱ ὑβριζόμενοι ἀπὸ ἐκείνους δὲν ἀνταποδίδουν τὰς ὕβρεις, ἀλλὰ τότε πολὺ περισσότερον τοὺς ἐλεοῦν καὶ δακρύζουν — καὶ εἶναι τοῦτο ἡ τελευταία ἀπόδειξις τῆς δυνάμεως τῆς ἀσθενείας των, ὅταν ἀγνοοῦν τὰ πλέον ἀγαπημένα των πρόσωπα— ἔτσι καὶ ἡμεῖς ἂς πράττωμεν διὰ τοὺς ἐθνικοὺς καὶ ἂς θρηνῶμεν δι' αὐτοὺς περισσότερον ἀπὸ τὰς γυναῖκας, διότι ἀγνοοῦν τὴν κοινὴν σωτηρίαν. Δὲν πρέπει δηλαδὴ γυναῖκα νὰ ἀγαπᾷ τόσον πολὺ ἕνα ἄνδρα ὅσον ἐμεῖς πρέπει νὰ ἀγαπῶμεν ὅλους τοὺς ἀνθρώπους καὶ νὰ τοὺς προσελκύωμεν πρὸς τὴν σωτηρίαν εἴτε κάποιος εἶναι ἐθνικὸς εἴτε οἱοσδήποτε ἄλλος.

Ἂς θρηνῶμεν λοιπὸν δι' αὐτούς, διότι ὁ λόγος τοῦ σταυροῦ εἶναι δι' αὐτοὺς μωρία, ἐνῷ εἶναι ὁ ἴδιος σοφία καὶ δύναμις· «τὸ κήρυγμα περὶ τοῦ σταυρικοῦ θανάτου τοῦ Χριστοῦ εἶναι μωρία δι' ἐκείνους ποὺ χάνονται», λέγει. Ἐπειδὴ δηλαδὴ ἦτο ἑπόμενον, ὅταν

παρὰ τῶν Ἑλλήνων χλευαζομένου, τῇ σοφίᾳ τῇ δῆθεν παρ' ἑαυτῶν ἀνθίστασθαι καὶ πολεμεῖν θορυβουμένους τοῖς παρὰ τῶν Ἑλλήνων λεγομένοις, παραμυθούμενος ὁ Παῦλός φησί, μὴ νομίσητε ξένον γίνεσθαι καὶ παράδοξον. Ταύτην ἔχει τὴν φύσιν τὸ πρᾶγμα, ὥστε ὑπὸ τῶν ἀπολλυμένων μὴ γνωρίζεσθαι αὐτοῦ τὴν δύναμιν· ἐξεστήκασι γὰρ καὶ παραπαίουσι. Διὰ τοῦτο καὶ λοιδοροῦνται καὶ ἐπαχθῶς ἔχουσι πρὸς τὰ σωτήρια φάρμακα.

Τί δὲ λέγεις, ἄνθρωπε; Δοῦλος ὁ Χριστὸς ἐγένετο διὰ σὲ μορφὴν δούλου λαβών, καὶ ἐσταυρώθη καὶ ἀνέστη· καὶ δέον ἀναστάντα προσκυνῆσαι διὰ τοῦτο καὶ θαυμάσαι τὴν φιλανθρωπίαν, ὅτι ὅπερ οὔτε πατὴρ οὔτε φίλος οὔτε υἱὸς ὑπὲρ σοῦ ἐποίησε, ταῦτα ὁ δεσπότης πάντα εἰργάσατο ὑπὲρ σοῦ τοῦ ἐχθροῦ καὶ προσκεκρουκότος· δέον τοίνυν θαυμάζειν ὑπὲρ τούτων αὐτόν, σὺ δὲ μωρίαν καλεῖς πρᾶγμα τοσαύτης σοφίας γέμον; Ἀλλ' οὐδὲν θαυμαστόν· τῶν γὰρ ἀπολλυμένων ἐστὶ μὴ ἐπιγινώσκειν τὰ πρὸς σωτηρίαν φέροντα.

Μὴ θορυβεῖσθε οὖν· οὐ γὰρ ξένον οὐδὲ παρὰ προσδοκίαν τὸ γινόμενον, τὸ χλευάζεσθαι τὰ μεγάλα παρὰ τῶν ἐξεστηκόντων. Τοὺς δὲ οὕτω διακειμένους διὰ σοφίας ἀνθρωπίνης πείθειν οὐκ ἔνι· ἀλλά, κἂν βουληθῇς οὕτω πεῖσαι, τὸ ἐναντίον ποιεῖς· τὰ γὰρ ὑπερβαίνοντα λογισμὸν πίστεως δεῖται μόνης. Καὶ γάρ, ἂν θέλωμεν πείθειν διὰ λογισμῶν, πῶς ἄνθρωπος ἐγένετο ὁ Θεὸς καὶ εἰς μήτραν εἰσῆλθε παρθενικήν, καὶ μὴ τῇ πίστει τὸ πρᾶγμα ἐπιτρέψωμεν, μᾶλλον ἐκεῖνοι καταγελάσονται. Ἄρα οἱ λογισμοῖς ζητοῦντες, οὗτοί εἰσιν οἱ ἀπολλύμενοι. Καὶ τί λέγω περὶ Θεοῦ; Ἐπὶ γὰρ τῶν κτισμάτων ἂν τοῦτο ποιήσωμεν, πολὺς ἔψεται γέλως. Ἔστω γὰρ ἄνθρωπος πάντα βουλόμενος λογισμοῖς μανθάνειν, καὶ πειράσθω παρὰ σοῦ λόγῳ πείθεσθαι, πῶς βλέπομεν τὸ φῶς· σὺ δὲ αὐτὸν λογισμῷ πείθειν πειρῶ. Ἀλλ' οὐκ ἂν ἔχοις. Ἂν γὰρ εἴπῃς ὅτι ἀρκεῖ τοὺς ὀφθαλμοὺς ἀνοίξαντα βλέπειν, οὐ τὸν τρόπον εἴρηκας, ἀλλὰ τὸ γινόμενον.

οἱ ἐθνικοὶ ἐχλεύαζον τὸν σταυρόν, ἐκεῖνοι νὰ ἀποκρούουν τὴν δῆθεν σοφίαν των καὶ νὰ τοὺς πολεμοῦν ταραγμένοι ἀπὸ τοὺς λόγους τῶν ἐθνικῶν, ὁ Παῦλος παρηγορῶν τοὺς λέγει· Μὴ νομίσετε ὅτι συμβαίνει κάτι παράξενον καὶ παράδοξον· εἶναι φυσικὸν ὥστε οἱ ἀπολλυμένοι νὰ μὴ γνωρίζουν τὴν δύναμίν του, διότι ἔχουν παραφρονήσει καὶ παραπαίουν· καὶ διὰ τὸν λόγον αὐτὸν χλευάζουν καὶ ἀποστρέφονται τὰ φάρμακα τῆς σωτηρίας.

Ἀλλὰ τί λέγεις, ἄνθρωπε; Ὁ Χριστὸς ἔγινε δοῦλος διὰ σέ, ἀφοῦ ἔλαβε μορφὴν δούλου καὶ ἐσταυρώθη καὶ ἀνεστήθη· καὶ ἀφοῦ ἀνεστήθη, πρέπει διὰ τοῦτο νὰ τὸν προσκυνήσῃς καὶ νὰ θαυμάσῃς τὴν φιλανθρωπίαν του, διότι αὐτὸ ποὺ δὲν ἔκαμε διὰ σὲ οὔτε ὁ πατὴρ οὔτε φίλος οὔτε υἱός σου, αὐτὰ ὅλα τὰ ἔκαμε ὁ Κύριος διὰ σὲ τὸν ἐχθρὸν καὶ ἀντίθετον· ἐνῷ λοιπὸν πρέπει νὰ τὸν θαυμάζῃς δι᾽ αὐτά, σὺ ἀκόμη καὶ μωρία ὀνομάζεις πρᾶγμα ποὺ εἶναι γεμᾶτο μὲ τόσην σοφίαν; Ἀλλὰ τίποτε δὲν εἶναι παράξενον, διότι εἶναι χαρακτηριστικὸν τῶν ἀπολλυμένων νὰ μὴ ἀναγνωρίζουν ὅσα ὁδηγοῦν εἰς τὴν σωτηρίαν.

Μὴ θορυβεῖσθε λοιπόν· δὲν εἶναι παράξενον οὔτε ἀπροσδόκητον τὸ γεγονὸς νὰ χλευάζωνται τὰ μεγάλα ἀπὸ τοὺς παράφρονας. Αὐτοὶ ποὺ ἔτσι αἰσθάνονται δὲν εἶναι δυνατὸν νὰ πεισθοῦν μὲ ἀνθρωπίνην σοφίαν· ἀλλά, καὶ ἂν θελήσῃς ἔτσι νὰ τοὺς πείσῃς, κάμνεις τὸ ἀντίθετον, διότι αὐτὰ ποὺ ὑπερβαίνουν τὸ λογικὸν χρειάζονται μόνον πίστιν. Ἂν θέλωμεν δηλαδὴ νὰ τοὺς πείσωμεν μὲ λογικὰ ἐπιχειρήματα πῶς ὁ Θεὸς ἔγινε ἄνθρωπος καὶ εἰσῆλθεν εἰς παρθενικὴν μήτραν, καὶ ἂν δὲν ἀναγάγωμεν τὸ θέμα εἰς τὴν πίστιν, μᾶλλον θὰ μᾶς χλευάσουν ἐκεῖνοι. Ἑπομένως αὐτοὶ ποὺ ζητοῦν νὰ πείσουν μὲ λογικὰ ἐπιχειρήματα, αὐτοὶ εἶναι οἱ ἀπολλυμένοι. Καὶ τί λέγω διὰ τὸν Θεόν; Διότι, ἂν κάμωμεν τοῦτο διὰ τὰ κτίσματα, θὰ μᾶς περιγελάσουν πολύ· ἔστω δηλαδὴ ἕνας ἄνθρωπος ποὺ ὅλα θέλει νὰ τὰ μαθαίνῃ μὲ λογικὰ ἐπιχειρήματα, καὶ γίνεται προσπάθεια νὰ πεισθῇ ἀπὸ σὲ μέ ἐπιχειρήματα πῶς βλέπομεν τὸ φῶς· σὺ λοιπὸν προσπάθησε νὰ τὸν πείσῃς μὲ λογικὰ ἐπιχειρήματα, ἀλλὰ δὲν θὰ ἠμπορέσῃς· ἂν δηλαδὴ εἴπῃς ὅτι ἀρκεῖ νὰ ἀνοίξῃ τοὺς ὀφθαλμούς του καὶ νὰ ἴδῃ, δὲν ἀναφέρεσαι εἰς τὸν τρόπον ἀλλὰ εἰς τὸ γεγονός.

Διὰ τί γὰρ μὴ τῇ ἀκοῇ βλέπομεν, φησί, καὶ τοῖς ὀφθαλμοῖς ἀκούομεν; διὰ τί γὰρ μὴ τῇ ῥινὶ ἀκούομεν καὶ τῇ ἀκοῇ ὀσφραινόμεθα; Ἂν τοίνυν ἀποροῦντος αὐτοῦ περὶ τούτων μὴ δυνώμεθα τὸν λόγον ἀποδοῦναι τούτων, ἐκεῖνος μέλλει γελᾶν· οὐ μειζόνως ἡμεῖς καταγελασόμεθα. Εἰ γὰρ ἀμφότερα ἐξ ἑνὸς ἐγκεφάλου τὴν ἀρχὴν ἔχει καὶ ἀμφότερα ἀλλήλοις γειτνιάζει τὰ μέλη, πῶς οὐ τὰ αὐτὰ δύναται ποιεῖν; Ἀλλ' οὐ δυνησόμεθα εἰπεῖν τὴν αἰτίαν οὐδὲ τὸν τρόπον τῆς ἀφάτου καὶ ποικίλης ἐνεργείας, ἀλλά, κἂν ἐπιχειρήσωμεν, καταγελώμεθα. Διά τοι τοῦτο τῇ τοῦ Θεοῦ δυνάμει καὶ τῇ ἀπείρῳ σοφίᾳ παραχωροῦντες σιγήσωμεν. Οὕτω τοίνυν καὶ τὰ τοῦ Θεοῦ ἐὰν τῇ ἔξωθεν σοφίᾳ βουληθῶμεν παραστῆσαι, πολὺς ἔψεται γέλως οὐ παρὰ τὴν τῶν πραγμάτων ἀσθένειαν ἀλλὰ παρὰ τὴν τῶν ἀνθρώπων ἄνοιαν· τὰ γὰρ μεγάλα λόγος οὐδεὶς παραστῆσαι δύναται.

Σκόπει δέ. Ὅταν εἴπω, ἐσταυρώθη, ὁ Ἕλλην λέγει, καὶ πῶς ἂν ἔχοι λόγον τοῦτο; ἑαυτῷ οὐκ ἤμυνε σταυρουμένῳ καὶ πειραζομένῳ κατὰ τὸν καιρὸν τοῦ σταυροῦ, καὶ πῶς μετὰ ταῦτα ἀνέστη καὶ ἑτέροις ἤμυνεν; Εἰ γὰρ ἐδύνατο, πρὸ τοῦ θανάτου ἔδει· τοῦτο γὰρ καὶ Ἰουδαῖοι ἔλεγον· ὁ δὲ ἑαυτῷ μὴ ἀμύνας πῶς ἄλλοις ἤμυνεν; Οὐκ ἂν ἔχοι λόγον, φησί. Καὶ γὰρ ὑπὲρ λόγον ἐστίν, ἄνθρωπε, καὶ ἀφάτου δυνάμεως ὁ σταυρός. Τὸ γὰρ ἐν τοῖς δεινοῖς γενόμενον ἀνώτερον φανῆναι τῶν δεινῶν καὶ συμπλακέντα νικῆσαι δυνάμεώς ἐστιν ἀπείρου. Ὥσπερ γὰρ ἐπὶ τῶν τριῶν παίδων τοῦ μὴ ἐμβῆναι εἰς τὴν κάμινον τὸ ἐμβάντας καταπατῆσαι τὴν φλόγα θαυμαστότερον ἦν· καὶ ἐπὶ τοῦ Ἰωνᾶ τοῦ μὴ ἐμπεσεῖν εἰς τὸ κῆτος τὸ ἐμπεσόντα μηδὲν ἀπὸ τοῦ θηρίου παθεῖν ἀηδὲς πολλῷ μεῖζον ἦν· οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ τοῦ μὴ ἀποθανεῖν τὸ ἀποθανόντα διαλῦσαι τὸν θάνατον παραδοξότερον ἦν. Μὴ τοίνυν λέγε, διὰ τί οὐκ

Διατί τότε, λέγει, δὲν βλέπομεν μὲ τὰ αὐτιὰ καὶ δὲν ἀκούομεν μὲ τοὺς ὀφθαλμούς; Καὶ διατί δὲν ἀκούομεν μὲ τὴν μύτην καὶ δὲν μυρίζομεν μὲ τὰ αὐτιά; Ἂν λοιπὸν εἰς τὰς ἀπορίας του αὐτὰς δὲν δυνάμεθα νὰ τοῦ δώσωμεν τὴν ἐξήγησσιν τούτων, ἐκεῖνος θὰ γελᾷ, ἀλλὰ καὶ ἐμεῖς θὰ γελάσωμεν πολὺ περισσότερον. Ἐὰν δηλαδὴ καὶ αἱ δύο αἰσθήσεις προέρχωνται ἀπὸ τὸν ἴδιον ἐγκέφαλον καὶ εἶναι τὸ ἕνα πλησίον τοῦ ἄλλου καὶ τὰ δύο μέλη, διατί δὲν εἶναι δυνατὸν νὰ ἔχουν τὰς ἰδίας ἐνεργείας; Ἀλλὰ δὲν θὰ δυνηθῶμεν νὰ εἴπωμεν τὴν αἰτίαν οὔτε τὸν τρόπον τῆς ἀνεξηγήτου καὶ ποικίλης ἐνεργείας, ἀλλὰ καὶ ἂν ἐπιχειρήσωμεν, θὰ χλευασθῶμεν. Διὰ τοῦτο λοιπὸν ἂς σιγήσωμεν ἀφήνοντες τὸ θέμα εἰς τὴν δύναμιν καὶ τὴν ἄπειρον σοφίαν τοῦ Θεοῦ. Ἔτσι λοιπόν, ἐὰν θελήσωμεν νὰ ἐκφράσωμεν τὰ τοῦ Θεοῦ μὲ τὴν κοσμικὴν σοφίαν, θὰ ἐπακολουθήσῃ πολὺς γέλως ὄχι λόγῳ τῆς ἀδυναμίας τῶν πραγμάτων νὰ ἐκφρασθοῦν, ἀλλὰ λόγῳ τῆς ἀδυναμίας τῆς ἀνθρωπίνης νοήσεως, διότι τὰ μεγάλα οὐδεὶς λόγος δύναται νὰ τὰ ἐκφράσῃ.

Πρόσεξε ὅμως: Ὅταν εἴπω «ἐσταυρώθη», ὁ ἐθνικὸς λέγει· Καὶ πῶς ἐξηγεῖται τοῦτο μὲ τὴν λογικήν; Ὅταν ἦτο ἐσταυρωμένος καὶ κατὰ τὴν ὥραν τοῦ σταυροῦ ἔπασχε, δὲν ἐβοήθησε τὸν ἑαυτόν του, καὶ πῶς κατόπιν ἀνεστήθη καὶ ἐβοήθησεν ἄλλους; Ἐὰν δηλαδὴ εἶχε δύναμιν, ἔπρεπε νὰ τὴν εἶχε δείξει πρὸ τοῦ θανάτου του· τοῦτο ἐξ ἄλλου καὶ οἱ Ἰουδαῖοι τὸ ἔλεγον· αὐτὸς ὅμως ποὺ δὲν ἐβοήθησε τὸν ἑαυτόν του, πῶς ἐβοήθησεν ἄλλους; Εἶναι παράλογον, λέγει. Βεβαίως, ἄνθρωπε, ὁ σταυρὸς εἶναι παράλογον καὶ ἡ δύναμίς του δὲν δύναται νὰ ἐκφρασθῇ μὲ λόγους· διότι, τὸ νὰ εὑρεθῇ κάποιος εἰς κινδύνους καὶ νὰ φανῇ ἀνώτερος τῶν κινδύνων, νὰ τοὺς ἀντιμετωπίσῃ καὶ νὰ τοὺς ὑπερνικήσῃ, τοῦτο δεικνύει ὅτι αὐτὸς ἔχει ἄπειρον δύναμιν. Ὅπως ἀκριβῶς δηλαδὴ μὲ τὴν περίπτωσιν τῶν τριῶν παίδων· τὸ ὅτι εἰσῆλθον εἰς τὴν κάμινον καὶ κατενίκησαν τὴν φλόγα ἦτο θαυμαστότερον ἀπὸ τὸ νὰ μὴ εἰσήρχοντο. Καὶ τὸ ὅτι ὁ Ἰωνᾶς, ἂν καὶ ἔπεσε μέσα εἰς τὸ κῆτος, δὲν ἔπαθε τίποτε τὸ δυσάρεστον, ἦτο πολὺ μεγαλύτερον ἀπὸ τὸ νὰ μὴ πέσῃ εἰς αὐτό· ἔτσι καὶ μὲ τὸν Χριστόν· τὸ ὅτι, ἂν καὶ ἀπέθανε, διέλυσε τὸν θάνατον, ἦτο παραδοξότερον ἀπὸ τὸ νὰ μὴ ἀποθάνῃ. Μὴ λέγῃς λοιπόν· Διατί δὲν ἐβοήθησε τὸν ἑαυτόν του εἰς τὸν

ἤμυνεν ἑαυτῷ ἐν τῷ σταυρῷ; αὐτῷ γὰρ συμπλακῆναι ἠπείγετο τῷ θανάτῳ. Οὐ κατέβη ἀπὸ τοῦ σταυροῦ, οὐκ ἐπειδὴ οὐκ ἠδύνατο, ἀλλ' ἐπειδὴ οὐκ ἠβούλετο. Ὃν γὰρ ἡ τυραννὶς οὐ κατέσχε τοῦ θανάτου, πῶς ἧλοι σταυροῦ κατασχεῖν ἠδύναντο;

2. Ἀλλὰ ταῦτα ἡμῖν γνώριμα, τοῖς δὲ ἀπίστοις οὐκέτι. Διὰ τοῦτο ἔλεγεν ὅτι «Ὁ λόγος ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω». Οὐδὲν παρ' ἑαυτοῦ φορτικὸν τέως τίθησιν, ἀλλὰ πρότερον ἐπὶ τὴν μαρτυρίαν ἔρχεται τῆς γραφῆς, καὶ τότε τὴν ἐκεῖθεν παρρησίαν λαβὼν καταφορικώτερον κέχρηται τοῖς λόγοις, καί φησιν· «Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας». Εἰπὼν ὅτι «Γέγραπται, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν», τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν ἐπάγει λέγων· «Ποῦ σοφός; ποῦ γραμματεύς;» ὁμοῦ καὶ Ἑλλήνων καὶ Ἰουδαίων καθαπτόμενος. Ποῖος γὰρ φιλόσοφος, τίς τῶν περὶ τοὺς συλλογισμοὺς ἐσχολακότων, τίς τῶν τὰ Ἰουδαίων εἰδότων ἔσωσε καὶ τὴν ἀλήθειαν ἐγνώρισεν; Οὐκ ἔστιν οὐδείς, ἀλλὰ τῶν ἁλιέων τὸ πᾶν γέγονε.

Συμπεράνας τοίνυν τὸ προκείμενον καὶ κατενεγκὼν αὐτῶν τὸν τῦφον καὶ εἰπών, «Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;», λέγει καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα οὕτω γέγονεν. «Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ», φησίν, «οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν», ὁ σταυρὸς ἐφάνη. Τί δέ ἐστιν, «ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ»; Τῇ διὰ τῶν ἔργων φαινομένῃ, δι' ὧν ἠθέλησε γνωρισθῆναι. Διὰ τοῦτο γὰρ αὐτὰ καὶ τοιαῦτα κατεσκεύασεν, ἵνα ἀναλόγως

---

2. αὐτ. 20-21

σταυρόν; Διότι ἐβιάζετο νὰ συμπλακῇ μὲ τὸν ἴδιον τὸν θάνατον. Δὲν κατέβη ἀπὸ τὸν σταυρόν, ὄχι ἐπειδὴ δὲν ἠδύνατο, ἀλλὰ ἐπειδὴ δὲν ἤθελε. Αὐτὸν δηλαδὴ ποὺ δὲν τὸν ἐκράτησεν ἡ τυραννία τοῦ θανάτου πῶς θὰ ἠμποροῦσαν νὰ τὸν κρατήσουν τὰ καρφιὰ τοῦ σταυροῦ;

2. Ἀλλὰ αὐτὰ εἶναι γνωστὰ εἰς ἐμᾶς, εἶναι ὅμως ἀκόμη ἄγνωστα εἰς τοὺς ἀπίστους· διά τοῦτο ἔλεγεν ὅτι «τὸ κήρυγμα διὰ τὸν σταυρικὸν θάνατον τοῦ Χριστοῦ δι' ἐκείνους μὲν ποὺ χάνονται εἶναι μωρία, δι' ἐμᾶς ὅμως ποὺ σωζόμεθα εἶναι δύναμις Θεοῦ. Διότι εἶναι γραμμένον: Θὰ ἐξαφανίσω τὴν σοφίαν τῶν σοφῶν καὶ θὰ παραμερίσω τὴν σύνεσιν τῶν συνετῶν». Ἕως ἐδῶ δὲν ἀναφέρει τίποτε ἰδικόν του φορτικόν, ἀλλὰ πρωτίστως ἔρχεται εἰς τὴν μαρτυρίαν τῆς Γραφῆς καὶ κατόπιν, ἀφοῦ ἔλαβε τὴν παρρησίαν ποὺ στηρίζεται ἐκεῖ, χρησιμοποιεῖ περισσότερον ἐντόνους λόγους καὶ λέγει: «Ὁ Θεὸς δὲν ἀπέδειξε μωρὰν τὴν σοφίαν τοῦ κόσμου αὐτοῦ; Ποῦ εἶναι ὁ σοφός; Ποῦ ὁ γραμματεύς; Ποῦ ὁ ἐπιδέξιος συζητητὴς τοῦ κόσμου αὐτοῦ; Ὁ Θεὸς δὲν ἀπέδειξε μωρὰν τὴν σοφίαν τοῦ κόσμου αὐτοῦ; Ἐπειδὴ δηλαδὴ κατὰ τὴν σοφίαν τοῦ Θεοῦ ὁ κόσμος δὲν ἐγνώρισε μὲ τὴν σοφίαν του τὸν Θεόν, μὲ τὴν ἀγαθότητά του ἀπεφάσισε ὁ Θεὸς νὰ σώσῃ ἐκείνους ποὺ πιστεύουν μὲ τὴν μωρίαν τοῦ κηρύγματος»[2]. Ἀφοῦ εἶπεν ὅτι «Εἶναι γραμμένον· θὰ ἐξαφανίσω τὴν σοφίαν τῶν σοφῶν», προσθέτει τὴν ἀπόδειξιν ἀπὸ τὴν πραγματικότητα λέγων· «ποῦ εἶναι ὁ σοφός; ποῦ εἶναι ὁ γραμματεύς»· ἔτσι ἐκατηγόρει συγχρόνως καὶ τοὺς ἐθνικοὺς καὶ τοὺς Ἰουδαίους· διότι ποῖος φιλόσοφος, ποῖος ἀπὸ ἐκείνους ποὺ ἔχουν ἀσχοληθῆ μὲ τοὺς συλλογισμούς, ποῖος σοφὸς Ἰουδαῖος ἔσωσε καὶ ἐγνώρισε τὴν ἀλήθειαν; Κανείς, ἀλλὰ τὸ πᾶν εἶναι ἔργον τῶν ἁλιέων.

Ἀφοῦ ἔφθασε λοιπὸν εἰς τὸ συμπέρασμα τοῦτο καὶ ἀφοῦ συνέτριψε τὴν ἀλαζονείαν αὐτῶν καὶ εἶπεν, «Ὁ Θεὸς ἀπέδειξεν μωρὰν τὴν σοφίαν τοῦ κόσμου αὐτοῦ», ἀναφέρει καὶ τὴν αἰτίαν, διὰ τὴν ὁποίαν συνέβησαν αὐτὰ ἔτσι. «Ἐπειδὴ δηλαδὴ κατὰ τὴν σοφίαν τοῦ Θεοῦ ὁ κόσμος δὲν ἐγνώρισε τὸν Θεὸν μὲ τὴν σοφίαν του», ἐφάνη ὁ σταυρός. Καὶ τί σημαίνει «Κατὰ τὴν σοφίαν τοῦ Θεοῦ»; Διὰ μέσου τῆς σοφίας ποὺ φαίνεται ἀπὸ τὰ δημιουργήματα, μὲ τὰ ὁποῖα ἠθέλησε νὰ τὸν γνωρίσουν οἱ ἄνθρωποι. Αὐτὰ δηλαδὴ τὰ

ἐκ τῶν ὁρωμένων ὁ ποιητὴς θαυμάζηται. Μέγας ὁ οὐρανὸς καὶ ἀπειροπληθὴς ἡ γῆ; Θαύμασον τοίνυν τὸν πεποιηκότα. Καὶ γὰρ ὁ μέγας οὗτος οὐ μόνον ἐγένετο ὑπ' αὐτοῦ ἀλλὰ καὶ μετ' εὐκολίας· καὶ ἡ ἄπειρος ἐκείνη γῆ καὶ αὐτὴ ὡς οὐδὲν παρήγετο. Διὰ τοῦτο περὶ μὲν ἐκείνου φησὶν ὅτι «Ἔργα τῶν δακτύλων σού εἰσιν οἱ οὐρανοί», περὶ δὲ τῆς γῆς, «Ὁ ποιήσας τὴν γῆν ὡς οὐδέν». Ἐπεὶ οὖν διὰ τῆς σοφίας ταύτης οὐκ ἠθέλησε γνωρίσαι τὸν Θεόν, διὰ τῆς δοκούσης μωρίας εἶναι τοῦ κηρύγματος ἔπεισεν, οὐ διὰ λογισμῶν ἀλλὰ διὰ τῆς πίστεως.

Λοιπὸν ὅπου σοφία Θεοῦ, οὐκέτι χρεία ἀνθρωπίνης. Τὸ μὲν γὰρ εἰπεῖν ὅτι τὸν κτίσαντα τὸν κόσμον τὸν τοσοῦτον καὶ οὕτω μέγαν, Θεόν εἶναι εἰκὸς δύναμιν ἀμήχανόν τινα ἔχοντα καὶ ἀπόρρητον, σοφίας ἀνθρωπίνης λογίζεσθαι ἦν, καὶ διὰ τούτων αὐτὸν καταλαμβάνειν· νῦν δὲ οὐκέτι λογισμῶν ἀλλὰ πίστεως δεῖ μόνης. Τὸ γὰρ εἰς τὸν σταυρωθέντα καὶ ταφέντα πιστεύειν καὶ πεπληροφορῆσθαι ὅτι οὗτος αὐτὸς καὶ ἀνέστη καὶ ἄνω κάθηται, τοῦτο σοφίας οὐ δεῖται οὐδὲ λογισμῶν ἀλλὰ πίστεως. Καὶ γὰρ οἱ ἀπόστολοι οὐ σοφίᾳ προσῆλθον ἀλλὰ πίστει, καὶ γεγόνασι τῶν ἔξω σοφῶν σοφώτεροι καὶ ὑψηλότεροι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῦ λογιμοὺς κινεῖν τὸ πίστει τὰ τοῦ Θεοῦ δέχεσθαι μεῖζον· τοῦτο γὰρ ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν.

Πῶς δὲ ἀπώλεσε τὴν σοφίαν; Διὰ Παύλου καὶ τῶν τοιούτων γνωρισθεὶς ἡμῖν ἔδειξεν αὐτὴν ἀνόνητον οὖσαν. Πρὸς γὰρ τὸ δέξασθαι τὸ κήρυγμα τὸ εὐαγγελικὸν οὔτε ὁ σοφὸς ὠφελεῖταί τι παρὰ τῆς σοφίας, οὔτε ὁ ἰδιώτης ἐβλάβη τι παρὰ τῆς ἀμαθίας· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μᾶλλον ἰδιωτεία ἢ σοφία πρὸς τὴν ὑποδοχήν ἐστιν ἐπιτήδειον καὶ εὐκολώτερον. Ὁ γὰρ ποιμὴν καὶ ἄγροικος ταύτην θᾶττον ὑποδέξεται καθάπαξ καὶ τοὺς λογισμοὺς καταστέλλων καὶ τῷ δεσπότῃ ἑαυτὸν παραδιδούς. Οὕτω τοίνυν τὴν σοφίαν ἀπώλεσεν. Ἐπειδὴ γὰρ προτέρα ἑαυτὴν

3. Ψαλ. 8,4
4. Ἠσ. 40,23

κατεσκεύασε τέτοια δι' αὐτὸν ἀκριβῶς τὸν λόγον, διὰ νὰ θαυμάζουν τὸν δημιουργὸν ἀναλόγως μὲ τὸ τί θὰ ἔβλεπον. Εἶναι μέγας ὁ οὐρανὸς καὶ ἀπέραντη ἡ γῆ; Θαύμασε λοιπὸν τὸν δημιουργόν· καὶ μάλιστα ὁ μέγας αὐτὸς οὐρανὸς ὄχι μόνον ἐδημιουργήθη ἀπὸ αὐτόν, ἀλλὰ ἐδημιουργήθη καὶ μὲ εὐκολίαν· καὶ ἡ ἄπειρη ἐκείνη γῆ καὶ αὐτὴ ἐδημιουργήθη ὡς κάτι τὸ εὔκολον· διὰ τοῦτο δι' ἐκεῖνον μὲν λέγει, ὅτι «Οἱ οὐρανοὶ εἶναι ἔργα τῶν δακτύλων σου»[3], διὰ δὲ τὴν γῆν, «Αὐτὸς ποὺ ἔκαμε τὴν γῆν ἀπὸ τὸ τίποτε»[4]. Ἐπειδὴ λοιπὸν ὁ ἄνθρωπος δὲν ἠθέλησε νὰ γνωρίσῃ τὸν Θεὸν δι' αὐτῆς τῆς σοφίας, τὸν ἔπεισε μὲ τὴν θεωρουμένην μωρίαν τοῦ κηρύγματος, ὄχι μὲ τὴν λογικήν, ἀλλὰ μὲ τὴν πίστιν.

Ὅπου λοιπὸν ὑπάρχει ἡ σοφία τοῦ Θεοῦ δὲν χρειάζεται πλέον ἡ ἀνθρωπίνη σοφία· τὸ νὰ εἴπῃ δηλαδὴ κάποιος ὅτι αὐτὸς ποὺ ἔκτισε τὸν κόσμον τὸν τόσον ἀπέραντον καὶ μέγαν εἶναι φυσικὸν νὰ εἶναι Θεὸς ποὺ ἔχει κάποιαν ἀκαταγώνιστον καὶ μυστικὴν δύναμιν ἦτο ἔργον τῆς λογικῆς ποὺ ἐχρειάζετο τὴν ἀνθρωπίνην σοφίαν καὶ μὲ αὐτὰ ἠμποροῦσαν νὰ κατανοήσουν τὸν Θεόν· τώρα ὅμως δὲν χρειάζεται πλέον ἡ λογική, ἀλλὰ μόνη ἡ πίστις· διότι τὸ νὰ πιστεύῃ κανεὶς εἰς τὸν σταυρωθέντα καὶ ταφέντα καὶ νὰ εἶναι βέβαιος ὅτι αὐτὸς ὁ ἴδιος καὶ ἀνεστήθη καὶ εὑρίσκεται εἰς τὸν οὐρανὸν τοῦτο δὲν χρειάζεται σοφίαν οὔτε λογικήν, ἀλλὰ πίστιν· διότι βεβαίως οἱ ἀπόστολοι δὲν προσῆλθον μὲ σοφίαν, ἀλλὰ μὲ πίστιν καὶ ἔχουν γίνει σοφώτεροι καὶ ἀνώτεροι ἀπὸ τοὺς σοφοὺς τοῦ κόσμου, καὶ μάλιστα τόσον περισσότερον ὅσον τὸ νὰ δέχεται κανεὶς μὲ τὴν πίστιν τὰς ἀληθείας τοῦ Θεοῦ εἶναι ἀνώτερον ἀπὸ τὴν ἐνέργειαν τῆς λογικῆς· διότι τοῦτο ὑπερβαίνει τὴν ἀνθρωπίνην διάνοιαν.

Καὶ πῶς κατεδίκασε τὴν σοφίαν; Μὲ τὸ νὰ γνωρίσωμεν διὰ τοῦ Παύλου καὶ τῶν ἁπλοϊκῶν ἀποστόλων ἔδειξεν ὅτι αὐτὴ εἶναι ἀνωφελής· διότι προκειμένου νὰ δεχθῇ τὸ εὐαγγελικὸν κήρυγμα οὔτε ὁ ἁπλοϊκὸς βλάπτεται εἰς τίποτε ἀπὸ τὴν ἀμάθειάν του· ἀλλὰ ἂν πρέπει νὰ εἴπωμεν καὶ κάτι περίεργον, ἡ ἁπλοϊκότης μᾶλλον παρὰ ἡ σοφία εἶναι κατάλληλος καὶ πλέον εὐνοϊκὴ διὰ νὰ δεχθῇ κανεὶς τὸ κήρυγμα· διότι ὁ ποιμὴν καὶ ὁ χωρικὸς θὰ δεχθῇ τοῦτο ταχύτερον καὶ τὴν λογικὴν περιορίζων καὶ τὸν ἑαυτόν του παραδίδων εἰς τὸν Κύριον. Ἔτσι λοιπὸν κατεδίκασε τὴν σοφίαν·

κατέβαλε, πρὸς οὐδὲν χρήσιμος λοιπόν ἐστιν. Ὅτε γὰρ ἔδει τὰ ἑαυτῆς αὐτὴν ἐνδείξασθαι καὶ διὰ τῶν ἔργων ἰδεῖν τὸν δεσπότην, οὐκ ἠθέλησε. Διὰ τοῦτο, κἂν θέλῃ νῦν ἐπεισαγαγεῖν ἑαυτήν, οὐ δύναται· οὐ γὰρ τοιαῦτα τὰ πράγματα· ἡ γὰρ ὁδὸς ἡ τῆς θεογνωσίας πολλῷ μείζων ἐκείνης αὕτη. Διά τοι τοῦτο πίστεως καὶ ἀφελείας χρεία, καὶ ταύτην πανταχοῦ ζητεῖν καὶ τῆς ἔξωθεν προτιμᾶν σοφίας. «Ἐμώρανε γὰρ ὁ Θεός», φησί, «τὴν σοφίαν».

Τί δέ ἐστιν, «ἐμώρανε»;. Μωρὰν ἔδειξεν οὖσαν πρὸς τὴν τῆς πίστεως κατάληψιν. Ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ἐπ' αὐτῇ, ἤλεγξεν αὐτὴν ταχέως. Ποία γὰρ σοφία, ὅταν τὸ κεφάλαιον τῶν ἀγαθῶν μὴ εὑρίσκῃ; Ἐποίησε τοίνυν φανῆναι μωράν, ἐπειδὴ ἑαυτὴν ἐκείνη πρώτη ἤλεγξεν. Εἰ γὰρ ὅτε λογισμοῖς ἦν εὑρεῖν, οὐδὲν ἔδειξε, νῦν ὅτε μείζονα φαίνεται τὰ πράγματα, πῶς ἀνύσαι τι δυνήσεται, ὅτε πίστεως χρεία μόνης καὶ οὐχὶ δεινότητος; Μωρὰν τοίνυν αὐτὴν ἔδειξεν ὁ Θεὸς καὶ εὐδόκησε διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι, μωρίας δὲ οὐχὶ τῆς οὔσης ἀλλὰ τῆς εἶναι δοκούσης. Τὸ γὰρ μεῖζον τοῦτό ἐστιν, ὅτι οὐχ ἑτέραν σοφίαν τοιαύτην ἐκείνης πλείονα εἰσαγαγών, ἀλλὰ τὴν δοκοῦσαν εἶναι μωρίαν οὕτω περιγέγονε. Καὶ γὰρ Πλάτωνα ἐξέβαλεν οὐχὶ δι' ἑτέρου φιλοσόφου σοφωτέρου ἀλλὰ διὰ ἁλιέως ἀμαθοῦς. Οὕτω γὰρ γέγονεν ἡ ἧττα μείζων καὶ λαμπροτέρα ἡ νίκη.

Εἶτα δεικνὺς τοῦ σταυροῦ τὴν δύναμιν, φησίν· «Ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι σημεῖα αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν».

3. Πολλὴ ἡ τῶν εἰρημένων σύνεσις· θέλει γὰρ εἰπεῖν, πῶς διὰ τῶν ἐναντίων ἐκράτησεν ὁ Θεὸς καὶ πῶς οὐκ ἔστιν ἀν-

---

5. Α΄ Κορ. 1, 22-24

ἐπειδὴ δηλαδὴ πρώτη ἡ ἰδία κατεδίκασε τὸν ἑαυτόν της, εἰς τὸ ἑξῆς διὰ τίποτε δὲν εἶναι χρήσιμος· διότι, ὅταν ἔπρεπε νὰ δείξῃ τὴν δύναμίν της καὶ διὰ τῶν ἔργων της νὰ ἴδῃ τὸν Κύριον, δὲν ἠθέλησε. Διὰ τοῦτο, καὶ ἂν ἀκόμη θέλῃ τώρα νὰ ἐπαναφέρῃ τὸν ἑαυτόν της εἰς τὴν προηγουμένην κατάστασιν, δὲν δύναται· δὲν εἶναι ἔτσι τὰ πράγματα, διότι ἡ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν γνῶσιν τοῦ Θεοῦ εἶναι πολὺ ἀνωτέρα ἐκείνης. Διά τοῦτο βεβαίως χρειάζεται πίστις καὶ ἁπλότης, καὶ πρέπει νὰ ζητῶμεν αὐτὴν παντοῦ καὶ νὰ τὴν προτιμῶμεν ἀπὸ τὴν σοφίαν· διότι, λέγει, «Ὁ Θεὸς ἀπέδειξε μωρὰν τὴν σοφίαν». Καὶ τί σημαίνει «ἀπέδειξε μωράν»; Τὴν ἀπέδειξε μωρίαν, προκειμένου διὰ τὴν κατανόησιν τῆς πίστεως. Ἐπειδὴ δηλαδὴ ἐμεγαλοφρόνουν δι' αὐτήν, τὴν ἐπέκρινε ταχέως· ποία δηλαδὴ σοφία, ὅταν δὲν εὑρίσκῃ τὰ ἀνώτερα ἀγαθά;

Τὴν ἔκανε λοιπὸν νὰ φανῇ μωρία, ἐπειδὴ ἐκείνη πρώτη ὑπετίμησε τὸν ἑαυτόν της. Ἐφ' ὅσον δηλαδὴ τίποτε δὲν ἔδειξεν, ὅταν μὲ τὴν λογικὴν ἦτο δυνατὸν νὰ εὑρεθῇ ἡ ἀλήθεια, τώρα ποὺ τὰ πράγματα φαίνονται ἀνώτερα, πῶς θὰ δυνηθῇ νὰ κατορθώσῃ κάτι, τὴν στιγμὴν ποὺ χρειάζεται μόνον πίστις καὶ ὄχι δεινότης; Ὁ Θεὸς λοιπὸν ἀπέδειξεν αὐτὴν μωρίαν, καὶ μὲ τὴν ἀγαθότητά του ἀπεφάσισε νὰ προσφέρῃ τὴν σωτηρίαν μὲ τὴν μωρίαν τοῦ κηρύγματος, μωρίαν, ποὺ δὲν εἶναι πραγματικὴ μωρία, ἀλλὰ ποὺ φαίνεται ὅτι εἶναι· διότι τὸ σπουδαιότερον εἶναι τὸ ἑξῆς, ὅτι δηλαδὴ δὲν ἔφερεν ἄλλην τέτοιαν σοφίαν ἀνωτέραν ἐκείνης, ἀλλὰ ὑπερύψωσε τόσον πολὺ ἐκείνην ποὺ ἐθεωρεῖτο μωρία· διότι ἐξετόπισε τὸν Πλάτωνα ὄχι μὲ ἄλλον σοφώτερον φιλόσοφον, ἀλλὰ μὲ ἀμαθῆ ἁλιέα· ἔτσι δηλαδὴ ἡ ἧττα ἔχει καταστῆ μεγαλυτέρα καὶ λαμπροτέρα ἡ νίκη.

Ἔπειτα δεικνύων τὴν δύναμιν τοῦ σταυροῦ λέγει· «Ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι ζητοῦν ὑπερφυσικὰ σημεῖα διὰ νὰ πιστεύσουν καὶ οἱ Ἕλληνες ζητοῦν σοφίαν, ἐμεῖς ὅμως κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, ὁ ὁποῖος εἶναι διὰ μὲν τοὺς Ἰουδαίους σκάνδαλον, διὰ δὲ τοὺς Ἕλληνας μωρία, ἀλλὰ δι' ὅσους εἶναι καλεσμένοι νὰ σωθοῦν Ἰουδαίους καὶ Ἕλληνας ὁ Χριστὸς εἶναι δύναμις Θεοῦ καὶ σοφία Θεοῦ»[5].

3. Ὑπάρχει πολλὴ σύνεσις εἰς τοὺς λόγους· θέλει δηλαδὴ νὰ εἴπῃ πῶς μὲ τοὺς δυσμενεῖς παράγοντας ὑπερίσχυσεν ὁ Θεός, καὶ

θρώπινον τὸ κήρυγμα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. Ὅταν εἴπωμεν, φησίν, Ἰουδαίοις, πιστεύσατε, λέγουσιν, ἀναστήσατε νεκρούς, ἰάσασθε δαιμονῶντας, δείξατε ἡμῖν σημεῖα. Ἡμεῖς δὲ ἀντὶ τούτων τί λέγομεν; Ὅτι ἐσταυρώθη καὶ ἀπέθανεν ὁ κηρυττόμενος. Τοῦτο δὲ ἱκανὸν οὐ μόνον τοὺς μὴ βουλομένους μὴ ἐφέλκεσθαι ἀλλὰ καὶ τοὺς βουλομένους διακρούσασθαι· ἀλλ' ὅμως οὐ διακρούεται, ἀλλὰ ἐφέλκεται καὶ κρατεῖ καὶ περιγίνεται.

Πάλιν Ἕλληνες ἀπαιτοῦσιν ἡμᾶς ῥητορείαν λόγων καὶ δεινότητα σοφισμάτων· ἡμεῖς δὲ καὶ τούτοις σταυρὸν κηρύττομεν· καὶ ὅπερ ἐπὶ Ἰουδαίων δοκεῖ ἀσθενείας εἶναι, τοῦτο ἐπὶ Ἑλλήνων μωρία. Ὅταν οὖν μὴ μόνον ἃ αἰτοῦσι μὴ παρέχωμεν, ἀλλὰ καὶ ἐναντία ὧν αἰτοῦσιν — ὁ γὰρ σταυρὸς οὐ μόνον οὐ δοκεῖ σημεῖον εἶναι κατὰ λογισμὸν ἐξεταζόμενον ἀλλὰ καὶ σημείου ἀναίρεσις· οὐ μόνον οὐ δοκεῖ δυνάμεως ἀπόδειξις ἀλλὰ καὶ ἀσθενείας ἔλεγχος· οὐ μόνον οὐ δοκεῖ σοφίας ἐπίδειξις εἶναι ἀλλὰ καὶ μωρίας ὑπόληψις — ὅταν οὖν οἱ σημεῖα καὶ σοφίαν ζητοῦντες μὴ μόνον μὴ λαμβάνωσιν ἅπερ αἰτοῦσιν, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐπιθυμοῦσιν ἀκούωσιν, εἶτα διὰ τῶν ἐναντίων πείθωνται, πῶς οὐκ ἄφατός ἐστιν ἡ τοῦ κηρυττομένου δύναμις;

Ὥσπερ ἂν εἴ τινι τῶν κλυδωνιζομένων καὶ λιμένος ἐπιθυμούντων μὴ λιμένα δείξας ἀλλ' ἕτερον μέρος τοῦ πελάγους ἀγριώτερον δυνηθῇς ποιῆσαι μετὰ χάριτος ἕπεσθαι· ἢ ἰατρὸς τὸν τετρωμένον καὶ φαρμάκων ἐπιθυμοῦντα μὴ διὰ φαρμάκων ἀλλὰ διὰ τοῦ καίειν πάλιν ἐπαγγελλόμενος ὑγιῆ ποιεῖν ἐφέλκοιτο πρὸς ἑαυτὸν — μεγάλης γὰρ τοῦτο δυνάμεως — οὕτω καὶ οἱ ἀπόστολοι οὐ μόνον διὰ σημείου ἀλλὰ καὶ διὰ πράγματος δοκοῦντος ἐναντίου εἶναι τοῖς σημείοις περιεγένοντο· ὅπερ καὶ ἐπὶ τοῦ τυφλοῦ πεποίηκεν ὁ Χριστός· βουλόμενος γὰρ αὐτὸν θεραπεῦσαι διὰ πράγματος ἐπιτείνοντος τὴν πήρωσιν ἀνεῖλε· πηλὸν γὰρ ἐπέθηκεν. Ὥσπερ οὖν διὰ πηλοῦ τὸν τυφλὸν ἐθεράπευσεν, οὕτω τὴν

πῶς τὸ κήρυγμα δὲν εἶναι ἀνθρώπινον· καὶ αὐτὸ ποὺ λέγει εἶναι τὸ ἑξῆς: Ὅταν εἴπωμεν εἰς τοὺς Ἰουδαίους «πιστεύσατε», ἀπαντοῦν· Ἀναστήσατε νεκρούς, θεραπεύσατε δαιμονισμένους, δείξατε εἰς ἐμᾶς σημεῖα. Ἐμεῖς ὅμως τί λέγομεν ἀντὶ τούτων; Ὅτι ἐσταυρώθη καὶ ὅτι ἀπέθανεν αὐτός, τὸν ὁποῖον κηρύττομεν. Τοῦτο ὅμως εἶναι ἱκανὸν ὄχι μόνον νὰ μὴ προσελκύῃ ὅσους δὲν θέλουν, ἀλλὰ νὰ ἀπομακρύνῃ καὶ αὐτοὺς ποὺ θέλουν· καὶ ὅμως δὲν ἀπομακρύνει, ἀλλὰ προσελκύει καὶ κρατεῖ καὶ ὑπερισχύει.

Οἱ ἐθνικοὶ ἐξ ἄλλου ἀπαιτοῦν ἀπὸ ἐμᾶς ρητορείαν λόγων καὶ δεινότητα σοφισμάτων, ἐμεῖς ὅμως καὶ εἰς αὐτοὺς κηρύττομεν τὸν σταυρόν· καὶ αὐτὸ ποὺ φαίνεται εἰς τοὺς Ἰουδαίους ὅτι εἶναι ἀδυναμία, αὐτὸ διὰ τοὺς Ἕλληνας εἶναι μωρία· διότι ὁ σταυρὸς ὄχι μόνον δὲν θεωρεῖται ὅτι εἶναι σημεῖον ποὺ εἶναι δυνατὸν νὰ ἐξετασθῇ μὲ τὴν λογικήν, ἀλλ' ἀπεναντίας ἔλλειψις σημείου· ὄχι μόνον δὲν θεωρεῖται ἀπόδειξις δυνάμεως, ἀλλ' ἀντιθέτως διαπίστωσις ἀδυναμίας· ὄχι μόνον δὲν θεωρεῖται ἔνδειξις σοφίας, ἀλλὰ ἀντιθέτως ὑπόνοια μωρίας. Καὶ ἔτσι λοιπόν, ὅταν ὄχι μόνον δὲν τοὺς δίδωμεν ὅσα ζητοῦν, ἀλλὰ ἀκριβῶς τὰ ἀντίθετα αὐτῶν ποὺ ζητοῦν, ὅταν δηλαδὴ αὐτοὶ ποὺ ζητοῦν σημεῖα καὶ σοφίαν, ὄχι μόνον δὲν λαμβάνουν ὅσα ζητοῦν, ἀλλὰ ἀκούουν μάλιστα τὰ ἀντίθετα αὐτῶν ποὺ ἐπιθυμοῦν καὶ ὅμως κατόπιν πείθωνται μὲ αὐτὰ τὰ ἀντίθετα, πῶς τότε δὲν εἶναι ἀπερίγραπτος ἡ δύναμις τοῦ κηρυττομένου;

Ὅπως ἀκριβῶς, ἐὰν εἰς κάποιον, ποὺ ταλαιπωρεῖται ἀπὸ τὰ κύματα καὶ ἐπιθυμεῖ λιμένα, δὲν ὑποδεικνύῃς λιμένα, ἀλλὰ ἄλλον τόπον ἀγριώτερον τοῦ πελάγους, καὶ αὐτὸν δυνηθῇς νὰ τὸν κάμῃς νὰ σὲ ἀκολουθήσῃ μὲ εὐγνωμοσύνην· ἢ ἐὰν ἕνας ἰατρὸς κάποιον, ποὺ εἶναι πληγωμένος καὶ ἐπιθυμεῖ φάρμακα, τοῦ ὑπόσχεται ὅτι θὰ τὸν κάνῃ ὑγιῆ ὄχι μὲ φάρμακα, ἀλλὰ μὲ καυτηριασμόν, καὶ τὸν κερδίζει μὲ τὸ μέρος του· τοῦτο δηλαδὴ εἶναι ἀπόδειξις μεγάλης δυνάμεως· ἔτσι καὶ οἱ ἀπόστολοι ὄχι μόνον δὲν ἐχρησιμοποίησαν σημεῖα, ἀλλὰ καὶ μὲ μέσα ποὺ ἐθεωροῦντο ὅτι ἦσαν ἀντίθετα πρὸς τὰ σημεῖα ὑπερίσχυσαν· αὐτὸ ἀκριβῶς ἔκανεν ὁ Χριστὸς καὶ εἰς τὴν περίπτωσιν τοῦ τυφλοῦ· ἤθελε δηλαδὴ νὰ τὸν θεραπεύσῃ, καὶ τὸν ἐθεράπευσε μὲ πρᾶγμα ποὺ ηὔξανε τὴν τυφλότητα· ἔθεσε δηλαδὴ πηλὸν εἰς τοὺς ὀφθαλμούς. Ὅπως λοιπὸν μὲ πη-

οἰκουμένην διὰ σταυροῦ προσηγάγετο· ὅπερ προσθήκη ἦν σκανδάλου, οὐκ ἀναίρεσις σκανδάλου.

Οὕτω καὶ ἐπὶ τῆς κτίσεως ἐποίησε τὰ ἐναντία διὰ τῶν ἐναντίων κατασκευάζων. Ψάμμῳ γοῦν θάλασσαν ἐτείχισε τῷ ἀσθενεῖ τὸ ἰσχυρὸν χαλινώσας· ὕδατι γῆν ἐπέθηκε τῷ χαύνῳ καὶ διαρρέοντι τὸ βαρὺ καὶ πυκνὸν ἐποχεῖσθαι παρασκευάσας. Διὰ τῶν προφητῶν πάλιν ξύλῳ μικρῷ σίδηρον ἐμετεώρισεν. Οὕτω δὴ καὶ σταυρῷ τὴν οἰκουμένην ἐπεσπάσατο. Ὥσπερ γὰρ τὸ ὕδωρ βαστάζει τὴν γῆν, οὕτω καὶ ὁ σταυρὸς βαστάζει τὴν οἰκουμένην. Μεγάλης τοίνυν δυνάμεως καὶ σοφίας ἀπόδειξις τὸ διὰ τῶν ἐναντίων πείθειν. Καὶ γὰρ σκανδάλου πρᾶγμα ὁ σταυρὸς εἶναι δοκεῖ, ἀλλ' ὅμως οὐ μόνον οὐ σκανδαλίζει, ἀλλὰ καὶ ἐφέλκεται.

Ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Παῦλος καὶ ἐκπλαγεὶς ἔλεγεν ὅτι «Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί», περὶ τοῦ σταυροῦ λέγων τὸ μωρὸν καὶ τὸ ἀσθενές, οὐ τὸ ὄν, ἀλλὰ τὸ δοκοῦν· πρὸς γὰρ τὴν ἐκείνων ὑπόληψιν ἀποκρίνεται. Ὃ γὰρ οὐκ ἴσχυσαν φιλόσοφοι διὰ τῶν συλλογισμῶν ποιῆσαι, τοῦτο ἡ δοκοῦσα εἶναι μωρία κατώρθωσε. Τίς οὖν σοφώτερος; ὁ τοὺς πολλοὺς πείθων ἢ ὁ περὶ τῶν μηδὲ ὄντων; Πόσα ἔκαμε Πλάτων καὶ οἱ κατ' αὐτὸν περὶ γραμμῆς καὶ γωνίας καὶ στιγμῆς καὶ ἀριθμῶν ἀρτίων καὶ περιττῶν καὶ ἴσων ἀλλήλοις καὶ ἀνίσων καὶ τῶν τοιούτων διαλεγόμενος ἡμῖν ἀραχνίων — καὶ γὰρ τῶν ὑφασμάτων ἐκείνων ἀχρηστότερα ταῦτα τῷ βίῳ— καὶ οὐ μέγαν, οὐ μικρὸν ἐντεῦθεν ὠφελήσας οὕτω τὸν βίον κατέλυσε; Πόσα ἔκαμε δεῖξαι ἐπιχειρῶν ὡς ἀθάνατος ἡ ψυχή, καὶ οὐδὲν σαφὲς εἰπὼν οὐδὲ πείσας τινὰ τῶν ἀκουόντων οὕτως ἀπῆλθεν; Ὁ δὲ σταυρὸς διὰ ἰδιωτῶν ἔπεισε καὶ τὴν οἰκου-

---

6. αὐτ. 25.

λὸν ἐθεράπευσε τὸν τυφλόν, ἔτσι ἔλαβε μὲ τὸ μέρος του τὴν οἰκουμένην διὰ τοῦ σταυροῦ, καὶ αὐτὸ ηὔξανε τὸ σκάνδαλον, δὲν τὸ ἐξηφάνιζε.

Τὸ ἴδιον ἔκανε καὶ εἰς τὴν κτίσιν, ἐπιτυγχάνει δηλαδὴ διὰ τῶν ἀντιθέτων τὰ ἀντίθετα. Τὴν θάλασσαν, ὡς γνωστόν, τὴν ἐτείχισε μὲ ἄμμον καὶ ἔτσι ἐχαλιναγώγησε τὸ ἰσχυρὸν μὲ τὸ ἀδύνατον· ἐτοποθέτησε τὴν γῆν ἐπάνω εἰς τὸ ὕδωρ, καὶ ἔτσι ἔκανε τὸ βαρὺ καὶ πυκνὸν νὰ εὑρίσκεται ἐπάνω εἰς τὸ πλαδαρὸν καὶ ρευστόν. Ἐξ ἄλλου διὰ τῶν προφητῶν ἀνύψωσε σίδηρον μὲ μικρὸν ξύλον. Ἔτσι λοιπὸν καὶ μὲ τὸν σταυρὸν ἐκέρδισε τὴν οἰκουμένην· ὅπως δηλαδὴ τὸ ὕδωρ βαστάζει τὴν γῆν, ἔτσι καὶ ὁ σταυρὸς βαστάζει τὴν οἰκουμένην. Εἶναι λοιπὸν ἀπόδειξις μεγάλης δυνάμεως καὶ σοφίας τὸ νὰ πείθῃ κανεὶς μὲ τὰ ἀντίθετα· διότι ὁ σταυρὸς φαίνεται ὅτι εἶναι πρᾶγμα ποὺ σκανδαλίζει, ἀλλ' ὅμως ὄχι μόνον δὲν σκανδαλίζει, ἀλλὰ καὶ ἑλκύει.

Αὐτὰ ὅλα εἶχεν ὑπ' ὄψιν του ὁ Παῦλος καὶ γεμᾶτος ἀπὸ ἔκπληξιν ἔλεγεν ὅτι «Ἐκεῖνο ποὺ θεωρεῖται μωρὸν τοῦ Θεοῦ εἶναι σοφώτερον ἀπὸ τὴν σοφίαν τῶν ἀνθρώπων, καὶ ἐκεῖνο ποὺ θεωρεῖται ἀδύνατον τοῦ Θεοῦ εἶναι ἰσχυρότερον ἀπὸ τὴν δύναμιν τῶν ἀνθρώπων»[6]. Τὸ μωρὸν καὶ τὸ ἀσθενὲς τὰ ἀναφέρει διὰ τὸν σταυρόν, ὄχι ὅτι εἶναι εἰς τὴ πραγματικότητα, ἀλλὰ ὅτι φαίνονται τέτοια· ἀπαντᾷ σύμφωνα μὲ τὴν ἀντίληψιν ἐκείνων. Δηλαδὴ ὅ,τι δέν κατώρθωσαν νὰ κάνουν φιλόσοφοι μὲ τοὺς συλλογισμούς των, τοῦτο τὸ κατώρθωσεν αὐτὴ ποὺ ἐθεωρεῖτο μωρία. Ποῖος λοιπὸν εἶναι σοφώτερος; Αὐτὸς ποὺ πείθει τοὺς πολλοὺς ἢ αὐτὸς ποὺ πείθει ὀλίγους, μᾶλλον δὲ δὲν πείθει κανένα; Αὐτὸς ποὺ πείθει διὰ τὰ σοβαρώτερα θέματα ἢ αὐτὸς ποὺ πείθει διὰ ἀνύπαρκτα πράγματα; Πόσον ἐκοπίασεν ὁ Πλάτων μὲ τοὺς μαθητάς του μὲ τὸ νὰ μᾶς συζητῇ περὶ γραμμῆς καὶ γωνίας καὶ σημείου, καὶ περὶ ἀριθμῶν ἀρτίων καὶ περιττῶν καὶ ἴσων μεταξύ των καὶ ἀνίσων, καὶ διὰ τέτοια θέματα λεπτεπίλεπτα ὡς ὁ ἱστὸς τῆς ἀράχνης —διότι αὐτὰ εἶναι διὰ τὴν ζωὴν περισσότερον ἄχρηστα ἀπὸ ἐκεῖνα τὰ ὑφάσματα— καὶ χωρὶς νὰ ὠφελήσῃ πολὺ ἢ ὀλίγον μὲ τὰς συζητήσεις αὐτὰς ἐγκατέλειψεν ἔτσι τὴν ζωήν; Πόσον ἐκοπίασεν ἐπιχειρῶν νὰ ἀποδείξῃ ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατος, καὶ χωρὶς νὰ εἴπῃ τίποτε σαφὲς ἢ νὰ πείσῃ κάποιον ἀπὸ τοὺς ἀκροατάς του ἀπέθανεν ἔτσι

μένην ἅπασαν ἐπεσπάσατο, καὶ οὐχὶ τῶν τυχόντων πραγμάτων ἀλλὰ περὶ Θεοῦ διαλεχθεὶς καὶ τῆς κατὰ ἀλήθειαν εὐσεβείας καὶ τῆς εὐαγγελικῆς πολιτείας καὶ τῆς τῶν μελλόντων κρίσεως· καὶ πάντας ἐποίησε φιλοσόφους, τοὺς ἀγροίκους, τοὺς ἰδιώτας.

Ὅρα πῶς τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων καὶ τὸ ἀσθενὲς ἰσχυρότερον. Πῶς ἰσχυρότερον; Ὅτι τὴν οἰκουμένην ἐπέδραμεν ἅπασαν καὶ πάντας κατὰ κράτος εἶχε καὶ μυρίων ἐπιχειρούντων σβέσαι τοῦ σταυρωθέντος τὸ ὄνομα τοὐναντίον ἐγένετο· τοῦτο μὲν γὰρ ἤνθησε καὶ ἐπέδωκεν ἐπὶ μεῖζον, ἐκεῖνοι δὲ ἀπώλοντο καὶ διεφθάρησαν· καὶ οἱ ζῶντες τῷ νεκρωθέντι πολεμοῦντες οὐδὲν ἴσχυσαν. Ὥστε ἐπειδὰν εἴπῃ με μωρὸν ὁ Ἕλλην, τότε δείκνυσιν ἑαυτὸν μεθ' ὑπερβολῆς μωρόν, ὅταν ἐγὼ νομιζόμενος εἶναι παρ' αὐτῷ μωρὸς τοῦ σοφοῦ φαίνωμαι σοφώτερος· ὅταν ἐμὲ καλέσῃ ἀσθενῆ, τότε ἑαυτὸν ἀσθενέστερον δείκνυσιν. Ἃ γὰρ ἴσχυσαν κατορθῶσαι τῇ τοῦ Θεοῦ χάριτι τελῶναι καὶ ἁλιεῖς, ταῦτα φιλόσοφοι καὶ ῥήτορες καὶ τύραννοι καὶ πᾶσα ἁπλῶς ἡ οἰκουμένη μυρία περιδραμοῦσα οὐδὲ φαντασθῆναι ἴσχυσαν. Τί γὰρ οὐκ εἰσήγαγεν ὁ σταυρός; Τὸν περὶ ἀθανασίας ψυχῆς λόγον, τὸν περὶ τῆς ἀναστάσεως τῶν σωμάτων, τὸν περὶ τῆς ὑπεροψίας τῶν παρόντων, τὸν περὶ τῆς ἐπιθυμίας τῶν μελλόντων. Καὶ ἀγγέλους τοὺς ἀνθρώπους ἐποίησε καὶ πάντες πανταχοῦ φιλοσοφοῦσι καὶ πᾶσαν ἀνδρείαν ἐπιδείκνυνται.

4. Ἀλλὰ καὶ παρ' αὐτοῖς, φησί, πολλοὶ θανάτου καταφρονοῦντες γεγόνασι. Τίνες, εἰπέ μοι; ἆρα ὁ τὸ κώνειον πιών; Ἀλλ', εἰ βούλει, τοιούτους μυρίους ἀπὸ τῆς ἐκκλησίας παράσχωμαι. Εἰ γὰρ ἐνῆν διωγμοῦ καταλαβόντος κώνειον πιόντας ἀπελθεῖν, πάντες ἂν ἐκείνου λαμπρότεροι γεγόνασι. Ἄλλως δὲ ἐκεῖνος οὐχὶ κύριος ὢν τοῦ πιεῖν ἢ μὴ

7. Ὁ Μέγας Βασίλειος μᾶς ἔδωσε συνοπτικῶς τὸ περιεχόμενον τοῦ «εὐαγγελικοῦ βίου» καὶ τῆς «εὐαγγελικῆς πολιτείας»: «Μάθε, διδάχθητι εὐαγγελικὴν πολιτείαν· ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινόν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν. Ἀγγαρευόμενος προστίθει· ἀποστερούμενος μὴ δικάζου· μισούμενος ἀγάπα· διωκόμενος ἀνέχου· βλασφημούμενος παρακάλει» Τομ. II, p. 306 D.

8. Βλ. σχόλιον ἀρ. 18 Β' λόγου τοῦ παρόντος.

χωρὶς ἀποτέλεσμα; Ὁ σταυρὸς ὅμως ἔπεισε μὲ ἁπλοϊκοὺς ἀνθρώπους, καὶ ἐκέρδισεν ὅλην τὴν οἰκουμένην, ἀφοῦ ἐκήρυξεν ὄχι διὰ τυχόντα πράγματα, ἀλλὰ διὰ τὸν Θεόν, διὰ τὴν ἀληθινὴν εὐσέβειαν, διὰ τὴν εὐαγγελικὴν ζωήν[7] καὶ τὴν μέλλουσαν κρίσιν· καὶ ὅλους τοὺς ἀγροίκους καὶ τοὺς ἁπλοϊκοὺς τοὺς ἔκαμεν ἀληθεῖς φιλοσόφους.

Πρόσεξε πῶς τὸ μωρὸν τοῦ Θεοῦ εἶναι τὸ σοφώτερον ἀπὸ τοὺς ἀνθρώπους καὶ πῶς τὸ ἀδύνατον εἶναι τὸ ἰσχυρότερον. Πῶς εἶναι τὸ ἰσχυρότερον; Διότι διεδόθη εἰς ὅλην τὴν οἰκουμένην καὶ κατενίκησεν ἐξ ὁλοκλήρου τοὺς πάντας καὶ ἐνῷ ἄπειροι ἐπεχείρουν νὰ σβήσουν τὸ ὄνομα τοῦ σταυρωθέντος, συνέβη τὸ ἀντίθετον· δηλαδὴ τοῦτο μὲν ἤνθησε καὶ προώδευσεν, ἐκεῖνοι δὲ ἐχάθησαν καὶ κατεστράφησαν· καὶ ἐνῷ οἱ ζωντανοὶ ἐπολέμουν ἐναντίον τοῦ νεκροῦ, δὲν ἐπέτυχον τίποτε. Ὥστε, ὅταν ὁ ἐθνικὸς μὲ ἀποκαλέσῃ μωρόν, τότε ἀποδεικνύει τὸν ἑαυτόν του ὑπερβολικῶς μωρόν, ὅταν δηλαδὴ ἐγὼ ποὺ θεωροῦμαι ἀπὸ αὐτὸν μωρὸς φαίνωμαι σοφώτερος ἀπὸ τὸν σοφόν· ὅταν μὲ ἀποκαλέσῃ ἀσθενῆ, τότε ἀποδεικνύει τὸν ἑαυτόν του ἀσθενέστερον. Ὅσα δηλαδὴ ἠμπόρεσαν νὰ κατορθώσουν μὲ τὴν χάριν τοῦ Θεοῦ τελῶναι καὶ ἁλιεῖς, αὐτὰ φιλόσοφοι καὶ ῥήτορες καὶ τύραννοι καὶ γενικῶς ὅλη ἡ οἰκουμένη, ἂν καὶ ἔκανε τὸ πᾶν, δὲν ἠμπόρεσαν οὔτε κἂν νὰ τὰ φαντασθοῦν· διότι τί δὲν εἰσήγαγεν ὁ σταυρός; Τὸ θέμα περὶ τῆς ἀθανασίας τῆς ψυχῆς, τῆς ἀναστάσεως τῶν σωμάτων, τὸ θέμα περὶ τῆς περιφρονήσεως τῶν ἐγκοσμίων, περὶ τῆς ἐπιθυμίας τῶν μελλοντικῶν. Καὶ ἔκανε τοὺς ἀνθρώπους ἀγγέλους, καὶ ὅλοι ἀσχολοῦνται μὲ τὴν κατὰ Θεὸν φιλοσοφίαν[8] καὶ παρουσιάζουν κάθε γενναιότητα.

4. Ἀλλὰ καὶ μεταξὺ αὐτῶν, λέγει, πολλοὶ ὑπῆρξαν ποὺ περιεφρόνησαν τὸν θάνατον. Ποῖοι, εἰπέ μου; Μήπως ἐκεῖνος ποὺ ἔπιε τὸ κώνειον; Ἀλλ' ἐὰν θέλῃς, τέτοιους ἠμπορῶ νὰ σοῦ ἀναφέρω μυρίους ἀνθρώπους τῆς ἐκκλησίας· διότι, ἐὰν παρίστατο ἀνάγκη εἰς ἐποχὴν διωγμοῦ νὰ πίουν κώνειον καὶ νὰ ἀπέλθουν, ὅλοι θὰ εἶχον ἀναδειχθῆ λαμπρότεροι ἐκείνου. Ἄλλωστε ἐκεῖνος ἔπιε τὸ κώνειον χωρὶς νὰ ἔχῃ τὴν δυνατότητα νὰ τὸ πίῃ ἢ νὰ μὴ

πιεῖν ἔπιεν· ἀλλὰ καὶ ἄκοντα καὶ ἑκόντα ἔδει τοῦτο παθεῖν, ὅπερ οὐκ ἦν ἀνδρείας, ἀλλὰ ἀνάγκης λοιπόν. Καὶ γὰρ καὶ λησταὶ καὶ ἀνδροφόνοι ὑπὸ τῇ ψήφῳ γενόμενοι τῶν δικαζόντων χαλεπώτερα ἔπαθον. Παρ' ἡμῖν δὲ τοὐναντίον ἅπαν· οὐ γὰρ ἄκοντες οἱ μάρτυρες ὑπέμειναν ἀλλ' ἑκόντες καὶ κύριοι τοῦ μὴ παθεῖν ὄντες ἀδάμαντος παντὸς στερροτέραν ἐπιδεικνύντες τὴν ἀνδρείαν.

Οὐ τοίνυν τοῦτο θαυμαστόν, εἰ κώνειον ἔπιεν ἐκεῖνος καὶ μηκέτι κύριος ὢν τοῦ μὴ πιεῖν καὶ πρὸς ἔσχατον γῆρας ἐληλακώς· καὶ γὰρ ἔλεγεν ἐτῶν ἑβδομήκοντα εἶναι, ὅτε κατεφρόνησε ζωῆς, εἴγε καὶ τοῦτο καταφρονῆσαί ἐστιν· οὐ γὰρ ἔγωγε ἂν εἴποιμι, μᾶλλον δὲ οὐδὲ ἄλλος οὐδείς. Ἀλλὰ δεῖξόν μοί τινα ὑπὲρ εὐσεβείας βασάνοις ἐγκαρτερήσαντα, καθάπερ ἐγὼ μυρίους πανταχοῦ τῆς οἰκουμένης. Τίς τῶν ὀνύχων ἀνορυττομένων γενναίως ἤνεγκε; τίς τῶν ἄρθρων ἀνασκαπτομένων; τίς τοῦ σώματος αὐτοῦ κατὰ μέρος πορθουμένου, τῆς κεφαλῆς; τίς τῶν ὀστέων ἀναμοχλευομένων; τίς ἐπὶ τήγανα συνεχῶς τιθέμενος; τίς εἰς λέβητα ἐμβαλλόμενος; Ταῦτά μοι δεῖξον. Τὸ γὰρ κωνείῳ τελευτῆσαι ἴσον ἐστὶ τῷ καθευδήσαντα ἐναπομεῖναι· καὶ γὰρ ὕπνου ἡδίων οὗτος ὁ θάνατος λέγεται εἶναι. Εἰ δέ τινες καὶ βασάνους ὑπέμειναν, ἀλλὰ καὶ τούτων τὸ ἐγκώμιον ἀπόλωλεν· ὑπὲρ γὰρ αἰσχρᾶς αἰτίας ἀπώλοντο, οἱ μὲν ὡς ἀπόρρητα ἐξειπόντες, οἱ δὲ ὡς τυραννίδι ἐπιθέμενοι, οἱ δὲ ἐπὶ τοῖς αἰσχίστοις ἁλόντες· οἱ δὲ εἰκῇ καὶ μάτην καὶ ἁπλῶς αἰτίας μὴ οὔσης ἑαυτοὺς ἀπήνεγκαν.

Ἀλλ' οὐχὶ παρ' ἡμῖν οὕτω. Διὰ τοῦτο τὰ μὲν ἐκείνων σεσίγηται, ταῦτα δὲ ἀνθεῖ καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. Ὅπερ ἐννοῶν ὁ Παῦλος ἔλεγε, «τὸ ἀσθενὲς τοῦ Θεοῦ πάντων ἐστὶν ἰσχυρότερον τῶν ἀνθρώπων». Ὅτι γὰρ θεῖον τὸ κήρυγμα καὶ ἐντεῦθεν δῆλον. Πόθεν γὰρ ἐπῆλθεν ἀνθρώποις δώδεκα καὶ ἰδιώταις πράγμασιν ἐπιχειρῆσαι τοσούτοις, ἐν λίμναις, ἐν ποταμοῖς, ἐν ἐρημίαις διατρί-

τὸ πίῃ· τοῦτο ἔπρεπε νὰ τὸ πάθῃ εἴτε ἤθελεν εἴτε δὲν ἤθελε, καὶ αὐτὸ βεβαίως δὲν ἦτο ἔνδειξις ἀνδρείας, ἀλλὰ ἀποτέλεσμα ἀνάγκης· διότι καὶ λησταὶ καὶ δολοφόνοι ἀφοῦ κατεδικάσθησαν μὲ τὴν ψῆφον τῶν δικαστῶν ἔπαθον χειρότερα. Εἰς ἐμᾶς ὅμως συμβαίνει τὸ ἐντελῶς ἀντίθετον· οἱ μάρτυρες δηλαδὴ δὲν ὑπέμειναν χωρὶς νὰ τὸ θέλουν, ἀλλὰ μὲ τὴν θέλησίν των καὶ ἐνῷ ἠμποροῦσαν νὰ μὴ πάθουν ἐπαρουσίασαν ἀνδρείαν σταθερωτέραν παντὸς ἀδάμαντος.

Δὲν εἶναι λοιπὸν τοῦτο ἀξιοθαύμαστον, τὸ ὅτι δηλαδὴ ἔπιεν ἐκεῖνος τὸ κώνειον, ὅταν πλέον δὲν ἐξηρτᾶτο ἀπὸ τὸν ἴδιον τὸ νὰ μὴ τὸ πίῃ καὶ εἶχε προχωρήσει εἰς βαθὺ γῆρας· διότι ἔλεγεν ὅτι ἦτο ἑβδομήντα ἐτῶν, ὅταν κατεφρόνησε τὴν ζωήν, ἂν βεβαίως τοῦτο εἶναι καταφρόνησις· διότι ἐγὼ τοὐλάχιστον δὲν θὰ τὸ ὠνόμαζον ἔτσι, οὔτε μᾶλλον κανεὶς ἄλλος. Ἀλλὰ δεῖξε μου κάποιον ποὺ νὰ ἔμεινεν ἀτάραχος εἰς τὰ βασανιστήρια χάριν τῆς εὐσεβείας, ὅπως ἐγὼ ἔχω νὰ δείξω μυρίους εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης. Ποῖος ὑπέφερε μὲ γενναιότητα, ὅταν τοῦ ἔβγαζαν τὰ νύχια; Ποῖος, ὅταν ἀνέσκαπτον τὰς ἀρθρώσεις του; ποῖος, ὅταν ὀλίγον κατ' ὀλίγον τοῦ κατέστρεφον τὸ σῶμα ἢ τὴν κεφαλήν; ποῖος, ὅταν τοῦ διέστρεφον τὰ ὀστᾶ; Ποῖος ὑπέφερε μὲ γενναιότητα, ὅταν τὸν ἔθετον συνεχῶς ἐπάνω εἰς τηγάνι; Ποῖος, ὅταν τὸν ἔρριπτον εἰς λέβητα; Αὐτὰ τὰ κατορθώματα δεῖξε μου· διότι τὸ νὰ πεθάνῃ κάποιος μὲ κώνειον εἶναι ἴσον μὲ τὸ νὰ πεθάνῃ εἰς τὸν ὕπνον του, διότι λέγεται ὅτι ὁ θάνατος αὐτὸς εἶναι γλυκύτερος ἀπὸ ὕπνον. Ἐὰν δὲ μερικοὶ ὑπέμειναν καὶ βασανιστήρια, οὔτε καὶ αὐτοὶ εἶναι δυνατὸν νὰ ἐγκωμιασθοῦν· διότι ἀπέθανον διὰ εὐτελῆ αἰτίαν, ἄλλοι μὲν διότι ἐκοινολόγησαν ἀπόρρητα, ἄλλοι διότι ἐπετέθησαν ἐναντίον τυραννίας, ἄλλοι διότι συνελήφθησαν νὰ κάνουν αἰσχρὰς πράξεις· ἄλλοι τέλος χωρὶς σκοπόν, ματαίως, χωρὶς καμμίαν αἰτίαν ηὐτοκτόνησαν.

Ἀλλὰ εἰς ἐμᾶς δὲν συνέβη ἔτσι. Διὰ τοῦτο τὰ μὲν ἔργα ἐκείνων ἔχουν καλυφθῆ ἀπὸ σιγήν, αὐτὰ ὅμως ἀνθοῦν καὶ καθημερινῶς λαμπρύνονται περισσότερον. Αὐτὸ ἀκριβῶς ἔχων ὑπ' ὄψει του ὁ Παῦλος ἔλεγε· «τὸ ἀσθενὲς τοῦ Θεοῦ πάντων ἐστὶν ἰσχυρότερον τῶν ἀνθρώπων». Ὅτι τὸ κήρυγμα εἶναι θεῖον φαίνεται καὶ ἀπὸ τὸ ἑξῆς. Πῶς συνέβη δηλαδὴ νὰ ἐπιχειρήσουν τέτοια ἔργα δώδεκα

βουσιν, οὐδέποτε εἰς πόλιν ταχέως οὐδὲ εἰς ἀγορὰν ἐμβεβληκόσι; πόθεν ἐπῆλθεν εἰς τὴν οἰκουμένην πᾶσαν παρατάξασθαι; Ὅτι γὰρ δειλοὶ ἦσαν καὶ ἄνανδροι, δείκνυσιν ὁ περὶ αὐτῶν γράψας καὶ μὴ παραιτησάμενος μηδὲ ὑπομείνας συσκιάσαι αὐτῶν τὰ ἐλαττώματα, ὅπερ μέγιστον καὶ τοῦτο τῆς ἀληθείας ἐστὶ τεκμήριον.

Τί οὖν οὗτός φησι περὶ αὐτῶν; Ὅτι τοῦ Χριστοῦ συλληφθέντος, μετὰ μυρία θαύματα οἱ μὲν ἔφυγον, ὁ δὲ μείνας, κορυφαῖος ὢν τῶν ἄλλων, ἠρνήσατο. Πόθεν οὖν οἱ ζῶντος τοῦ Χριστοῦ τὴν Ἰουδαϊκὴν ὁρμὴν οὐκ ἐνεγκόντες, τελευτήσαντος καὶ ταφέντος καὶ μὴ ἀναστάντος, ὥς φατε, μηδὲ διαλεχθέντος αὐτοῖς μηδὲ θάρσος ἐνθέντος πρὸς τοσαύτην παρετάττοντο οἰκουμένην; Οὐκ ἂν εἶπον πρὸς ἑαυτούς, Τί δὴ τοῦτό ἐστιν; ἑαυτὸν οὐκ ἴσχυσε σῶσαι, καὶ ἡμῶν προστήσεται; ἑαυτῷ οὐκ ἤμυνε ζῶν, καὶ ἡμῖν χεῖρα ὀρέξει τετελευτηκώς; αὐτὸς ζῶν οὐδὲ ἓν ἔθνος ὑπέταξε, καὶ ἡμεῖς τὴν οἰκουμένην ὅλην πείσομεν τὸ ἐκείνου λέγοντες ὄνομα; καὶ πῶς ἂν ἔχοι λόγον οὐχὶ ποιῆσαι ταῦτα μόνον, ἀλλ' ἐννοῆσαι γοῦν;

Ὅθεν δῆλον ὅτι, εἰ μὴ εἶδον ἀναστάντα καὶ τῆς δυνάμεως αὐτοῦ μεγίστην ἔλαβον ἀπόδειξιν, οὐκ ἂν τοσοῦτον ἀνέρριψαν κύβον. Εἰ γὰρ καὶ φίλους εἶχον μυρίους, οὐκ ἂν εὐθέως ἐχθροὺς ἐκτήσαντο πάντας παλαιὰ ἔθνη κινοῦντες καὶ πατρῷα ὅρια μεταίροντες; νυνὶ δὲ καὶ πάντας πολεμίους ἐκέκτηντο, καὶ τοὺς ἰδίους καὶ τοὺς ἀλλοτρίους. Εἰ δὲ καὶ αἰδέσιμοι πάντων ἕνεκεν ἦσαν τῶν ἔξωθεν, οὐκ ἂν πάντες αὐτοὺς ἐβδελύξαντο καινὴν πολιτείαν εἰσάγοντας; νῦν δὲ καὶ ἔρημοι πάντων ἐτύγχανον, καὶ εἰκὸς ἦν κἀντεῦθεν μισητοὺς γενέσθαι παρὰ πᾶσι καὶ εὐκαταφρονήτους.

Τίνας γὰρ βούλει εἰπεῖν; Ἰουδαίους; Ἀλλ' ἄφατον εἶχον πρὸς αὐτοὺς μῖσος ἐκ τῶν πρὸς τὸν διδάσκαλον γεγενημένων. Ἀλλ' Ἕλληνας; Ἀλλὰ καὶ οὗτοι οὐκ ἐλάττονα ἐκείνων ἀπεστράφησαν, καὶ ἴσασι ταῦτα μάλιστα Ἕλληνες. Πλάτων γὰρ ὁ πολιτείαν τινὰ κοινοτομῆσαι βουληθείς, μᾶλλον δὲ μέρος πολιτείας, καὶ οὐ τὰ τῶν θεῶν μετατιθεὶς

ἄνθρωποι καὶ μάλιστα ἁπλοϊκοὶ ποὺ ἔζων εἰς λίμνας, εἰς ποταμοὺς εἰς ἐρημίας καὶ ποὺ ποτὲ ἴσως δὲν εἶχον πάει εἰς πόλιν οὔτε εἰς ἀγοράν; Πῶς τοὺς ἦλθε νὰ ἀντιμετωπίσουν ὅλην τὴν οἰκουμένην; Ὅτι δηλαδὴ ἦσαν δειλοὶ καὶ ἄνανδροι τὸ δεικνύει ἐκεῖνος ποὺ ἔγραφε δι' αὐτοὺς καὶ ποὺ δὲν τὰ παρέλειψεν οὔτε ἠθέλησε νὰ συσκιάσῃ τὰ ἐλαττώματά των, πρᾶγμα τὸ ὁποῖον εἶναι ἐπίσης πολὺ μεγάλη ἀπόδειξις τῆς ἀληθείας.

Τί λοιπὸν λέγει αὐτὸς δι' αὐτούς; Ὅτι ὅταν συνελήφθη ὁ Χριστός, μετὰ ἀπὸ ἄπειρα θαύματα ἄλλοι μὲν ἔφυγον, αὐτὸς δὲ ποὺ ἔμεινεν, ὁ κορυφαῖος τῶν ἄλλων, τὸν ἠρνήθη. Πῶς λοιπὸν αὐτοὶ ποὺ ὅταν ἔζη ὁ Χριστὸς δὲν ἄντεξαν εἰς τὴν ὁρμὴν τῶν Ἰουδαίων, ὅταν ἀπέθανε καὶ ἐτάφη καὶ δὲν ἀνέστη, ὅπως ἰσχυρίζεσθε, οὔτε συνωμίλησε μαζί των, οὔτε τοὺς ἔδωσε θάρρος, πῶς αὐτοὶ ἀντεμετώπισαν τὴν ἀπέραντον οἰκουμένην; Δὲν θὰ ἔλεγον εἰς τοὺς ἑυατούς των· Τί εἶναι πάλιν τοῦτο; τὸν ἑαυτόν του δὲν ἠμπόρεσε νὰ σώσῃ καὶ θὰ προστατεύσῃ ἐμᾶς; τὸν ἑαυτόν του δὲν ὑπερήσπισεν, ὅταν ἔζη, καὶ θὰ βοηθήσῃ ἐμᾶς τώρα ποὺ ἀπέθανε; ζῶν ὁ ἴδιος δὲν ὑπέταξεν οὔτε ἕνα ἔθνος, καὶ ἐμεῖς θὰ πείσωμεν τὴν οἰκουμένην ὅλην λέγοντες τὸ ὄνομα ἐκείνου; Καὶ πῶς θὰ ἦτο λογικὸν ὄχι μόνον τὸ νὰ κάνωμεν αὐτά, ἀλλὰ ἔστω καὶ νὰ τὰ σκεφθῶμεν;

Ἔτσι εἶναι φανερὸν ὅτι, ἂν δὲν τὸν ἔβλεπον ἀναστημένον καὶ δὲν εἶχον μεγίστην ἀπόδειξιν τῆς δυνάμεώς του, δὲν θὰ διεκινδύνευον τόσον πολύ. Διότι, καὶ ἂν ἀκόμη εἶχον μυρίους φίλους, δὲν θὰ ἔκαμναν εὐθὺς ἐξ ἀρχῆς τοὺς πάντας ἐχθρούς, ἐπειδὴ ἀνέτρεπον τὰς παλαιὰς συνηθείας καὶ μετετόπιζον τὰ πατροπαράδοτα ὅρια; Πράγματι, τώρα ὅλους τοὺς εἶχον ἐχθρούς των, καὶ τοὺς συμπατριώτας των καὶ τοὺς ξένους. Καὶ ἂν ἀκόμη ἦσαν σεβαστοὶ χάρις εἰς τὴν ὅλην ἐξωτερικὴν ἐμφάνισίν των, δὲν θὰ τοὺς ἀπεστρέφοντο ὅλοι, ἐπειδὴ εἰσῆγον νέον τρόπον ζωῆς; Τώρα ὅμως ὅλοι τοὺς ἐγκατέλειψαν καὶ ἦτο ἑπόμενον διὰ τὸν λόγον αὐτὸν νὰ γίνουν μισητοὶ καὶ νὰ περιφρονῶνται ἀπὸ ὅλους.

Ποίους λοιπὸν θέλεις νὰ ἀναφέρω; Τοὺς Ἰουδαίους; Ἀλλ' εἶχον ἄφατον μῖσος πρὸς αὐτοὺς δι' ὅσα εἶχον συμβῆ εἰς τὸν διδάσκαλον. Μήπως τοὺς ἐθνικούς; Ἀλλὰ καὶ αὐτοὶ ἐξ ἴσου μὲ ἐκείνους τοὺς ἀπηχθάνοντο, καὶ αὐτὰ τὰ γνωρίζουν πρὸ παντὸς οἱ ἐθνικοί. Ὁ Πλάτων δηλαδὴ ποὺ ἠθέλησε νὰ εἰσαγάγῃ νέον πολίτευμα,

νόμιμα ἀλλ' ἁπλῶς πράξεις εἰσαγωγὼν ἑτέρας ἀνθ' ἑτέρων, ἐκινδύνευσε Σικελίας ἐκπεσὼν ἀποθανεῖν· ἐπειδὴ δὲ τοῦτο οὐ γέγονε, τῆς ἐλευθερίας ἐξέπεσεν αὐτῆς. Καὶ εἰ μὴ βάρβαρός τις τοῦ Σικελίας τυράννου γέγονεν ἡμερώτερος, οὐδὲν ἐκώλυε διαπαντὸς δουλεύειν τὸν φιλόσοφον ἐν ἀλλοτρίᾳ. Καίτοιγε οὐκ ἴσον ἐστὶ τὰ περὶ βασιλείας καινοτομεῖν καὶ τὰ περὶ θρησκείας· τοῦτο γὰρ μάλιστα θορυβεῖ καὶ ταράττει τοὺς ἀνθρώπους. Τὸ γὰρ εἰπεῖν ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα τὴν δεῖνα γαμείτωσαν καὶ οἱ φύλακες τοῦτον ἔστωσαν τὸν τρόπον φύλακες, οὐ σφόδρα ἱκανὸν θορυβῆσαι, καὶ μάλιστα, ὅταν ἐν βιβλίῳ ᾖ ταῦτα κείμενα καὶ μὴ πολλὴ σπουδὴ τοῦ νομοθετοῦντος γίνηται εἰς ἔργον ἄγειν τὰ λεγόμενα· τὸ μέντοιγε λέγειν ὅτι οὐκ εἰσὶ θεοὶ οἱ θεραπευόμενοι, ἀλλ' ὅτι δαίμονές εἰσιν, ὅτι ὁ ἐσταυρωμένος Θεός, ἴστε πόσην ἀνῆψεν ὀργήν, πόσην ἂν ἐποίησε δοῦναι δίκην, πόσον ἀνερρίπισε πόλεμον.

5. Καὶ γὰρ Πρωταγόρας παρ' αὐτοῖς, ἐπειδὴ ἐτόλμησεν εἰπεῖν ὅτι οὐκ οἶδα θεούς, καὶ ἐτόλμησεν εἰπεῖν, οὐχ ὅτι τὴν οἰκουμένην περιϊὼν καὶ κηρύττων, ἀλλ' ἐν μιᾷ πόλει, περὶ τῶν ἐσχάτων ἐκινδύνευσε. Καὶ Διαγόρας ὁ Μιλήσιος καὶ Θεόδωρος ὁ λεγόμενος ἄθεος, καίτοι φίλους εἶχον καὶ δύναμιν τὴν ἀπὸ τῶν λόγων καὶ ἐπὶ φιλοσοφίᾳ ἐθαυμάζοντο, ἀλλ' ὅμως οὐδὲν τούτων αὐτοὺς ὤνησε. Καὶ ὁ μέγας δὲ Σωκράτης καὶ πάντων τῶν παρ' αὐτοῖς φιλο-

---

9. Ὁ μέγας Ἕλλην φιλόσοφος Πλάτων (427—348 π.Χ.) ἰδίως εἰς τὸ ἔργον του «Πολιτεία» διετύπωσε νέας πολιτειακὰς ἀντιλήψεις, διὰ νὰ θέσῃ δὲ εἰς ἐφαρμογὴν αὐτὰς ἐταξίδευσεν εἰς Συρακούσας τῆς Σικελίας (388 π.Χ.). Ἐκεῖ προσεπάθησε νὰ μυήσῃ τὸν τύραννον Διονύσιον Α΄ εἰς τὰς ἰδέας του, συνεδέθη δὲ διὰ στενῆς φιλίας μὲ τὸν γυναικαδελφὸν τοῦ τυράννου Δίωνα. Ὁ Διονύσιος Α΄ εἶδε μὲ καχυποψίαν τὴν φιλίαν Πλάτωνος — Δίωνος ὡς ἀρχὴν κάποιας συνωμοσίας εἰς βάρος του καὶ διὰ τοῦτο ἐξεδίωξε τὸν Πλάτωνα. Κατὰ τὴν ἐπιστροφήν του εἰς Ἑλλάδα ὁ φιλόσοφος συνελήφθη ἀπὸ τοὺς Αἰγινήτας, οἱ ὁποῖοι εὑρίσκοντο τότε εἰς πόλεμον μὲ τοὺς Ἀθηναίους καὶ διὰ τοῦτο εἶχε τὴν πρόθεσιν νὰ πωλήσουν τὸν Πλάτωνα ὡς δοῦλον. Τὸν φιλόσοφον ἔσωσεν εἷς Αἰγύπτιος φίλος του, ὁ Ἀννίκερις ἀπὸ τὴν Κυρήνην, ὁ ὁποῖος ἐπλήρωσε καὶ τὸν ἀπηλευθέρωσε.

10. Πρωταγόρας (περίπου 485—411 π.Χ.): Ὁ μεγαλύτερος ἴσως σοφιστὴς τῆς ἀρχαιότητος γεννηθεὶς εἰς τὰ Ἄβδηρα τῆς Θράκης. Ἐδίδαξεν εἰς ὅλον τὸν ἀρχαῖον ἑλληνικὸν κόσμον καὶ ἰδίως εἰς Ἀθήνας. Ἐκεῖ ἀνέγνωσε διὰ πρώτην φορὰν τὸ ἔργον του «Περὶ Θεῶν», εἰς τὸ ὁποῖον ἐξέφραζεν ἀμφιβολίας διὰ τὴν ὕπαρξιν τῶν θεῶν. Ἀντεμετώπισε δίκην ἐπὶ ἀσε-

μᾶλλον δὲ ἕνα μέρος τοῦ πολιτεύματος, ποὺ δὲν μετέβαλλε τὰ πατροπαράδοτα τῶν θεῶν, ἀλλὰ ἁπλῶς εἰσήγαγεν ἄλλας πράξεις ἀντὶ ἄλλων, ἀφοῦ ἐξεδιώχθη ἀπὸ τὴν Σικελίαν ἐκινδύνευσε νὰ φονευθῇ· καὶ ἐπειδὴ δὲν συνέβη τοῦτο, ἔχασε τὴν ἰδίαν τὴν ἐλευθερίαν του. Καὶ ἂν κάποιος βάρβαρος δὲν συνέβαινε νὰ εἶναι ἡμερώτερος ἀπὸ τὸν τύραννον τῆς Σικελίας, τίποτε δὲν θὰ ἠμπόδιζεν ὁ φιλόσοφος νὰ ἐξακολουθήσῃ νὰ εἶναι πάντοτε δοῦλος εἰς ξένην χώραν[9]. Καὶ ὅμως, ὡς γνωστόν, δὲν εἶναι ἴσον τὸ νὰ εἰσάγῃ κανεὶς καινοτομίας εἰς θέματα σχετικὰ μὲ τὴν βασιλείαν μὲ τὸ νὰ καινοτομῇ εἰς τὰ περὶ θρησκείας, διότι τοῦτο πρὸ παντὸς ἀναστατώνει καὶ ταράσσει τοὺς ἀνθρώπους· τὸ νὰ εἴπῃ δηλαδὴ κανεὶς ὁ τάδε καὶ ὁ τάδε νὰ νυμφεύωνται τὴν τάδε καὶ οἱ φύλακες νὰ εἶναι φύλακες κατὰ τὸν τρόπον αὐτὸν δὲν εἶναι ἱκανὸν νὰ προκαλέσῃ μέγαν θόρυβον, καὶ μάλιστα, ὅταν εἶναι γραπτὰ καὶ δὲν ὑπάρχῃ πολλὴ βιασύνη ἐκ μέρους τοῦ νομοθέτου νὰ θέσῃ τὰ λεγόμενα εἰς ἐφαρμογήν· τὸ νὰ λέγῃ ὅμως κάποιος ὅτι οἱ θεοὶ ποὺ λατρεύουν δὲν εἶναι θεοί, ἀλλ' ὅτι εἶναι δαίμονες, ὅτι ὁ ἐσταυρωμένος εἶναι θεός, ἀντιλαμβάνεσθε πόσην ὀργὴν ἧναψε, πόσας τιμωρίας ἐδημιούργησε, πόσον πόλεμον προεκάλεσεν.

Ὁ ἰδικός των Πρωταγόρας[10], ἐξ ἄλλου, ἐπειδὴ ἐτόλμησε νὰ εἴπῃ, «Δὲν παραδέχομαι τοὺς θεούς», καὶ ἐτόλμησεν ἁπλῶς νὰ τὸ εἴπῃ ὄχι περιερχόμενος τὴν οἰκουμένην καὶ κηρύττων, ἀλλὰ εἰς μίαν πόλιν, ἐκινδύνευσε νὰ καταδικασθῇ εἰς θάνατον. Καὶ ὁ Διαγόρας ὁ Μιλήσιος[11] καὶ ὁ Θεόδωρος ὁ λεγόμενος ἄθεος[12], ἂν καὶ εἶχον φίλους καὶ πολιτικὴν δύναμιν χάρις εἰς τὴν εὐγλωττίαν των καὶ ἐθαυμάζοντο διὰ τὴν φιλοσοφίαν των, ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τοὺς ὠφέλησεν. Ἐξ ἄλλου καὶ ὁ μέγας Σωκράτης παρ' ὅλον ὅτι ὑπερεῖχεν ἀπὸ ὅλους των εἰς τὴν φιλοσοφίαν ἔπιε κώνειον

βεία καὶ διὰ νὰ διαφύγῃ τὴν βεβαίαν καταδίκην του ἐγκατέλειψε τὰς Ἀθήνας, τὰ δὲ συγγράμματά του ἐκάησαν.

11. Διαγόρας ὁ Μιλήσιος: Κατήγετο μᾶλλον ἀπὸ τὴν νῆσον Μῆλον. Διθυραμβοποιός, ἔζησε εἰς Ἀθήνας κατὰ τὸ β΄ ἥμισυ τοῦ 5ου αἰῶνος π.Χ. Οἱ Ἀθηναῖοι τὸν κατεδίκασαν εἰς θάνατον ὡς «ἀσεβῆ εἰπόντα καὶ δράσαντα» (415 π.Χ.). Διέφυγε τὴν ἐκτέλεσιν τῆς ποινῆς διὰ τῆς αποδημίας του εἰς Πελοπόννησον, ὅπου ἀπέθανε.

12. Θεόδωρος ὁ λεγόμενος ἄθεος: Φιλόσοφος ἐκ Κυρήνης τῆς Αἰγύπτου, ἐδίδαξεν εἰς Ἀθήνας περὶ τὸν 3ον αἰῶνα π.Χ. διατυπώσας γενικῶς τολμηρὰς διὰ τὴν ἐποχὴν ἐκείνην φιλοσοφικὰς ἀπόψεις, καὶ ἰδίως περὶ θεῶν. Ἐξωρίσθη ἐξ Ἀθηνῶν καὶ κατέφυγεν εἰς Αἴγυπτον, ἀπὸ ὅπου ἐξορισθεὶς καὶ πάλιν κατέφυγεν εἰς τὴν Ἑλλάδα.

σοφίᾳ κρατῶν διὰ τοῦτο κώνειον ἔπιεν, ἐπειδὴ ἐν τοῖς περὶ θεῶν λόγοις μικρόν τι παρακινεῖν ὑπωπτεύετο.

Εἰ δὲ ὑπόληψις μόνη καινοτομίας τοσοῦτον κίνδυνον ἤνεγκε φιλοσόφοις ἀνδράσι καὶ σοφοῖς καὶ μυρίας ἀπολελαυκόσι θεραπείας, καὶ οὐ μόνον οὐκ ἴσχυσαν ἅπερ ἤθελον, ἀλλὰ καὶ αὐτοὶ καὶ ζωῆς καὶ πατρίδος ἐξέπεσον, πῶς οὐ θαυμάζεις καὶ ἐκπλήττῃ τὸν ἁλιέα ὁρῶν ἐπὶ τῆς οἰκουμένης τοσαῦτα ἐργασάμενον καὶ κατορθώσαντα ἅπερ ἐσπούδασεν καὶ περιγενόμενον καὶ βαρβάρων καὶ Ἑλλήνων ἁπάντων; Ἀλλ' οὗτοι, φησίν, οὐχὶ θεοὺς εἰσήγαγον ξένους, ὥσπερ ἐκεῖνοι. Αὐτὸ μὲν οὖν μάλιστα τὸ θαυμαστόν μοι λέγεις, ὅτι διπλῆ ἡ καινοτομία, καὶ τὸ τοὺς ὄντας καθαιρεῖν καὶ τὸν ἐσταυρωμένον ἀναγγέλλειν.

Πόθεν γὰρ αὐτοῖς ἐπῆλθε τοιαῦτα κηρύττειν; πόθεν ὑπὲρ τοῦ τέλους αὐτῶν θαρρεῖν; τίνας τῶν πρὸ αὐτῶν τοιοῦτόν τι κατωρθωκότας εἶχον ἰδεῖν; οὐ πάντες δαίμονας προσεκύνουν; οὐ πάντες στοιχεῖα ἐθεοποίουν; οὐ διάφορος ἦν τῆς ἀσεβείας ὁ τρόπος; Ἀλλ' ὅμως τὰ πάντα ἐπῆλθον καὶ κατέλυσαν ταῦτα καὶ ἐπέδραμον ἐν βραχεῖ καιρῷ τὴν οἰκουμένην ἅπασαν, καθάπερ ὑπόπτεροί τινες, οὐ κινδύνους λογιζόμενοι, οὐ θανάτους, οὐ τὴν τοῦ πράγματος δυσκολίαν, οὐ τὴν ὀλιγότητα τὴν ἑαυτῶν, οὐ τὸ πλῆθος τῶν ἐναντιουμένων, οὐ τὴν ἐξουσίαν, οὐ τὴν δυναστείαν, οὐ τὴν σοφίαν τῶν πολεμούντων. Εἶχον γὰρ τούτων ἁπάντων μείζονα συμμαχίαν, τὴν τοῦ σταυρωθέντος καὶ ἀναστάντος δύναμιν.

Οὐκ ἦν οὕτω θαυμαστόν, εἰ πολεμῆσαι εἵλοντο τῇ οἰκουμένῃ πόλεμον αἰσθητόν, ὡς τοῦτο τὸ γεγενημένον νῦν. Ἐπὶ μὲν γὰρ τοῦ νόμου τῆς μάχης ἐξῆν ἀπεναντίας ἵστασθαι τῶν πολεμίων καὶ χώραν ἀπολαμβάνοντας ἐναντίαν οὕτω παρατάττεσθαι πρὸς τοὺς ἐναντιουμένους καὶ καιρὸν ἔχειν ἐπιθέσεως καὶ συμβολῆς· ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ στρατόπεδον ἴδιον εἶχον, ἀλλ' αὐτοῖς ἀνεμίγνυντο τοῖς

---

13. Ἡ κατηγορία μὲ τὴν ὁποίαν εἰσήχθη εἰς δίκην ὁ Σωκράτης (469—399 π.Χ.) καὶ τελικῶς κατεδικάσθη εἰς θάνατον ἦτο ἡ ἑξῆς: «Σωκράτης Σωφρονίσκου Ἀλωπεκῆθεν ἀδικεῖ, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕ-

διὰ τοῦτο, ἐπειδὴ δηλαδὴ ἦτο κάπως ὕποπτος νεωτερισμῶν εἰς τοὺς λόγους του περὶ θεῶν[13].

Ἐὰν δὲ ἡ μόνη ὑποψία καινοτομίας τόσον μέγαν κίνδυνον προεκάλεσεν εἰς ἄνδρας φιλοσόφους καὶ σοφοὺς καὶ ἀνθρώπους ποὺ εἶχον ἀπολαύσει ἀπείρων τιμῶν καὶ ὄχι μόνον δὲν ἐπέτυχον ὅσα ἤθελον, ἀλλὰ καὶ οἱ ἴδιοι ἔχασαν καὶ τὴν πατρίδα καὶ τὴν ζωήν των, πῶς δὲν θαυμάζεις καὶ δὲν ἐκπλήττεσαι ποὺ βλέπεις ὅτι ὁ ἁλιεὺς ἔκανε τόσα μεγάλα ἔργα εἰς τὴν οἰκουμένην καὶ κατώρθωσεν ὅσα ἐπεδίωξε καὶ ὑπερίσχυσε καὶ τῶν βαρβάρων καὶ τῶν Ἑλλήνων ὅλων; Ἀλλ' αὐτοί, λέγουν, δὲν εἰσήγαγον ξένους θεοὺς ὅπως ἐκεῖνοι. Θίγεις λοιπὸν αὐτὸ ποὺ εἶναι δι' ἐμὲ πάρα πολὺ ἀξιοθαύμασστον, ὅτι δηλαδὴ ἡ καινοτομία εἶναι διπλῆ, καὶ καθαίρεσις τῶν κυριαρχούντων θεῶν καὶ κήρυγμα τοῦ ἐσταυρωμένου.

Πῶς λοιπὸν τοὺς ἦλθε νὰ κηρύττουν τέτοιας νέας ἰδέας; πῶς εἶχον τὸ θάρρος εἰς τὸ τέλος τῆς ζωῆς των; ποῖοι πρὶν ἀπὸ αὐτοὺς εἶχον κατορθώσει κάτι τέτοια καὶ τοὺς ὁποίους θὰ ἠδύναντο νὰ ἴδουν; δὲν προσεκύνουν ὅλοι τοὺς δαίμονας; δὲν ἐθεοποίουν ὅλοι τὰ στοιχεῖα τῆς φύσεως; δὲν ἦτο διαφορετικὸς ὁ τρόπος ζωῆς τῶν ἀσεβῶν; Ἀλλ' ὅμως ἐπετέθησαν ἐναντίον ὅλων καὶ κατέλυσαν αὐτὰ καὶ ἐντὸς ὀλίγου χρόνου διέτρεξαν ὅλην τὴν οἰκουμένην, ὡσὰν νὰ εἶχον πτερά, χωρὶς νὰ ὑπολογίζουν κινδύνους, οὔτε θανάτους, οὔτε τὴν δυσκολίαν τοῦ πράγματος, οὔτε τὸ ὅτι αὐτοὶ ἦσαν ὀλίγοι, χωρὶς νὰ ὑπολογίζουν οὔτε τὸ πλῆθος τῶν ἐναντιουμένων, οὔτε τὴν ἐξουσίαν, οὔτε τοὺς δυνάστας, οὔτε τὴν σοφίαν τῶν πολεμούντων· διότι εἶχον συμμαχίαν μεγαλυτέραν ὅλων αὐτῶν, τὴν δύναμιν τοῦ σταυρωθέντος καὶ ἀναστάντος.

Δὲν θὰ ἦτο τόσον ἀξιοθαύμαστον, ἐὰν ἐπροτίμων νὰ διεξαγάγουν ἐναντίον τῆς οἰκουμένης αἰσθητὸν πόλεμον, ὅπως εἶναι αὐτὸς ποὺ τώρα διεξάγεται· διότι συμφώνως πρὸς τὸν νόμον τῆς μάχης θὰ ἦτο δυνατὸν νὰ σταθοῦν ἀπέναντι ἀπὸ τοὺς ἐχθροὺς καί, ἀφοῦ λάβουν θέσιν ἀντίθετον, νὰ παραταχθοῦν ἐναντίον τῶν ἐναντιουμένων καὶ νὰ ἐπιτεθοῦν καὶ νὰ συμπλακοῦν· ἐδῶ ὅμως δὲν ἔγινεν ἔτσι· διότι δὲν εἶχον ἰδικόν των στρατόπεδον, ἀλλ' ἀνεμι-

---

τερα δὲ καινὰ δαιμόνια εἰσφέρων, ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. Τίμημα (ποινή) θάνατος».

πολεμίοις καὶ οὕτως αὐτῶν ἐκράτουν· καὶ ἐν μέσοις τοῖς ἐχθροῖς ἀναστρεφόμενοι διωλίσθαινον αὐτῶν τὰς λαβὰς καὶ περιεγίνοντο καὶ ἐνίκων νίκην λαμπρὰν πληροῦσαν προφητείαν λέγουσαν· «Καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν σου».

Τοῦτο γὰρ ἦν τὸ πολλῆς ἐκπλήξεως γέμον, ὅτι κατέχοντες αὐτοὺς οἱ ἐχθροὶ καὶ εἰς δεσμωτήριον ἐμβάλλοντες καὶ δεσμούς, οὐ μόνον αὐτῶν οὐ περιεγένοντο, ἀλλὰ καὶ αὐτοὶ μετὰ ταῦτα αὐτοῖς ὑπέκυπτον, οἱ μαστίζοντες τοῖς μαστιζομένοις, οἱ δεσμοῦντες τοῖς δεδεμένοις, οἱ διώκοντες τοῖς ἐλαυνομένοις. Ταῦτα δὴ πάντα πρὸς Ἕλληνας λέγωμεν, μᾶλλον δὲ καὶ τούτων πλείονα· πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. Κἂν παρακολουθῆτε τῇ ὑποθέσει, πᾶσαν ὑμᾶς τὴν πρὸς αὐτοὺς διδάξομεν μάχην· τέως δὲ ταύτῃ δύο διατηρῶμεν κεφάλαια, πῶς οἱ ἀσθενεῖς τοὺς ἰσχυροὺς ἐνίκησαν καὶ πόθεν αὐτοῖς ἐπῆλθε τοιούτοις οὖσι τοιαῦτα βουλεύσασθαι, εἰ μὴ θείας ἀπέλαυον συμμαχίας.

6. Καὶ τὰ μὲν παρ' ἡμῶν ὧδε. Ἡμεῖς δὲ παρεχώμεθα ἐπὶ τῶν ἔργων τὰ τοῦ βίου κατορθώματα καὶ δαψιλὲς τὸ πῦρ ἀνάπτωμεν τῆς ἀρετῆς· «Φωστῆρες γάρ ἐστε, φησίν, ἐν μέσῳ τοῦ κόσμου λάμπτοντες»· καὶ μείζονα ἡμῶν ἑκάστῳ χρείαν ἐνεχείρισεν ὁ Θεὸς ἢ τῷ ἡλίῳ, μείζονα οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, καὶ τοσούτῳ μείζονα, ὅσῳ τὰ πνευματικὰ τῶν αἰσθητῶν διενήνοχεν. Ὅταν οὖν πρὸς τὸν ἡλιακὸν ἴδωμεν κύκλον καὶ θαυμάσωμεν τὸ κάλλος καὶ τὸ σῶμα καὶ τὴν φαιδρότητα τοῦ ἄστρου, λογιζώμεθα πάλιν ὅτι μεῖζον καὶ ἄμεινον τὸ ἐν ἡμῖν φῶς, καθάπερ καὶ τὸ σκότος χαλεπώτερον, ἂν μὴ προσέχωμεν· καὶ γὰρ νὺξ βαθεῖα κατέχει τὴν οἰκουμένην ἅπασαν.

Ταύτην τοίνυν ἀνατρέψωμεν καὶ λύσωμεν. Νὺξ οὐκ ἐν αἱρετικοῖς οὐδὲ ἐν Ἕλλησι μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς τοῖς παρ' ἡμῖν δογμάτων ἕνεκεν καὶ βίου· πολλοὶ γὰρ τῇ ἀναστάσει διαπιστοῦσι, πολλοὶ καὶ γένεσιν ἑαυτοῖς ἐπιτει-

---

14. Ψαλ. 109,2
15. Φιλ. 2,15.

γνύοντο μὲ τοὺς ἰδίους τοὺς ἐχθροὺς καὶ ἔτσι ὑπερίσχυον αὐτῶν· καὶ ἐνῷ ἔζων μεταξὺ τῶν ἐχθρῶν, διέφευγον τὴν σύλληψιν ἀπὸ αὐτοὺς καὶ ὑπερίσχυον καὶ ἐνίκων νίκην λαμπράν, ἡ ὁποία ἐπραγματοποίει μίαν προφητεαν ποὺ ἔλεγεν· «Καὶ θὰ καταβάλῃς τοὺς ἐχθρούς σου ὡς νικητὴς εἰς τὸ μέσον αὐτῶν»[14].

Τοῦτο δηλαδὴ προκαλεῖ πολλὴν κατάπληξιν, ὅτι ἐνῷ οἱ ἐχθροὶ κατεῖχον αὐτοὺς καὶ τοὺς ἔρριπτον εἰς δεσμωτήριον καὶ εἰς δεσμά, ὄχι μόνον δὲν ὑπερίσχυον, ἀλλὰ κατόπιν ὑπέκυπτον εἰς αὐτοὺς καὶ οἱ ἴδιοι, οἱ μαστιγοῦντες εἰς τοὺς μαστιγουμένους, οἱ φυλακίζοντες εἰς τοὺς δεσμώτας, οἱ διῶκται εἰς τοὺς διωκομένους. Ὅλα λοιπὸν αὐτὰ ἂς τὰ λέγωμεν πρὸς τοὺς ἐθνικούς, μᾶλλον δὲ καὶ περισσότερα ἀπὸ αὐτά, διότι ἔχομεν πολλὴν ἀλήθειαν μὲ τὸ μέρος μας. Καὶ ἂν παρακολουθῆτε τὸ θέμα, θὰ σᾶς ἐκθέσω ὅλην τὴν ἐξέλιξιν τῆς μάχης ἐναντίον αὐτῶν· προηγουμένως ὅμως ἐδῶ ἂς κρατήσωμεν δύο σπουδαιότατα σημεῖα, δηλαδὴ πῶς οἱ ἀδύνατοι ἐνίκησαν τοὺς ἰσχυροὺς καὶ πῶς ἦλθεν εἰς τὸν νοῦν των, ἐνῷ ἦσαν τόσον ἀδύνατοι, νὰ σκεφθοῦν τέτοια ἔργα, ἐὰν δὲν ἀπήλαυον τῆς συμμαχίας τοῦ Θεοῦ.

6. Καὶ τὰ μὲν πράγματά μας ἔτσι ἔχουν, ἐμεῖς δὲ εἰς τὰ ἔργα μας ἂς παρουσιάζωμεν κατορθώματα βίου καὶ ἂς καίωμεν ἄφθονον τὸ πῦρ τῆς ἀρετῆς, διότι λέγει· «Εἶσθε ἀστέρες ποὺ λάμπετε εἰς τὸν κόσμον»[15]. Καὶ εἰς τὸν κάθε ἕνα ἀπὸ ἐμᾶς ὁ Θεὸς ἔδωσε μεγαλυτέραν χρησιμότητα ἀπὸ τὸν ἥλιον, μεγαλυτέραν ἀπὸ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ τόσον μεγαλυτέραν ὅσον τὰ πνευματικὰ ὑπερέχουν ἀπὸ τὰ αἰσθητά. Ὅταν λοιπὸν ἴδωμεν πρὸς τὸν κύκλον τοῦ ἡλίου καὶ θαυμάσωμεν τὸ κάλλος καὶ τὸ σῶμα καὶ τὴν λαμπρότητα τοῦ ἄστρου, ἂς σκεπτώμεθα πάλιν ὅτι τὸ φῶς ποὺ ἔχομεν μέσα μας εἶναι μεγαλύτερον καὶ καλύτερον, ὅπως καὶ τὸ σκότος εἶναι φοβερώτερον, ἐὰν δὲν προσέχωμεν· διότι βαθεῖα νὺξ κατέχει ὅλην τὴν οἰκουμένην. Αὐτὴν λοιπὸν τὴν νύκτα ἂς ἀνατρέψωμεν καὶ ἂς διαλύσωμεν. Νὺξ ἐπικρατεῖ ὄχι μόνον εἰς τοὺς αἱρετικοὺς οὔτε μόνον εἰς τοὺς Ἕλληνας, ἀλλὰ καὶ εἰς πολλοὺς ἀπὸ τοὺς ἰδικούς μας ὅσον ἀφορᾷ τὰ δόγματα καὶ τὴν ζωήν· πολλοὶ δηλαδὴ δυσπιστοῦν εἰς τὴν ἀνάστασιν, πολλοὶ ἀσφαλίζουν τὸν ἑαυτόν τους μὲ συμπεράσματα κατὰ τὴν γένεσιν, πολλοὶ ἐπιδίδονται εἰς παρατηρήσεις τῶν φυσικῶν φαινομένων καὶ εἰς μαντεύ-

χίζουσι, πολλοὶ καὶ παρατηρήσεις φυλάττουσι, καὶ κληδονισμοῖς καὶ οἰωνισμοῖς καὶ συμβόλοις, οἱ δὲ καὶ περιάπτοις καὶ ἐπῳδαῖς κέχρηνται. Ἀλλὰ καὶ πρὸς τούτους μὲν ὕστερον ἐροῦμεν, ὅταν τὰ πρὸς Ἕλληνας διανύσωμεν· τέως δὲ τὰ εἰρημένα κατέχετε, καὶ συλλάβεσθέ μοι τῆς μάχης διὰ τοῦ βίου πρὸς ἡμᾶς ἕλκοντες αὐτοὺς καὶ μεθιστῶντες. Ὅπερ γὰρ ἀεὶ λέγω, τὸν περὶ φιλοσοφίας διδάσκοντα πρότερον ἐν ἑαυτῷ τοῦτο διδάσκειν χρή, καὶ ποθεινὸν εἶναι τοῖς ἀκούουσι.

Γενώμεθα τοίνυν ποθεινοὶ καὶ εὐνοϊκῶς διαθῶμεν πρὸς ἡμᾶς τοὺς Ἕλληνας. Τοῦτο δὲ ἔσται, ἐὰν μὴ κακῶς ποιεῖν ἀλλὰ καὶ κακῶς πάσχειν ὦμεν παρεσκευασμένοι. Οὐχ ὁρῶμεν τὰ παιδία, ὅταν ὑπὸ τῶν πατέρων βασταζόμενα ἐντείνῃ πληγὰς εἰς τὰς γνάθους τοῦ φέροντος, πῶς ὁ πατὴρ ἡδέως παρέχει τῷ παιδὶ τῆς ὀργῆς ἐμφορηθῆναι, καὶ ὅταν ἴδῃ κενώσαντα τὸν θυμὸν φαιδρύνεται; Οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ καθάπερ πατέρες πρὸς παιδία τοῖς Ἕλλησι διαλεγώμεθα· παιδία γάρ εἰσιν ἅπαντες Ἕλληνες· καὶ τοῦτό τινες τῶν παρ' αὐτοῖς εἰρήκασιν, ὅτι ἀεὶ παῖδες ἐκεῖνοι καὶ γέρων Ἕλλην οὐδείς. Τὰ παιδία ὑπὲρ οὐδενὸς ἀνέχεται φροντίζειν χρησίμου· οὕτω καὶ οἱ Ἕλληνες παίζειν ἀεὶ βούλονται καὶ χαμαὶ κεῖνται χαμαιπετεῖς ὄντες καὶ χαμαίζηλοι. Τὰ παιδία πολλάκις περὶ ἀναγκαίων ἡμῶν διαλεγομένων οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων, ἀλλ' ἀεὶ καὶ γελᾷ· τοιοῦτοι καὶ οἱ Ἕλληνες· ὅταν περὶ βασιλείας διαλεγώμεθα, γελῶσι. Καὶ καθάπερ ἐκ παιδικοῦ στόματος πολὺς ἀποβλύζων σίελος πολλάκις καὶ σιτίον καὶ ποτὸν ἐμόλυνεν, οὕτω καὶ τὰ ἀπὸ τοῦ στόματος τῶν Ἑλλήνων ἀπορρέοντα ῥήματα μάταια καὶ ἀκάθαρτα· κἂν ἀναγκαίαν δῷς τροφήν, λυποῦσι τοὺς παρέχοντας διὰ βλασφημίας ἀεὶ καὶ δέονται διαβαστάζεσθαι. Τὰ παιδία πάλιν, ὅταν ἴδωσιν λῃστὴν εἰσι-

---

τῶν γενεθλίων Ἰωάννου τοῦ Προδρόμου (24 Ἰουνίου). Οἱ Βυζαντινοὶ εἶχον τὸν κληδονισμόν, ὁ ὁποῖος ἦτο ἐντελῶς ὅμοιος πρὸς τὸν νεοελληνικὸν κλήδονα.

16. Κλήδων, ὁ, νεοελλ. Κλήδονας: Εἶδος μαντικῆς παιγνιώδους μαντείας τελουμένης ἰδίως ὑπὸ νεανίδων κατὰ τὴν ἑορτὴν

17. «Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν» Πλάτ. Τίμαιος 22Β.

σεις κατὰ τὸν κλήδονα[16] καὶ εἰς οἰωνοσκοπίας καὶ εἰς συμβολισμούς, ἄλλοι δὲ χρησιμοποιοῦν χαϊμαλιὰ καὶ μαγικοὺς ὕμνους. Ἀλλὰ καὶ πρὸς αὐτοὺς θὰ ἀπαντήσωμεν ὕστερον, ὅταν ἐξαντλήσωμεν τὰ θέματα σχετικὰ μὲ τοὺς ἐθνικούς· ἕως τότε κρατεῖτε καλῶς ὅσα ἐλέχθησαν, καὶ λάβετε καὶ ἐσεῖς μαζί μου μέρος εἰς τὴν μάχην ἕλκοντες μὲ τὴν ζωήν σας καὶ μεταθέτοντες αὐτοὺς πρὸς ἐμᾶς· αὐτὸ ἀκριβῶς δηλαδὴ πάντοτε τὸ λέγω, ἐκεῖνος ποὺ διδάσκει φιλοσοφίαν. προηγουμένως πρέπει νὰ τὴν διδάσκῃ εἰς τὸν ἑαυτόν του καὶ πρέπει νὰ εἶναι ἐπιθυμητὸς εἰς τοὺς ἀκροατάς του.

Ἂς γίνωμεν λοιπὸν ἐπιθυμητοὶ καὶ ἂς κάνωμεν τοὺς ἐθνικοὺς νὰ διάκεινται εὐνοϊκῶς πρὸς ἐμᾶς. Τοῦτο δὲ θὰ γίνῃ, ἐὰν εἴμεθα προητοιμασμένοι ὄχι νὰ βλάπτωμεν, ἀλλὰ ἀκόμη καὶ νὰ βλαπτώμεθα. Δὲν βλέπομεν τὰ παιδιά, ὅταν, ἐνῷ οἱ πατέρες τὰ ἔχουν εἰς τὴν ἀγκάλην των, ἐκεῖνα κτυποῦν εἰς τὰς παρειὰς ἐκεῖνον ποὺ τὰ κρατεῖ, πῶς ὁ πατὴρ εὐχαρίστως ἐπιτρέπει εἰς τὸ παιδὶ νὰ χορτάσῃ τὴν ὀργήν του καὶ χαίρεται, ὅταν τὸ ἴδῃ ὅτι ἱκανοποίησε τὸν θυμόν του; Ἔτσι νὰ κάνωμεν καὶ ἐμεῖς, καὶ ἂς συνομιλῶμεν μὲ τοὺς ἐθνικοὺς ὡς πατέρες πρὸς παιδιά, διότι ὅλοι οἱ Ἕλληνες εἶναι παιδιά· καὶ τοῦτο μερικοὶ ἰδικοί των τὸ ἔχουν εἴπει, ὅτι ἐκεῖνοι εἶναι πάντοτε παιδιὰ καὶ κανεὶς Ἕλλην δὲν εἶναι γέρων[17]. Τὰ παιδιὰ δὲν ἀνέχονται νὰ φροντίζουν διὰ τίποτε χρήσιμον· ἔτσι καὶ οἱ Ἕλληνες θέλουν πάντοτε νὰ παίζουν καὶ εὑρίσκονται χαμηλά, διότι τοὺς ἐνδιαφέρουν τὰ χαμηλὰ καὶ ἐπιδιώκουν τὰ γήινα. Πολλάκις τὰ παιδιά, ἐνῷ ἐμεῖς συζητοῦμεν διὰ τὰ ἀναγκαῖα εἰς τὴν ζωήν, δὲν ἀντιλαμβάνονται τίποτε ἀπὸ τὰ λεγόμενα, ἀλλὰ συνεχῶς γελοῦν· τέτοιοι εἶναι καὶ οἱ Ἕλληνες· ὅταν ὁμιλῶμεν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, γελοῦν. Καὶ ὅπως ὁ πολὺς σίελος ποὺ ἐξέρχεται ἀπὸ παιδικὸν σττόμα πολλάκις λερώνει τροφὴν καὶ ποτόν, ἔτσι καὶ οἱ λόγοι ποὺ ἀπορρέουν ἀπὸ τὸ στόμα τῶν Ἑλλήνων εἶναι μάταιοι καὶ ἀκάθαρτοι· καὶ ἂν τοὺς δώσῃς ἀναγκαίαν τροφήν, λυποῦν μὲ τὰς βλασφημίας αὐτοὺς ποὺ κάθε φορὰν τοὺς τρέφουν καὶ χρειάζεται νὰ τοὺς ὑπομένῃ κανεὶς μέχρι τέλους. Τὰ παιδιὰ ἐπίσης ὅταν ἴδουν λῃστὴν νὰ εἰσέρχεται εἰς τὴν οἰκίαν των καὶ νὰ ἀφαιρῇ τὰ πράγμα-

όντα καὶ τὰ ἔνδον ἀφαιρούμενον, οὐ μόνον οὐκ ἀμύνει, ἀλλὰ καὶ προσγελᾷ τῷ ἐπιβούλῳ· ἂν δὲ τὸν καλαθίσκον ἢ τὰ σεῖστρα ἀφέλῃς ἢ ἄλλο τι τῶν ἀθυρμάτων, δεινοπαθεῖ καὶ δυσχεραίνει, σπαράττεται καὶ λακτίζει τὸ ἔδαφος.

Οὕτω δὴ καὶ οἱ Ἕλληνες, τὸν μὲν διάβολον ὁρῶντες πάντα ὑφαιρούμενον αὐτῶν τὰ πατρῷα καὶ τὰ συνέχοντα αὐτῶν τὴν ζωήν, γελῶσιν ὥσπερ φίλῳ προστρέχοντες· ἂν δὲ κτῆμά τις ἢ πλοῦτον ἢ ὁτιοῦν τοιοῦτον τῶν παιδικῶν ἀφέληται, ὀδύρονται, σπαράττονται. Καὶ καθάπερ τὰ παιδία ἀναισθήτως γυμνοῦνται καὶ οὐκ ἐρυθριᾷ, οὕτω καὶ οἱ Ἕλληνες πόρνοις καὶ μοιχοῖς συγκυλινδούμενοι καὶ τοὺς τῆς φύσεως γυμνοῦντες νόμους καὶ παρανόμους εἰσάγοντες μίξεις οὐκ ἐπιστρέφονται. Ἐκροτήσατε σφόδρα καὶ ἐπηνέσατε· ἀλλὰ μετὰ τοῦ κρότου σπουδάσατε, ὅπως μὴ καὶ περὶ ὑμῶν ταῦτα λέγηται.

Διὸ παρακαλῶ πάντας γενέσθαι ἄνδρας· ἐπεί, ὅταν αὐτοὶ παῖδες ὦμεν, πῶς ἐκείνους διδάξομεν ἄνδρας εἶναι; πῶς εἴρξομεν αὐτοὺς τῆς παιδικῆς ἀνοίας; Γενώμεθα τοίνυν ἄνδρες, ἵνα φθάσωμεν εἰς τὸ μέτρον τῆς ἡλικίας τῆς ὡρισμένης παρὰ τοῦ Χριστοῦ, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

τα τῆς οἰκίας, ὄχι μόνον δὲν τὸν ἀποκρούουν, ἀλλὰ καὶ γελοῦν μὲ τὸν ἐπιδρομέα· ἂν ὅμως ἀφαιρέσῃς τὸ καλαθάκι ἢ τὴν κουδουνίστραν ἢ κάτι ἄλλο ἀπὸ τὰ παιγνίδια, δεινοπαθεῖ καὶ στενοχωρεῖται, σπαράσσεται καὶ κλωτσᾷ τὸ ἔδαφος.

Ἔτσι λοιπὸν καὶ οἱ ἐθνικοὶ ἐνῷ βλέπουν μὲν τὸν διάβολον νὰ τοὺς ἀφαιρῇ ὅλην τὴν πατρικὴν περιουσίαν των καὶ ὅσα συνέχουν τὴν ζωήν των, γελοῦν ὡσὰν νὰ προστρέχουν εἰς φίλον· ἂν ὅμως κάποιος ἀφαιρέσῃ κάτι ποὺ τοὺς ἀνήκει ἢ ὁ,τιδήποτε τέτοιο ἀπὸ τὰ παιδικά, ὀδύρονται, σπαράσσονται. Καὶ ὅπως τὰ παιδιὰ γυμνώνονται χωρὶς συναίσθησιν καὶ δὲν κοκκινίζουν, ἔτσι καὶ οἱ ἐθνικοὶ κυλίονται μαζὶ μὲ πόρνους καὶ μοιχοὺς καὶ παραβαίνουν τοὺς νόμους τῆς φύσεως καὶ ἐπινοοῦν παρανόμους μίξεις, καὶ δὲν ἐπιστρέφουν. Ἐχειροκροτήσατε μὲ δύναμιν καὶ ἐπῃνέσατε· ἀλλὰ μαζὶ μὲ τὰ χειροκροτήματα προσέξατε μήπως αὐτὰ λέγωνται καὶ δι' ἐσᾶς.

Διὰ τοῦτο σᾶς παρακαλῶ ὅλοι νὰ ἀνδρωθῆτε· διότι, ὅταν ἐμεῖς οἱ ἴδιοι εἴμεθα παιδιά, πῶς θὰ διδάξωμεν ἐκείνους νὰ εἶναι ἄνδρες; πῶς θὰ τοὺς ἐμποδίσωμεν ἀπὸ τὴν παιδικὴν μωρίαν; Ἂς γίνωμεν λοιπὸν ἄνδρες διὰ νὰ φθάσωμεν εἰς τὴν ἡλικίαν ποὺ μᾶς ὥρισεν ὁ Χριστὸς καὶ διὰ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ε'
Α' Κορ. 1, 26-31

«Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς».

Εἰπὼν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν, ἔδειξεν ὅτι ἐκβέβληται ἡ σοφία ἡ ἀνθρωπίνη ἀπό τε τῆς μαρτυρίας τῶν γραφῶν, ἀπό τε τῆς τῶν πραγμάτων ἐκβάσεως· ἀπὸ μὲν τῆς μαρτυρίας εἰπών, «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν», ἀπὸ δὲ τῆς ἐκβάσεως κατὰ ἐρώτησιν προαγαγὼν τὸν λόγον καὶ εἰπών, «Ποῦ σοφός, ποῦ γραμματεύς;». Πάλιν συναπέδειξεν ὅτι καὶ οὐ νεώτερον τὸ πρᾶγμα, ἀλλὰ καὶ παλαιόν, ὡς ἄνωθεν αὐτὸ προδιατυποῦσθαι καὶ προλέγεσθαι· «Γέγραπται γάρ», φησίν, «ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν». Μετὰ τούτων ἀπέδειξεν ὅτι καὶ χρησίμως καὶ εὐλόγως ταῦτα οὕτω γέγονεν· «Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ», φησίν, «οὐκ ἔγνω ὁ κόσμος τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας»· καὶ ὅτι ὁ σταυρὸς ἀφάτου δυνάμεως καὶ σοφίας ἀπόδειξις καὶ ὅτι πολλῷ μεῖζον τὸ μωρὸν τοῦ Θεοῦ τῆς ἀνθρωπίνης σοφίας. Καὶ τοῦτο πάλιν οὐχὶ διὰ τῶν διδασκάλων ἀλλὰ καὶ δι' αὐτῶν ἀποδείκνυσι τῶν μαθητῶν· «Βλέπετε» γάρ, φησί, «τὴν κλῆσιν ὑμῶν». Οὐ γὰρ μόνον διδασκάλους ἰδιώτας, ἀλλὰ καὶ μαθητὰς ἐπελέξατο τοιούτους· «Οὐ γὰρ πολλοὶ σοφοί, φησί, κατὰ σάρκα». Οὕτω δείκνυται τοῦτο καὶ ἰσχυρότερον καὶ σοφώτερον, ὅταν καὶ πολλοὺς πείσῃ καὶ ἀσόφους πείσῃ. Καὶ γὰρ δυσκολώτατον ἰδιώτην πεῖσαι, μάλιστα ὅταν περὶ πραγμάτων ἀναγκαίων καὶ μεγάλων ὁ λόγος ᾖ. Ἀλλ' ὅμως ἔπεισαν· καὶ

---

1. Α' Κορ. 1,26-27.

ΟΜΙΛΙΑ Ε'
Α' Κορ. 1,26—31

«Βλέπετε, ἀδελφοί, τοὺς ἑαυτούς σας, τοὺς ὁποίους ἐκάλεσεν ὁ Θεός, ὅτι δὲν ὑπάρχουν μεταξύ σας πολλοὶ σοφοὶ κατὰ κόσμον, οὔτε πολλοὶ δυνατοί, οὔτε πολλοὶ μὲ εὐγενικὴν καταγωγήν, ἀλλὰ ὁ Θεὸς ἐξέλιξε αὐτοὺς ποὺ θεωροῦνται μωροὶ κατὰ κόσμον, διὰ νὰ καταντροπιάσῃ τοὺς σοφούς»[1].

1. Μὲ τὸ νὰ εἴπῃ, ὅτι «Ἐκεῖνο ποὺ θεωρεῖται μωρὸν τοῦ Θεοῦ εἶναι σοφώτερον ἀπὸ τὴν σοφίαν τῶν ἀνθρώπων», ἔδειξεν ὅτι ἡ σοφία ἡ ἀνθρωπίνη ἔχει ἀπορριφθῆ καὶ ἀπὸ τὴν μαρτυρίαν τῶν Γραφῶν καὶ ἀπὸ τὴν πραγματικότητα· ἀπὸ τὴν μαρτυρίαν τῶν Γραφῶν μὲ τὸ νὰ εἴπῃ, «θὰ ἐξαφανίσω τὴν σοφίαν τῶν σοφῶν», ἀπὸ τὴν πραγματικότητα δὲ μὲ τὸ νὰ χρησιμοποιήσῃ ἐρώτησιν εἰς τὸν λόγον του καὶ νὰ εἴπῃ· «Ποῦ εἶναι ὁ σοφός; ποῦ εἶναι ὁ γραμματεύς;». Ἀπέδειξεν ἐπίσης ὅτι τὸ θέμα δὲν εἶναι νέον, διότι τονίζει ἐκ τῶν προτέρων καὶ προαναφέρει «Εἶναι δηλαδὴ γραμμένον», λέγει, «θὰ ἐξαφανίσω τὴν σοφίαν τῶν σοφῶν». Συγχρόνως ἀπέδειξεν, ὅτι ἦσαν χρήσιμα καὶ δικαιολογημένα ποὺ συνέβησαν αὐτὰ ἔτσι. «Ἐπειδὴ δηλαδή», λέγει, «κατὰ τὴν σοφίαν τοῦ Θεοῦ ὁ κόσμος δὲν ἐγνώρισε τὸν Θεόν, ὁ Θεὸς ἀπὸ τὴν ἀγαθότητά του ἀπεφάσισε μὲ τὴν μωρίαν τοῦ κηρύγματος νὰ σώσῃ ἐκείνους ποὺ πιστεύουν», καὶ ὅτι ὁ σταυρὸς εἶναι ἀπόδειξις ἀπεριγράπτου δυνάμεως καὶ σοφίας καὶ ὅτι ἡ μωρία τοῦ Θεοῦ εἶναι ἀνωτέρα ἀπὸ τὴν ἀνθρωπίνην σοφίαν. Καὶ τοῦτο τὸ ἀποδεικνύει πάλιν ὄχι μὲ τοὺς διδασκάλους ἀλλὰ καὶ μὲ τοὺς ἰδίους τοὺς μαθητάς· διότι λέγει· «Βλέπετε τοὺς ἑαυτούς σας, τοὺς ὁποίους ἐκάλεσεν ὁ Θεός»· δηλαδὴ ἐπέλεξεν ὄχι μόνον ἁπλοϊκοὺς διδασκάλους, ἀλλὰ καὶ ἁπλοϊκοὺς μαθητάς· διότι «δὲν ὑπάρχουν πολλοὶ σοφοὶ κατὰ κόσμον». Ἔτσι τοῦτο ἀποδεικνύεται καὶ ἰσχυρότερον καὶ σοφώτερον, ὅταν πείσῃ καὶ πολλοὺς καὶ μάλιστα ἀσόφους· εἶναι δηλαδὴ δυσκολώτατον τὸ νὰ πείσῃ ἕνας ἁπλοϊκός, καὶ μάλιστα ὅταν ὁ λόγος εἶναι διὰ ἀναγκαῖα καὶ μεγάλα πράγματα. Ἀλλ' ὅμως ἔπεισαν· καὶ αὐ-

τούτου μάρτυρας αὐτούς καλεῖ. «Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί», φησίν· ἐπισκέψασθε, διερευνήσασθε. Τὸ γὰρ δόγματα οὕτω σοφὰ καὶ πάντων σοφώτερα καταδέξασθαι τοὺς ἰδιώτας μεγίστην τῷ διδασκάλῳ μαρτυρεῖ σοφίαν.

Τί δέ ἐστι, «κατὰ σάρκα»; Κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον, κατὰ τὴν ἔξωθεν παίδευσιν. Εἶτα, ἵνα μὴ δόξῃ ἑαυτῷ περιπίπτειν — καὶ γὰρ τὸν ἀνθύπατον ἔπεισε καὶ τὸν Ἀρεοπαγίτην καὶ τὸν Ἀπολλώ, καὶ ἑτέρους δὲ εἴδομεν σοφοὺς τῷ κηρύγματι προσελθόντας — οὐκ εἶπεν ὅτι οὐδεὶς σοφός, ἀλλ' «οὐ πολλοὶ σοφοί». Οὐ γὰρ ἀποκεκληρωμένως τοὺς ἰδιώτας ἐκάλει καὶ τοὺς σοφοὺς ἠφίει, ἀλλὰ καὶ τούτους ἐδέχετο, πολλῷ δὲ πλείους ἐκείνους. Τί δήποτε; Ὅτι ὁ κατὰ σάρκα σοφὸς πολλῆς γέμει τῆς ἀνοίας, καὶ οὗτος μάλιστά ἐστιν ὁ μωρός, ὅταν τὴν διεφθαρμένην διδασκαλίαν ἐκβαλεῖν μὴ βούληται.

Καθάπερ οὖν τις ἰατρὸς εἰ βουληθείη διδάξαι τινὰς τὰ ἀπὸ τῆς τέχνης, οἱ μὲν ὀλίγα εἰδότες κακῶς καὶ ἐναντίως τῇ τέχνῃ, καὶ κατέχειν φιλονεικοῦντες, οὐκ ἂν ἀνάσχοιντο μαθεῖν ῥᾳδίως, οἱ δὲ μηδὲν ἐπιστάμενοι μάλιστα ἂν καταδέξαιντο τὰ λεγόμενα· οὕτω δὴ καὶ ἐνταῦθα γέγονεν· οἱ ἰδιῶται μᾶλλον ἐπείσθησαν· τὴν γὰρ ἐσχάτην ἀπόνοιαν οὐκ εἶχον, τὸ νομίζειν ἑαυτοὺς εἶναι σοφούς. Καὶ γὰρ οἱ σφόδρα μωροὶ οὗτοι μάλιστά εἰσιν οἱ λογισμοῖς ἐπιτρέποντες ἅπερ οὐκ ἔστιν εὑρεῖν ἀλλ' ἢ διὰ πίστεως. Καὶ γὰρ εἴ τις τοῦ χλακευτικοῦ διὰ τῆς πυράγρας τὸν πεπυρακτωμένον ἐξέλκοντος σίδηρον, οὗτος διὰ τῆς χειρὸς φιλονεικοίη τοῦτο ποιεῖν, τὴν ἐσχάτην αὐτοῦ καταψηφιούμεθα ἄνοιαν· οὕτω καὶ οἱ φιλόσοφοι δι' ἑαυτῶν ταῦτα εὑρεῖν φιλονεικήσαντες τὴν πίστιν ἠτίμασαν. Διά τοι τοῦτο οὐχ εὗρον τῶν ζητουμένων οὐδέν.

«Οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς». Καὶ γὰρ καὶ οὗτοι τύφου πεπληρωμένοι εἰσίν. Οὐδὲν δὲ οὕτω πρὸς ἀκριβῆ θεογνωσίαν ἄχρηστον, ὡς ἀπόνοια καὶ τὸ προσηλῶ-

τοῦ τοῦ γεγονότος καλεῖ αὐτοὺς ὡς μάρτυρας· «βλέπετε, ἀδελφοί, τοὺς ἑαυτούς σας, τοὺς ὁποίους ἐκάλεσεν ὁ Θεός»· προσέξατε, ἐρευνήσατε λεπτομερῶς· τὸ νὰ πιστεύσουν δηλαδὴ οἱ ἁπλοϊκοὶ δόγματα τόσον σοφὰ καὶ σοφώτερα ὅλων ἀποδεικνύει τὴν μεγίστην σοφίαν τοῦ διδασκάλου.

Καὶ τί σημαίνει «κατὰ σάρκα»; Μὲ κριτήριον αὐτὸ ποὺ φαίνεται, τὴν παροῦσαν ζωήν, τὴν κοσμικὴν μόρφωσιν. Ἔπειτα, διὰ νὰ μὴ φανῇ ὅτι ἀντιφάσκῃ πρὸς τὸν ἑαυτόν του — διότι,, ὡς γνωστόν, ἔπεισε τὸν ἀνθύπατον καὶ τὸν Ἀρεοπαγίτην καὶ τὸν Ἀπολλὼ καὶ εἴδομεν καὶ ἄλλους σοφοὺς νὰ προσέρχωνται εἰς τὴν πίστιν μὲ τὸ κήρυγμά του— δὲν εἶπεν, ὅτι οὐδεὶς ἦτο σοφός, ἀλλὰ ὅτι «δὲν ὑπάρχουν πολλοὶ σοφοί»· διότι δὲν ἐκάλει ἀποκλειστικῶς καὶ μόνον τοὺς ἁπλοϊκούς, ἐνῷ ἄφηνε τοὺς σοφούς, ἀλλὰ καὶ αὐτοὺς ἐδέχετο, πολὺ περισσοτέρους ὅμως ἐδέχετο ἀπὸ ἐκείνους. Διατί λοιπόν; Διότι ὁ σοφὸς κατὰ σάρκα εἶναι γεμᾶτος μὲ πολλὴν μωρίαν καὶ αὐτὸς ἀκριβῶς εἶναι ὁ μωρός, ὅταν δὲν θέλῃ νὰ ἀποβάλῃ τὴν διεφθαρμένην διδασκαλίαν.

Ὅπως ἀκριβῶς δηλαδή, ἐὰν ἕνας ἰατρὸς θελήσῃ νὰ διδάξῃ εἰς μερικοὺς τὴν τέχνην του, ἐκεῖνοι μὲν ποὺ γνωρίζουν ὀλίγα ἀπὸ τὴν τέχνην κακῶς καὶ ἐσφαλμένως καὶ ἐπιμένουν ὅτι τὴν κατέχουν εὐκόλως δὲν θὰ ἐδέχοντο νὰ μάθουν, ὅσοι ὅμως δὲν γνωρίζουν τίποτε μὲ προθυμίαν θὰ ἐδέχοντο τὰ λεγόμενα· ἔτσι ἀκριβῶς συνέβη καὶ ἐδῶ· οἱ ἁπλοϊκοὶ ἐπείσθησαν περισσότερον, διότι δὲν εἶχον τὸ ἀποκορύφωμα τῆς ἀφροσύνης, τὸ νὰ νομίζουν δηλαδὴ τοὺς ἑαυτούς των σοφούς· διότι οἱ πλέον μωροὶ εἶναι ἀκριβῶς αὐτοὶ ποὺ ἀναθέτουν εἰς τὴν λογικὴν νὰ εὕρῃ ὅσα δὲν εἶναι δυνατὸν νὰ εὑρεθοῦν παρὰ μόνον διὰ τῆς πίστεως. Ἐὰν δηλαδή, ἐνῷ ὁ χαλκουργὸς παίρνει τὸν ἀναμμένον σίδηρον μὲ τὴν τσιμπίδα, κάποιος ἐπιμένῃ νὰ κάμῃ τοῦτο μὲ τὸ χέρι του, θὰ τὸν θεωρήσωμεν ὡς τὸν πλέον ἀνόητον· ἔτσι καὶ οἱ φιλόσοφοι, ἐπειδὴ ἐπέμεναν ὅτι μόνοι των δύνανται νὰ εὕρουν αὐτά, περιεφρόνησαν τὴν πίστιν καὶ διὰ τοῦτο βεβαίως δὲν εὗρον τίποτε ἀπὸ ὅσα ἐζήτουν.

«Δὲν ὑπάρχουν πολλοὶ δυνατοὶ οὔτε πολλοὶ εὐγενικῆς καταγωγῆς», διότι καὶ αὐτοὶ εἶναι γεμᾶτοι μὲ ἀλαζονείαν. Καὶ δὲν εἶναι τίποτε τόσον ἄχρηστον διὰ τὴν ἀκριβῆ γνῶσιν τοῦ Θεοῦ, ὅσον ἡ ἀλαζονεία καὶ ἡ προσήλωσις εἰς τὸν πλοῦτον, διότι κάμνουν τὸν

σθαι πλούτῳ. Καὶ γὰρ παρασκευάζει τὰ παρόντα θαυμάζειν καὶ μηδένα τῶν μελλόντων ποιεῖσθαι λόγον, καὶ ἐμφράττει τὰ ὦτα τῷ πλήθει τῶν φροντίδων. «Ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός». Ὅπερ ἐστὶ μέγιστον τῆς νίκης, ὅταν διὰ τῶν ἰδιωτῶν νικᾷ.

2. Οὐ γὰρ οὕτω καταισχύνονται Ἕλληνες, ὅταν διὰ τῶν σοφῶν ἡττηθῶσιν· ἀλλὰ τότε ἐγκαλύπτονται, ὅταν ἴδωσι τὸν χειροτέχνην καὶ τὸν ἐπὶ τῆς ἀγορᾶς ὑπὲρ αὐτοὺς φιλοσοφοῦντα. Διὸ καὶ αὐτὸς ἔλεγεν, «ἵνα καταισχύνῃ τοὺς σοφούς».

Καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ἐποίησεν ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πλεονεκτημάτων τοῦ βίου. «Καὶ γὰρ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο», φησίν, «ἵνα καταισχύνῃ τὰ ἰσχυρά». Οὐ γὰρ ἰδιώτας μόνον ἀλλὰ καὶ πένητας καὶ εὐκαταφρονήτους καὶ ἀσήμους ἐκάλεσεν, ἵνα τοὺς ἐν δυναστείαις ὄντας ταπεινώσῃ. «Καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ». Καὶ τίνα τὰ μὴ ὄντα καλεῖ; Τοὺς μηδὲν εἶναι λογιζομένους διὰ τὴν πολλὴν οὐδένειαν. Οὕτω τὴν πολλὴν δύναμιν ἐπεδείξατο, διὰ τῶν μηδὲν εἶναι δοκούντων τοὺς μεγάλους κατενεγκών· ὅπερ καὶ ἀλλαχοῦ λέγει, ὅτι «Ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Μεγάλη γὰρ δύναμις τὸ τοὺς ἀπερριμμένους καὶ μηδενὸς μηδέποτε μαθήματος ἁψαμένους, τούτους ἀθρόον τὰ ὑπὲρ τὸν οὐρανὸν παιδεύειν φιλοσοφεῖν. Ἐπεὶ καὶ ἰατρὸν καὶ ῥήτορα καὶ τοὺς ἄλλους ἅπαντας τότε μάλιστα θαυμάζομεν, ὅταν τοὺς σφόδρα ἰδιώτας πείθωσι καὶ παιδεύωσιν. Εἰ δὲ τοὺς περὶ τέχνης λόγους θαῦμα μέγα ἐνθεῖναι ἰδιώτῃ, πολλῷ μᾶλλον τοὺς ὑπὲρ τοσαύτης φιλοσοφίας.

Οὐ θαύματος δὲ ἕνεκεν μόνον, οὐδὲ τοῦ δεῖξαι τὴν ἑαυτοῦ δύναμιν τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ καταστεῖλαι τοὺς ἀλαζόνας. Διὸ καὶ ἔμπροσθεν ἔλεγεν, «ἵνα καταισχύνῃ τοὺς σοφοὺς καὶ τὰ ἰσχυρά», «ἵνα καταργήσῃ τὰ ὄντα», καὶ ἐνταῦθα πάλιν· «Ὅπως μὴ καυχήσηται πᾶσα

---

2. αὐτ. 28.
3. Β' Κορ. 12,9.

ἄνθρωπον νὰ θαυμάζῃ τὰ παρόντα καὶ καθόλου νὰ μὴ σκέπτωνται τὰ μέλλοντα καὶ μὲ τὸ πλῆθος τῶν φροντίδων φράττουν τὰ αὐτιὰ τῶν ἀνθρώπων. «Ἀλλὰ ὁ Θεὸς ἐξέλεξεν αὐτοὺς ποὺ θεωροῦνται μωροὶ κατὰ κόσμον». Τοῦτο ἀκριβῶς εἶναι τὸ σπουδαιότερον εἰς τὴν νίκην, ὅταν αὐτὴ ἐπιτυγχάνεται διὰ τῶν ἁπλοϊκῶν ἀνθρώπων.

2. Διότι οἱ Ἕλληνες δὲν ἐντροπιάζονται τόσο πολύ, ὅταν ἡττηθοῦν διὰ τῶν σοφῶν, ἀλλὰ τότε ἐξουθενώνονται, ὅταν ἴδουν τὸν χειροτέχνην καὶ τὸν ἄνθρωπον τῆς ἀγορᾶς νὰ φιλοσοφῇ μὲ περισσοτέραν βαθύτητα ἀπὸ αὐτούς· διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, «διὰ νὰ καταντροπιάσῃ τοὺς σοφούς».

Καὶ δὲν ἔκανε τοῦτο μόνον ἐδῶ, ἀλλὰ καὶ διὰ τὰ ἄλλα πλεονεκτήματα τῆς ζωῆς· διότι λέγει· «ἐξέλεξε καὶ τοὺς πλέον ἀδυνάτους τοῦ κόσμου, διὰ νὰ καταντροπιάσῃ τοὺς ἰσχυρούς». Δηλαδὴ ἐκάλεσεν ὄχι μόνον ἁπλοϊκούς, ἀλλὰ καὶ πτωχοὺς καὶ περιφρονημένους καὶ ἀσήμους διὰ νὰ ταπεινώσῃ τοὺς ἰσχυρούς· «καὶ ἀνθρώπους ταπεινῆς καταγωγῆς κατὰ κόσμον καὶ περιφρονημένους καὶ τιποτένιους διὰ νὰ καταργήσῃ τοὺς θεωρουμένους ἐπιφανεῖς»[2]. Καὶ τί ὀνομάζει «τὰ μὴ ὄντα»; Αὐτοὺς ποὺ ἐθεωροῦντο ὅτι δὲν εἶναι τίποτε ἐξ αἰτίας τῆς τελείας μηδαμινότητός των. Ἔτσι ἔδειξε τὴν πολλὴν δύναμιν μὲ τὸ νὰ καταβάλῃ τοὺς μεγάλους μὲ αὐτοὺς ποὺ ἐθεωροῦντο τιποτένιοι· τοῦτο ἀκριβῶς τὸ λέγει καὶ ἀλλοῦ, ὅτι «Ἡ δύναμίς μου ἀποδεικνύεται τελεία ὅπου ὑπάρχει ἀδυναμία»[3]. Εἶναι δηλαδὴ ἔργον μεγάλης δυνάμεως τὸ νὰ ἐκπαιδεύῃ κανεὶς νὰ ἀπασχολοῦν διὰ μιᾶς τὴν σκέψιν των μὲ τὰ οὐράνια ἄνθρωποι περιφρονημένοι, ποὺ ποτὲ κανένα μάθημα δὲν παρηκολούθησαν· διότι ἰατρὸν καὶ ῥήτορα καὶ ὅλους τοὺς ἄλλους τότε πρὸ παντός τοὺς θαυμάζομεν, ὅταν πείθουν καὶ ἐκπαιδεύουν τοὺς ἐντελῶς ἀμαθεῖς. Ἐὰν δὲ εἶναι μέγα θαῦμα τὸ νὰ διδάξῃ κάποιος τέχνην εἰς ἀμαθῆ, εἶναι πολὺ μεγαλύτερον θαῦμα τὸ νὰ διδάξῃ εἰς ἁπλοϊκὸν τόσον ὑψηλὴν φιλοσοφίαν.

Τοῦτο τὸ ἔχει κάνει ὄχι μόνον διὰ νὰ κάνῃ ἕνα θαῦμα οὔτε διὰ νὰ δείξῃ τὴν ἰδικήν του δύναμιν, ἀλλὰ καὶ διὰ νὰ ταπεινώσῃ τοὺς ἀλαζόνας· διὰ τοῦτο καὶ προηγουμένως ἔλεγεν· «ἵνα καταισχύνῃ τοὺς σοφοὺς καὶ τὰ ἰσχυρά», «ἵνα καταργήσῃ τὰ ὄντα», καὶ ἐδῶ πάλιν· «διὰ νὰ μὴ καυχηθῇ κανεὶς ἄνθρωπος ἐνώπιον τοῦ

σάρξ ἐνώπιον τοῦ Θεοῦ». Πάντα γὰρ ὁ Θεὸς διὰ τοῦτο ποιεῖ, ἵνα τὸν τῦφον καὶ τὸ φρόνημα καταστείλῃ, ἵνα τὸ καυχᾶσθαι καθέλῃ· καὶ ὑμεῖς ἐπὶ τούτῳ, φησίν, ἐνδιατρίβετε; πάντα ποιεῖ, ἵνα μηδὲν ἑαυτοῖς λογιζώμεθα, ἵνα πάντα τῷ Θεῷ ἐπιγράφωμεν· καὶ ὑμεῖς ἐπὶ τῷ δεῖνι καὶ τῷ δεῖνι ὑμᾶς αὐτοὺς προσενείματε; Καὶ ποίας τεύξεσθε συγγνώμης; Καὶ γὰρ ἔδειξεν ὁ Θεὸς ὅτι οὐ δυνατὸν δι' ἑαυτῶν σωθῆναι μόνον, καὶ τοῦτο παρὰ τὴν ἀρχὴν ἐποίησεν· οὐ γὰρ τότε δι' ἑαυτῶν σωθῆναι ἐνῆν, ἀλλ' ἔδει κάλλος οὐρανοῦ καὶ τῆς μέγεθος καὶ τῆς ἄλλης κτίσεως τὸ σῶμα περιελθόντας οὕτω χειραγωγεῖσθαι πρὸς τὸν τῶν ἔργων δημιουργόν.

Ἐποίησε δὲ τοῦτο προαναστέλλων τὴν μέλλουσαν οἰησισοφίαν. Ὡς ἂν εἴ τις διδάσκαλος κελεύσας ἕπεσθαι τῷ μαθητῇ ᾗπερ ἂν ἡγῆται, ἐπειδὰν ἴδῃ προλαβόντα καὶ βουλόμενον ἀφ' ἑαυτοῦ πάντα μαθεῖν, ἀφεὶς διαμαρτεῖν καὶ δείξας ὡς οὐκ ἀρκεῖ πρὸς τὴν μάθησιν, οὕτως αὐτῷ τότε ἐπεισάγοι τὰ παρ' ἑαυτοῦ· οὕτω καὶ ὁ Θεὸς ἐκέλευσε παρὰ τὴν ἀρχὴν ἕπεσθαι διὰ τῆς κατὰ τὴν κτίσιν καταλήψεως· ἐπειδὴ δὲ οὐκ ἠθέλησαν, δείξας διὰ τῆς πείρας ὅτι οὐκ ἀρκοῦσιν ἑαυτοῖς, τότε αὐτοὺς πρὸς ἑαυτὸν ἑτέρως πάλιν ἄγει. Ἔδωκεν ἀντὶ δέλτου τὸν κόσμον. Οὐδὲ ἐν τούτῳ ἐμελέτησαν οἱ φιλόσοφοι, οὐδὲ αὐτῷ πεισθῆναι ἠθέλησαν, οὐδὲ ταύτην ἐλθεῖν τὴν ὁδὸν πρὸς αὐτόν, ἣν αὐτὸς ἐκέλευσεν.

Εἰσήγαγεν ἑτέραν ὁδὸν τῆς προτέρας σαφεστέραν, πείθουσαν ὅτι οὐκ αὐτάρκης ἄνθρωπος αὐτὸς ἑαυτῷ μόνος. Τότε μὲν γὰρ καὶ λογισμοὺς ἦν ἀνακινεῖν καὶ τῇ ἔξωθεν κεχρῆσθαι σοφίᾳ διὰ τῆς κτίσεως χειραγωγουμένους· νῦν δὲ ἂν μή τις γένηται μωρός, τουτέστιν, ἂν μὴ πάντα λογισμὸν καὶ πᾶσαν κενώσῃ σοφίαν καὶ τῇ πίστει ἑαυτὸν παραδῷ, ἀμήχανον σωθῆναι. Οὐ μικρὸν τοίνυν μετὰ τοῦ ποιῆσαι ῥᾳδίαν τὴν ὁδὸν καὶ νόσημα ἀνέσπασεν ἐντεῦθεν, τὸ

4. Α' Κορ. 1,29.

Θεοῦ»[4]. Ὅλα δηλαδὴ ὁ Θεὸς τὰ κάνει μὲ σκοπὸν νὰ περιορίσῃ τὴν ἀλαζονείαν καὶ τὴν ὑπερηφάνειαν καὶ νὰ ματαιώσῃ τὴν καύχησιν, καὶ ἐσεῖς, λέγει, παραμένετε μὲ ἐπιμονὴν εἰς αὐτήν; Τὰ κάνει ὅλα, διὰ νὰ μὴ θεωρῶμεν τίποτε ὡς ἰδικόν μας ἔργον, ἀλλὰ ὅλα νὰ τὰ ἀποδίδωμεν εἰς τὸν Θεόν· καὶ ἐσεῖς προσηρτήσατε τοὺς ἑαυτούς σας εἰς τὸν τάδε καὶ εἰς τὸν τάδε; Πῶς λοιπὸν θὰ συγχωρηθῆτε; Διότι βεβαίως ὁ Θεὸς ἔδειξεν ὅτι δὲν εἶναι δυνατὸν νὰ σωθῶμεν μὲ μόνας τὰς ἰδικάς μας δυνάμεις, καὶ τοῦτο τὸ ἔκανεν εἰς τὴν ἀρχὴν τῆς δημιουργίας· τότε δηλαδὴ δὲν ἦτο δυνατὸν νὰ σωθοῦν οἱ ἄνθρωποι μὲ τὰς δυνάμεις των, ἀλλὰ ἔπρεπε νὰ χειραγωγηθοῦν πρὸς τὸν δημιουργὸν τῶν ἔργων, ἀφοῦ προηγουμένως παρατηρήσουν τὸ κάλλος τοῦ οὐρανοῦ καὶ τὸ μέγεθος τῆς γῆς καὶ τὴν ἔκτασιν τῆς ὑπολοίπου κτίσεως.

Τοῦτο τὸ ἔκανε, διὰ νὰ περιορίσῃ ἐκ τῶν προτέρων τὴν μελλοντικὴν ψευδοσοφίαν. Ὅπως, ἂν κάποιος διδάσκαλος ἤθελε ζητήσει ὁ μαθητής του νὰ τὸν ἀκολουθῇ ὅπου προχωρεῖ, καὶ ὅταν τὸν ἔβλεπε νὰ προχωρῇ περισσότερον τοῦ δέοντος καὶ νὰ θέλῃ μόνος του νὰ τὰ μάθῃ ὅλα, τὸν ἄφηνε νὰ σφάλῃ, καὶ ἀφοῦ τοῦ ἀπεδείκνυεν ὅτι δὲν τοῦ φθάνουν μόναι αἱ δυνάμεις του διὰ τὴν μάθησιν, τότε πάλιν τοῦ προσέφερε τὰς ἰδικάς του δυνάμεις, ἔτσι καὶ ὁ Θεὸς ὥρισεν εἰς τὴν ἀρχὴν νὰ τὸν ἀκολουθοῦν διὰ τῆς κατανοήσεως τῶν μυστηρίων τῆς κτίσεως· ἐπειδὴ ὅμως δὲν ἠθέλησαν, ἀφοῦ τοὺς ἔδειξε διὰ τῆς πείρας των ὅτι δὲν τοὺς ἐπαρκοῦν αἱ δυνάμεις των, τότε πάλιν τοὺς φέρει πλησίον του μὲ ἄλλον τρόπον. Ἀντὶ γραπτοῦ νόμου ἔδωκεν τὸν κόσμον. Οἱ φιλόσοφοι οὔτε τὸν ἐμελέτησαν, οὔτε ἠθέλησαν νὰ πεισθοῦν εἰς αὐτόν, οὔτε ἐδέχθησαν νὰ ἀκολουθήσουν τὴν ὁδόν, τὴν ὁποίαν ὁ ἴδιος καθώρισεν.

Ἐχρησιμοποίησεν ἄλλην ὁδὸν σαφεστέραν τῆς προηγουμένης, ποὺ ἔπειθεν ὅτι ὁ ἄνθρωπος δὲν εἶναι αὐτάρκης μόνος του μὲ τὰς ἰδικάς του δυνάμεις. Τότε δηλαδὴ χειραγωγούμενοι διὰ τῆς κτίσεως ἦτο δυνατὸν καὶ τὴν λογικὴν νὰ θέτουν εἰς ἐνέργειαν καὶ τὴν σοφίαν τοῦ κόσμου νὰ χρησιμοποιοῦν· τώρα ὅμως ἂν δὲν γίνῃ κάποιος μωρός, δηλαδή, ἂν δὲν ἐγκαταλείψῃ πλήρως κάθε λογικὴν καὶ κάθε σοφίαν καὶ ἂν δὲν παραδώσῃ τὸν ἑαυτόν του εἰς τὴν πίστιν, εἶναι ἀδύνατον νὰ σωθῇ. Ἔκανε λοιπὸν εὔκολον τὴν ὁδὸν καὶ συγχρόνως ἀπεμάκρυνε σοβαρὰν ἀσθένειαν, δηλαδὴ νὰ

μὴ καυχᾶσθαι μηδὲ μέγα φρονεῖν· «Ὅπως μὴ καυχήσηται πᾶσα σάρξ». Ἀπὸ γὰρ τούτου ἡ ἁμαρτία, ὅτι σοφώτεροι τῶν τοῦ Θεοῦ νόμων εἶναι ἐφιλονείκησαν οὐ θέλοντες οὕτω μαθεῖν ὡς αὐτὸς ἐνομοθέτησε. Διὰ τοῦτο οὐδὲ ὅλως ἔμαθον.

Οὕτω καὶ ἐξ ἀρχῆς ἐγένετο. Εἶπε τῷ Ἀδάμ· τόδε τι πρᾶξον καὶ τόδε μὴ πράξῃς. Ἐκεῖνος ὡς πλέον τι νομίζων εὑρίσκειν παρήκουσε, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. Εἶπε τοῖς ἑξῆς, μὴ ἐναπομένετε τῇ κτίσει, ἀλλὰ διὰ ταύτης τὸν δημιουργὸν θεωρεῖτε. Ἐκεῖνοι δῆθεν ὡς σοφώτερόν τι τῶν εἰρημένων εὑρίσκοντες μυρίους ἐκίνησαν λαβυρίνθους. Διὰ τοῦτο καὶ ἑαυτοῖς καὶ ἀλλήλοις συνερράγησαν καὶ οὔτε τὸν Θεὸν εὗρον, οὔτε περὶ τῆς κτίσεώς τι σαφὲς ἔγνωσαν, οὐδὲ προσήκουσαν καὶ ἀληθῆ περὶ αὐτῆς δόξαν ἔσχον. Διὰ τοῦτο πάλιν ἐκ πολλοῦ τοῦ περιόντος τὴν οἴησιν αὐτῶν καθαιρῶν τοὺς ἰδιώτας πρώτους εἰσήγαγε δείξας ὡς πάντες τῆς ἄνωθεν δέονται σοφίας. Οὐ μόνον δὲ ἐν τῷ περὶ γνώσεως λόγῳ, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι καὶ ἀνθρώπους καὶ τὰ ἄλλα πάντα κτίσματα ἐν πολλῇ χρείᾳ αὐτοῦ κατέστησεν, ἵνα μεγίστην ἀφορμὴν ἔχῃ, καὶ ταύτην ὑποταγῆς καὶ οἰκειώσεως, ἵνα μὴ ἀποπηδήσαντα ἀπόληται. Διὰ τοῦτο οὐκ ἀφῆκεν αὐτάρκεις αὐτοὺς ἑαυτοῖς εἶναι. Εἰ γὰρ καὶ νῦν ἐν χρείᾳ ὄντες πολλοὶ καταφρονοῦσιν, εἰ μὴ τοῦτο ἦν, ποῦ οὐκ ἂν ἐξῆλθον ὑπεροψίας; Ὥστε τὸ οὕτω καυχᾶσθαι οὐ φθονῶν αὐτοῖς ἀνεῖλεν, ἀλλ' ἀφέλκων αὐτοὺς τῆς ἀπωλείας τῆς ἐντεῦθεν γινομένης.

«Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις». Τό, «ἐξ αὐτοῦ», ἐνταῦθα οὐ περὶ τῆς εἰς τὸ εἶναι παραγωγῆς οἶμαι λέγειν αὐτὸν ἀλλὰ περὶ τῆς πίστεως· τουτέστιν, τέκνα Θεοῦ γενέσθαι οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκός. Μὴ νομίσητε τοίνυν ὅτι ἀφελόμενος ὑμᾶς τοῦ καυχήματος εἴασεν οὕτω· μεῖζον γὰρ ἕτερον ἔδωκε καύχημα. Ἐκείνου γάρ, οὗ ἐνώπιον οὐ δεῖ καυχᾶσθαι, παῖδές ἐστε διὰ τοῦ Χριστοῦ τοῦτο γενόμενοι. Καὶ

---

5. αὐτ. 30.

μὴ καυχᾶται κανεὶς καὶ νὰ μὴ μεγαλοφρονῇ· «διὰ νὰ μὴ καυχηθῇ κανεὶς ἄνθρωπος»· διότι ἡ ἁμαρτία προῆλθεν ἀπὸ τοῦτο, ἀπὸ τὸ ὅτι δηλαδὴ ἐπεδίωξαν νὰ εἶναι σοφώτεροι ἀπὸ τοὺς νόμους τοῦ Θεοῦ καὶ δὲν ἠθέλησαν νὰ δεχθοῦν τοὺς νόμους, ποὺ ὁ ἴδιος ὁ Θεὸς ἐθέσπισεν. Διὰ τοῦτο δὲν ἔμαθον τίποτε.

Ἔτσι συνέβη ἀπὸ τὴν ἀρχὴν τῆς δημιουργίας. Εἶπεν εἰς τὸν Ἀδάμ· Τοῦτο νὰ κάνῃς καὶ τοῦτο νὰ μὴ κάνῃς. Ἐκεῖνος, ἐπειδὴ ἐνόμιζεν ὅτι θὰ εὕρισκε κάτι περισσότερον, παρήκουσε καὶ ἔχασε καὶ ἐκεῖνο ποὺ εἶχεν. Εἶπεν εἰς τοὺς μεταγενεστέρους· Μὴ μένετε εἰς τὴν κτίσιν, ἀλλὰ διὰ μέσου αὐτῆς παρατηρεῖτε τὸν δημιουργόν. Ἐκεῖνοι, ὡς νὰ εὕρισκον δῆθεν κάτι σοφώτερον ἀπὸ τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀνεκίνησαν ἀπείρους λαβυρίνθους. Διὰ τοῦτο ἦλθον εἰς σύγκρουσιν καὶ μὲ τὸν ἑαυτόν των καὶ μεταξύ των καὶ οὔτε τὸν Θεὸν εὗρον, οὔτε ἔμαθον κάτι σαφὲς περὶ τῆς κτίσεως, οὔτε ἐσχημάτισαν ὀρθὴν καὶ ἀληθῆ γνώμην περὶ αὐτῆς. Διὰ τοῦτο πάλιν μὲ πολλὴν ἐπιμονὴν καταδικάζων τὴν ἀλαζονείαν των πρώτους ἐχρησιμοποίησε τοὺς ἁπλοϊκοὺς καὶ ἔδειξεν ὅτι ὅλοι χρειάζονται τὴν σοφίαν τοῦ Θεοῦ. Καὶ ὄχι μόνον εἰς τὸ θέμα τῆς γνώσεως ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα θέματα ἔκανε καὶ τοὺς ἀνθρώπους καὶ ὅλα τὰ ἄλλα κτίσματα νὰ τὸν χρειάζωνται πολύ, διὰ νὰ ἔχουν πολὺ σοβαρὸν λόγον καὶ νὰ ὑποτάσσωνται καὶ νὰ συνδέωνται στενῶς μαζί του, ὥστε νὰ μὴ ἀπομακρυνθοῦν καὶ χαθοῦν· διὰ τοῦτο δὲν τοὺς ἄφησε νὰ εἶναι αὐτάρκεις· διότι, ἂν τώρα πολλοὶ τὸν περιφρονοῦν παρ' ὅλον ὅτι τὸν χρειάζονται, ἐὰν δὲν τὸν ἐχρειάζοντο, εἰς ποῖα ὕψη ὑπεροψίας δὲν θὰ ἔφθανον; Ὥστε ἐματαίωσε τὴν ἀλαζονικὴν καύχησίν των ὄχι ἀπὸ φθόνον, ἀλλὰ ἀπὸ τὴν προσπάθειάν του νὰ τοὺς σώσῃ ἀπὸ τὴν ἀπώλειαν ποὺ φέρει ἡ καύχησις.

«Χάρις εἰς αὐτὸν σεῖς εἴσθε ἑνωμένοι μὲ τὸν Ἰησοῦ Χριστόν, ὁ ὁποῖος ἔγινεν εἰς ἐμᾶς σοφία ἀπὸ τὸν Θεὸν καὶ δικαίωσις καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις»[5]. Τὸ «ἐξ αὐτοῦ» νομίζω ὅτι τὸ λέγει ἐδῶ ὄχι διὰ τὴν γέννησιν, ἀλλὰ διὰ τὴν πίστιν· δηλαδὴ ἐγίναμεν τέκνα Θεοῦ ὄχι χάρις εἰς αἵματα οὔτε χάρις εἰς θέλησιν σαρκός. Μὴ νομίσητε λοιπὸν ὅτι σᾶς ἀφήρεσε τὸ καύχημα καὶ σᾶς ἄφησεν ἔτσι· διότι σᾶς ἔδωκε μεγαλύτερον καύχημα. Εἴσασθε δηλαδὴ παιδιὰ ἐκείνου, ἐνώπιον τοῦ ὁποίου δὲν πρέπει νὰ καυχᾶσθε, καὶ ἐγίνατε τοῦτο διὰ τοῦ

ἐπειδὴ εἶπε, «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο καὶ τὰ ἀγενῆ», δείκνυσιν ὅτι πάντων εἰσὶν εὐγενέστεροι τὸν Θεὸν ἔχοντες Πατέρα. Τῆς δὲ εὐγενείας ταύτης οὐχ ὁ δεῖνα καὶ ὁ δεῖνα ἀλλ' ὁ Χριστὸς ὑμῖν ἐστιν αἴτιος σοφοὺς ὑμᾶς ποιήσας καὶ δικαίους καὶ ἁγίους· τοῦτο γάρ ἐστιν, «Ἐγενήθη ἡμῖν σοφία».

3. Τίς οὖν ἡμῶν σοφώτερος τῶν οὐ τὴν Πλάτωνος ἐχόντων σοφίαν, ἀλλ' αὐτὸν τὸν Χριστόν, τοῦτο τοῦ Θεοῦ βουληθέντος; Τί δέ ἐστιν, «ἀπὸ Θεοῦ»; Ὅταν μεγάλα εἴπῃ περὶ τοῦ μονογενοῦς, τότε προσάπτει τὸν Πατέρα, ἵνα μὴ νομίσῃ τις ἀγέννητον εἶναι τὸν Υἱόν. Ἐπειδὴ οὖν εἶπεν ὅτι τοσαῦτα ἴσχυσε καὶ τὸ πᾶν ἀνέθηκε τῷ Υἱῷ σοφίαν αὐτὸν λέγων ἡμῖν γεγενῆσθαι καὶ δικαιοσύνην καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν, διὰ τοῦ Υἱοῦ πάλιν τὸ πᾶν ἀνατιθεὶς τῷ Πατρὶ εἶπεν, «ἀπὸ Θεοῦ».

Διὰ τί δὲ μὴ εἶπεν, ἐσόφισεν ἡμᾶς, ἀλλ' «ἐγενήθη ἡμῖν σοφία»; Τὸ δαψιλὲς ἐνδεικνύμενος τῆς δωρεᾶς· ὡς ἂν εἰ ἔλεγεν, ἑαυτὸν ἡμῖν ἔδωκε. Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. Πρότερον γὰρ ἡμᾶς σοφοὺς ἐποίησεν ἀπαλλάξας τῆς πλάνης, καὶ τότε δικαίους καὶ ἁγίους τὸ πνεῦμα χαρισάμενος, καὶ οὕτως ἀπήλλαξεν ἡμᾶς ἁπάντων τῶν κακῶν, ὥστε αὐτοῦ εἶναι. Καὶ οὐ τῆς οὐσιώσεως τοῦτο δηλωτικόν, ἀλλὰ τῆς πίστεως. Ἀλλαχοῦ μὲν οὖν φησιν ὅτι ἡμεῖς ἐγενόμεθα δικαιοσύνη ἐν αὐτῷ οὕτω λέγων· «Τὸν μὴ γνόντα ἁμαρτίαν, ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ»· νῦν δὲ αὐτόν φησι δικαιοσύνην ἡμῖν γεγενῆσθαι, ὥστε ἔξεστι τῷ βουλομένῳ μετέχειν δαψιλῶς. Οὐ γὰρ ὁ δεῖνα σοφοὺς ἐποίησε καὶ ὁ δεῖνα ἀλλ' ὁ Χριστός.

Ὁ τοίνυν καυχώμενος ἐν αὐτῷ καυχάσθω, μὴ ἐν τῷ δεῖνι καὶ τῷ δεῖνι· παρὰ τοῦ Χριστοῦ γέγονεν ἅπαντα. Διὸ εἰπών, «ὃς ἐγενήθη ἡμῖν σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις», ἐπήγαγεν· «Ἵνα, καθὼς γέγραπται, Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω». Διὰ τοῦτο καὶ σφοδρῶς

---

6. Β' Κορ. 5,21.
7. Α' Κορ. 1,31.

Χριστοῦ. Καὶ ἐπειδὴ εἶπε, «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο καὶ τὰ ἀγενῆ», ἀποδεικνύει ὅτι ἔχουν τὴν εὐγενεστέραν καταγωγήν, διότι ἔχουν Πατέρα τὸν Θεόν. Καὶ αὐτῆς τῆς εὐγενικῆς καταγωγῆς αἴτιος δὲν εἶναι ὁ τάδε καὶ ὁ τάδε, ἀλλὰ σᾶς εἶναι ὁ Χριστὸς ποὺ σᾶς ἔκανε σοφοὺς καὶ δικαίους καὶ ἁγίους· διότι τοῦτο σημαίνει τὸ «Ἔγινεν εἰς ἐμᾶς σοφία».

3. Ποῖος λοιπὸν εἶναι σοφώτερος ἀπὸ ἐμᾶς ποὺ δὲν ἔχομεν τὴν σοφίαν τοῦ Πλάτωνος, ἀλλὰ τὸν ἴδιον τὸν Χριστόν, καὶ τοῦτο μὲ τὴν θέλησιν τοῦ Θεοῦ; Καί τί σημαίνει «ἀπὸ τὸν Θεόν»; Ὅταν ἀναφέρῃ σημαντικοὺς λόγους διὰ τὸν μονογενῆ Υἱόν, τότε ἀναφέρει τὸν Πατέρα, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ὁ Υἱὸς εἶναι ἀγέννητος. Ἐπειδὴ λοιπὸν εἶπεν ὅτι ἔχει τόσην μεγάλην δύναμιν καὶ ἀπέδωσε τὸ πᾶν εἰς τὸν Υἱόν, λέγων ὅτι εἶναι διὰ μᾶς σοφία καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις διὰ τοῦ Υἱοῦ πάλιν ἀπέδωσε τὸ πᾶν εἰς τὸν Πατέρα εἰπὼν «ἀπὸ τὸν Θεόν».

Καὶ διατί δὲν εἶπε, Μᾶς ἔκανε σοφούς, ἀλλὰ «Ἔγινεν εἰς ἐμᾶς σοφία»; Ἐπειδὴ ἤθελε νὰ δείξῃ τὴν ἀφθονίαν τῆς δωρεᾶς, ὡς νὰ ἔλεγεν· Ἔδωσε τὸν ἑαυτόν του εἰς ἐμᾶς. Καὶ κοίταξε πῶς προχωρεῖ. Πρωτίστως δηλαδή, ἀφοῦ μᾶς ἀπήλλαξεν ἀπὸ τὴν πλάνην, μᾶς ἔκανε σοφούς, καὶ ἔπειτα, ἀφοῦ μᾶς ἐχάρισε τὸ ἅγιον Πνεῦμα, μᾶς ἔκανε δικαίους καὶ ἁγίους, καὶ ἔτσι μᾶς ἀπήλλαξεν ἀπὸ ὅλα τὰ κακά, ὥστε νὰ εἴμεθα ἰδικοί του· καὶ τοῦτο δὲν τονίζει τὸ γεγονὸς τῆς γεννήσεως, ἀλλὰ τῆς πίστεως. Ἀλλοῦ μὲν ἀναφέρει ὅτι ἐμεῖς ἐγίναμεν δικαιοσύνη δι' αὐτοῦ, λέγων τὰ ἑξῆς· «Πρὸς χάριν μας ἔκαμεν ἁμαρτίαν ἐκεῖνον ὁ ὁποῖος δὲν ἐγνώρισεν ἁμαρτίαν, διὰ νὰ γίνωμεν ἐμεῖς δι' αὐτοῦ δικαιοσύνη Θεοῦ»[6]. Τώρα δὲ λέγει ὅτι αὐτὸς ἔχει γίνει δικαιοσύνη δι' ἡμᾶς, ὥστε ὅποιος θέλει νὰ ἠμπορῇ νὰ ἔχῃ αὐτὴν μὲ ἀφθονίαν· σοφοὺς δηλαδὴ δὲν ἔκανεν ὁ τάδε καὶ ὁ τάδε, ἀλλ' ὁ Χριστός.

Ὅποιος λοιπὸν καυχᾶται, νὰ καυχᾶται δι' αὐτόν, ὄχι διὰ τὸν τάδε καὶ τὸν τάδε· ὅλα ἀνεξαιρέτως ἔχουν γίνει ἀπὸ τὸν Χριστόν. Διὰ τοῦτο, ἀφοῦ εἶπεν, «ὁ ὁποῖος ἔγινεν εἰς ἐμᾶς σοφία καὶ δικαίωσις καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις», προσέθεσεν· «ὥστε, καθὼς εἶναι γραμμένον, ἐκεῖνος ποὺ καυχᾶται, νὰ καυχᾶται διὰ τὸν Κύριον»[7]. Διὰ τοῦτο καὶ κατεφέρθη μὲ σφοδρότητα κατὰ τῆς σοφίας τῶν Ἑλλήνων, διὰ νὰ πείσῃ τοὺς ἀνθρώπους εἰς αὐτὸ ἀκρι-

κατηνέχθη κατὰ τῆς τῶν Ἑλλήνων σοφίας, ἵνα τοῦτο αὐτὸ πείσῃ τοὺς ἀνθρώπους, ὥσπερ οὖν καὶ ἔστι δίκαιον, ἐν Θεῷ καυχᾶσθαι. Ὅταν γὰρ παρ' ἑαυτῶν τὰ ὑπὲρ ἑαυτοὺς ζητῶμεν, οὐδὲν μωρότερον, οὐδὲν ἀσθενέστερον ἡμῶν γίνεται. Γλῶτταν μὲν γὰρ ἔχειν ἠκονημένην δυνατόν, δόγματα δὲ ἰσχυρὰ ἀμήχανον· ἀλλὰ τοῖς τῶν ἀραχνίων ὑφάσμασιν ἐοίκασιν οἱ λογισμοὶ καθ' ἑαυτοὺς ὄντες. Εἰς τοῦτο γάρ τινες ἤλασαν μανίας, ὡς μηδὲν ἀληθὲς εἶναι λέγειν τῶν ὄντων ἀλλὰ πάντα ἐναντία διϊσχυρίζεσθαι τῶν φαινομένων.

Μηδὲν τοίνυν εἴπῃς σαυτοῦ, ἀλλ' ἐν πᾶσιν ἐν Θεῷ καυχῶ· μηδενὶ ἀνθρώπῳ τί ποτε λογίσῃ. Εἰ γὰρ Παύλῳ οὐδὲν χρὴ λογίζεσθαι, πολλῷ μᾶλλον ἑτέροις. «Ἐγὼ» γάρ, φησίν, «ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν». Ὁ μαθὼν ἐν Κυρίῳ καυχᾶσθαι, οὐδέποτε ἐπαρθήσεται, ἀλλ' ἀεὶ καὶ μετριάσει καὶ ἐν πᾶσιν ἔσται εὐχάριστος. Ἀλλ' οὐ τὰ τῶν Ἑλλήνων τοιαῦτα, ἀλλὰ πάντα ἑαυτοῖς ἀνατιθέασι. Διὸ καὶ ἀπὸ ἀνθρώπων ποιοῦσι θεούς· οὕτως αὐτοὺς ἡ ἀπόνοια ἐξετραχήλισεν.

Ὥρα δὴ λοιπὸν πρὸς τὴν τούτων ἐξελθεῖν μάχην. Ποῦ τοίνυν κατελίπομεν τῇ προτέρᾳ τὸν λόγον; Ἐλέγομεν ὅτι οὐκ ἦν δυνατὸν κατὰ ἀνθρωπίνην ἀκολουθίαν περιγενέσθαι τῶν φιλοσόφων τοὺς ἁλιέας· ἀλλ' ὅμως γέγονε δυνατόν· ὅθεν δῆλον ὅτι χάριτι γέγονεν. Ἐλέγομεν ὅτι οὐκ ἦν δυνατὸν οὐδὲ ἐννοῆσαι αὐτοὺς τοσαῦτα κατορθώματα· καὶ ἐδείξαμεν ὅτι οὐ μόνον ἐνενόησαν, ἀλλὰ καὶ εἰς τέλος ἤγαγον μετὰ πολλῆς τῆς εὐκολίας. Τὸ αὐτὸ δὴ καὶ σήμερον γυμνάσωμεν τοῦ λόγου τὸ κεφάλαιον, πόθεν αὐτοῖς ἐπῆλθε προσδοκῆσαι τῆς οἰκουμένης περιγενέσθαι, εἰ μὴ εἶδον τὸν Χριστὸν ἀναστάντα.

Μὴ γὰρ ἐξεστήκεσαν, ὥστε τοιοῦτόν τι λογίσασθαι ἁπλῶς καὶ εἰκῇ; Καὶ γὰρ ὑπερβάλλει πᾶσαν μανίαν τὸ προσδοκῆσαι ἄνευ θείας χάριτος τοσούτου περιγενέσθαι πράγματος. Πῶς αὐτὸ κατώρθωσαν μαινόμενοι καὶ ἐξεστηκότες; Εἰ δὲ ἐσωφρόνουν, ὥσπερ οὖν καὶ τὰ πράγματα

---

8. αὐτ. 3,6.

θῶς, πρᾶγμα ποὺ εἶναι βεβαίως καὶ δίκαιον, νὰ καυχῶνται δηλαδὴ ἐν τῷ Θεῷ· διότι, ὅταν ζητῶμεν ἀπὸ τοὺς ἑαυτούς μας πράγματα ποὺ ὑπερβαίνουν τοὺς ἑαυτούς μας, τίποτε δὲν εἶναι περισσότερον μωρὸν καὶ ἀδύνατον ἀπὸ ἐμᾶς· διότι εἶναι μὲν δυνατὸν νὰ ἔχωμεν ἐξησκημένην γλῶσσαν, εἶναι ὅμως ἀκατόρθωτον νὰ ἔχωμεν ἰσχυρὸν νοῦν· ἀλλὰ οἱ λογισμοὶ τοῦ ἀνθρώπου, αὐτοὶ καθ' ἑαυτούς, ὁμοιάζουν μὲ ἀραχνοΰφαντα ὑφάσματα· ἔφθασαν δηλαδὴ μερικοὶ εἰς τέτοιο σημεῖον παραφροσύνης, ὥστε νὰ λέγουν ὅτι τίποτε ἀπὸ τὰ ὄντα δὲν εἶναι ἀληθές, καὶ νὰ ἰσχυρίζωνται μὲ ἐπιμονὴν ὅτι ὅλα εἶναι ἀντίθετα ἀπὸ ὅ,τι φαίνονται.

Μὴ εἴπῃς λοιπὸν ὅτι εἶναι κάτι ἰδικόν σου, ἀλλὰ διὰ ὅλα νὰ καυχᾶσαι ἐν τῷ Θεῷ· ποτὲ νὰ μὴ ἀποδώσῃς κάτι εἰς κάποιον ἄνθρωπον· διότι, ἐὰν δὲν πρέπει νὰ ἀποδώσῃς κάτι εἰς τὸν Παῦλον, πολὺ περισσότερον δὲν πρέπει νὰ ἀποδώσῃς κάτι εἰς ἄλλους· διότι λέγει: «Ἐγὼ ἐφύτευσα, ὁ Ἀπολλὼς ἐπότισεν, ὁ ἀλλ' ὁ Θεὸς ηὔξησεν»[8]. Ὅποιος ἔμαθε νὰ καυχᾶται ἐν Κυρίῳ, οὐδέποτε θὰ ὑπερηφανευθῇ, ἀλλὰ πάντοτε θὰ εἶναι καὶ μετριόφρων καὶ εὐγνώμων δι' ὅλα. Οἱ Ἕλληνες ὅμως δὲν εἶναι τέτοιοι, ἀλλ' ἀποδίδουν τὰ πάντα εἰς τοὺς ἑαυτούς των· διὰ τοῦτο καὶ ἀπὸ ἀνθρώπους κάνουν θεούς· τόσον πολὺ ἐπερίσσευσεν ἡ μωρία των.

Εἶναι λοιπὸν καιρὸς νὰ ἐξέλθωμεν εἰς μάχην ἐναντίον αὐτῶν. Ἀλλὰ ποῦ ἀφήσαμεν τὸν λόγον τὴν προηγουμένην ἡμέραν; Ἐλέγομεν ὅτι δὲν ἦτο δυνατὸν κατὰ τὴν ἀνθρωπίνην λογικὴν οἱ ἁλιεῖς νὰ ὑπερισχύσουν τῶν φιλοσόφων, ἀλλ' ὅμως ἔγινε δυνατόν· καὶ ἔτσι εἶναι φανερόν ὅτι ἔγινε μὲ τὴν χάριν τοῦ Θεοῦ. Ἐλέγομεν ὅτι δὲν ἦτο δυνατὸν οὔτε νὰ σκεφθοῦν τόσον μεγάλα κατορθώματα· καὶ ἐδείξαμεν ὅτι ὄχι μόνον τὰ ἐσκέφθησαν, ἀλλὰ καὶ εἰς πέρας τὰ ἔφεραν μὲ πολλὴν εὐκολίαν. Ἂς ἐξετάσωμεν λοιπὸν καὶ σήμερον μὲ τὸν λόγον μας τὸ ἴδιον θέμα, πῶς δηλαδὴ ἦλθεν εἰς τὸν νοῦν των νὰ ἐλπίσουν ὅτι θὰ ὑπερισχύσουν τῆς οἰκουμένης, ἐὰν δὲν ἔβλεπον τὸν Χριστὸν ἀναστημένον.

Μήπως λοιπὸν εἶχον παραφρονήσει, ὥστε νὰ σκέπτωνται κάτι τέτοιο ἀπὸ ἀφέλειαν καὶ ἀπερισκεψίαν; Διότι βεβαίως ὑπερβαίνει πᾶσαν ἔννοιαν παραφροσύνης τὸ νὰ περιμένῃ κανεὶς χωρὶς τὴν θείαν χάριν νὰ ἐπιτύχῃ τόσον μέγα ἔργον. Πῶς κατώρθωσαν

ἔδειξε, πῶς ἄνευ τοῦ λαβεῖν ἐνέχυρα ἀξιόπιστα ἐκ τῶν οὐρανῶν καὶ τῆς ἄνωθεν ἀπολαῦσαι ῥοπῆς ὑπέμενον πρὸς τοσούτους ἐξελθεῖν πολέμους καὶ γῆς καὶ θαλάττης κατατολμῆσαι καὶ πρὸς μεταβολὴν τῶν τῆς οἰκουμένης ἁπάσης ἐθῶν τῶν ἐν χρόνῳ τοσούτῳ παγέντων ἄνθρωποι δώδεκα ἀποδύσασθαι καὶ στῆναι γενναίως οὕτως; Καὶ τὸ δὴ μεῖζον, πρὸς τὸν οὐρανὸν καλοῦντες καὶ τὰς ἄνω διατριβὰς πόθεν προσεδόκων πείθειν τοὺς ἀκούοντας; Καὶ εἰ μὲν ἦσαν ἐν δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ παιδεύσει τραφέντες, μάλιστα μὲν οὐδὲ οὕτω πρὸς τοσοῦτον ὄγκον πραγμάτων εἰκὸς ἦν αὐτοὺς ἐπαρθῆναι· πλὴν ἀλλὰ μᾶλλόν τινα λόγον εἶχεν ἡ προσδοκία· νῦν δὲ οἱ μὲν πρὸς λίμνας, οἱ δὲ περὶ δέρματα ἠσχόληντο, οἱ δὲ περὶ τελωνίαν.

Οὐδὲν τούτων τῶν ἐπιτηδευμάτων ἀχρηστότερον πρὸς φιλοσοφίαν καὶ πρὸς τὸ πεῖσαι μεγάλα φαντάζεσθαι, καὶ μάλιστα ὅταν μὴ παράδειγμά τις ἔχῃ. Μᾶλλον δὲ οὐ μόνον παραδείγματα οὐκ εἶχον, ὅτι περιέσονται, ἀλλ' ὅτι καὶ οὐ περιέσονται, καὶ ταῦτα ἔναυλα. Πολλοὶ γὰρ ἐπιχειρήσαντες καινοτομίαις ἐσβέσθησαν, οὐχὶ τοῖς παρ' Ἕλλησι λέγω — ἐκεῖνα γὰρ οὐδὲ ἦσαν — ἀλλὰ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις ἐν αὐτῷ τῷ καιρῷ, οὐχὶ μετὰ δώδεκα ἀνθρώπων, ἀλλὰ μετὰ πλήθους πολλοῦ τοῖς πράγμασιν ἐπιτιθέμενοι. Καὶ γὰρ Θευδᾶς καὶ Ἰούδας (Ἰουδαῖος) συστήματα ἔχοντες μεγάλα ἀνθρώπων μετὰ τῶν μαθητῶν ἀπώλοντο· καὶ ὁ παρ' ἐκείνων φόβος ἱκανός ἦν τούτους παιδεῦσαι, εἰ μὴ σφόδρα ἦσαν πεπεισμένοι ὅτι ἄνευ θείας δυνάμεως ἀμήχανον περιγενέσθαι. Εἰ δὲ καὶ προσεδόκων κρατῆσαι, ποίαις ἐλπίσι τοσούτους ἀνεδέχοντο κινδύνους, εἰ μὴ πρὸς τὰ μέλλοντα ἑώρων; Θῶμεν δὲ ὅτι καὶ ἤλπιζον κρατῆσαι· τί προσεδόκων κερδαίνειν ἐκ τοῦ προσάγειν ἅπαντας τῷ μὴ ἀναστάντι, καθὼς φατε;

4. Εἰ γὰρ νῦν πιστεύσαντες ἄνθρωποι περὶ βασιλείας οὐρανῶν καὶ μυρίων ἀγαθῶν δυσκόλως καταδέχονται κινδύ-

---

9. Θευδᾶς καὶ Ἰούδας: Ἐπιφανεῖς Ἰουδαῖοι, οἱ ὁποῖοι μὲ ὀπαδούς των ἐπανεστάτησαν κατὰ τῶν Σελευκιδῶν βασιλέων τῆς Συρίας καὶ Παλαιστίνης (2ος π.Χ.) πρβλ. Πράξ. 5,36. Ἰδιαιτέρως σημαντικὴ ἦτο ἡ προσπάθεια τοῦ Ἰούδα τοῦ Μακκαβαίου, θεμελιωτοῦ τῆς ἀρχιερατικῆς δυναστείας τῶν Μακκαβαίων (βλ. Α' Μακκ. 3,1 ἑ.).

αὐτὸ μανιακοὶ καὶ παράφρονες; Ἐὰν δὲ ἦσαν νουνεχεῖς, πρᾶγμα τὸ ὁποῖον τὸ ἔδειξαν καὶ τὰ πράγματα, πῶς χωρὶς νὰ λάβουν ἀξιόπιστον ἐγγύησιν ἀπὸ τοὺς οὐρανοὺς καὶ χωρὶς νὰ ἔχουν τὴν ἄνωθεν βοήθειαν ἀπεφάσισαν νὰ ἀναλάβουν τόσον μεγάλους πολέμους, νὰ ριψοκινδυνεύσουν εἰς γῆν καὶ θάλασσαν, δώδεκα αὐτοὶ ἄνθρωποι νὰ ἐπιχειρήσουν νὰ μεταβάλουν ὅλης τῆς οἰκουμένης συνηθείας σταθερὰς ἐπὶ τόσον πολὺν χρόνον καὶ νὰ δείξουν τόσην γενναιότητα; Καὶ τὸ σπουδαιότερον, ἐνῷ ἐκάλουν πρὸς τὸν οὐρανὸν καὶ τὴν οὐράνιον ζωήν, πῶς ἤλπιζον νὰ πείθουν τοὺς ἀκροατάς των; Καὶ ἂν ἀκόμη εἶχον δόξαν καὶ πλοῦτον καὶ δύναμιν κοσμικὴν καὶ μόρφωσιν, οὔτε καὶ τότε ἀκόμη ἦτο λογικὸν νὰ ἀναλάβουν αὐτοὶ ἀγῶνα πρὸς τόσον μέγαν ὄγκον πραγμάτων· ἀλλ' ὅμως μᾶλλον κάποιον λόγον θὰ εἶχεν ἡ προσδοκία των· αὐτοὶ ὅμως ἄλλοι μὲν ἠσχολοῦντο μὲ λίμνας, ἄλλοι δὲ μὲ δέρματα, ἄλλοι μὲ τελωνεῖον.

Κανένα δὲν εἶναι περισσότερον ἄχρηστον ἀπὸ αὐτὰ τὰ ἐπαγγέλματα διὰ τὴν φιλοσοφίαν καὶ διὰ νὰ πείσῃ κανεὶς κάποιον νὰ ἔχῃ μεγάλους ὁραματισμούς, καὶ μάλιστα, ὅταν δὲν ἔχῃ κανεὶς προηγούμενον παράδειγμα. Μᾶλλον δὲ ὄχι μόνον δὲν εἶχον παραδείγματα ὅτι οὔτε κἂν θὰ ἐπιβιώσουν, καὶ μάλιστα παραδείγματα σαφῆ. Πολλοὶ δηλαδὴ ποὺ ἐπεχείρησαν καινοτομίας ἐξηφανίσθησαν, δὲν ἐννοῶ εἰς τοὺς Ἕλληνας —διότι οὔτε κἂν ὑπῆρχαν τέτοιαι προσπάθειαι τότε— ἀλλὰ εἰς τοὺς ἰδίους τοὺς Ἰουδαίους τὴν ἐποχὴν αὐτήν, παρ' ὅλον ὅτι εἶχον ἀναλάβει ἀγῶνα κατὰ τῆς ἐξουσίας ὄχι μὲ δώδεκα ἀνθρώπους, ἀλλὰ μὲ πλῆθος πολύ. Καὶ μάλιστα ὁ Θευδᾶς καὶ ὁ Ἰούδας, ἂν καὶ εἶχον μεγάλα πλήθη ὀπαδῶν, ἐχάθησαν μαζὶ μὲ τοὺς μαθητάς των[9]· καὶ ὁ φόβος ἀπὸ τὴν ἀποτυχίαν ἐκείνων θὰ ἦτο ἱκανὸς νὰ τοὺς σωφρονίσῃ, ἐὰν δὲν ἦσαν πλήρως πεπεισμένοι ὅτι ἄνευ θείας δυνάμεως ἦτο ἀδύνατον νὰ ὑπερισχύσουν. Καὶ ἂν ἀκόμη ἤλπιζον ὅτι θὰ νικήσουν, μὲ ποίας ἐλπίδας ἀνελάμβανον τόσον μεγάλους κινδύνους, ἐὰν δὲν ἀπέβλεπον πρὸς τὰ μελλοντικά; Ἂς δεχθῶμεν ὅμως ὅτι καὶ ἤλπιζον ὅτι θὰ ἐπικρατήσουν· τί ἀνέμενον ὅτι θὰ κερδίσουν μὲ τὸ νὰ φέρουν ὅλους εἰς αὐτὸν πού, καθὼς λέγετε, δὲν ἀνεστήθη;

4. Διότι, ἐὰν τώρα ἄνθρωποι ποὺ ἐπίστευσαν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ εἰς τὰ ἄπειρα ἀγαθὰ μὲ δυσκολίαν δέ-

νους, πῶς ἂν ἐκεῖνοι μάτην τοσαῦτα ἂν ὑπέμειναν, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ; Εἰ γὰρ μὴ ἐγένετο τὰ γεγενημένα μηδὲ εἰς τὸν οὐρανὸν ὁ Χριστὸς ἀνέβη, ὅτι ταῦτα πλάττειν φιλονεικοῦντες καὶ τοὺς ἄλλους πείθειν καὶ τῷ Θεῷ προσκρούειν ἔμελλον καὶ μυρίους ἄνωθεν προσδοκᾶν κεραυνούς. Ἄλλως δέ, εἰ και ζῶντος τοῦ Χριστοῦ ταύτην εἶχον τὴν προθυμίαν, τελευτήσαντος ἂν ἔσβεσαν αὐτήν· ἔδοξε γὰρ ἂν αὐτοῖς, εἰ μὴ ἀνέστη, ἀπατεὼν εἶναί τις καὶ εἴρων. Οὐκ ἴστε ὅτι τὰ στρατόπεδα τοῦ μὲν στρατηγοῦ καὶ βασιλέως ζῶντος, κἂν ἀσθενῆ ᾖ, συγκροτεῖται· ἀπελθόντων δὲ ἐκείνων, κἂν ἰσχυρὰ ᾖ, διαλύεται;

Ποίοις οὖν, εἰπέ μοι, λόγοις ἐκέχρηντο πιθανοῖς μέλλοντες ἅπτεσθαι τοῦ κηρύγματος καὶ πρὸς τὴν οἰκουμένην ἐξιέναι ἅπασαν; ποίοις δὲ κωλύμασιν οὐκ ἂν κατεσχέθησαν; Εἰ γὰρ μαινόμενοι ἦσαν —τὸ γὰρ αὐτὸ λέγων οὐ παύσομαι— οὐδὲν ὅλως κατορθῶσαι ἔδει· οὐδεὶς γὰρ μαινομένοις πείθεται· εἰ δὲ κατώρθωσαν, ὥσπερ οὖν κατώρθωσαν, καὶ δείκνυσι τὸ τέλος ὅτι πάντων ἦσαν σοφώτεροι. Εἰ δὲ πάντων ἦσαν σοφώτεροι, εὔδηλον ὅτι οὐκ ἂν ἁπλῶς ἦλθον ἐπὶ τὸ κήρυγμα. Εἰ γὰρ μὴ εἶδον αὐτὸν ἀναστάντα, τί ἦν ἱκανὸν αὐτοὺς ἐξαγαγεῖν ἐπὶ τὸν πόλεμον τοῦτον; τί δὲ οὐκ ἂν αὐτοὺς ἀπέτρεψεν; Εἶπεν αὐτοῖς ὅτι, μετὰ τρεῖς ἡμέρας ἀναστήσομαι, καὶ περὶ βασιλείας οὐρανῶν ἐπηγγείλατο· εἶπεν ὅτι κρατήσουσι τῆς οἰκουμένης Πνεῦμα λαβόντες ἅγιον· καὶ μυρία πρὸς τούτοις ἕτερα πᾶσαν ὑπερβαίνοντα φύσιν.

Ὥστε, εἰ μηδὲν τούτων γέγονεν, εἰ καὶ ζῶντι ἐπείθοντο, τελευτήσαντος οὐκ ἂν ἐπείσθησαν, εἰ μὴ εἶδον ἀναστάντα. Εἶπον γὰρ ἄν· μετὰ τρεῖς ἡμέρας ἔλεγεν ἀναστήσομαι, καὶ οὐκ ἀνέστη· Πνεῦμα ὑπέσχετο δώσειν, καὶ οὐκ ἔπεμψε· πῶς οὖν ὑπὲρ τῶν μελλόντων αὐτῷ πιστεύσομεν τῶν παρυττον ὅτι ἀνέστη; "Ἐπειδὴ ἐφίλουν αὐτόν", φησί. Καὶ

χονται τοὺς κινδύνους, πῶς θὰ ὑπέμεναν ἐκεῖνοι ματαίως τόσα πολλά, καὶ μάλιστα πρὸς καταστροφήν των; Ἐὰν δηλαδὴ δὲν ἔγιναν ὅσα ἔχουν γίνει καὶ δὲν ἀνέβαινεν εἰς τὸν οὐρανὸν ὁ Χριστός, εἶναι φανερὸν ὅτι, προσπαθοῦντες νὰ ἐπινοήσουν αὐτὰ καὶ νὰ πείθουν τοὺς ἄλλους, ἦτο ἑπόμενον καὶ μὲ τὸν Θεὸν νὰ ἔλθουν εἰς σύγκρουσιν καὶ νὰ ἀναμένουν μυρίους κεραυνοὺς ἀπὸ τὸν οὐρανόν. Ἄλλωστε, καὶ ἂν ἀκόμη εἶχον τὴν προθυμίαν αὐτήν, ἐνῷ ἔζη ὁ Χριστός, θὰ τὴν ἔσβηναν μὲ τὸν θάνατόν του, διότι, ἐὰν δὲν ἀνέστη, θὰ ἐφαίνετο εἰς αὐτοὺς ὅτι ἦτο κάποιος ἀπατεὼν καὶ εἴρων. Δὲν γνωρίζετε ὅτι τὰ στρατεύματα, ὅταν ὁ στρατηγὸς καὶ ὁ βασιλεὺς ζῇ, εἶναι συνηνωμένα, ἀκόμη καί ἂν εἶναι ἀδύνατα, ὅταν ὅμως ἐκεῖνοι ἀποθάνουν, διαλύονται, καὶ ἂν ἀκόμη εἶναι ἰσχυρά;

Εἰπέ μου λοιπόν, ποίους πιθανοὺς λόγους ἐχρησιμοποίησαν, ὅταν ἐπρόκειτο νὰ ἀρχίσουν τὸ κήρυγμα καὶ νὰ πορευθοῦν πρὸς τὴν οἰκουμένην ὅλην; Καὶ παῖα ἦσαν τὰ ἐμπόδια ποὺ δὲν τοὺς συνεκράτησαν; Ἐὰν δηλαδὴ ἦσαν παράφρονες — διότι δὲν θὰ παύσω νὰ λέγω τὸ ἴδιον — γενικῶς δὲν ἔπρεπε τίποτε νὰ κατορθώσουν, διότι κανεὶς δὲν πείθεται εἰς τοὺς παράφρονας· ἐὰν ὅμως κατώρθωσαν, ὅπως καὶ κατώρθωσαν, καὶ τὸ τέλος ἀποδεικνύει ὅτι ἦσαν σοφώτεροι ὅλων. Ἐὰν δὲ ἦσαν σοφώτεροι ὅλων, εἶναι φανερὸν ὅτι δὲν θὰ ἤρχιζον χωρὶς λόγον τὸ κήρυγμα. Ἐὰν δηλαδὴ δὲν εἶδον αὐτὸν ἀναστημένον, τί ἦτο ἱκανὸν νὰ τοὺς ἐξωθήσῃ εἰς τὸν πόλεμον αὐτόν; Εἶπεν εἰς αὐτούς, ὅτι «μετὰ ἀπὸ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ», καὶ τοὺς ἔδωσεν ὑποσχέσεις περὶ βασιλείας τῶν οὐρανῶν· εἶπεν ὅτι θὰ κυριαρχήσουν εἰς τὴν οἰκουμένην, ἀφοῦ ἔλαβον Πνεῦμα ἅγιον· εἶπεν ἐπὶ πλέον καὶ μύρια ἄλλα ποὺ ὑπερβαίνουν κάθε λογικήν.

Ὥστε, ἐὰν τίποτε δὲν εἶχε γίνει ἀπὸ αὐτά, καὶ ἂν ἀκόμη ἐπείθοντο, ὅταν ἦτο εἰς τὴν ζωήν, ἀφοῦ ἀπέθανεν, δὲν θὰ ἐπείθοντο, ἐὰν δὲν τὸν εἶχον ἴδει ἀναστημένον· διότι θὰ ἔλεγον· Ἔλεγεν, μετὰ τρεῖς ἡμέρας θὰ ἀναστηθῶ, καὶ ὅμως δὲν ἀνεστήθη· ὑπεσχέθη ὅτι θὰ μᾶς δώσῃ Πνεῦμα καὶ ὅμως δὲν τὸ ἔστειλε· πῶς λοιπὸν θὰ πιστεύσωμεν εἰς αὐτὸν διὰ τὰ μέλλοντα, τὴν στιγμὴν ποὺ τὰ παρόντα ἔχουν ἀποδειχθῇ ψευδῆ; Καὶ διὰ ποῖον λόγον, ἀφοῦ δὲν ἀνεστήθη, ἐκήρυττον ὅτι ἀνεστήθη; Ἐπειδὴ τὸν ἀγαποῦσαν,

μὴν μισεῖν λοιπὸν εἰκὸς ἦν ἀπατήσαντα καὶ προδεδωκότα, καὶ ὅτι μυρίαις αὐτοὺς ἐλπίσιν ἐπάρας καὶ οἰκίας καὶ γονέων καὶ πάντων ἀποστήσας καὶ ὁλόκληρον ἔθνος ἐκπολεμώσας αὐτοῖς τὸ Ἰουδαίων προέδωκεν ὕστερον. Καὶ εἰ μὲν ἀσθενείας ἦν τὸ γενόμενον, συνέγνωσαν ἄν· νυνὶ δὲ κακουργίας πολλῆς εἶναι ἐνομίζετο· ἔδει γὰρ τἀληθὲς εἰπεῖν καὶ μὴ τὸν οὐρανὸν ἐπαγγείλασθαι ἄνθρωπον ὄντα θνητόν, ὥς φατε.

Ὥστε τοὐναντίον εἰκὸς ἦν αὐτοὺς ποιεῖν, κηρύττειν τὴν ἀπάτην καὶ λέγειν αὐτὸν εἴρωνα καὶ γόητα· οὕτω γὰρ ἂν καὶ τῶν κινδύνων ἀπηλλάγησαν, οὕτω καὶ τὸν πόλεμον ἔλυσαν. Εἰ γὰρ τοῖς στρατιώταις ἀργύριον ἔδωκαν οἱ Ἰουδαῖοι, ἵνα εἴπωσιν ὅτι ἔκλεψαν τὸ σῶμα· εἰ παρελθόντες εἶπον οἱ μαθηταὶ ὅτι ἐκλέψαμεν καὶ οὐκ ἀνέστη, ποίας ἂν οὐκ ἀπήλαυσαν τιμῆς; Ὥστε ἐξῆν αὐτοῖς καὶ τιμᾶσθαι καὶ στεφανοῦσθαι.

Τίνος οὖν ἕνεκεν τὸ ὑβρίζεσθαι καὶ κινδυνεύειν ἀντικατηλλάξαντο τούτων, εἰ μὴ θεία τις ἦν ἡ πείθουσα αὐτοὺς δύναμις, ἡ τούτων ἁπάντων δυνατωτέρα; Εἰ δὲ μηδέπω πείθομεν, λογίζου κἀκεῖνο, ὅτι, εἰ μὴ τοῦτο ἦν, κἂν εἰ σφόδρα παρεσκευάζοντο, οὐκ ἂν ἐπ᾽ αὐτῷ τὸ κήρυγμα ἐκήρυξαν, ἀλλ᾽ ἀπεστράφησαν αὐτόν· ἴστε γὰρ ὅτι οὐδὲ τὰ ὀνόματα βουλόμεθα τῶν τὰ τοιαῦτα ἀπατώντων ἡμᾶς ἀκούειν. Τίνος δὲ ἕνεκεν καὶ ἐκήρυττον αὐτοῦ τὸ ὄνομα; προσδοκῶντες ὅτι κρατήσουσι δι᾽ αὐτοῦ; Καὶ μὴν τοὐναντίον ἐχρῆν προσδοκᾶν, ὅτι, εἰ καὶ ἔμελλον κρατήσειν, ἀπώλοντο ἀπατεῶνος ὄνομα φέροντες εἰς μέσον. Εἰ δὲ συσκιάσαι τὰ πρότερα ἐβούλοντο, ἔδει σιγῆσαι, ὡς τό γε ἐπαγωνίζεσθαι μειζόνως ἀνῆπτε καὶ τὸν πόλεμον καὶ τὸν γέλωτα.

Πόθεν οὖν ἐπῆλθεν αὐτοῖς ἀναπλάσαι τοιαῦτα; καὶ γὰρ ἅπερ ἤκουσαν, ἀπώλεσαν. Εἰ δὲ οὐκ ὄντος φόβου πολλὰ ἐπελανθάνοντο καί τινα οὐδὲ ἐνόουν, καθὼς καὶ ὁ εὐαγ-

θὰ ἔλεγε κάποιος. Καὶ ὅμως ἦτο φυσικὸν εἰς τὸ ἑξῆς νὰ τὸν μισοῦν, διότι τοὺς ἐξηπάτησε καὶ τοὺς ἐπρόδωσε καὶ διότι, ἀφοῦ τοὺς ἀνεστάτωσε μὲ μυρίας ἐλπίδας, τοὺς ἀπέσπασεν ἀπὸ οἰκίας καὶ γονεῖς καί τὰ πάντα καί, ἀφοῦ κατέστησεν ὁλόκληρον ἔθνος, τὸ ἔθνος τῶν Ἰουδαίων, ἐχθρικὸν πρὸς αὐτούς, κατόπιν τοὺς ἐπρόδωσε. Καὶ ἂν μὲν ὅ,τι ἔγινεν ἦτο ἀποτέλεσμα ἀδυναμίας, θὰ τὸν συνεχώρουν· εἰς τὴν περίπτωσιν ὅμως αὐτὴν θὰ ἐθεωρεῖτο ὅτι ἦτο ἀποτέλεσμα πολλῆς ἀπάτης, διότι ἔπρεπε νὰ τοὺς εἴπῃ τὴν ἀλήθειαν καὶ νὰ μὴ ὑποσχεθῇ τὸν οὐρανόν, ἀφοῦ ἦτο ἄνθρωπος θνητός, ὅπως λέγετε.

Ὥστε ἦτο φυσικὸν αὐτοὶ νὰ ἐνεργοῦν ἀντιθέτως, νὰ διακηρύττουν τὴν ἀπάτην καὶ νὰ ἀποκαλοῦν αὐτὸν ἀπατεῶνα καὶ μάγον, διότι ἔτσι θὰ ἀπηλλάσσοντο ἀπὸ τοὺς κινδύνους, ἔτσι θὰ ἔθετον τέρμα καὶ εἰς τὸν πόλεμον. Ἐὰν δηλαδὴ οἱ Ἰουδαῖοι εἶχον δώσει χρήματα εἰς τοὺς στρατιώτας, διὰ νὰ εἴπουν ὅτι ἔκλεψαν τὸ σῶμα καὶ ἂν οἱ μαθηταὶ ἐπαρουσιάζοντο καὶ ἔλεγον ὅτι 'τὸ ἐκλέψαμεν καὶ δὲν ἀνεστήθη', ποίαν τιμὴν δὲν θὰ ἐλάμβανον; Ὥστε τοὺς ἦτο δυνατὸν καὶ νὰ τιμηθοῦν καὶ νὰ στεφανωθοῦν.

Διὰ ποῖον λοιπὸν λόγον ἐπροτίμησαν ἀντ' αὐτῶν τὴν περιφρόνησιν καὶ τοὺς κινδύνους, ἐὰν δὲν ἦτο κάποια θεία δύναμις αὐτὴ ποὺ τοὺς ἔπειθε, ποὺ ἦτο δυνατωτέρα ἀπὸ ὅλα αὐτά; Καὶ ἂν ἀκόμη δὲν πείθωμεν, σκέψου καὶ τὸ ἑξῆς, ὅτι δηλαδή, ἐὰν δὲν ἦτο ἔτσι ἡ ἀλήθεια, καὶ ἂν ἀκόμη προητοιμάζοντο πλήρως, δὲν θὰ ἔκαμναν τὸ κήρυγμα εἰς τὸ ὄνομα αὐτοῦ, ἀλλὰ θὰ τὸν ἀπεστρέφοντο· διότι γνωρίζετε ὅτι δὲν θέλομεν νὰ ἀκούωμεν οὔτε τὰ ὀνόματα αὐτῶν ποὺ διαπράττουν τέτοιας ἀπάτας. Διὰ ποῖον ὅμως λόγον ἐπιμόνως ἐκήρυττον τὸ ὄνομα αὐτοῦ; ἐπειδὴ ἤλπιζον ὅτι θὰ ἐπικρατήσουν δι' αὐτοῦ; Ἀλλ' ὅμως ἔπρεπε νὰ ἀναμένουν τὸ ἀντίθετον, ὅτι δηλαδὴ καὶ ἂν ἀκόμη ἐπρόκειτο νὰ ἐπικρατήσουν, θὰ κατεστρέφοντο, διότι ἔφερον τὸ ὄνομα ἑνὸς ἀπατεῶνος εἰς τὸ προσκήνιον. Ἐὰν δὲ ἤθελον νὰ συσκοτίσουν τὸ παρελθόντων, ἔπρεπε νὰ σιγήσουν, διότι, ὡς γνωστόν, ὁ ἐπίμονος ἀγώντων ἤναπτε περισσότερον καὶ τὸν πόλεμον καὶ τὸν γέλωτα.

Πῶς λοιπὸν ἦλθεν εἰς τὸν νοῦν των νὰ ἀναπλάσουν τέτοια; καθ' ὅσον μάλιστα ἐλησμόνησαν ὅσα ἤκουσαν. Ἐὰν δέ, ὅταν δὲν κατείχοντο ἀπὸ φόβον, πολλὰ ἐλησμόνουν καὶ μερικὰ μάλιστα

γελιστής φησι, τοσούτου κινδύνου καταλαβόντος, πῶς οὐκ ἂν ἅπαντα αὐτῶν ἀπέπτη; Καὶ τί λέγω τὰ ῥήματα; ὅπου γε καὶ ὁ πρὸς αὐτὸν τὸν διδάσκαλον πόθος ἠρέμα κατεμαραίνετο τῷ φόβῳ τῶν ἐσομένων· ὅπερ αὐτοῖς καὶ ὠνείδισεν. Ἐπειδὴ γὰρ πρὸ τούτου μὲν ἐκκρεμάμενοι αὐτοῦ συνεχῶς ἠρώτων, ποῦ ὑπάγεις; ὕστερον δέ, ὅτε τοὺς μακροὺς ἀπέτεινε λόγους τὰ δεινὰ διηγούμενος τὰ παρ' αὐτὸν τὸν σταυρόν, τὰ μετὰ τὸν σταυρὸν καταληψόμενα αὐτούς, εἶτα τῷ δέει παγέντες ἐναπέμειναν ἀχανεῖς, ἄκουσον πῶς αὐτοῖς τοῦτο αὐτὸ προφέρει λέγων· «Οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις; ἀλλ' ὅτι λελάληκα ὑμῖν ταῦτα, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν». Εἰ τοίνυν προσδοκῶντες αὐτὸν ἀποθανεῖσθαι καὶ ἀναστήσεσθαι οὕτως ἤλγουν, ἀναστάντα αὐτὸν μὴ ἰδόντες, πῶς οὐκ ἂν ἀπώλοντο καὶ εἰς αὐτὴν ἂν ἐσπούδασαν καταδῦναι τὴν γῆν καὶ ἀθυμίᾳ τῇ τῆς ἀπάτης καὶ δέει τῶν ἐσομένων πολιορκούμενοι;

5. Πόθεν δὲ καὶ τὰ ὑψηλὰ αὐτοῖς δόγματα; τὰ γὰρ ὑψηλότερα ὕστερον εἶπεν αὐτοὺς ἀκούσεσθαι. «Πολλὰ γὰρ ἔχω λέγειν ὑμῖν», φησίν, «ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι». Ὥστε τὰ λειπόμενα ὑψηλότερα ἦν. Εἷς δὲ τῶν μαθητῶν οὐδὲ εἰς τὴν Ἰουδαίαν ἤθελε ἀπελθεῖν μετ' αὐτοῦ ἐπειδὴ κινδύνων ἤκουσεν, ἀλλ' ἔλεγεν· «Ἀπέλθωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ», βαρυνόμενος, ἐπειδὴ προσεδόκησεν ἀποθανεῖσθαι. Εἰ δὲ μετ' αὐτοῦ ὢν προσεδόκησεν ἀποθανεῖσθαι, καὶ ἀνεδύετο διὰ τοῦτο, καὶ χωρὶς αὐτοῦ καὶ τῶν λοιπῶν μαθητῶν τί οὐκ ἂν ἤλπισεν, ὅτε καὶ πολὺς ὁ ἔλεγχος ἦν τῆς ἀναισχυντίας;

Τί δὲ καὶ εἶχον εἰπεῖν ἐξιόντες; Τὸ μὲν γὰρ πάθος ἡ οἰκουμένη πᾶσα ᾔδει· καὶ γὰρ ἐφ' ὑψηλοῦ ἐκρέματο τοῦ ἰκρίου καὶ ἐν ἡμέρᾳ μέσῃ καὶ ἐν μητροπόλει καὶ ἐν ἑορτῇ μεγίστῃ καὶ ἐν ᾗ μάλιστα οὐκ ἐνῆν τινα ἀπολειφθῆναι· τὴν δὲ ἀνάστασιν οὐδεὶς εἶδε τῶν ἔξωθεν, ὅπερ οὐ μικρὸν αὐτοῖς πρὸς τὸ πείθειν ἐμπόδιον ἦν. Καὶ ὅτι μὲν ἐτάφη, πάν-

---

10. Ἰω. 16,5-6.
11. αὐτ. 12.
12. αὐτ. 11,16.

οὔτε κἂν τὰ κατενόουν, ὅπως λέγει καὶ ὁ εὐαγγελιστής, ὅταν τοὺς ἠπείλησε τόσον μέγας κίνδυνος, πῶς δὲν θὰ τοὺς ἐγκατέλειπον τὰ πάντα; Καὶ τί λέγω ὅτι θὰ τοὺς ἐγκατέλειπεν ὁ λόγος τὴν στιγμὴν ποὺ καὶ ὁ πόθος των διὰ τὸν ἴδιον τὸν διδάσκαλόν των ὀλίγον κατ' ὀλίγον κατεμαραίνετο ἀπὸ τὸν φόβον δι' ὅσα ἐπρόκειτο νὰ συμβοῦν· αὐτὸ ἀκριβῶς καὶ τὸ ἔψεξεν εἰς αὐτούς. Ἐπειδὴ δηλαδὴ πρὶν ἀπὸ αὐτὸ κρεμασμένοι ἀπὸ αὐτὸν συνεχῶς ἠρώτων «ποῦ θὰ ὑπάγῃς», κατόπιν δέ, ὅταν ὡμίλησε διὰ μακρῶν, διηγούμενος τὰ δεινὰ ποὺ θὰ τοὺς εὕρισκον κατὰ τὴν σταύρωσιν καὶ μετὰ τὴν σταύρωσιν, ἐπειδὴ ἐπάγωσαν ἀπὸ τὸν φόβον των καὶ ἀπέμειναν ἄφωνοι, ἄκουσε πῶς τοὺς λέγει αὐτὸ τὸ ἴδιο· «Κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾶ, Ποῦ πηγανεις; ἀλλ' ἡ λύπη ἔχει πλημμυρίσει τὴν καρδίαν σας, διότι σᾶς ἔχω εἴπει αὐτά»[10]. Ἀφοῦ λοιπὸν ἐθλίβοντο τόσον πολύ, ὅταν ἀνέμενον ὅτι θὰ ἀποθάνῃ καὶ θὰ ἀναστηθῇ, ἐὰν δὲν τὸν ἔβλεπον ἀναστημένον, πῶς δὲν θὰ ἐχάνοντο καὶ δὲν θὰ ἔσπευδον νὰ καταδυθοῦν εἰς τὴν γῆν γεμᾶτοι μὲ λύπην διὰ τὴν ἀπάτην καὶ φόβον διὰ τὰ μέλλοντα;

5. Καὶ ἀπὸ ποῦ εἶχον αὐτὰ τὰ ὑψηλὰ δόγματα; διότι τοὺς εἶπεν ὅτι κατόπιν θὰ ἀκούσουν τὰ ὑψηλότερα· «ἔχω δηλαδὴ νὰ σᾶς εἴπω πολλά», λέγει, «ἀλλὰ δὲν ἠμπορεῖτε ἀκόμη νὰ τὰ βαστάσετε»[11]. Ὥστε ὅσα ὑπελείποντο ἦσαν ὑψηλότερα. Ἕνας μάλιστα ἀπὸ τοὺς μαθητὰς δὲν ἤθελεν οὔτε εἰς τὴν Ἰουδαίαν νὰ ὑπάγῃ μαζί του, ὅταν ἤκουσε διὰ τοὺς κινδύνους, ἀλλὰ ἔλεγεν, «Ἂς ὑπάγωμεν καὶ ἐμεῖς, διὰ νὰ ἀποθάνωμεν μαζί του»[12], βαρύθυμος, διότι ἀνέμενεν ὅτι θὰ ἀποθάνῃ. Ἐφ' ὅσον δέ, ἐνῷ ἦτο μαζί του, ἀνέμενεν ὅτι θὰ ἀποθάνῃ καὶ διὰ τοῦτο ἐδειλίαζε, χωρὶς αὐτὸν καὶ τοὺς λοιποὺς μαθητὰς τί δὲν θὰ ἀνέμενε νὰ πάθῃ, τότε ποὺ καὶ ἡ ἀναισχυντία θὰ ἀπεκάλυπτετο πλήρως;

Καὶ τί θὰ εἶχον νὰ εἴπουν, ὅταν θὰ ἤρχιζον τὸ κήρυγμά των; Τὸ μὲν πάθος τὸ ἐγνώριζεν ὅλη ἡ οἰκουμένη, διότι ἐκρέματο εἰς ὑψηλὸν σταυρόν, εἰς τὸ μέσον τῆς ἡμέρας, εἰς πόλιν πρωτεύουσαν, κατὰ τὴν διάρκειαν πολὺ μεγάλης ἑορτῆς καὶ εἰς τὴν ὁποίαν μάλιστα δὲν ἦτο δυνατὸν νὰ ἀποθάνῃ κάποιος ἀπαρατήρητος· τὴν ἀνάστασιν ὅμως δὲν τὴν ἐγνώριζε κανεὶς ἀπὸ τοὺς ἄλλους, πρᾶγμα τὸ ὁποῖον τοὺς ἦτο ἐμπόδιον ὄχι μικρὸν εἰς τὸ νὰ

τες διεθρύλουν· καὶ ὅτι ἔκλεψαν τὸ σῶμα αὐτοῦ οἱ μαθηταί, οἱ στρατιῶται μετὰ τῶν Ἰουδαίων ἁπάντων ἔλεγον· ὅτι δὲ ἀνέστη, τῶν ἔξωθεν οὐδεὶς εἶδε.

Πόθεν οὖν προσεδόκησαν πείθειν τὴν οἰκουμένην; Εἰ γὰρ θαυμάτων γινομένων στρατιῶται ἐπείσθησαν τὰ ἐνάντια μαρτυρῆσαι, πόθεν προσεδόκων οὗτοι χωρὶς θαυμάτων κηρύττειν καὶ μηδὲ ὀβολὸν κεκτημένοι πείθειν γῆν καὶ θάλατταν περὶ τῆς ἀναστάσεως; Εἰ δὲ δόξης ἐρῶντες τοῦτο ἐποίουν, πολλῷ μᾶλλον ἂν ἕκαστος ἑαυτῷ δόγματα ἐπεφήμισεν, οὐχὶ τῷ ἀπελθόντι. Ἀλλ' οὐκ ἂν ἐπείσθησαν αὐτοῖς οἱ ἄνθρωποι; Καὶ περὶ τίνος μᾶλλον ἀκούοντες ἐπίστευον; περὶ ἐκείνου τοῦ συλληφθέντος καὶ σταυρωθέντος ἢ περὶ αὐτῶν τῶν τὰς χεῖρας ἐκφυγόντων τὰς Ἰουδαϊκάς;

Τίνος δὲ ἕνεκεν, εἰπέ μοι, μέλλοντες τοῦτο ποιεῖν, οὐκ εὐθέως τὴν Ἰουδαίαν ἀφέντες εἰς τὰς ἔξω πόλεις ἀπῆλθον, ἀλλ' ἔνδον ἐστρέφοντο; Πῶς δέ, εἰ μὴ σημεῖα ἐποίουν, ἔπειθον; Εἰ μὲν γὰρ ἐποίουν — ἐποιουν γὰρ — Θεοῦ δύναμις ἦν τὸ γινόμενον· εἰ δὲ μὴ ἐποίουν καὶ ἐκράτουν, πολὺ θαυμαστότερον ἦν τὸ συμβάν. Οὐκ ᾔδεσαν Ἰουδαίους, εἰπέ μοι, καὶ τὴν πονηρὰν αὐτῶν μελέτην καὶ τὴν φθόνων γέμουσαν ψυχήν; Καὶ γὰρ Μωϋσέα ἐλίθασαν μετὰ τὸ πέλαγος ὅπερ ἐπέζευσαν, μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον ἐκεῖνο τὸ θαυμαστόν, ὅπερ ἔστησαν ἀναιμωτὶ διὰ τῶν ἐκείνου χειρῶν κατὰ τῶν δουλωσαμένων αὐτοὺς Αἰγυπτίων, μετὰ τὸ μάννα, μετὰ τὰς πέτρας καὶ τὰς πηγὰς τῶν ποταμῶν τὰς ἐκεῖθεν ῥαγείσας, μετὰ τὰ μυρία θαύματα τὰ ἐπὶ τῆς Αἰγύπτου καὶ τῆς ἐρυθρᾶς καὶ τῆς ἐρήμου, Ἱερεμίαν εἰς λάκκον ἐνέβαλον καὶ πολλοὺς τῶν προφητῶν κατέσφαξαν.

Ἄκουσον γοῦν τί φησιν Ἠλίας μετὰ τὸν φοβερὸν λιμὸν ἐκεῖνον καὶ τὸν θαυμαστὸν ὑετὸν καὶ τὴν λαμπάδα, ἣν ἐκ τῶν οὐρανῶν κατήνεγκε, καὶ τὸ παράδοξον ὁλοκαύτωμα ὡς πορρωτάτω τῆς χώρας αὐτῶν ἐλαυνόμενος· «Κύριε,

---

13 Σημεῖον: Κάθε ἐνέργεια ἢ ὑπερφυσικὸν φαινόμενον ἐκ τῶν ὁποίων ἐξάγεται συμπέρασμα περὶ ἐκείνων τὰ ὁποῖα δὲν ὑποπίπτουν ἢ δὲν εἶναι δυνατὸν νὰ ὑποπέσουν εἰς τὴν ἀνθρωπίνην ἀντίληψιν.

πείθουν. Καὶ ὅτι ἐτάφη μὲν ὅλοι τὸ διέδιδον· καὶ ὅτι οἱ μαθηταὶ ἔκλεψαν τὸ σῶμα του τὸ ἔλεγον οἱ στρατιῶται μέ ὅλους τοὺς Ἰουδαίους· ὅτι ἀνέστη ὅμως κανεὶς ἀπὸ τοὺς ἄλλους δὲν τὸ ἐγνώριζεν.

Πῶς λοιπὸν ἀνέμενον νὰ πείθουν τὴν οἰκουμένην; Ἐφ' ὅσον δηλαδή, πάρ' ὅλον ὅτι ἔγιναν θαύματα, οἱ στρατιῶται ἐπείσθησαν νὰ μαρτυρήσουν τὰ ἀντίθετα, πῶς ἤλπιζον νὰ κηρύττουν χωρὶς θαύματα καὶ νὰ πείθουν γῆν καὶ θάλασσαν περὶ τῆς ἀναστάσεως χωρὶς νὰ ἔχουν οὔτε ἕνα ὀβολόν; Ἐὰν δὲ ἔκαμναν τοῦτο ἀπὸ πόθον διὰ δόξαν, πολὺ περισσότερον ὁ καθεὶς θὰ ἀπέδιδεν εἰς τὸν ἑαυτόν του μᾶλλον τὰ δόγματα παρὰ εἰς τὸν νεκρόν. Ἀλλὰ μήπως τότε οἱ ἄνθρωποι δὲν θὰ ἐπείθοντο εἰς αὐτούς; Καὶ περὶ τίνος ἐὰν ἤκουον, θὰ ἐπίστευον περισσότερον; Περὶ ἐκείνου τοῦ συλληφθέντος καὶ σταυρωθέντος ἢ περί αὐτῶν ποὺ διέφυγον τὴν σύλληψίν των ἀπὸ τοὺς Ἰουδαίους;

Καὶ ἐφ' ὅσον εἶχον τέτοιο σχέδιον δράσεως, εἰπέ μου, διὰ ποῖον λόγον δὲν ἐγκατέλειψαν ἀμέσως τὴν Ἰουδαίαν, διὰ νὰ ὑπάγουν εἰς τὰς ἄλλας πόλεις, ἀλλὰ ἐκινοῦντο εἰς τὸ ἐσωτερικόν; Καὶ πῶς ἔπειθον, ἐὰν δὲν ἔκαμνον ὑπερφυσικὰ σημεῖα;[13]· διότι, ἐὰν δὲν ἔκαμνον σημεῖα —καὶ πράγματι ἔκαμνον— τὸ γεγονὸς ἦτο δύναμις Θεοῦ· ἐὰν πάλιν δέν ἔκαμνον καὶ ἐπεκράτουν, τὸ γεγονὸς θὰ ἦτο πολὺ περισσότερον ἀξιοθαύμαστον. Εἰπέ μου, δὲν ἐγνώριζον τοὺς Ἰουδαίους καὶ τὰ πονηρὰ σχέδιά των καὶ τὴν γεμάτην ἀπὸ φθόνον ψυχήν των; Καθ' ὅσον μάλιστα τὸν Μωϋσέα ἐλιθοβόλησαν, ἀφοῦ ἔζευσαν τὸ πέλαγος καὶ τὸ διέβησαν, μετὰ τὴν νίκην καὶ τὸ θαυμαστὸν ἐκεῖνο τρόπαιον, τὸ ὁποῖον ἔστησαν ἀναιμάκτως μὲ τὰς χεῖρας ἐκείνου κατὰ τῶν Αἰγυπτίων ποὺ τοὺς εἶχον ὑποδουλώσει, μετὰ τὸ μάννα, μετὰ τὸ κτύπημα τῆς πέτρας ἀπὸ ὅπου ἀνέβλυσε ποταμὸς ὕδατος, μετὰ τὰ μύρια θαύματα εἰς τὴν Αἴγυπτον καὶ τὴν Ἐρυθρὰν θάλασσαν καὶ τὴν ἔρημον. Τὸν Ἱερεμίαν τὸν ἔρριψαν εἰς λάκκον καὶ πολλοὺς ἀπὸ τοὺς προφήτας τοὺς κατέσφαξαν.

Ἄκουσε λοιπὸν τί λέγει ὁ Ἠλίας μετὰ τὸν φοβερὰν ἐκεῖνον λιμὸν καὶ τὴν θαυμαστὴν βροχὴν καὶ τὸ πῦρ, τὸ ὁποῖον προεκάλεσε, καὶ τὸ παράδοξον ὁλοκαύτωμα, καθὼς ἔφευγεν ὅσον τὸ δυνατὸν μακρύτερα ἀπὸ τὴν χώραν αὐτῶν· «Κύριε, ἐφόνευσαν

τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου». Καίτοιγε οὐδὲν τῶν νομίμων ἐκίνουν. Τούτοις οὖν πόθεν εἶχον προσέχειν, εἰπέ μοι; καὶ γὰρ ἁπάντων ἐκείνων ἦσαν εὐτελέστεροι, καὶ τοιαῦτα ἐκαινοτόμουν, δι' ἃ καὶ τὸν διδάσκαλον ἐσταύρωσαν. Καὶ ἄλλως δέ, οὐχ οὕτως ἐδόκει δεινὸν εἶναι τὸ τὸν Χριστὸν ταῦτα λέγειν καὶ τούτους· τὸν μὲν γὰρ ἴσως ἐνόμιζον ἑαυτῷ δόξαν κτώμενον ταῦτα ποιεῖν, τούτους δὲ καὶ μειζόνως ἂν ἐμίσησαν, ἅτε ὑπὲρ ἑτέρου πολεμοῦντας αὐτοῖς. 'Αλλ' οἱ νόμοι αὐτοῖς ἐβοήθουν οἱ 'Ρωμαίων; 'Αλλ' ἀπὸ τούτων ἐνεποδίζοντο μᾶλλον· καὶ γὰρ ἔλεγον· «Πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα οὐκ ἔστι φίλος τοῦ Καίσαρος». Ὥστε τοῦτο μόνον ἱκανὸν ἦν ἐμποδίσαι, ὅτι τοῦ νομισθέντος τυράννου καὶ μαθηταὶ ἦσαν καὶ τὰ ἐκείνου κρατύνειν ἐβούλοντο.

Τί δὲ ὅλως αὐτοὺς ἐπῆρεν εἰς τοσούτους κινδύνους ἐμπεσεῖν; τί δὲ περὶ αὐτοῦ λέγοντες ἐδόκουν εἶναι πιθανοί; ὅτι ἐσταυρώθη; ὅτι ἀπὸ γυναικὸς ἐτέχθη 'Ιουδαίας πτωχῆς 'Ιουδαίῳ τέκτονι μεμνηστευμένης; ὅτι ἐξ ἔθνους ἦν τῇ οἰκουμένῃ ἀπεχθανομένου; 'Αλλὰ ταῦτα πάντα οὐχὶ πείθειν μόνον καὶ ἐφέλκεσθαι τοὺς ἀκούοντας ἀλλὰ καὶ προσίστασθαι πᾶσιν ἦν ἱκανά, καὶ μάλιστα παρὰ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως λεγόμενα. Οὐκ ἂν οὖν ταῦτα πάντα ἐνενόησαν οἱ μαθηταί; καὶ γὰρ αἱ δειλαὶ φύσεις πλείονα τῶν ὄντων ἀναπλάττειν δύνανται· τοιαῦται δὲ ἦσαν αἱ ἐκείνων. Πόθεν οὖν ἤλπιζον κατορθώσειν; Μᾶλλον δὲ οὐκ ἤλπισαν, μυρίων ὄντων τῶν ἀπαγόντων αὐτούς, εἴγε μὴ ἀνέστη ὁ Χριστός.

6. Οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις ὅτι, εἰ μὴ δαψιλοῦς καὶ μεγάλης ἀπήλαυσαν χάριτος καὶ ἐνέχυρα τῆς ἀναστάσεως ἔλαβον, οὐ μόνον πρᾶξαι καὶ ἐπιχειρῆσαι ἀλλ' οὐδὲ ἐννοῆσαι ταῦτα ἠδύναντο; Εἰ γὰρ τοσούτων ὄντων

---

14. Γ' Βασ. 19,10.
15. 'Ιω. 19,12.

τοὺς προφήτας σου, κατέστρεψαν ὁλοσχερῶς τὰ θυσιαστήριά σου, καὶ ἐγὼ ἔμεινα μόνος καὶ ἐπιζητοῦν τὴν ψυχήν μου»[14]. Καὶ ὅμως δὲν ἀνέτρεπον τίποτε ἀπὸ τὰ νόμιμα. Εἰπέ μου λοιπόν, πῶς ἦτο δυνατὸν νὰ δίδουν προσοχὴν εἰς τοὺς μαθητάς; διότι ἦσαν εὐτελέστεροι ἀπὸ ὅλους τοὺς προφήτας, καὶ ἐπὶ πλέον ἐκήρυττον τέτοιας καινοτομίας, ἐξ αἰτίας τῶν ὁποίων οἱ Ἰουδαῖοι ἐσταύρωσαν τὸν διδάσκαλον. Ἐξ ἄλλου τοὺς ἐφαίνετο ὅτι δὲν ἦτο τόσον φοβερὸν τὸ νὰ λέγῃ αὐτὰ ὁ Χριστὸς ὅσον τὸ νὰ τὰ λέγουν αὐτοί· διότι ἴσως ἐνόμιζον ὅτι ὁ Χριστός κάμνει αὐτά, διὰ νὰ ἀποκτήσῃ δόξαν διὰ τὸν ἑυατόν του, αὐτοὺς ὅμως θὰ τοὺς ἐμισοῦσαν περισσότερον, διότι ἐπολέμουν ἐναντίον των πρὸς ὄφελος ἄλλου. Ἀλλὰ μήπως οἱ νόμοι τῶν Ρωμαίων ἐβοήθουν τοὺς μαθητάς; Ἀλλὰ ἀπὸ αὐτοὺς ἠμποδίζοντο περισσότερον, διότι ἔλεγον· «Κάθε ἕνας ποὺ κάμνει τὸν ἑαυτόν του βασιλέα δὲν εἶναι φίλος τοῦ Καίσαρος»[15]. Ὥστε τοῦτο μόνον ἦτο ἀρκετὸν νὰ τοὺς ἐμποδίσῃ, ὅτι τοῦ θεωρουμένου βασιλέως καὶ μαθηταὶ ἦσαν καὶ ἤθελον νὰ ἐνισχύσουν τὴν δύναμιν ἐκείνου.

Καὶ τί τοὺς παρέσυρεν ἐξ ὁλοκλήρου νὰ πέσουν εἰς τόσους κινδύνους; τί ἔλεγον δὲ περὶ αὐτοῦ καὶ ἐνόμιζον ὅτι θὰ ἦσαν πειστικοί; ὅτι ἐσταυρώθη; ὅτι ἐγεννήθη ἀπὸ πτωχὴν Ἰουδαίαν γυναῖκα, ποὺ ἦτο μεμνηστευμένη μὲ Ἰουδαῖον ξυλουργόν; ὅτι ἦτο ἀπὸ ἔθνος μισητὸν εἰς τὴν οἰκουμένην; Ἀλλὰ ὅλα αὐτὰ ἦσαν ἱκανὰ μόνον ὄχι νὰ πείθουν καὶ νὰ προσελκύουν τοὺς ἀκροατάς, ἀλλὰ νὰ προκαλέσουν μεγάλην ἐχθρότητα εἰς ὅλους, καὶ πρὸ παντὸς ἐὰν ἐλέγοντο ἀπὸ σκηνοποιὸν καὶ ἁλιέα. Οἱ μαθηταὶ δὲν θὰ ἠμποροῦσαν νὰ τὰ ἔχουν ὅλα αὐτὰ εἰς τὸν νοῦν των; διότι οἱ ἄνθρωποι ποὺ εἶναι ἐκ φύσεως δειλοὶ εἶναι εἰς θέσιν νὰ φαντάζωνται περισσότερα ἀπὸ ὅσα πράγματι ὑπάρχουν, καὶ τέτοιοι ἦσαν ἐκεῖνοι. Πῶς λοιπὸν ἤλπιζον ὅτι θὰ κατορθώσουν; Μᾶλλον ὅμως δὲν θὰ ἤλπιζον, ἀφοῦ ἦσαν μύρια αὐτὰ ποὺ τοὺς ἀπέτρεπον, ἐὰν βεβαίως δὲν ἀνεστήθη ὁ Χριστός.

6. Δὲν ἦτο ὁλοφάνερον καὶ εἰς τοὺς πλέον ἀνοήτους ὅτι, ἐὰν δὲν εἶχον μὲ τὸ μέρος των πλουσίαν καὶ μεγάλην χάριν, καὶ ἐὰν δὲν εἶχον λάβει ἐγγυήσεις διὰ τὴν ἀνάστασιν, δὲν θὰ ἠδύναντο ὄχι μόνον νὰ πράξουν καὶ νὰ ἐπιχειρήσουν, ἀλλὰ οὔτε νὰ σκεφθοῦν αὐτά; Διότι, ἐάν, ἐνῷ ὑπῆρχον τόσα ἐμπόδια, διὰ νὰ σκεφθοῦν αὐ-

κωλυμάτων πρὸς τὸ βουλεύσασθαι, οὐ λέγω πρὸς τὸ κατορθῶσαι, καὶ ἐβουλεύσαντο καὶ εἰς ἔργον ἐξήγαγον καὶ μείζονα πάσης ἐλπίδος ἐποίησαν, παντί που δῆλον οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλὰ θείᾳ χάριτι πάντα εἰργάζοντο.

Τούτους τοίνυν τοὺς λόγους γυμνάζωμεν μὴ καθ' ἑαυτοὺς μόνον ἀλλὰ καὶ μετὰ ἀλλήλων· οὕτω δ' ἂν εὐκολωτέρα γένοιτ' ἂν ἡμῖν καὶ ἡ τῶν λοιπῶν εὕρεσις. Μηδέ, ὅτι χειροτέχνης εἶ, ἀλλοτρίαν τὴν μελέτην ταύτην εἶναι νόμιζε. Καὶ γὰρ Παῦλος σκηνοποιὸς ἦν. Ἀλλὰ καὶ πολλῆς ἐνεπλήσθη τότε χάριτος, φησί, κἀκεῖθεν ἅπαντα ἐφθέγγετο. Ἀλλὰ καὶ πρὸ τῆς χάριτος παρὰ τοὺς πόδας Γαμαλιήλου ἦν· καὶ τὴν χάριν δὲ διὰ τοῦτο ἔλαβεν, ἐπειδὴ γνώμην ἀξίαν τῆς χάριτος ἐπεδείξατο· καὶ μετὰ ταῦτα πάλιν τὴν τέχνην μετεχείριζε.

Μηδεὶς τοίνυν αἰσχυνέσθω τῶν τέχνην ἐχόντων ἀλλ' οἱ εἰκῇ τρεφόμενοι καὶ ἀργοῦντες, οἱ διακόνοις κεχρημένοι πολλοῖς καὶ ἀφάτου θεραπείας ἀπολαύοντες. Τὸ γὰρ διαπαντός ἐργαζόμενον τρέφεσθαι φιλοσοφίας εἶδός ἐστι· τούτων αἱ ψυχαὶ καθαρώτεραι, τούτων αἱ διάνοιαι εὐτονώτεραι. Ὁ γὰρ ἀργῶν πολλὰ εἰκῇ μᾶλλον φθέγγεται καὶ πολλὰ εἰκῇ πράσσει, καὶ ἐργάζεται δι' ὅλης ἡμέρας οὐδὲν πολλῆς νάρκης ἐμπεπλησμένος· ὁ δὲ ἐν ἐργασίᾳ ὢν οὐδὲν ταχέως περιττὸν παραδέξεται οὔτε ἐν ἔργοις οὔτε ἐν λόγοις οὔτε ἐν ἐννοίαις· ὅλη γὰρ διόλου συντέταται πρὸς τὸν ἐπίπονον βίον ἡ ψυχή.

Μὴ τοίνυν καταφρονῶμεν τῶν ἀπὸ τῶν χειρῶν τρεφομένων, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς μακαρίζωμεν διὰ τοῦτο. Ποία γάρ σοι χάρις, εἰπέ μοι, ὅταν τὸν κλῆρον παρὰ τοῦ πατρὸς δεξάμενος μηδὲν πράττων διατελῇς, ἀλλὰ ἀναλώσῃς πάντα ἐκεῖνα εἰκῇ; Οὐκ οἶδας ὅτι οὐ πάντες τὸν αὐτὸν ἀποδώσομεν λόγον, ἀλλ' οἱ μὲν πλείονος ἐνταῦθα ἀπολαύσαντες ἀδείας χαλεπώτερον, οἱ δὲ κακωθέντες ἢ πόνοις ἢ πενίᾳ ἢ ἑτέρῳ τινὶ τοιούτῳ ἡμερώτερον; Καὶ ταῦτα ἀπὸ

16. Βλ. σχολ. 18 Β' λόγου τοῦ παρόντος.

τά —δὲν λέγω διὰ νὰ τὰ κατορθώσουν— καὶ τὰ ἐσκέφθησαν καὶ τὰ ἐπραγματοποίησαν καὶ ἔκαναν περισσότερα ἀπὸ ὅσα ἤλπιζον, εἶναι νομίζω φανερὸν εἰς τὸν καθένα ὅτι ὅλα τὰ ἔκαναν ὄχι μὲ ἀνθρωπίνην δύναμιν, ἀλλὰ μὲ τὴν θείαν χάριν.

Αὐτοὺς λοιπὸν τοὺς λόγους ἂς ἀναλογιζώμεθα, ὄχι μόνον ὅταν εἴμεθα μόνοι, ἀλλὰ καὶ μεταξύ μας· ἔτσι θὰ ἦτο δυνατὸν νὰ εὕρωμεν εὐκολώτερον καὶ τὰ ὑπόλοιπα. Καὶ οὔτε νὰ νομίζῃς ὅτι ἡ μελέτη αὐτῶν τῶν θεμάτων σοῦ εἶναι ξένη, ἐπειδὴ ἀσκεῖς χειρωνακτικὸν ἐπάγγελμα, διότι καὶ ὁ Παῦλος ἦτο σκηνοποιός, καὶ ὅμως ἐγέμισε, λέγει, τότε μὲ πολλὴν χάριν καὶ ἀπὸ τότε ἤρχισεν ὅλον τὰ κηρυκτικὸν ἔργον του. Ἀλλὰ καὶ πρὸ τῆς χάριτος εἶχε διατελέσει παρὰ τοὺς πόδας τοῦ Γαμαλιήλ· καὶ τὴν χάριν τὴν ἔλαβε δι᾽ αὐτὸν ἀκριβῶς τὸν λόγον, ἐπειδὴ ἐπαρουσίασε σκέψιν ἀξίαν τῆς χάριτος· καὶ μετὰ ἀπὸ αὐτὰ πάλιν ἤσκει τὴν τέχνην.

Κανεὶς λοιπὸν ἀπὸ ὅσους ἀσκοῦν χειρωνακτικὸν ἐπάγγελμα νὰ μὴ ἐντρέπεται, ἀλλὰ νὰ ἐντρέπωνται ὅσοι τρέφονται ἀδίκως καὶ μένουν ἀργοί, ὅσοι χρησιμοποιοῦν πολλοὺς ὑπηρέτας καὶ ἀπολαύουν ἀπεριγράπτου περιποιήσεως· διότι τὸ νὰ τρέφεται κανεὶς πάντοτε ἐργαζόμενος εἶναι εἶδος φιλοσοφίας[16]· αἱ ψυχαὶ αὐτῶν τῶν ἀνθρώπων εἶναι καθαρώτεραι, αἱ διάνοιαί των ἰσχυρότεραι· διότι ἐκεῖνος ποὺ δὲν ἐργάζεται λέγει καὶ κάνει πολλὰ μᾶλλον χωρὶς νὰ σκέπτεται καὶ καθόλου δὲν ἐργάζεται ὅλην τὴν ἡμέραν, ἀλλ᾽ εὑρίσκεται εἰς πολλὴν νάρκην· ὁποῖος ὅμως ἐργάζεται τίποτε περιττὸν καὶ μὲ ἐπιπολαιότητα οὔτε θὰ πράξῃ, οὔτε θὰ εἴπῃ, οὔτε θὰ σκεφθῇ, διότι ὅλη ἡ ψυχὴ εἶναι ἐξ ὁλοκλήρου ἀφωσιωμένη εἰς τὸν ἐπίπονον βίον.

Ἂς μὴ περιφρονῶμεν λοιπὸν αὐτοὺς ποὺ τρέφονται ἀπὸ τὴν χειρωνακτικὴν ἐργασίαν των, ἀλλ᾽ ἀντιθέτως μᾶλλον νὰ τοὺς μακαρίζωμεν διὰ τοῦτο· διότι, εἰπέ μου, ποίαν χάριν ἔχεις, ὅταν, ἀφοῦ ἐκληρονόμησες τὸν πατέρα σου, ζῇς χωρὶς νὰ κάνῃς τίποτε, δαπανῶν ὅλην ἐκείνην τὴν περιουσίαν κατὰ τρόπον ἀσυλλόγιστον; Δὲν γνωρίζεις ὅτι δὲν θὰ δώσωμεν ὅλοι ἴδιον λόγον διὰ τὰς πράξεις μας, ἀλλά, ὅσοι μὲν ἐδῶ εἰς τὴν γῆν ἀπήλαυσαν πολλῶν ἀνέσεων, θὰ κριθοῦν αὐστηρότερον διὰ τὰς πράξεις των, ὅσοι δὲ ἐκακοπάθησαν ἢ ἀπὸ πόνους ἢ ἀπὸ πενίαν ἢ ἀπὸ κάτι ἄλλο παρόμοιον θὰ κριθοῦν ἐπιεικέστερον; Καὶ αὐτὰ φαίνονται ἀπὸ τὴν πα-

τοῦ Λαζάρου καὶ τοῦ πλουσίου δῆλα. Σὺ μὲν γὰρ εἰς οὐδὲν δέον τῇ σχολῇ χρησάμενος εἰκότως ἐγκαλῇ, ὁ δὲ πένης καὶ μετὰ ἀσχολίαν τὸ ὑπόλοιπον τοῦ καιροῦ εἰς τὰ δέοντα ἀναλώσας, μεγάλων ἀπολαύσεται τῶν στεφάνων.

'Αλλὰ καὶ στρατείαν μοι προβαλῇ πάντως καὶ τῆς ἀσχολίας αὐτὴν αἰτιάσῃ. 'Αλλ' οὐκ ἂν ἔχοι λόγον ἡ σκῆψις. Καὶ γὰρ ὁ Κορνήλιος ἑκατοντάρχης ἦν, καὶ οὐδὲν ἡ ζώνη τὴν ἀκριβῆ πολιτείαν παρέβλαψε. Σὺ δὲ ὅταν ὀρχησταῖς καὶ μίμοις σχολάζῃς καὶ διαπαντὸς ἐπὶ τῆς σκηνῆς ἀναλίσκῃς τὸν βίον, οὐδαμοῦ οὐ στρατείας ἀνάγκην, οὐκ ἀρχόντων προβάλλῃ φόβον· ὅταν δὲ ἐπὶ τὴν ἐκκλησίαν καλῶμεν, τότε τὰ μυρία κωλύματα. Καὶ τί κατὰ τὴν ἡμέραν ἐκείνην ἐρεῖς, ὅταν ἴδῃς τὴν φλόγα καὶ τοὺς τοῦ πυρὸς ποταμοὺς καὶ τὰ δεσμὰ τὰ ἄλυτα καὶ βρυχομένων ἀκούσῃς ὀδόντων; Τίς σου προστήσεται κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἴδῃς τὸν μὲν χειροτέχνην καὶ ὀρθῶς βεβιωκότα πάσης ἀπολαύοντα δόξης, σαυτὸν δὲ τὸν νῦν ἐν μαλακοῖς ἱματίοις ὄντα καὶ μύρων πνέοντα ἀνήκεστα πάσχοντα; Τί σοι τοῦ πλούτου καὶ τῆς περιουσίας ἔσται ὄφελος; τί δὲ τῷ χειροτέχνῃ τῆς πενίας βλάβος;

Ἵν' οὖν μὴ ταῦτα πάθωμεν, φοβηθῶμεν τὰ λεγόμενα νῦν καὶ τὴν ἀσχολίαν ἅπασαν εἰς τὴν τῶν ἀναγκαίων πραγμάτων ἀναλώσωμεν διατριβήν· οὕτω γὰρ ἐξιλεωσάμενοι τὸν Θεὸν ὑπὲρ τῶν παρελθόντων ἁμαρτημάτων καὶ τὰ μέλλοντα προσθέντες κατορθώματα δυνησόμεθα τῆς βασιλείας ἐπιτυχεῖν τῶν οὐρανῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. 'Αμήν.

ραβολὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου. Σὺ δηλαδή, ἐπειδὴ διὰ κανὲν καλὸν δὲν ἐχρησιμοποίησες τὴν ἄνεσίν σου, δικαίως κατηγορεῖσαι, ὁ πτωχὸς ὅμως, ἐπειδὴ ἀκόμη καὶ μετὰ τὴν ἐργασίαν του ἐδαπάνησε τὸν ὑπόλοιπον χρόνον του διὰ τὰ πρέποντα, θὰ ἀπολαύσῃ μεγάλων στεφάνων.

Ὅμως ὁπωσδήποτε θὰ μοῦ προβάλῃς καὶ ἐκστρατείαν ὡς δικαιολογίαν καὶ θὰ κατηγορήσῃς τὸ εἶδος αὐτὸ τῆς ἀσχολίας, ἀλλὰ ἡ δικαιολογία δὲν θὰ ἔχῃ λογικήν· διότι καὶ ὁ Κορνήλιος ἦτο ἑκατόνταρχος, καὶ ὅμως ἡ στρατιωτικὴ ζώνη καθόλου δὲν ἔβλαψε τὸν ἀκριβῆ τρόπον ζωῆς. Σὺ ὅμως, ὅταν χάνῃς τὸν χρόνον σου μὲ χορευτὰς καὶ μίμους καὶ δαπανᾷς τὴν ζωήν σου ἐξ ὁλοκλήρου εἰς τὰ θέατρα, μὴ προβάλλῃς πουθενὰ ὡς δικαιολογίαν τὴν ἀνάγκην ἐκστρατείας οὔτε τὸν φόβον ἐκ μέρους τῶν ἀρχόντων· ὅταν καλῶμεν εἰς τὴν ἐκκλησίαν, τότε προβάλλονται ὡς δικαιολογίαι τὰ μύρια ἐμπόδια. Καὶ τί θὰ εἴπῃς κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἴδῃς τὴν φλόγα καὶ τοὺς ποταμοὺς τοῦ πυρὸς καὶ τὰ ἄλυτα δεσμὰ καὶ ἀκούσῃς τὸν τριγμὸν τῶν ὀδόντων; Ποῖος θὰ σὲ βοηθήσῃ κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν ἴδῃς τὸν μὲν χειροτέχνην ποὺ ἔζησε μὲ τιμιότητα νὰ ἀπολαύῃ πάσης δόξης, τὸν ἑαυτόν σου δέ, ποὺ τώρα φορεῖ μαλακὰ ροῦχα καὶ μυρίζει μύρα, νὰ πάσχῃ ἀθεράπευτα κακά; Τί θὰ σὲ ὠφελήσῃ ὁ πλοῦτος καὶ ἡ περιουσία; καὶ τί θὰ βλάψῃ τὸν χειροτέχνην ἡ πενία;

Διὰ νὰ μὴ πάθωμεν λοιπὸν αὐτά, ἂς φοβηθῶμεν ὅσα λέγομεν τώρα καὶ ἂς δαπανήσωμεν ὅλον τὸν κόπον μας εἰς τὴν ἀπασχόλησίν μας μὲ τὰ ἀναγκαῖα πράγματα· διότι ἔτσι, ἀφοῦ ἐξιλεώσωμεν τὸν Θεὸν διὰ τὰ παλαιὰ ἁμαρτήματά μας καὶ ἀφοῦ προσθέσωμεν τὰ μελλοντικὰ κατορθώματα, θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὴν βασιλείαν τῶν οὐρανῶν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΣΤ΄
Α΄ Κορ. 2, 1—5

«Κἀγώ, ἀδελφοί, ἐλθὼν πρὸς ὑμᾶς ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον».

1. Οὐδὲν τῆς ψυχῆς ἀγωνιστικώτερον Παύλου, μᾶλλον δὲ οὐ τῆς ἐκείνου ψυχῆς· οὐ γὰρ αὐτὸς ταῦτα εὕρισκεν· ἀλλ' οὐδὲν τῆς ἐνεργούσης αὐτῷ χάριτος ἴσον πάντα νικώσης. Ἱκανὰ μὲν γὰρ καὶ τὰ ἔμπροσθεν εἰρημένα καταβαλεῖν τὸν τῦφον τῶν ἐπὶ σοφίᾳ κομπαζόντων, μᾶλλον δὲ καὶ μέρος τῶν εἰρημένων. Ὥστε δὲ λαμπρὰ γενέσθαι τὰ νικητήρια, καὶ ἐπαγωνίζεται τοῖς λεχθεῖσι, κειμένοις τοῖς ἐναντίοις ἐπεμβαίνων.

Σκότει δέ. Παρήγαγε τὴν προφητείαν τὴν λέγουσαν ὅτι «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν»· ἔδειξε τοῦ Θεοῦ τὴν σοφίαν, ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας κατήργησε τὴν ἔξωθεν φιλοσοφίαν· ἔδειξεν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων· ἔδειξεν ὅτι οὐ μόνον διὰ ἰδιωτῶν ἐδίδαξεν, ἀλλὰ καὶ ἰδιώτας ἐκάλεσε· νῦν δείκτυσιν ὅτι καὶ αὐτὸ τὸ κηρυττόμενον καὶ ὁ τρόπος τῆς κηρύξεως ἱκανὰ θορυβῆσαι ἦν, καὶ οὐκ ἐθορύβησεν. Οὐ γὰρ δὴ μόνον οἱ μαθηταί, φησίν, ἰδιῶται, ἀλλὰ καὶ ἐγὼ ὁ κηρύττων. Διὰ τοῦτό φησι, «Καὶ ἐγώ, ἀδελφοί»· πάλιν τὸ τῶν ἀδελφῶν τίθησιν ὄνομα καταλεαίνων τοῦ λόγου τὴν τραχύτητα· «ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ».

Τί γάρ, εἰπέ μοι, εἰ καὶ ἐβούλου καθ' ὑπεροχὴν ἐλθεῖν, ἐδύνασο; Ἐγὼ μέν, εἰ ἐβουλόμην, οὐκ ἂν ἐδυνήθην· ὁ δὲ Χριστὸς εἰ ἐβουλήθη, ἐδύνατο. Ἀλλ' οὐκ ἐβουλήθη, ἵνα

---

1. Α΄ Κορ. 2, 1-2.

ΛΟΓΟΣ ΣΤ'
Α' Κορ. 2, 1-5

«Καὶ ἐγώ, ἀδελφοί, ὅταν ἦλθα πρὸς ἐσᾶς δὲν ἦλθα μὲ ὑπεροχὴν λόγου ἢ σοφίας διὰ νὰ σᾶς κηρύξω τὴν μαρτυρίαν τοῦ Θεοῦ, διότι δὲν ἔκρινα ὀρθὸν νὰ γνωρίζω εἰς ἐσᾶς τίποτε ἄλλο, παρὰ μόνον τὸν Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον»[1].

1. Δὲν ὑπάρχει τίποτε ἀγωνιστικώτερον ἀπὸ τὴν ψυχὴν τοῦ Παύλου, μᾶλλον δὲ ὄχι ἀπὸ τὴν ψυχὴν ἐκείνου, διότι αὐτὰ δὲν τὰ εὕρισκεν ὁ ἴδιος, ἀλλὰ δὲν ὑπάρχει τίποτε ποὺ νὰ εἶναι ἴσον μὲ τὴν χάριν ποὺ ἐνήργει εἰς αὐτὸν καὶ ὅλα τὰ ἐνίκα. Ὅσα δηλαδὴ εἶχον λεχθῇ προηγουμένως ἦσαν μὲν ἱκανὰ νὰ καταβάλουν τὴν ἀλαζονείαν ἐκείνων ποὺ ἐκόμπαζον διὰ τὴν σοφίαν των, μᾶλλον καὶ μόνον ἕνα μέρος τῶν ὅσων εἶχον λεχθῇ· διὰ νὰ γίνῃ ὅμως λαμπρὰ ἡ νίκη, ἀγωνίζεται ἐπὶ πλέον τῶν ὅσων ἐλέχθησαν ἐπιτιθέμενος εἰς ὅσα ἦσαν ἀντίθετα.

Πρόσεξε δέ. Ἀνέφερεν τὴν προφητείαν ποὺ ἔλεγεν, «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν»· ἔδειξε τὴν σοφίαν τοῦ Θεοῦ, ὅτι δηλαδὴ μὲ αὐτήν, ποὺ ἐφαίνετο ὅτι ἦτο μωρία, κατήργησε τὴν φιλοσοφίαν τοῦ κόσμου· ἔδειξεν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ εἶναι σοφώτερον τῶν ἀνθρώπων· ἔδειξεν ὅτι ὄχι μόνον ἐδίδαξε δι' ἁπλοϊκῶν ἀνθρώπων, ἀλλὰ καὶ ἁπλοϊκοὺς ἀνθρώπους ἐκάλεσε· τώρα δεικνύει ὅτι καὶ τὸ ἴδιον τὸ περιεχόμενον τοῦ κηρύγματος καὶ ὁ τρόπος τοῦ κηρύγματος ἦσαν ἱκανὰ νὰ θορυβήσουν, καὶ ὅμως δὲν ἐθορύβησαν.. Δὲν ἦσαν λοιπόν, λέγει, μόνον οἱ μαθηταὶ ἁπλοϊκοί, ἀλλὰ καὶ ἐγὼ ποὺ σᾶς ἐκήρυττον· διὰ τοῦτο λέγει, «Καὶ ἐγώ, ἀδελφοί». Πάλιν θέτει τὸ ὄνομα τῶν ἀδελφῶν, μειώνουν τὴν σκληρότητα τοῦ λόγου· «Δὲν ἦλθον μὲ ὑπεροχὴν λόγου διὰ νὰ σᾶς κηρύξω τὴν μαρτυρίαν τοῦ Θεοῦ».

Διότι εἰπέ μου, τί θὰ ἠμποροῦσες νὰ ἐπιτύχῃς, ἐὰν ἤθελες ἔλθει μὲ ὑπεροχὴν λόγου; Ἐγὼ μέν, καὶ ἂν ἀκόμα ἤθελον, δὲν θὰ ἠμποροῦσα· ὁ Χριστὸς ὅμως ἐὰν ἤθελε, θὰ ἠμποροῦσεν. Ἀλλὰ δὲν ἠ-

λαμπρότερον ποιήσῃ τὸ τρόπαιον. Διὸ καὶ ἀνωτέρω δεικνὺς ὅτι αὐτοῦ γέγονεν ἔργον καὶ αὐτοῦ βούλημα ἦν τὸ οὕτως ἰδιωτικῶς κηρυχθῆναι τὸν λόγον, ἔλεγεν· «Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου». Πολὺ δὲ μεῖζον καὶ ἀπείρως μεῖζον τοῦ Παῦλον θελῆσαι τοῦτο τὸ τὸν Χριστὸν θελῆσαι. Οὐ τοίνυν εὐγλωττίαν ἐπιδεικνύμενος, φησίν, οὐδὲ τοῖς ἔξωθεν λόγοις ὡπλισμένος καταγγέλλω τὸ μαρτύριον τοῦ Θεοῦ. Καὶ οὐκ εἶπε, τὸ κήρυγμα, ἀλλά, «τὸ μαρτύριον τοῦ Θεοῦ», ὃ καὶ αὐτὸ ἱκανὸν ἦν ἀποτρέψαι· θάνατον γὰρ περιῄει κηρύττων. Διὰ τοῦτο καὶ ἐπήγαγεν, «Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον». Τοῦτο δὲ ἔλεγεν, ὅτι καθόλου τῆς ἔξωθεν σοφίας ἐστὶν ἄμοιρος, ὥσπερ οὖν καὶ ἀνωτέρω ἔλεγεν· «ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου». Ὅτι γὰρ ἦν δυνατὸν καὶ τοῦτο αὐτὸν ἔχειν, δῆλον· οὗ γὰρ τὰ ἱμάτια νεκροὺς ἀνίστη καὶ αἱ σκιαὶ νοσήματα ἤλαυνον, πολλῷ μᾶλλον εὐγλωττίαν ἠδύνατο ὑποδέξασθαι ἡ ψυχή· τὸ μὲν γάρ ἐστι μαθητόν, τὸ δὲ πᾶσαν ὑπερβαίνει τέχνην. Ὁ τοίνυν τὰ μείζονα τῆς τέχνης εἰδὼς πολλῷ πλέον τὰ ἐλάττονα ἴσχυσεν ἄν. Ἀλλ' οὐκ ἀφῆκεν ὁ Χριστός· οὐ γὰρ συνέφερεν. Εἰκότως οὖν λέγει, «Οὐ γὰρ ἔκρινά τι εἰδέναι»· καὶ γὰρ καὶ ἐγὼ τοῦτο βούλομαι, ὅπερ καὶ ὁ Χριστός.

Ἐμοὶ δὲ δοκεῖ καὶ ταπεινότερον αὐτοῖς διειλέχθαι μᾶλλον ἢ τοῖς ἄλλοις τὸν τῦφον αὐτῶν καταστέλλων. Τὸ τοίνυν, «οὐδὲν ἔκρινα εἰδέναι», πρὸς ἀντιδιαστολὴν τῆς ἔξωθεν εἴρηται σοφίας. Οὐ γὰρ ἦλθον συλλογισμοὺς πλέκων οὐδὲ σοφίσματα οὐδ' ἄλλο τι λέγων ὑμῖν ἢ ὅτι ὁ Χριστὸς ἐσταυρώθη. Ἐκεῖνοι μὲν γὰρ μυρία φησὶ καὶ περὶ μυρίων λέγουσι μακροὺς ἑλίττοντες διαύλους λόγων, κατασκευάζοντες λογισμοὺς καὶ συλλογισμοὺς καὶ μυρία συντιθέντες σοφίσματα, ἐγὼ δὲ ἦλθον πρὸς ὑμᾶς μηδὲν ἄλλο λέγων ἢ

θέλησε, διὰ νὰ κάνῃ λαμπρότερον τὸ τρόπαιον τῆς νίκης. Διὰ τοῦτο καὶ ἀνωτέρω δεικνύων ὅτι ὑπῆρξεν ἔργον αὐτοῦ καὶ θέλημά του τὸ νὰ κηρυχθῇ ὁ λόγος κατὰ τρόπον τόσον ἁπλοϊκόν, ἔλεγεν· «Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου». Τὸ νὰ θελήσῃ δὲ αὐτὸ ὁ Χριστὸς ἦτο πολὺ σπουδαιότερον καὶ ἀπείρως σπουδαιότερον ἀπὸ τὸ νὰ τὸ θελήσῃ ὁ Παῦλος. Χωρὶς λοιπὸν ἐπίδειξιν εὐγλωττίας, λέγει, καὶ χωρὶς νὰ εἶμαι ὡπλισμένος μὲ λογικὰ ἐπιχειρήματα κηρύττω τὴν μαρτυρίαν τοῦ Θεοῦ. Καὶ δὲν εἶπε τὸ κήρυγμα, ἀλλὰ «τὴν μαρτυρίαν τοῦ Θεοῦ», ποὺ καὶ αὐτὸ μόνον ἦτο ἱκανὸν νὰ ἀποτρέψῃ· διότι περιήρχετο τὸν κόσμον κηρύττων θάνατον. Διὰ τοῦτο καὶ ἀνέφερεν· «διότι δὲν ἔκρινα ὀρθὸν νὰ γνωρίζω εἰς ἐσᾶς τίποτε ἄλλο, παρὰ μόνον τὸν Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον». Αὐτὸ δὲ τὸ ἔλεγε, διὰ νὰ δείξῃ ὅτι εἶναι ξένος πρὸς τὴν σοφίαν τοῦ κόσμου, ὅπως ἀκριβῶς βέβαια καὶ ἀνωτέρω ἔλεγεν· «Δὲν ἦλθον μὲ ὑπεροχὴν λόγου». Τὸ ὅτι βέβαια ἦτο δυνατὸν καὶ τοῦτο νὰ τὸ ἔχῃ, εἶναι ὁλοφάνερον· διότι, ἐκείνου ποὺ τὰ ἐνδύματα ἀνέσταινον νεκροὺς καὶ αἱ σκιαὶ ἐθεράπευον νοσήματα, ποὺ περισσότερον ἠδύνατο νὰ δεχθῇ ἡ ψυχή του τὴν εὐγλωττίαν· διότι τὸ μὲν δεύτερον εἶναι δυνατὸν νὰ τὸ διδαχθῇ κανείς, τὸ πρῶτον ὅμως ὑπερβαίνει πᾶσαν τέχνην. Αὐτὸς λοιπὸν ποὺ ἐγνώριζε τὰ συνθετώτερα τῆς τέχνης πολὺ περισσότερον θὰ ἠμποροῦσε νὰ γνωρίζῃ τὰ ἁπλούστερα. Ἀλλὰ δὲν τὸ ἐπέτρεψεν ὁ Χριστός, διότι δὲν συνέφερεν. Εὐλόγως λοιπὸν λέγει, «Δὲν ἔκρινα καλὸν νὰ γνωρίζω εἰς σᾶς κάτι ἄλλο», καθ' ὅσον καὶ ἐγὼ θέλω ὅ,τι ἀκριβῶς καὶ ὁ Χριστός.

Μοῦ φαίνεται δὲ ὅτι ἔχει ὁμιλήσει μὲ μεγαλυτέραν ταπεινοφροσύνην πρὸς αὐτοὺς παρὰ πρὸς τοὺς ἄλλους, μὲ σκοπὸν νὰ καταστείλῃ τὴν ἀλαζονείαν των. Τὸ «οὐδὲν ἔκρινα εἰδέναι» λοιπὸν ἔχει λεχθῆ πρὸς ἀντιδιαστολὴν ἀπὸ τὴν σοφίαν τοῦ κόσμου. Δὲν ἦλθον δηλαδὴ διὰ νὰ σᾶς κηρύξω πολυπλόκους συλλογισμοὺς καὶ σοφίσματα οὔτε διὰ νὰ σᾶς εἰπῶ τίποτε ἄλλο, παρὰ μόνον ὅτι ὁ Χριστὸς ἐσταυρώθη. Δηλαδὴ ἐκεῖνοι μὲν λέγουν μύρια καὶ διὰ μύρια πράγματα ὁμιλοῦν χρησιμοποιοῦντες μακρὰς καὶ κομψὰς περιόδους λόγων, κατασκευάζοντες ἐπιχειρήματα καὶ συλλογισμοὺς καὶ συνθέτοντες μύρια σοφίσματα, ἐγὼ ὅμως ἦλθον πρὸς ἐσᾶς χωρὶς νὰ λέγω τίποτε ἄλλο παρὰ ὅτι ὁ Χριστὸς ἐσταυρώθη, καὶ ὅμως ὅλους ἐ-

ὅτι ὁ Χριστὸς ἐσταυρώθη, καὶ πάντας ἐκείνους παρήλασα· ὃ τῆς τοῦ κηρυττομένου δυνάμεως σημεῖόν ἐστιν ἄφατον.

«Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς». Τοῦτο πάλιν ἄλλο κεφάλαιον. Οὐ γὰρ μόνον οἱ πιστεύοντες ἰδιῶται, οὐδὲ μόνον ὁ λέγων ἰδιώτης, οὐδὲ μόνον ὁ τρόπος τῆς διδασκαλίας ἰδιωτείας γέμων, οὐδὲ μόνον αὐτὸ τὸ κήρυγμα ἱκανὸν θορυβῆσαι — σταυρὸς γὰρ καὶ θάνατος ἦν τὸ καταγγελλόμενον— ἀλλὰ μετ' αὐτῶν καὶ ἕτερα κωλύματα ἦν, οἱ κίνδυνοι καὶ αἱ ἐπιβουλαὶ καὶ ὁ καθημερινὸς φόβος· καὶ τὸ ἐλαύνεσθαι. Καὶ γὰρ ἀσθένειαν τοὺς διωγμοὺς πολλαχοῦ φησι, καθάπερ καὶ ἀλλαχοῦ· «Τὴν ἀσθένειαν τὴν ἐν τῇ σαρκί μου οὐκ ἐξουδενώσατε»· καὶ πάλιν, «Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι». Ποίας; «Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων». Καὶ πάλιν, «Διὸ εὐδοκῶ ἐν ἀσθενείαις». Εἶτα λέγων ποίαις, ἐπήγαγεν· «ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις». Καὶ νῦν τὸ αὐτὸ λέγει· εἰπὼν γάρ, «Καὶ ἐγὼ ἐν ἀσθενείᾳ», ἐπήγαγε, «καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς».

Τί λέγεις; Καὶ Παῦλος ἐφοβεῖτο κινδύνους; Ἐφοβεῖτο, καὶ σφόδρα ἐδεδοίκει· εἰ γὰρ καὶ Παῦλος ἦν, ἀλλ' ἄνθρωπος ἦν. Τοῦτο δὲ οὐκ ἔγκλημα τοῦ Παύλου, ἀλλ' ἀσθένεια μὲν τῆς φύσεως, ἐγκώμιον δὲ τῆς προαιρέσεως, ὅτι καὶ δεδοικὼς θάνατον καὶ πληγάς, οὐδὲν ἀνάξιον διὰ τὸν φόβον τοῦτον ἐποίησεν· ὡς οἵ γε λέγοντες ὅτι οὐκ ἐφοβεῖτο πληγάς, οὐ μόνον αὐτὸν οὐ σεμνύνουσιν, ἀλλὰ καὶ ὑποτέμνονται πολὺ τῶν ἐπαίνων. Εἰ γὰρ οὐκ ἐφοβεῖτο, ποία καρτερία ἢ ποία φιλοσοφία τὸ τοὺς κινδύνους φέρειν;

Ἐγὼ γὰρ διὰ τοῦτο αὐτὸν θαυμάζω, ὅτι φοβούμενος, καὶ οὐχ ἁπλῶς φοβούμενος ἀλλὰ καὶ τρέμων τοὺς κινδύ-

---

2. αὐτ. 3.
3. Γαλ. 4, 13-14.
4. Β' Κορ. 11,30-32.
5. αὐτ. 12,10.
6. Βλ. σχόλιον ἀρ. 18 Β' Λόγου τοῦ παρόντος.

κείνους τοὺς ὑπερέβαλον, πρᾶγμα ποὺ ἀποτελεῖ μεγίστην ἀπόδειξιν τῆς δυνάμεως τοῦ κηρυττομένου.

«Καὶ ἐγὼ ἦλθα πρὸς ἐσᾶς χωρὶς καμμίαν κοσμικὴν δύναμιν καὶ μὲ φόβον καὶ πολὺν τρόμον»[2]. Τοῦτο δὲ πάλιν εἶναι ἄλλο κεφάλαιον. Διότι δὲν ἦσαν ἁπλοῖ ἄνθρωποι μόνον οἱ πιστεύοντες, οὔτε μόνον αὐτὸς ποὺ ἐκήρυττεν ἦτο ἁπλὸς ἄνθρωπος, οὔτε μόνον ὁ τρόπος τῆς διδασκαλίας ἦτο γεμᾶτος ἀπὸ ἁπλοϊκότητα, οὔτε μόνον τὸ ἴδιον τὸ κήρυγμα ἦτο ἱκανὸν νὰ προκαλέσῃ ταραχὴν— διότι σταυρὸς καὶ θάνατος ἦτο τὸ περιεχόμενον τοῦ κηρύγματος— ἀλλὰ μαζὶ μὲ αὐτὰ ὑπῆρχον καὶ ἄλλα ἐμπόδια, οἱ κίνδυνοι καὶ αἱ σκευωρίαι καὶ ὁ καθημερινὸς φόβος καὶ αἱ διώξεις. Καθ' ὅσον εἰς πολλὰ σημεῖα τοὺς διωγμοὺς τοὺς ὀνομάζει ἀσθένειαν, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει: «Δὲν περιεφρονήσατε τὴν σαρκικὴν ἀδυναμίαν μου»[3]. Καὶ ἀλλοῦ πάλιν· «Ἐὰν πρέπει νὰ καυχηθῶ, θὰ καυχηθῶ διὰ τὴν ἀδυναμίαν μου». Ποίαν; «Ὁ ἐθνάρχης τοῦ βασιλέως Ἀρέτα ἐφρούρει τὴν πόλιν Δαμασκόν, ἐπειδὴ ἤθελε νὰ μὲ πιάσῃ»[4]. Καὶ πάλιν· «Διὰ τοῦτο εὐχαριστοῦμαι μὲ τὰς ἀσθενείας». Ἔπειτα λέγων ποίας ἀνέφερε «μὲ τὰς ὕβρεις, τὰς ἀνάγκας, τὰς στενοχωρίας»[5]. Καὶ τώρα λέγει τὸ ἴδιον· ἀφοῦ εἶπε δηλαδή, «Καὶ ἐγὼ ἦλθα πρὸς ἐσᾶς χωρὶς κοσμικὴν δύναμιν», προσέθεσε· «καὶ μὲ φόβον καὶ πολὺν τρόμον».

Τί λέγεις; Καὶ ὁ Παῦλος ἐφοβεῖτο τοὺς κινδύνους; Ἐφοβεῖτο, καὶ μάλιστα πάρα πολὺ ἐφοβεῖτο· διότι, ἂν καὶ ἦτο ὁ Παῦλος, ἦτο ὅμως ἄνθρωπος. Τοῦτο δὲ εἶναι κατηγορία κατὰ τοῦ Παύλου, ἀλλ' ἀδυναμία μὲν τῆς φύσεώς του, ἐγκώμιον ὅμως τῆς βουλήσεώς του, διότι, ἂν καὶ ἐφοβεῖτο τὸν θάνατον καὶ τὰς πληγάς, δὲν ἔκανε τίποτε ἀνάξιον ἐξ αἰτίας αὐτοῦ τοῦ φόβου· ὥστε ὅσοι τοὐλάχιστον λέγουν ὅτι δὲν ἐφοβεῖτο τὰς πληγὰς ὄχι μόνον δὲν τὸν ἐξυψώνουν, ἀλλὰ καὶ χωρὶς νὰ τὸ ἀντιλαμβάνωνται μειώνουν πολὺ τοὺς ἐπαίνους· διότι, ἐὰν δὲν ἐφοβεῖτο, ποία καρτερία ἢ ποία φιλοσοφία[6] θὰ ἦτο τὸ νὰ ὑπομένῃ τοὺς κινδύνους;

Ἐγὼ δηλαδὴ διὰ τοῦτο τὸν θαυμάζω, διότι, ἂν καὶ ἐφοβεῖτο καὶ ὄχι ἁπλῶς ἐφοβεῖτο, ἀλλὰ καὶ ἔτρεμε τοὺς κινδύνους, ἐν τούτοις πάντοτε ἐπορεύθη στεφανούμενος καὶ δὲν ὑπεχώρησεν εἰς κα-

νους διαπαντὸς ἔδραμε στεφανούμενος καὶ ἐν οὐδενὶ τῶν κινδύνων ἐνέδωκεν ἐκκαθαίρων τὴν οἰκουμένην καὶ πανταχοῦ γῆς καὶ θαλάττης τὸ κήρυγμα σπείρων. «Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις»˙ τουτέστιν, οὐκ ἔχων τὴν ἔξωθεν σοφίαν. Εἰ τοίνυν καὶ τὸ κήρυγμα οὐδὲν εἶχε σεσοφισμένον, καὶ οἱ καλούμενοι ἰδιῶται, καὶ ὁ κηρύττων τοιοῦτος, καὶ διωγμὸς προσῆν καὶ τρόμος καὶ φόβος, πῶς ἐκράτησαν, εἰπέ μοι, δίχα θείας δυνάμεως; Διόπερ εἰπών, «Ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις», ἐπήγαγεν, «Ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως».

2. Εἶδες πῶς τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων καὶ τὸ ἀσθενὲς ἰσχυρότερον; Οἱ μὲν ἰδιῶται τοιαῦτα κηρύττοντες δεδεμένοι καὶ ἐλαυνόμενοι περιεγένοντο τῶν ἐλαυνόντων. Πόθεν; Οὐκ ἀπὸ τοῦ τὴν διὰ τοῦ Πνεύματος παρασχεῖν πίστιν; καὶ γὰρ τοῦτο ἀπόδειξις ὡμολογημένη. Τίς γάρ, εἰπέ μοι, ὁρῶν νεκροὺς ἀνισταμένους καὶ δαίμονας ἐλαυνομένους οὐκ ἂν κατεδέξατο; Ἀλλ' ἐπειδή εἰσι καὶ δυνάμεις ἀπατηλαί, οἷαι αἱ τῶν γοήτων, καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν˙ οὐ γὰρ ἁπλῶς δυνάμεως εἶπεν, ἀλλὰ πρότερον «Πνεύματος», καὶ τότε «δυνάμεως», δεικνὺς ὅτι πνευματικὰ ἦν τὰ γινόμενα. Οὐ τοίνυν ἐλάττωσίς ἐστι τὸ μὴ διὰ σοφίας κατηγγελμένον εἶναι τὸ κήρυγμα ἀλλὰ καὶ μέγιστος κόσμος. Τοῦτο γοῦν μάλιστα δείκνυσιν αὐτὸ θεῖον ὂν καὶ τὰς ῥίζας ἄνωθεν ἔχον ἐκ τῶν οὐρανῶν. Διὸ καὶ ἐπήγαγεν, «Ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ».

Εἶδες πῶς σαφῶς διὰ πάντων ἀπέδειξε πολὺ τῆς ἰδιωτείας τὸ κέρδος καὶ μέγα τῆς σοφίας τὸ βλάβος; Αὕτη μὲν γὰρ ἐκένου τὸν σταυρόν, ἐκείνη δὲ ἀνεκήρυττε τοῦ Θεοῦ τὴν δύναμιν˙ αὕτη πρὸς τῷ μηδὲν εὑρίσκειν τῶν δεόντων καὶ ἐφ' ἑαυτοῖς καυχᾶσθαι παρεσκεύαζεν, ἐκείνη πρὸς τῷ τὴν ἀλήθειαν δέξασθαι καὶ ἐπὶ τῷ Θεῷ καλλωπίζεσθαι ἐποίει. Πάλιν ἡ σοφία ἀνθρώπινον ὑποπτεύειν τὸ δόγμα

7. Α' Κορ. 2,4.
8. αὐτ. 5.

νένα κίνδυνον καθαρίζων τὴν οἰκουμένην ἀπὸ τὴν πλάνην καὶ σπείρων τὸ κήρυγμα εἰς ὅλα τὰ μέρη τῆς γῆς καὶ τῆς θαλάσσης. «Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου δὲν ἔγιναν μὲ πειστικοὺς λόγους ἀνθρωπίνης σοφίας»[7]· δηλαδὴ χωρὶς νὰ ἔχῃ τὴν σοφίαν τοῦ κόσμου. Ἐφ' ὅσον λοιπὸν καὶ τὸ κήρυγμα δὲν εἶχε τίποτε ἀπὸ τὴν σοφίαν τοῦ κόσμου καὶ ὅσοι ἐκαλοῦντο δι' αὐτοῦ ἦσαν ἁπλοῖ ἄνθρωποι καὶ τέτοιος ἦτο καὶ ὁ κηρύττων καὶ ἐπὶ πλέον ὑπῆρχε καὶ διωγμὸς καὶ τρόμος καὶ φόβος, εἰπέ μου, πῶς ὑπερίσχυσαν χωρὶς τὴν θείαν δύναμιν; Διὰ τοῦτο, ἀφοῦ εἶπεν «ὁ λόγος μου καὶ τὸ κήρυγμά μου δὲν ἔγιναν μὲ πειστικοὺς λόγους ἀνθρωπίνης σοφίας», προσέθεσεν· «ἀλλὰ μὲ ἀπόδειξιν Πνεύματος καὶ θείας δυνάμεως».

2. Εἶδες πῶς τὸ μωρὸν τοῦ Θεοῦ εἶναι σοφώτερον τῶν ἀνθρώπων καὶ τὸ ἀσθενὲς ἰσχυρότερον; Οἱ ἁπλοῖ ἄνθρωποι, ποὺ τέτοια ἐκήρυττον δεμένοι καὶ διωκόμενοι, ἐνίκησαν τοὺς διώκτας των. Πῶς; Ὄχι διότι προσέφερον τὴν πίστιν διὰ τοῦ ἁγίου Πνεύματος; Διότι τοῦτο εἶναι ὡμολογημένη ἀπόδειξις. Ποῖος δηλαδή, εἰπέ μου, βλέπων νεκροὺς νὰ ἀνασταίνωνται καὶ νὰ ἐκδιώκωνται δαίμονες δὲν θὰ ἐδέχετο τὸ κήρυγμα; Ἀλλ' ἐπειδὴ ὑπάρχουν καὶ ἀπατηλαὶ δυνάμεις, ὅπως αἱ δυνάμεις τῶν μάγων, ἐξηφάνισε καὶ αὐτὴν τὴν ὑπόνοιαν, διότι δὲν εἶπεν ἁπλῶς 'δυνάμεως', ἀλλὰ πρῶτον «Πνεύματος» καὶ κατόπιν «δυνάμεως», δεικνύων ὅτι τὰ γινόμενα ἦσαν πνευματικά. Δὲν εἶναι λοιπὸν μείωσις τὸ ὅτι τὸ κήρυγμα δὲν εἶχε γίνει μὲ σοφίαν, ἀλλὰ εἶναι μάλιστα καὶ πολὺ μεγάλο κόσμημα. Αὐτὸ βεβαίως ἀποδεικνύει πάρα πολὺ ὅτι τοῦτο ἦτο θεῖον ἔργον καὶ ὅτι εἶχε τὰς ρίζας του ἐκ τῶν οὐρανῶν. Διὰ τοῦτο καὶ προσέθεσε· «Διὰ νὰ μὴ στηρίζεται ἡ πίστις σας εἰς τὴν σοφίαν τῶν ἀνθρώπων, ἀλλὰ εἰς τὴν δύναμιν τοῦ Θεοῦ»[8].

Εἶδες πῶς σαφῶς καὶ δι' ὅλων ἀπέδειξεν ὅτι εἶναι πολὺ τὸ κέρδος τῆς ἁπλοϊκότητος καὶ μεγάλη ἡ βλάβη τῆς σοφίας; διότι αὐτὴ μὲν ἐθεώρει τὸν σταυρὸν ἀσήμαντον, ἐκείνη δὲ διετράνωσε τὴν δύναμιν τοῦ Θεοῦ· αὐτὴ ἐκτὸς τοῦ ὅτι δὲν εὕρισκε τίποτε ἀπὸ τὰ πρέποντα ἔκαμνε τοὺς ἀνθρώπους νὰ καυχῶνται καὶ διὰ τὰς δυνάμεις των· ἐκείνη τοὺς ἔκαμνε καὶ τὴν ἀλήθειαν νὰ δέχωνται καὶ διὰ τὸν Θεὸν νὰ καυχῶνται. Ἐπίσης ἡ σοφία παρέπειθε πολλοὺς

πολλοὺς ἀνέπειθεν· αὕτη σαφῶς ἀπεδείκνυε θεῖον ὂν καὶ ἐκ τοῦ οὐρανοῦ καταβάν. Ὅταν μὲν οὖν ἐν σοφίᾳ λόγων γένηται ἀπόδειξις, πολλάκις καὶ οἱ φαυλότεροι κρατοῦσι τῶν ἐπιεικεστέρων δεινότεροι λέγειν ὄντες, καὶ τὸ ψεῦδος παρελαύνει τὴν ἀλήθειαν. Ἐνταῦθα δὲ οὐχ οὕτως· οὔτε γὰρ ἔπεισι τὸ Πνεῦμα τὸ ἅγιον ἀκαθάρτῳ ψυχῇ οὔτε ἐπελθὸν δύναται ἡττηθῆναί ποτε, κἂν ἅπασα ἡ τῶν λόγων ἐπίῃ δεινότης. Ἡ γὰρ διὰ τῶν ἔργων καὶ τῶν σημείων ἀπόδειξις τῆς διὰ τῶν λόγων πολλῷ σαφεστέρα.

Ἀλλ' ἐκεῖνο ἴσως εἴποι τις ἄν, εἰ χρὴ τὸ κήρυγμα κρατεῖν, καὶ λόγων οὐ δεῖται, ἵνα μὴ κενωθῇ ὁ σταυρός, τίνος ἕνεκεν τὰ σημεῖα κεκώλυται νῦν; Τίνος ἕνεκεν; Ἀπιστῶν λέγεις καὶ οὐδὲ ἐπὶ τῶν ἀποστόλων αὐτὰ γεγενῆσθαι καταδεχόμενος ἢ ὄντως ζητῶν μαθεῖν; Εἰ γὰρ ἀπιστῶν, πρὸς τοῦτο στήσομαι πρῶτον. Εἰ γὰρ οὐκ ἐγένετο σημεῖα τότε, πῶς ἐλαυνόμενοι καὶ διωκόμενοι καὶ τρέμοντες καὶ δεδεμένοι καὶ κοινοὶ γενόμενοι τῆς οἰκουμένης ἐχθροὶ καὶ πᾶσι πρὸς τὸ κακῶς παθεῖν προκείμενοι καὶ οὐδὲν οἴκοθεν ἔχοντες ἐπαγωγόν, οὐ λόγον, οὐ περιφάνειαν, οὐ πλοῦτον, οὐ πόλιν, οὐκ ἔθνος, οὐ γένος, οὐκ ἐπιτήδευμα, οὐ δόξαν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ πάντα τὰ ἐναντία, ἰδιωτείαν, εὐτέλειαν, πενίαν, μῖσος, ἀπέχθειαν, καὶ πρὸς δήμους ὁλοκλήρους ἱστάμενοι καὶ τοιαῦτα καταγγέλλοντες ἔπειθον; Καὶ γὰρ τὰ ἐπιτάγματα πολὺν εἶχε τὸν μόχθον καὶ τὰ δόγματα τοὺς κινδύνους· καὶ οἱ ἀκούοντες καὶ πείθεσθαι μέλλοντες, καὶ τροφῇ καὶ μέθῃ καὶ πολλῇ συντραφέντες ἦσαν κακίᾳ.

Πόθεν οὖν ἔπεισαν, εἰπέ μοι; πόθεν τὸ ἀξιόπιστον ἔσχον; Ὅπερ γὰρ ἔφθην εἰπών, εἰ σημείων χωρὶς ἔπεισαν, πολλῷ μεῖζον τὸ θαῦμα φαίνεται. Μὴ τοίνυν τὸ μὴ γίνεσθαι νῦν σημεῖα τεκμήριον ποιοῦ τοῦ μὴ γεγενῆσθαι τότε. Καὶ γὰρ καὶ τότε χρησίμως ἐγίνετο, καὶ νῦν χρησίμως οὐ

νὰ ὑποπτεύωνται ὅτι τὸ δόγμα εἶναι ἀνθρώπινον· ἡ ἁπλοϊκότης ἀπεδείκνυε σαφῶς ὅτι τοῦτο εἶναι θεῖον καὶ προῆλθε ἀπὸ τὸν οὐρανόν. Ὅταν λοιπὸν ἡ ἀπόδειξις γίνεται μὲ σοφίαν λόγων, πολλάκις καὶ οἱ φαυλότεροι ὑπερισχύουν τῶν πλέον ἀγαθῶν ὡς ἱκανώτεροι εἰς τὸ λέγειν, καὶ ἔτσι τὸ ψεῦδος ὑπερισχύει τῆς ἀληθείας. Ἐδῶ ὅμως δὲν συμβαίνει τὸ ἴδιον, διότι τὸ Πνεῦμα τὸ ἅγιον οὔτε εἰσέρχεται εἰς ἀκάθαρτον ψυχὴν οὔτε, ἐὰν εἰσέλθῃ, εἶναι δυνατὸν ποτὲ νὰ ἡττηθῇ, ἀκόμη καὶ ἂν ἐπιστρατεύεται ὅλη ἡ δεινότης τῶν λόγων· διότι ἡ ἀπόδειξις διὰ τῶν ἔργων καὶ τῶν σημείων εἶναι πολὺ σαφεστέρα ἀπὸ τὴν ἀπόδειξιν διὰ τῶν λόγων.

Ἀλλὰ ἴσως κάποιος θὰ ἔλεγεν ἐκεῖνο, ὅτι δηλαδή, ἐφ' ὅσον τὸ κήρυγμα πρέπει νὰ νικήσῃ καὶ ἐπειδὴ δὲν χρειάζεται τὴν σοφίαν τῶν λόγων, διὰ νὰ μὴ κενωθῇ ὁ σταυρός, τότε διὰ ποῖον λόγον δὲν ἐμφανίζονται τὰ σημεῖα τώρα; Διὰ ποῖον λόγον; Τὸ λέγεις ἀπὸ ἀπιστίαν καὶ διότι πιστεύεις ὅτι οὔτε ἐπὶ τῶν ἀποστόλων συνέβησαν αὐτὰ ἢ διότι πράγματι ζητεῖς νὰ μάθῃς; Διότι, ἐὰν ἐρωτᾷς ἀπὸ ἀπιστίαν, θὰ σταθῶ κατὰ πρῶτον εἰς τοῦτο. Ἐὰν λοιπὸν δὲν συνέβησαν σημεῖα τότε, πῶς ἔπειθον, ἐνῷ ἐξεδιώκοντο καὶ κατεδιώκοντο καὶ ἔτρεμον καὶ ἐφυλακίζοντο καὶ ἐνῷ ἔγιναν κοινοὶ ἐχθροὶ τῆς οἰκουμένης καὶ ὅλοι τοὺς κακομεταχειρίζοντο καὶ αὐτοὶ δὲν εἶχον τίποτε ποὺ νὰ τοὺς βοηθήσῃ, οὔτε λόγον, οὔτε λαμπρότητα, οὔτε πλοῦτον, οὔτε λαμπρὰν πόλιν, οὔτε ἔθνος, οὔτε καταγωγήν, οὔτε ἐντυπωσιακὸν ἐπάγγελμα, οὔτε δόξαν, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια, ἀλλὰ εἶχον ὅλα τὰ ἀντίθετα, ἁπλοϊκότητα, εὐτέλειαν, πενίαν, μῖσος, ἀπέχθειαν, καὶ ὅμως, ἐνῷ ἦσαν ἀντιμέτωποι πρὸς ὁλόκληρα πλήθη ἀνθρώπων καὶ ἐνῷ τέτοιο ἦτο τὸ περιεχόμενον τοῦ κηρύγματός των, πῶς ἔπειθον; Διότι βεβαίως αἱ ἐντολαὶ εἶχον ὡς συνέπειαν πολὺν μόχθον καὶ τὰ δόγματα πολλοὺς κινδύνους· ἐπὶ πλέον αὐτοὶ ποὺ ἤκουον τὸ κήρυγμα καὶ ἐπρόκειτο νὰ πεισθοῦν εἶχον συνηθίσει εἰς τὴν φιληδονίαν καὶ μέθην καὶ πολλὴν κακίαν.

Εἰπέ μου λοιπόν, πῶς τοὺς ἔπεισαν; ἀπὸ ποῦ εἶχον τὴν πειστικότητα; Αὐτὸ ἀκριβῶς ποὺ εἶπα προηγουμένως, ἐὰν δηλαδὴ ἔπεισαν χωρὶς θαύματα, τὸ θαῦμα φαίνεται πολὺ μεγαλύτερον. Τὸ ὅτι λοιπὸν δὲν γίνονται τώρα θαύματα μὴ τὸ θεωρῇς ἀπόδειξιν τοῦ ὅτι δὲν ἔγιναν θαύματα τότε· διότι καὶ τότε διὰ ὠφέλειαν ἔγιναν καὶ

γίνεται. Οὐκ ἀναγκάζει δὲ τὸ λόγῳ πείθεσθαι μόνῳ νῦν ἐν σοφίᾳ εἶναι τὸ κήρυγμα. Οἵ τε γὰρ ἐξ ἀρχῆς τὸν λόγον σπείραντες ἰδιῶται ἦσαν καὶ ἀμαθεῖς καὶ οὐδὲν οἴκοθεν ἔλεγον, ἀλλ' ἅπερ ἐδέξαντο παρὰ τοῦ Θεοῦ, ταῦτα τῇ οἰκουμένῃ διέδωκαν· ἡμεῖς τε αὐτοὶ νῦν οὐ τὰ παρ' ἑαυτῶν ἐπεισφέρομεν, ἀλλὰ ἃ παρ' ἐκείνων ἐλάβομεν, ταῦτα εἰς ἅπαντας λέγομεν. Καὶ οὐδὲ νῦν ἀπὸ συλλογισμῶν πείθομεν, ἀλλ' ἀπὸ τῶν θείων Γραφῶν καὶ ἀπὸ τῶν τότε σημείων τὴν πίστιν ὧν λέγομεν παρεχόμεθα. Καὶ οὗτοι δὲ τότε οὐχὶ σημείοις ἔπειθον μόνοις ἀλλὰ καὶ διαλεγόμενοι· τοὺς δὲ λόγους ἰσχυροτέρους ἐποίει φαίνεσθαι τὰ σημεῖα καὶ αἱ ἐκ τῆς παλαιᾶς Γραφῆς μαρτυρίαι, οὐχ ἡ δεινότης τῶν λεγομένων.

Πῶς οὖν, φησί, χρήσιμον τότε τὰ σημεῖα, καὶ νῦν οὐ χρήσιμον; Ὑποθώμεθα τῷ λόγῳ· πρὸς γὰρ τὸν Ἕλληνά μοι τέως ὁ ἀγών· διὰ τοῦτο καθ' ὑπόθεσιν λέγω τὸ πάντως ἐσόμενον· ὑποθώμεθα τοίνυν τῷ λόγῳ καὶ ἀνασχέσθω πιστεῦσαι ὁ ἄπιστος κἂν κατὰ συνδρομὴν τοῖς λεγομένοις, οἷον ὅτι ὁ Χριστὸς ἥξει· ὅταν οὖν ὁ Χριστὸς ἔλθῃ καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ καὶ δειχθῇ Θεὸς καὶ πάντα αὐτῷ ὑποτεταγμένα, οὐ πιστεύσει καὶ ὁ Ἕλλην; Εὔδηλον ὅτι καὶ προσκυνήσει καὶ Θεὸν ἐρεῖ, κἂν μυριάκις ἀνένδοτος ᾖ.

3. Τίς γὰρ ὁρῶν τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ αὐτὸν ἐπὶ τῶν νεφελῶν ἐρχόμενον καὶ πάντα τὸν δῆμον τῶν ἄνω δυνάμεων αὐτῷ περικεχυμένον καὶ ποταμοὺς πυρὸς ἑλκομένους καὶ πάντας παρεστῶτας καὶ τρέμοντας, οὐχὶ προσκυνήσει καὶ Θεὸν ἡγήσεται; Ἆρ' οὖν, εἰπέ μοι, λογισθήσεται τῷ Ἕλληνι εἰς πίστιν ἡ προσκύνησις ἐκείνη καὶ ἡ γνῶσις; Οὐδαμῶς. Τί δήποτε; Ὅτι τοῦτο πίστις οὐκ ἔστιν· ἡ γὰρ ἀνάγκη τοῦτο ἐποίησε καὶ ἡ περιφάνεια τῶν ὁρωμένων, καὶ οὐκ ἔστι τὸ πρᾶγμα προαιρέσεως, ἀλλ' ἀπὸ τοῦ μεγέθους τῶν ὀφθέντων τὰ τῆς διανοίας εἵλκύσθη. Οὐκοῦν ὅσῳ ἂν φανότερα καὶ ἀναγκαστικώτερα ᾖ τὰ γινόμενα, τοσούτῳ τὰ τῆς πίστεως ἐλαττοῦται· διὰ τοῦτο σημεῖα νῦν οὐ γίνεται. Καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τί φησι

τώρα διὰ ὠφέλειαν δὲν γίνονται. Ἐπειδὴ πείθεται κανεὶς μόνον μὲ τὸν λόγον, αὐτὸ δὲν ἀναγκάζει τώρα τὸ κήρυγμα νὰ γίνεται μὲ κοσμικὴν σοφίαν· διότι ὅσοι ἐξ ἀρχῆς ἔσπειραν τὸν λόγον ἦσαν ἁπλοῖ ἄνθρωποι καὶ ἀμαθεῖς καὶ τίποτε δὲν ἔλεγον ἀπὸ τὸν ἑαυτόν των, ἀλλὰ ὅσα ἐδέχθησαν ἀπὸ τὸν Θεὸν αὐτὰ τὰ διέδωσαν εἰς τὴν οἰκουμένην· καὶ ἐμεῖς οἱ ἴδιοι τώρα δὲν προσθέτομεν ἰδικά μας, ἀλλὰ ὅσα ἐλάβομεν ἀπὸ ἐκείνους αὐτὰ λέγομεν εἰς ὅλους. Καὶ οὔτε τώρα πείθομεν μὲ συλλογισμούς, ἀλλὰ μὲ τὰς θείας Γραφὰς καὶ τὰ τότε θαύματα πείθομεν εἰς ὅσα λέγομεν. Ἐξ ἄλλου καὶ αὐτοὶ τότε δὲν ἔπειθον μὲ μόνα τὰ σημεῖα, ἀλλὰ καὶ μὲ τὸν διάλογον· τοὺς δὲ λόγους των τοὺς ἔκαμναν νὰ φαίνωνται ἰσχυρότεροι τὰ θαύματα καὶ αἱ μαρτυρίαι ἀπὸ τὴν Παλαιὰν Διαθήκην, ὄχι ἡ δεινότης τῶν λόγων.

Πῶς λοιπόν, θὰ ἔλεγε κάποιος, τότε τὰ θαύματα ἦσαν χρήσιμα καὶ τώρα δὲν εἶναι χρήσιμα; Ἂς ἀπαντήσωμεν· κατὰ πρῶτον ἡ ἀπάντησίς μου θὰ ἀπευθύνεται πρὸς τὸν ἐθνικόν· διὰ τοῦτο ὡς ὑπόθεσιν ἐκλαμβάνω αὐτὸ ποὺ ὁπωσδήποτε θὰ γίνῃ. Ἂς ἀρχίσωμεν λοιπόν, καὶ ὁ ἄπιστος ἂς δεχθῇ νὰ πιστεύσῃ τὰ ὅσα λέγομεν, π.χ. ὅτι ὁ Χριστὸς θὰ ἔλθῃ. Ὅταν λοιπὸν ἔλθῃ ὁ Χριστὸς καὶ ὅλοι οἱ ἄγγελοι μαζί του καὶ ἀποδειχθῇ ὅτι εἶναι Θεός καὶ ὅτι ὅλα εἶναι ὑποτεταγμένα εἰς αὐτόν, δὲν θὰ πιστεύσῃ καὶ ὁ ἐθνικός; Εἶναι φανερὸν ὅτι καὶ θὰ προσκυνήσῃ καὶ θὰ ὁμολογήσῃ ὅτι εἶναι Θεός, ἀκόμη καὶ ἂν ἦτο ἕως τότε μυριάκις ἀνένδοτος.

3. Ποῖος λοιπὸν δὲν θὰ τὸν προσκυνήσῃ καὶ δὲν θὰ τὸν θεωρήσῃ Θεόν, ὅταν θὰ βλέπῃ τοὺς οὐρανοὺς νὰ ἀνοίγουν καὶ τὸν ἴδιον τὸν Χριστὸν νὰ ἔρχεται ἐπὶ τῶν νεφελῶν καὶ ὅλον τὸ πλῆθος τῶν οὐρανίων δυνάμεων νὰ τὸν περικυκλώνουν καὶ ποταμοὺς πυρὸς νὰ ρέουν καὶ ὅλους τοὺς ἀνθρώπους νὰ εἶναι ἐκεῖ παρόντες καὶ νὰ τρέμουν; Εἰπέ μου λοιπόν, ἆρά γε ἡ προσκύνησις ἐκείνη καὶ ἡ γνῶσις θὰ θεωρηθοῦν πίστις τοῦ ἐθνικοῦ; Καθόλου. Τί τέλος πάντων εἶναι; Εἶναι φανερὸν ὅτι τοῦτο δὲν εἶναι πίστις, διότι τὸ ἔκανεν ἡ ἀνάγκη καὶ τὸ ὁλοφάνερον τῶν ὅσον εἶδον, καὶ τὸ πρᾶγμα δὲν εἶναι ἀποτέλεσμα τῆς βουλήσεως, ἀλλὰ ἡ διάνοια εἱλκύσθη ἀπὸ τὸ μέγεθος τῶν ὅσων εἶδεν. Ὅσον λοιπὸν φανερώτερα καὶ ἀναγκαστικώτερα εἶναι τὰ γινόμενα, τόσον ἐλαττοῦται ἡ θέσις τῆς πίστεως· διὰ τοῦτο τώρα δὲν γίνονται θαύματα. Καὶ ὅτι τοῦτο ἔτσι εἶ-

πρὸς τὸν Θωμᾶν· «Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύοντες». Οὐκοῦν ὅσῳ ἂν φανερώτερον ἀποδειχθῇ τὸ σημεῖον, τοσούτῳ τῆς πίστεως ὁ μισθὸς ἐλαττοῦται. Ὥστε, εἰ καὶ νῦν σημεῖα ἐγίνετο, τὸ αὐτὸ ἂν ἐγένετο.

Ὅτι γὰρ τότε διὰ πίστεως οὐκέτι αὐτὸν εἰσόμεθα, ἐδήλωσεν εἰπὼν ὁ Παῦλος· «Νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ «διὰ εἴδους». Ὡς οὖν τότε πιστεύοντί σοι τὸ πρᾶγμα οὐ λογίζεται διὰ τὸ περιφανές, οὕτω καὶ νῦν, εἰ σημεῖα ἐγίνετο τοιαῦτα, οἷα καὶ ἔμπροσθεν. Ὅταν γὰρ ἃ μηδαμῇ μηδαμῶς ἔστι λογισμοῖς εὑρεῖν καταδεξώμεθα, τότε ἡ πίστις ἐστί. Διὰ τοῦτο καὶ ἡ γέεννα ἠπείληται μέν, οὐ φαίνεται δέ· ἐπεί, εἰ καὶ ἐφαίνετο, ταὐτὸ συνέβαινε πάλιν. Ἄλλως δέ, εἰ σημεῖα ζητεῖς, καὶ νῦν ὄψει σημεῖα, εἰ μὴ τοιαῦτα, τὰς προρρήσεις τὰς μυρίας καὶ περὶ μυρίων πραγμάτων, τῆς οἰκουμένης τὴν ἐπιστροφήν, τῶν βαρβάρων τὴν φιλοσοφίαν, τῶν ἀγρίων ἠθῶν τὴν μετάστασιν, τῆς εὐλαβείας τὴν ἐπίτασιν.

Καὶ ποίας προρρήσεις, φησί; μετὰ γὰρ ταῦτα ἐγράφη τὰ προειρημένα ἅπαντα. Πότε καὶ ποῦ καὶ ὑπὸ τίνος, εἰπέ μοι; καὶ πρὸ πόσων ἐτῶν; Βούλει πρὸ πεντήκοντα ἢ ἑκατόν; οὐκοῦν πρὸ τῶν ἑκατὸν οὐδὲν εἶχον ἔγγραφον ὅλως. Πῶς οὖν κατεῖχε τὰ δόγματα ἡ οἰκουμένη καὶ τὰ ἄλλα πάντα, τῆς μνήμης οὐκ ἀρκούσης; πόθεν δὲ ᾔδεσαν ὅτι Πέτρος ἀνεσκολοπίσθη; πόθεν δὲ ἐπῆλθε τοῖς μετὰ ταῦτα προειπεῖν, οἷον ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται πανταχοῦ τῆς οἰκουμένης, ὅτι τὰ Ἰουδαϊκὰ παύσεται καὶ οὐκ ἐπανήξει πάλιν; Οἱ δὲ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κηρύγματος προέμενοι, πῶς ἂν ἤνεγκαν τὸ κήρυγμα παραποιούμενον ὁρῶντες; πῶς δ᾽ ἂν ἐπιστεύθησαν οἱ γράφοντες τῶν σημείων παυσαμένων; πῶς δ᾽ ἂν τὰ γραφέντα καὶ εἰς τὴν βαρβάρων καὶ εἰς τὴν Ἰνδῶν καὶ πρὸς αὐτὰ τοῦ ὠκεανοῦ τὰ πέρατα ἀφίκετο οὐκ ὄντων τῶν λεγόντων ἀξιοπίστων;

---

9. Ἰω. 20,29.
10. Β´ Κορ. 5,7.
11. Βλ. σχόλιον ἀρ. 18 Β´ Λόγου τοῦ παρόντος.

ναι, ἄκουσε τί λέγει πρὸς τὸν Θωμᾶν: «Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες»[9]. Λοιπὸν ὅσον φανερώτερον ἀποδειχθῇ τὸ θαῦμα, τόσον ἐλαττοῦται ὁ μισθὸς τῆς πίστεως. Ὥστε, ἐὰν ἐγίνοντο καὶ τώρα σημεῖα, θὰ συνέβαινε τὸ ἴδιον.

Τὸ ὅτι λοιπὸν τότε δὲν θὰ τὸν γνωρίσωμεν διὰ τῆς πίστεως τὸ ἐδήλωσεν ὁ Παῦλος μὲ τὸ νὰ εἴπῃ· «Νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους»[10]. Ὅπως λοιπὸν τότε, ἐὰν ἐπίστευες, ἡ πίστις σου δὲν θὰ εἶχε μεγάλην ἀξίαν λόγῳ τοῦ ὅτι τὰ σημεῖα θὰ ἦσαν ὁλοφάνερα, ἔτσι καὶ τώρα θὰ συνέβαινεν, ἐὰν ἐγίνοντο τέτοια θαύματα, ὅποια καὶ εἰς τὸ παρελθόν. Ὅταν λοιπὸν δεχθῶμεν ὅσα κατ' οὐδένα τρόπον εἶναι δυνατὸν νὰ εὕρωμεν μὲ τὸ λογικόν, τότε αὐτὸ εἶναι ἡ πίστις. Διὰ τοῦτο καὶ ἡ κόλασις παρουσιάζεται μὲν ὡς ἀπειλή, δὲν φαίνεται ὅμως· διότι ἐὰν ἐφαίνετο, θὰ συνέβαινε πάλιν τὸ ἴδιον. Ἄλλωστε, ἐὰν ζητῇς θαύματα, καὶ τώρα θὰ ἴδῃς θαύματα, ἂν καὶ ἄλλου εἴδους, δηλαδὴ τὰς μυρίας προρρήσεις διὰ μύρια πράγματα, τὴν ἐπιστροφὴν τῆς οἰκουμένης εἰς τὸν Χριστόν, τὴν φιλοσοφίαν[11] τῶν βαρβάρων, τὴν μεταβολὴν τῶν ἀγρίων ἠθῶν, τὴν αὔξησιν τῆς εὐλαβείας.

Ἀλλά, θὰ ἔλεγε κάποιος, ποίας προρρήσεις ἐννοεῖ ; διότι ὅλα τὰ ἀνωτέρω ἐγράφησαν μετὰ ἀπὸ αὐτά. Εἰπέ μου· Πότε, ποῦ καὶ ὑπὸ τίνος; καὶ πρὸ πόσων ἐτῶν; θέλεις πρὸ πενήντα ἢ ἑκατὸν ἐτῶν; βέβαια πρὸ τῶν ἑκατὸν ἐτῶν δὲν εἶχον ἀπολύτως τίποτε γραμμένον σχετικῶς. Πῶς λοιπὸν ἡ οἰκουμένη κατεῖχε τὰ δόγματα καὶ ὅλα τὰ ἄλλα, ἀφοῦ ἡ μνήμη δὲν ἦτο ἀρκετή; καὶ πῶς ἐγνώριζον ὅτι ὁ Πέτρος ἐσταυρώθη; καὶ πῶς ἦλθεν εἰς τὸν νοῦν τῶν μεταγενεστέρων νὰ προείπουν π.χ. ὅτι τὸ Εὐαγγέλιον θὰ κηρυχθῇ εἰς ὅλην τὴν οἰκουμένην, ὅτι ὅλα τὰ Ἰουδαϊκὰ θὰ καταργηθοῦν καὶ δὲν θὰ ἐπανέλθουν πλέον; Αὐτοὶ δὲ ποὺ διεκινδύνευον τὴν ζωὴν των ὑπὲρ τοῦ κηρύγματος, πῶς θὰ ὑπέφερον νὰ βλέπουν τὸ κήρυγμα νὰ νοθεύεται; πῶς θὰ ἐγίνοντο πιστευτοὶ οἱ γράφοντες, ἐὰν ἔπαυον τὰ θαύματα; καὶ πῶς τὰ ὅσα ἐγράφησαν θὰ ἔφθαναν εἰς τὰς χώρας τῶν βαρβάρων καὶ τῶν Ἰνδῶν καὶ εἰς τὰ ἴδια πέρατα τοῦ ὠκεανοῦ, ἐὰν οἱ κηρύσσοντες τὸ Εὐαγγέλιον δὲν ἦσαν ἀξιόπιστοι;

Τίνες δὲ οἱ γράφοντες, καὶ πότε, καὶ ποῦ; τίνος δὲ ἕνεκεν καὶ ἔγραφον; Ἆρα δόξαν ἑαυτοῖς περιποιούμενοι; πῶς οὖν ἑτέροις τὰ βιβλία ἐπέγραψαν; Ἀλλὰ τὸ δόγμα συστῆσαι βουλόμενοι; Πότερον ὡς ἀληθὲς ἢ ὡς ψευδές; εἰ γὰρ ὡς ψευδεῖ προσεῖχον, οὐδὲ προσελθεῖν ἦν εἰκός· εἰ δὲ ὡς ἀληθεῖ, πλασμάτων οὐκ ἔδει, καθὼς σὺ φῄς. Ἄλλως δὲ καὶ αἱ προρρήσεις τοιαῦταί εἰσιν, ὡς καὶ μέχρι τοῦ παρόντος μὴ δύνασθαι βιάζεσθαι χρόνῳ τὰ εἰρημένα. Τὸ μὲν γὰρ καθαιρεθῆναι τὰ Ἱεροσόλυμα γέγονε πρὸ πολλῶν ἐτῶν, εἰσὶ δὲ καὶ ἕτεραι προρρήσεις αἱ ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρουσίας αὐτοῦ παρατείνουσαι, ἃς ὡς βούλει δοκίμασον, οἷον τὸ «Ἀεὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος», τὸ «Ἐπὶ τὴν πέτραν ταύτην οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», τὸ «Κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο εἰς πάντα τὰ ἔθνη, καὶ ὃ ἐποίησεν ἡ γυνὴ ἡ πόρνη, καὶ ἕτεραι πολλαὶ τούτων πλείους.

Πόθεν οὖν ἡ ἀλήθεια τῆς προρρήσεως ταύτης, εἴγε πλάσμα ἦν; πῶς οὐ κατίσχυσαν πύλαι ᾅδου τῆς Ἐκκλησίας; πῶς ἀεὶ μεθ' ἡμῶν ἐστιν ὁ Χριστός; οὐ γὰρ ἄν, εἰ μὴ μεθ' ἡμῶν ἦν, ἐκράτησεν ἂν ἡ ἐκκλησία· πῶς τὸ εὐαγγέλιον ἐξετάθη πανταχοῦ τῆς οἰκουμένης; Ἱκανοὶ δὲ καὶ οἱ καθ' ἡμῶν εἰρηκότες τὴν ἀρχαιότητα μαρτυρῆσαι τοῖς βιβλίοις, οἱ περὶ Κέλσον καὶ τὸν Βατανεώτην τὸν μετ' ἐκεῖνον· οὐ γὰρ δὴ τοῖς μετ' αὐτοὺς συντεθεῖσιν ἀντέλεγον· ἄλλως δὲ καὶ ἡ οἰκουμένη πᾶσα ὁμοφώνως αὐτὸ δεξαμένη. Οὐκ ἂν δέ, εἰ μὴ Πνεύματος χάρις ἦν, τοσαύτη γέγονε συμφωνία ἀπὸ περάτων εἰς πέρατα τῆς γῆς, ἀλλ' ἑάλωσαν ἂν

---

12. Οἱ Ρωμαῖοι ὑπὸ τὸν αὐτοκράτορα Τίτον μετὰ μακρὰν πολιορκίαν κατέλαβον τὴν Ἱερουσαλὴμ τὴν 7ην Αὐγούστου 70 μ.Χ., κατέστρεψαν αὐτὴν ὁλοσχερῶς καὶ κατέσφαξαν ὁλόκληρον σχεδὸν τὸν πληθυσμόν.

13. Ματθ. 28,20.

14. αὐτ. 16,18.

15. αὐτ. 24,14.

16. αὐτ. 26,13.

Ποῖοι δὲ ἦσαν οἱ συγγραφεῖς καὶ πότε ἔγραψαν καὶ ποῦ; καὶ διὰ ποῖον λόγον ἔγραφον; Ἆρά γε διὰ νὰ ἀποκτήσουν προσωπικὴν δόξαν; πῶς λοιπὸν ἀπέδωσαν τὰ βιβλία εἰς ἄλλους; μήπως ἐπειδὴ ἤθελον νὰ καθορίσουν τὸ δόγμα; ποῖον ἐκ τῶν δύο, νὰ καθορίσουν τὸ δόγμα ὡς ἀληθὲς ἢ ὡς ψευδές; διότι, ἐὰν εἶχον νὰ προσέξουν κάτι τὸ ψευδές, θὰ ἦτο φυσικὸν οὔτε κἂν νὰ προσέλθουν εἰς τὴν πίστιν· ἐὰν ὅμως ἐκολοῦντο νὰ πιστεύσουν κάτι τὸ ἀληθές, δὲν ἐχρειάζοντο ἐπινοήματα, καθὼς σὺ λέγεις. Ἄλλωστε καὶ αἱ προρρήσεις ἦσαν τέτοιαι, ὥστε καὶ μέχρι σήμερον τὰ ὅσα ἐλέχθησαν νὰ μὴ εἶναι δυνατὸν νὰ ἀποκαλυφθοῦν ψευδῆ ἀπὸ τὸν χρόνον. Δηλαδὴ ἡ μὲν καταστροφὴ τῶν Ἱεροσολύμων συνέβη πρὸ πολλῶν ἐτῶν[12], ὑπάρχουν δὲ καὶ ἄλλαι προρρήσεις, αἱ ὁποῖαι καλύπτουν τὸ διάστημα ἀπὸ ἐκεῖνον τὸν χρόνον μέχρι τῆς δευτέρας παρουσίας του, τὰς ὁποίας ἐξέτασε ὅπως θέλεις, π.χ. τὸ «πάντοτε εἶμαι μαζί σας μέχρι τῆς συντελείας τοῦ κόσμου»[13], τὸ «Ἐπάνω εἰς αὐτὴν τὴν πέτραν θὰ οἰκοδομήσω τὴν Ἐκκλησίαν μου, καὶ αἱ πύλαι τοῦ ᾅδου δὲν θὰ τὴν καταβάλουν»[14], τὸ «Τὸ Εὐαγγέλιον αὐτὸ θὰ κηρυχθῇ εἰς ὅλα τὰ ἔθνη»[15], καὶ ὅ,τι ἔκανε ἡ πόρνη γυναῖκα[16], καὶ ἄλλαι πολλαὶ προρρήσεις περισσότεραι ἀπὸ αὐτάς.

Ἀπὸ ποῦ λοιπὸν προῆλθεν ἡ ἀλήθεια τῆς προρρήσεως αὐτῆς, ἐὰν πράγματι ἦτο ἐπινόησις; πῶς δὲν ὑπερίσχυσαν αἱ πύλαι τοῦ ᾅδου τῆς Ἐκκλησίας; πῶς εἶναι πάντοτε μαζί μας ὁ Χριστός; διότι, ἐὰν δὲν ἦτο μαζί μας, δὲν θὰ ὑπερίσχυεν ἡ Ἐκκλησία· πῶς διεδόθη τὸ Εὐαγγέλιον εἰς ὅλην τὴν οἰκουμένην; Εἶναι δὲ ἀρκετοὶ καὶ ὅσοι ἔχουν εἴπει ἐναντίον μας διὰ τὴν χρησιμοποίησιν τῆς ἀρχαιότητος τῶν βιβλίων μας, οἱ περὶ τὸν Κέλσον[17] καὶ τὸν Βατανιώτην τὸν μετὰ ἀπὸ ἐκεῖνον· διότι δὲν ἀντέλεγον εἰς ὅσα εἶχον ἐκδοθῆ μετὰ ἀπὸ αὐτούς· ἄλλωστε καὶ ἡ οἰκουμένη ὅλη ὁμοφώνως τὰ ἐδέχθη. Ἐὰν δὲν ὑπῆρχεν ἡ χάρις τοῦ ἁγίου Πνεύματος, δὲν θὰ συνέβαινε τόσον πλήρης συμφωνία ἀπὸ τὴν μίαν ἕως τὴν ἄλλην ἄκρην

17. **Κέλσος**: Ἕλλην φιλόσοφος τοῦ β' ἡμίσεος τοῦ 2ου αἰῶνος μ.Χ. Πολέμιος τοῦ Χριστιανισμοῦ συνέγραψε βιβλίον μὲ τὸν τίτλον «Λόγος ἀληθής»· τὰς ἀπόψεις αὐτοῦ ἀντέκρουσεν ὁ Ὠριγένης εἰς τὸ «Κατὰ Κέλσου» σύγγραμμά του.

ταχέως οἱ πλάττοντες, καὶ οὐκ ἂν τοσαῦτα κατορθώματα ἀπὸ πλασμάτων καὶ ψεύδους συνέστη. Ἢ οὐχ ὁρᾷς τὴν οἰκουμένην πᾶσαν προσελθοῦσαν, τὴν πλάνην σβεσθεῖσαν; τὴν τῶν μοναχῶν φιλοσοφίαν ὑπὲρ τὸν ἥλιον λάμπουσαν; τοὺς τῶν παρθένων χορούς; τὴν ἐν βαρβάροις εὐλάβειαν; πάντας ὑπὸ ζυγὸν δουλεύοντας ἕνα; Οὐδὲ γὰρ παρ' ἡμῶν ταῦτα προείρηται μόνον, ἀλλὰ καὶ ἄνωθεν παρὰ τῶν προφητῶν. Οὐ γὰρ δήπου καὶ ἐκείνων ἐπιλήψῃ τῶν προρρήσεων· παρὰ γὰρ τοῖς ἐχθροῖς τὰ βιβλία, καὶ παρὰ Ἑλλήνων σπουδασάντων εἰς τὴν Ἑλλάδα μετηνέχθη γλῶτταν. Πολλὰ δὴ καὶ οὗτοι περὶ τούτων προλέγουσι δεικνύοντες ὅτι Θεὸς ἦν ὁ παρέσεσθαι μέλλων.

4. Πῶς οὖν οὐ πάντες πιστεύουσι νῦν; Ὅτι ἐπὶ τὸ χεῖρον τὰ πράγματα προῆλθε, καὶ τούτων ἡμεῖς αἴτιοι· λοιπὸν γὰρ καὶ πρὸς ἡμᾶς ὁ λόγος. Οὐ γὰρ δήπου σημείοις καὶ τότε ἐπίστευον μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ βίου πολλοὶ τῶν προσιόντων ἐνήγοντο· «Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς», φησίν, «ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Καί, «Πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτοῖς ἔλεγεν ἴδιον εἶναι, ἀλλ' εἶχον ἅπαντα κοινά», καὶ «διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε», καὶ βίον ἔζων ἀγγελικόν. Καὶ νῦν ἂν γένηται τοῦτο, τὴν οἰκουμένην ἐπιστρέψομεν ἅπασαν καὶ σημείων χωρίς.

Τέως δὲ οἱ βουλόμενοι σωθῆναι προσεχέτωσαν ταῖς Γραφαῖς· εὑρήσουσι γὰρ ἐκεῖ καὶ ταῦτα, καὶ τὰ τούτων πλείονα κατορθώματα. Καὶ γὰρ οἱ διδάσκαλοι αὐτοὶ ὑπερέβαινον τὰ ἐκείνων ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διάγοντες· ἡμεῖς δὲ βουλόμεθα πολλῆς ἀπολαῦσαι τροφῆς καὶ ἀναπαύσεως καὶ ἀδείας. Ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλ' ἐβόων, «Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν». Καὶ οἱ μὲν

---

18. Βλ. σχόλιον ἀρ. 18 Β' λόγου τοῦ παρόντος.
19. Ματθ. 5,16.
20. Πρ. 4, 32, 35.

τῆς γῆς, ἀλλὰ ταχέως θὰ ἀπεκαλύπτοντο οἱ ἐπινοοῦντες ψεύδη, καὶ τόσα πολλὰ καὶ τέτοια κατορθώματα δὲν θὰ συνέβαινον μὲ φανταστικὰς ἐπινοήσεις καὶ ψεύδη. Ἢ δὲν βλέπεις ὅτι ὅλη ἡ οἰκουμένη προσῆλθεν εἰς τὴν πίστιν καὶ ὅτι ἡ πλάνη κατέρρευσεν; ὅτι ἡ φιλοσοφία[18] τῶν μοναχῶν λάμπει περισσότερον ἀπὸ τὸν ἥλιον; δὲν βλέπεις τὰ πλήθη τῶν παρθένων, τὴν εὐλάβειαν τῶν βαρβάρων; δὲν βλέπεις ὅτι ὅλοι εἶναι δοῦλοι ὑπὸ ἕνα ζυγόν; Καὶ οὔτε ἀπὸ ἐμᾶς μόνον ἔχουν προλεχθῆ αὐτά, ἀλλὰ καὶ ἀπὸ τοὺς θεοπνεύστους προφήτας. Δὲν θὰ ἀμφισβητήσῃς βεβαίως καὶ ἐκείνας τὰς προρρήσεις· διότι αὐτὰ τὰ βιβλία τὰ ἔχουν οἱ ἐχθροί μας καὶ μετεφράσθησαν εἰς τὴν ἑλληνικὴν γλῶσσαν ἀπὸ μορφωμένους Ἕλληνας. Καὶ αὐτοὶ λοιπὸν προλέγουν πολλὰ περὶ τούτων, ἀποδεικνύοντες ὅτι ἦτο Θεὸς αὐτὸς ποὺ ἐπρόκειτο νὰ ἔλθῃ.

4. Πῶς λοιπὸν τώρα δὲν πιστεύουν ὅλοι; Διότι τὰ πράγματα ἐχειροτέρευσαν, καὶ δι' αὐτὰ ἐμεῖς εἴμεθα αἴτιοι· ἀπομένει δηλαδὴ νὰ ὁμιλήσωμεν καὶ διὰ τὸν ἑαυτόν μας. Δὲν ἐπίστευον λοιπὸν καὶ τότε μόνον εἰς θαύματα, ἀλλὰ πολλοὶ ἀπὸ τοὺς προσερχομένους εἰς τὴν πίστιν προσειλκύοντο καὶ ἀπὸ τὴν ζωὴν τῶν πιστῶν· διότι λέγει· «Ἂς λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἴδουν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιον»[19], καί· «Ἡ καρδία καὶ ἡ ψυχὴ ὅλων ἦτο μία καὶ κανεὶς δὲν ἔλεγε ὅτι κάτι ἀπὸ τὰ ὑπάρχοντά του τοῦ ἀνῆκεν, ἀλλὰ ὅλα τὰ εἶχον κοινά», καί· «ἐδίδετο εἰς τὸν καθένα ὅ,τι εἶχεν ἀνάγκη»[20], καὶ ἔζων βίον ἀγγελικόν. Ἂν γίνῃ τοῦτο καὶ σήμερα, θὰ ἐπιστρέψωμεν ὅλην τὴν οἰκουμένην εἰς τὴν πίστιν καὶ χωρὶς θαύματα.

Κατὰ πρῶτον αὐτοὶ ποὺ θέλουν νὰ σωθοῦν ἂς προσέξουν εἰς τὰς Γραφάς, διότι ἐκεῖ θὰ εὕρουν καὶ αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ κατορθώματα. Ὡς γνωστόν, οἱ διδάσκαλοι αὐτοὶ ὑπερέβαινον τὰ κατορθώματα ἐκείνων ζῶντες μὲ πεῖναν καὶ δίψαν καὶ γυμνότητα, ἐνῷ ἐμεῖς θέλομεν νὰ ἀπολαύσωμεν πολλῆς τροφῆς καὶ ἀναπαύσεως καὶ ἀνέσεως· ἐκεῖνοι ὅμως δὲν ἤθελον τέτοια, ἀλλὰ διεκήρυττον: «Μέχρι τῆς ὥρας αὐτῆς καὶ πεινῶμεν καὶ διψῶμεν καὶ στερούμεθα τῶν ἀναγκαίων ἐνδυμάτων καὶ δεχόμεθα κτυπήματα καὶ

ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ ἔτρεχον, ὁ δὲ εἰς τὴν Ἰνδῶν, ὁ δὲ εἰς τὴν Μαύρων, ἄλλος δὲ πρὸς ἄλλα μέρη τῆς οἰκουμένης· ἡμεῖς δὲ οὐδὲ τῆς πατρίδος ἐξελθεῖν τολμῶμεν, ἀλλὰ τρυφὴν ζητοῦμεν καὶ οἰκίας λαμπρὰς καὶ πᾶσαν τὴν ἄλλην ἀφθονίαν. Τίς γὰρ ἡμῶν ἐλίμωξέ ποτε διὰ τὸν τοῦ Θεοῦ λόγον; τίς ἐν ἐρήμῳ γέγονε; τίς ἀποδημίαν ἐστείλατο μακράν; τίς τῶν διδασκάλων ἐκ τῶν χειρῶν ζῶν ἑτέροις ἐπεκούρησε; τίς θάνατον ὑπέμεινε καθημερινόν; Ἐντεῦθεν καὶ οἱ μεθ' ἡμῶν ὄντες ῥᾳθυμότεροι γίνονται. Καὶ γὰρ εἰ στρατιώτας τις εἶδε καὶ στρατηγοὺς λιμῷ καὶ δίψει καὶ θανάτῳ καὶ πᾶσι τοῖς δεινοῖς παλαίοντας καὶ κρυμὸν καὶ κινδύνους καὶ πάντα φέροντας καθάπερ λέοντας καὶ κατορθοῦντας, εἶτα μετὰ ταῦτα ἐκλύσαντας τὴν φιλοσοφίαν ἐκείνην καὶ μαλακωτέρους γενομένους καὶ χρημάτων ἐρῶντας καὶ πραγματείας καὶ καπηλείαις προσέχοντας καὶ ἡττωμένους ὑπὸ τῶν πολεμίων, ἐσχάτης ἀνοίας ἦν τὴν αἰτίαν τούτων ζητεῖν.

Τοῦτο δὲ καὶ ἐφ' ἡμῶν καὶ τῶν προγόνων λογισώμεθα καὶ γὰρ πάντων ἐγενόμεθα ἀσθενέστεροι, καὶ τῷ παρόντι προσηλώμεθα βίῳ. Κἂν εὑρεθῇ τις ἴχνος ἔχων τῆς παλαιᾶς φιλοσοφίας, τὰς πόλεις ἀφεὶς καὶ τὰς ἀγορὰς καὶ τὸ ἐν μέσῳ στρέφεσθαι καὶ τοὺς ἄλλους ῥυθμίζειν τὰ ὄρη καταλαμβάνει· κἂν ἔρηταί τις τῆς ἀναχωρήσεως τὴν αἰτίαν, εὑρίσκει πρόφασιν συγγνώμην οὐκ ἔχουσαν. Ἵνα γὰρ μὴ παραπόλωμαι, φυσί, μηδὲ ἀμβλύτερος γένωμαι τὴν ἀρετήν, ἀποπηδῶ. Καὶ πόσῳ βέλτιον ἀμβλύτερόν σε γενέσθαι καὶ τοὺς ἄλλους κερδᾶναι ἢ μένοντα ἐν ὕψει περιϊδεῖν ἀπολλυμένους τοὺς ἀδελφούς; Ὅταν οὖν οἱ μὲν ἀρετῆς ἀμελῶσιν, οἱ δὲ ἐπιμελούμενοι πόρρω τῆς παρατάξεως γίνωνται, πόθεν αἱρήσομεν τοὺς ἐχθρούς; Εἰ γὰρ καὶ σημεῖα ἦν νῦν, τίς ἂν ἐπείσθη; ἢ τίς ἂν προσέσχεν ἡμῖν τῶν ἔξωθεν

---

21. Α' Κορ. 4,11.
22. Βλ. σχόλ. ἀρ. 18 Β' Ὁμιλίας τοῦ παρόντος.

δὲν ἔχομεν μόνιμον κατοικίαν»[21]. Καὶ ἄλλοι μὲν ἔτρεχον ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ, ἄλλος μαθητὴς εἰς τὴν χώραν τῶν Ἰνδῶν, ἄλλος εἰς τὴν χώραν τῶν Μαύρων, ἄλλος τέλος πρὸς ἄλλα μέρη τῆς οἰκουμένης· ἐμεῖς ὅμως οὔτε ἀπὸ τὴν πατρίδα μας τολμῶμεν νὰ ἐξέλθωμεν, ἀλλὰ ἐπιζητοῦμεν καλοπέρασιν καὶ οἰκίας λαμπρὰς καὶ κάθε εἴδους ἀφθονίαν. Ποῖος δηλαδὴ ἀπὸ ἐμᾶς ἐπείνασε ποτὲ διὰ τὸν λόγον τοῦ Θεοῦ; ποῖος διέμενεν εἰς τὴν ἔρημον; ποῖος ἀπεδήμησεν εἰς χώραν μακρυνήν; ποῖος ἀπὸ τοὺς διδασκάλους, ζῶν ὁ ἴδιος ἀπὸ χειρωνακτικὴν ἐργασίαν, ἐβοήθησεν ἄλλους; ποῖος ὑπέμεινε καθημερινὸν θάνατον; Διὰ τοὺς λόγους αὐτοὺς καὶ αὐτοὶ ποὺ ζοῦν μαζί μας γίνονται ραθυμότεροι. Ἐὰν δηλαδὴ κάποιος ἔβλεπε στρατιώτας καὶ στρατηγοὺς νὰ παλαίουν μὲ πεῖναν καὶ δίψαν καὶ θάνατον καὶ ὅλα τὰ δεινά, καὶ νὰ ὑπομένουν τὸ δριμὺ ψῦχος καὶ τοὺς κινδύνους καὶ τὰ πάντα ὡς λέοντες, καὶ νὰ ἐπιτυγχάνουν, ἐὰν κατόπιν τοὺς ἔβλεπε νὰ ἐγκαταλείπουν ἐκείνην τὴν φιλοσοφίαν[22] καὶ νὰ γίνωνται μαλθακώτεροι καὶ νὰ ποθοῦν τὰ χρήματα καὶ νὰ ἔχουν ἐστραμμένην τὴν προσοχήν των εἰς τὰς ἐμπορικὰς ἐπιχειρήσεις καὶ τὰ κέρδη τοῦ ἐμπορίου, καὶ νὰ ἡττῶνται ἀπὸ τοὺς ἐχθρούς, θὰ ἦτο ἡ μεγαλυτέρα μωρία νὰ ψάχνῃ τὴν αἰτίαν τούτων.

Αὐτὸ ὅμως ἂς τὸ μεταφέρωμεν καὶ εἰς ἐμᾶς καὶ εἰς τοὺς προγόνους μας· διότι καὶ ἀσθενέστεροι ἀπὸ ὅλους ἐγίναμεν καὶ προσηλωνόμεθα εἰς τὴν παροῦσαν ζωήν. Καὶ ἂν εὑρεθῇ κάποιος νὰ ἔχῃ ἴχνος τῆς παλαιᾶς εὐσεβείας, ἀφοῦ ἐγκαταλείψῃ τὰς πόλεις καὶ τὰς ἀγορὰς καὶ τὰς κοινωνικὰς ἀναστροφὰς καὶ τὴν διδασκαλίαν τῶν ἄλλων, ζῇ εἰς τὰ ὄρη· καὶ ἂν κάποιος ἐρωτήσῃ τὴν αἰτίαν τῆς ἀναχωρήσεως, εὑρίσκει πρόφασιν ποὺ δὲν συγχωρεῖται. Ἐγκαταλείπω τὸν κόσμον, λέγει, διὰ νὰ μὴ χαθῶ ματαίως καὶ διὰ νὰ μὴ ἐξασθενήσω εἰς τὴν ἀρετήν. Καὶ ὅμως πόσον καλύτερον εἶναι νὰ ἐξασθενήσῃς ἐσὺ καὶ νὰ κερδίσῃς τοὺς ἄλλους παρὰ νὰ μένῃς εἰς ὑψηλὸν ὄρος καὶ νὰ ἀφήνῃς ἀπὸ ἀδιαφορίαν τοὺς ἀδελφούς σου νὰ χάνωνται; Ὅταν λοιπὸν ἄλλοι μὲν ἀμελοῦν διὰ τὴν ἀρετήν, ὅσοι δὲ ἐνδιαφέρονται δι' αὐτὴν μένουν μακρυὰ ἀπὸ τὴν παράταξιν, πῶς θὰ νικήσωμεν τοὺς ἐχθρούς; Ποῖος δηλαδὴ θὰ ἐπείθετο, καὶ ἂν ἀκόμη συνέβαινον τώρα θαύματα; ἢ ποῖος ἀπὸ τοὺς ἐκτὸς τῆς πίστεως θὰ ἐπρόσεχεν εἰς ἐμᾶς, ἐφ' ὅσον τόσον κυριαρχεῖ ἡ κακία;

τῆς κακίας οὕτως ἐπιπολαζούσης; Καὶ γὰρ ὁ ὀρθὸς βίος ἡμῶν ἀξιοπιστότερος τοῖς πολλοῖς εἶναι δοκεῖ. Σημεῖα μὲν γὰρ παρὰ τῶν ἀναισχύντων καὶ πονηρῶν ἀνθρώπων καὶ ὑπόνοιαν δέξεται πονηράν, βίος δὲ καθαρὸς καὶ αὐτὸ τοῦ διαβόλου τὸ στόμα μετὰ πολλῆς τῆς περιουσίας ἐμφράξαι δυνήσεται.

Ταῦτα καὶ ἄρχουσι λέγω καὶ ἀρχομένοις καὶ πρὸ τῶν ἄλλων ἐμαυτῷ, ἵνα βίον ἐπιδειξώμεθα θαυμαστὸν καὶ συντάξαντες ἑαυτοὺς πάντων τῶν παρόντων ὑπερίδωμεν. Καταφρονήσωμεν χρημάτων, καὶ μὴ καταφρονήσωμεν γεέννης· ὑπερίδωμεν δόξης, καὶ μὴ ὑπερίδωμεν σωτηρίας· ὑπομείνωμεν ἐνταῦθα κάματον καὶ πόνον, ἵνα μὴ ἐμπέσωμεν ἐκεῖ εἰς κόλασιν. Οὕτω τοῖς Ἕλλησι πολεμήσωμεν, οὕτως αὐτοὺς αἰχμαλωτίσωμεν αἰχμαλωσίαν ἐλευθερίας ἀμείνω.

Ἀλλὰ ταῦτα μὲν λέγεται παρ' ἡμῶν συνεχῶς καὶ πολλάκις, γίνεται δὲ ὀλιγάκις. Πλὴν ἀλλ' ἐάν τε γένηται ταῦτα, ἄν τε μὴ γένηται, δίκαιον διὰ τῶν τοιούτων συνεχῶς ὑπομιμνήσκειν. Εἰ γὰρ διὰ τῆς χρηστολογίας ἐξαπατῶσί τινες, πολλῷ μᾶλλον τοὺς πρὸς τὴν ἀλήθειαν ἐπανάγοντας δίκαιον μὴ ἀποκαμεῖν τὰ συμφέροντα λέγοντας. Εἰ γὰρ οἱ ἀπατῶντες τοσούτοις κέχρηνται μηχανήμασι —καὶ γὰρ χρήματα ἀναλίσκουσι καὶ λόγους προσάγουσι καὶ κινδύνους ὑπομένουσι καὶ προστασίας ἐπιδείκνυνται— πολλῷ μᾶλλον ἡμᾶς τοὺς ἀπάτης ἀπάγοντας καὶ κινδύνους καὶ θανάτους καὶ πάντα ὑπομένειν χρή, ἵνα καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους κερδάναντες καὶ τοῖς ἐναντίοις ἀκαταγώνιστοι γενόμενοι τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ βεβαίως ὁ ὀρθὸς βίος μας φαίνεται εἰς τοὺς πολλοὺς πειστικώτερος· διότι οἱ ἀναίσχυντοι καὶ πονηροὶ ἄνθρωποι διὰ τὰ θαύματα μὲν θὰ ἔχουν πονηρὰν ὑπόνοιαν, ὁ καθαρὸς βίος ὅμως θὰ ἠμπορέσῃ μὲ πολλὴν εὐκολίαν νὰ φράξῃ καὶ τὸ ἴδιον τὸ στόμα τοῦ διαβόλου.

Αὐτὰ τὰ λέγω καὶ εἰς τοὺς ἄρχοντας καὶ εἰς τοὺς ἀρχομένους καὶ πρὶν ἀπὸ τοὺς ἄλλους τὰ λέγω εἰς τὸν ἑαυτόν μου, διὰ νὰ παρουσιάσωμεν θαυμαστὸν βίον, καὶ ἀφοῦ συντάξωμεν τοὺς ἑαυτούς μας, ἂς ἀδιαφορήσωμεν δι' ὅλα τὰ παρόντα. Ἂς καταφρονήσωμεν τὰ χρήματα, καὶ ἂς μὴ καταφρονήσωμεν τὴν κόλασιν· ἂς ἀδιαφορήσωμεν διὰ τὴν δόξαν, καὶ ἂς μὴ ἀδιαφορήσωμεν διὰ τὴν σωτηρίαν· ἂς ὑπομείνωμεν ἐδῶ τὴν κόπωσιν καὶ τὸν πόνον, διὰ νὰ μὴ πέσωμεν ἐκεῖ εἰς κόλασιν. Ἔτσι ἂς πολεμήσωμεν τοὺς ἐθνικούς, ἔτσι ἂς τοὺς αἰχμαλωτίσωμεν μὲ αἰχμαλωσίαν ποὺ εἶναι καλυτέρα ἀπὸ ἐλευθερίαν.

Ἀλλὰ αὐτὰ τὰ λέγομεν μὲν συνεχῶς καὶ πολλάκις, τὰ πράττομεν ὅμως ὀλίγας φοράς. Ἀνεξαρτήτως ὅμως τοῦ ἐὰν γίνωνται αὐτὰ ἢ δὲν γίνωνται εἶναι δίκαιον νὰ τὰ ὑπενθυμίζωμεν μὲ τέτοιους λόγους. Ἀφοῦ δηλαδὴ μερικοὶ ἐξαπατοῦν ἁπλῶς μὲ ὡραίους λόγους, πολὺ περισσότερον ὅσοι ἐπαναφέρουν τοὺς ἀνθρώπους πρὸς τὴν ἀλήθειαν εἶναι δίκαιον νὰ μὴ ἀποκάμουν νὰ λέγουν ὅσα συμφέρουν. Ἐφ' ὅσον δηλαδὴ οἱ ἐξαπατῶντες χρησιμοποιοῦν τόσα πολλὰ τεχνάσματα— καθ' ὅτι καὶ χρήματα δαπανοῦν καὶ λόγους χρησιμοποιοῦν καὶ κινδύνους ὑπομένουν καὶ προστασίαν ἐπιδεικνύουν— πολὺ περισσότερον ἐμεῖς ποὺ σώζομεν τοὺς ἀνθρώπους ἀπὸ τὴν ἀπάτην πρέπει νὰ ὑπομένωμεν καὶ κινδύνους καὶ θανάτους καὶ τὰ πάντα, μὲ σκοπόν, ἀφοῦ κερδίσωμεν καὶ τοὺς ἑαυτούς μας καὶ τοὺς ἄλλους καὶ ἀφοῦ γίνωμεν ἀκαταγώνιστοι διὰ τοὺς ἀντιπάλους μας, νὰ ἐπιτύχωμεν τὴν πραγματοποίησιν τῶν ὑποσχέσεων, τὰς ὁποίας ἐλάβομεν, ἐν Χριστῷ Ἰησοῦ τοῦ Κυρίου μας, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ζ'
Α' Κορ. 2, 6—16

«Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν».

1. Τὸ σκότος τοῦ φωτὸς ἐπιτηδειότερον εἶναι δοκεῖ τοῖς τὰς ὄψεις νοσοῦσι· διὸ καὶ μᾶλλον εἰς συσκιασμένον δωμάτιον καταφεύγουσι. Τοῦτο καὶ ἐπὶ τῆς σοφίας γέγονε τῆς πνευματικῆς· ἡ μὲν τοῦ Θεοῦ σοφία μωρία ἐδόκει εἶναι τοῖς ἔξωθεν, ἡ δὲ αὐτῶν, ἀληθῶς οὖσα μωρία, σοφία αὐτοῖς νενόμισται. Καὶ ταὐτὸν συνέβαινεν, οἷον ἂν εἴ τις σοφίᾳ κυβερνητικῇ κεχρημένος, ἐπηγγέλετο πλοίου χωρὶς καὶ ἱστίων πέλαγος ἄπειρον διαπερᾶν, εἶτα ἐπειρᾶτο λογισμοῖς κατασκευάζειν ὅτι τοῦτο δυνατόν· ἄλλος δέ τις πάντων ἄπειρος, πλοίῳ καὶ κυβερνήτῃ καὶ ναύταις ἐγχειρίσας ἑαυτόν, οὕτω μετὰ ἀσφαλείας ἔπλει. Καὶ γὰρ ἡ δοκοῦσα εἶναι ἀμαθία τούτου τῆς ἐκείνου σοφίας σοφωτέρα. Καλὴ μὲν γὰρ ἡ κυβερνητική, ἀλλ' ὅταν μείζονα ἐπαγγέλληται, μωρία τίς ἐστι· καὶ πᾶσα τέχνη ἡ μὴ ἀρκουμένη τοῖς ὅροις τοῖς ἑαυτῆς τοῦτο ἂν εἴη.

Οὕτω καὶ ἡ ἔξωθεν σοφία ἦν ἂν σοφία, εἰ Πνεύματι ἐκέχρητο· ἐπειδὴ δὲ ἑαυτῇ τὸ πᾶν ἐπέτρεψε καὶ οὐδὲν ἐνόμισε δεῖσθαι τῆς βοηθείας ἐκείνης, μωρία γέγονεν, εἰ καὶ ἐδόκει σοφία εἶναι. Διὸ πρότερον ἐλέγξας αὐτὴν διὰ τῶν πραγμάτων, τότε αὐτὴν ἐκάλεσε μωρίαν· καὶ πρότερον καλέσας μωρίαν τὴν τοῦ Θεοῦ σοφίαν κατὰ τὴν ἐκείνων ψῆφον, τότε δείκνυσιν αὐτὴν σοφίαν οὖσαν· μετὰ γὰρ τὰς

1. Α' Κορ. 2,6-7.

ΟΜΙΛΙΑ Ζ'
Α' Κορ. 2, 6-16

«Εἰς τοὺς ὡρίμους ὅμως πνευματικῶς λαλοῦμεν καὶ σοφίαν, σοφίαν ὅμως ὄχι τοῦ κόσμου αὐτοῦ, οὔτε τῶν ἀρχόντων τοῦ κόσμου αὐτοῦ οἱ ὁποῖοι καταργοῦνται· ἀλλὰ κηρύττομεν σοφίαν τοῦ Θεοῦ, ποὺ εἶναι μυστηριώδης καὶ κρυμμένη, τὴν ὁποίαν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων διὰ τὴν δόξαν μας»[1].

1. Τὸ σκότος θεωρεῖται ὅτι εἶναι καταλληλότερον ἀπὸ τὸ φῶς δι' ὅσους ἔχουν ἀσθενικοὺς ὀφθαλμούς· διὰ τοῦτο αὐτοὶ προτιμοῦν νὰ καταφεύγουν εἰς σκιερὸν δωμάτιον. Τοῦτο ἰσχύει καὶ διὰ τὴν πνευματικὴν σοφίαν. Ἡ μὲν σοφία τοῦ Θεοῦ ἐφαίνετο εἰς ὅσους δὲν ἐπίστευον ὅτι ἦτο μωρία, ἐνῷ τὴν ἰδικήν των, ποὺ ἦτο πραγματικῶς μωρία, τὴν ἐνόμιζον σοφίαν. Καὶ συνέβαινε τὸ ἴδιον μὲ τὸ ἐὰν κάποιος σοφὸς κυβερνήτης ἔδιδε τὴν ὑπόσχεσιν νὰ διαπεράσῃ ἀπέραντον πέλαγος χωρὶς πλοῖον καὶ ἱστία, καὶ κατόπιν προσεπάθει μὲ ἐπιχειρήματα νὰ ἀποδείξῃ ὅτι τοῦτο ἦτο δυνατόν· καὶ κάποιος ἄλλος πάλιν, ἄπειρος τῶν πάντων, ἐμπιστευθεὶς τὸν ἑαυτόν του εἰς τὸ πλοῖον καὶ τὸν κυβερνήτην καὶ τοὺς ναύτας, ἔπλεεν ἔτσι μὲ ἀσφάλειαν· καθ' ὅσον ἡ θεωρουμένη ἀμάθεια τούτου εἶναι σοφωτέρα τῆς σοφίας ἐκείνου. Διότι εἶναι μὲν καλὴ ἡ τέχνη τοῦ κυβερνήτου, ἀλλ' ὅταν ὑπόσχεται μεγαλύτερα ἀπὸ ὅσα δύναται, εἶναι μία μωρία· καὶ εἶναι τέτοια κάθε τέχνη ποὺ δὲν ἀρκεῖται εἰς τὰ ἰδικά της ὅρια.

Ἔτσι καὶ ἡ σοφία τοῦ κόσμου θὰ ἦτο σοφία, ἐὰν εἶχε τὸ πνεῦμα· ἐπειδὴ ὅμως ἀνέθεσε τὸ πᾶν εἰς τὰς ἰδικάς της δυνάμεις καὶ ἐνόμισεν ὅτι καθόλου δὲν ἐχρειάζετο τὴν βοήθειαν ἐκείνην, ἔγινε μωρία, ἂν καὶ ἐθεωρεῖτο ὅτι ἦτο σοφία. Διὰ τοῦτο, ἀφοῦ προηγουμένως τὴν ἤλεγξεν ἐκ τῶν πραγμάτων, ἔπειτα τὴν ὠνόμασε μωρίαν· καὶ ἀφοῦ προηγουμένως ὠνόμασε μωρίαν τὴν σοφίαν τοῦ Θεοῦ, ἔπειτα ἀποδεικνύει ὅτι αὐτὴ εἶναι σοφία· διότι μετὰ τὰς απο-

ἀποδείξεις δυνατὸν μάλιστα τοὺς ἀντιλέγοντας ἐντρέπειν· καί φησι· «Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις». Ὅταν γὰρ ἐγώ, νομιζόμενος μωρὸς καὶ μωρὰ κηρύττειν, τοῦ σοφοῦ περιγένωμαι, οὐ διὰ μωρίας σοφίας περιεγενόμην, ἀλλὰ διὰ σοφίας τελειοτέρας καὶ τοσαύτης καὶ οὕτω μείζονος, ὡς ἐκείνην μωρίαν φαίνεσθαι. Διὰ τοῦτο πρότερον αὐτὴν οὕτω καλέσας, ὡς ἐκεῖνοι ὠνόμαζον τότε, καὶ ἀπὸ τῶν πραγμάτων τὴν νίκην δείξας καὶ ἐκείνους ἀποφήνας σφόδρα μωρούς, τὸ προσῆκον αὐτῇ λοιπὸν ἀπέδωκεν ὄνομα, λέγων· «Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις». Σοφίαν δὲ λέγει τὸ κήρυγμα καὶ τὸν τρόπον τῆς σωτηρίας, τὸ διὰ σταυροῦ σωθῆναι, τελείους δὲ τοὺς πεπιστευκότας. Καὶ γὰρ ἐκεῖνοι τέλειοι οἱ τὰ ἀνθρώπινα εἰδότες ὅτι σφόδρα ἀσθενῆ, καὶ ὑπεριδόντες αὐτῶν, οἱ μηδὲν αὐτοῖς συμβάλλεσθαι πεπεισμένοι, οἷοι γεγόνασιν οἱ πιστοί.

«Σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου». Ποῦ γὰρ χρήσιμος ἡ ἔξωθεν σοφία ἐνταῦθα καταστρέφουσα καὶ περαιτέρω μὴ προϊοῦσα, καὶ οὐδὲ ἐνταῦθα δυναμένη τι τοὺς ἔχοντας ὠφελεῖν; Ἄρχοντας δὲ αἰῶνος ἐνταῦθα οὐ δαίμονάς τινας λέγει, καθὼς τινες ὑποπτεύουσιν, ἀλλὰ τοὺς ἐν ἀξιώμασι, τοὺς ἐν δυναστείαις, τοὺς τὸ πρᾶγμα περιμάχητον εἶναι νομίζοντας, φιλοσόφους καὶ ῥήτορας καὶ λογογράφους· καὶ γὰρ αὐτοὶ ἐκράτουν καὶ δημαγωγοὶ πολλάκις ἐγίνοντο. Τοῦ δὲ αἰῶνος ἐκάλεσεν ἄρχοντας, ἐπειδὴ περαιτέρω τοῦ παρόντος αἰῶνος οὐ πρόεισιν αὐτῶν ἡ ἀρχή· διὸ καὶ ἐπήγαγε, «τῶν καταργουμένων» οἴκοθέν τε αὐτὴν διαβάλλων καὶ ἀπὸ τῶν χρωμένων· δείξας γὰρ ὅτι ψευδής ἐστιν, ὅτι μωρά, ὅτι οὐδὲν δύναται εὑρεῖν, ὅτι ἀσθενής, δείκνυσιν ὅτι καὶ ὀλιγοχρόνιος.

«Ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ». Ποίῳ μυστηρίῳ; Καὶ μὴν φησιν ὁ Χριστός, «Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων»· πῶς οὖν μυστήριον αὐτὴν καλεῖ; Ἐπειδὴ οὔτε ἄγγελος οὔτε ἀρχάγγελος οὔτε

---

2. Ματθ. 10,27.

δείξεις εἶναι δυνατὸν οἱ ἀντιλέγοντες νὰ ἐντρέπωνται πάρα πολύ· καὶ λέγει· «Κηρύττομεν ὅμως σοφίαν εἰς τοὺς ὡρίμους πνευματικῶς». Ὅταν δηλαδὴ ἐγώ, ποὺ θεωροῦμαι ὅτι εἶμαι μωρὸς καὶ κηρύττω μωρά, ὑπερισχύω τοῦ σοφοῦ, δὲν ὑπερίσχυσα μὲ μωρὰν σοφίαν, ἀλλὰ μὲ σοφίαν τελειοτέραν καὶ περισσοτέραν καὶ τόσον μεγαλυτέραν, ὥστε ἐκείνη νὰ φαίνεται μωρία. Διὰ τοῦτο, ἀφοῦ προηγουμένως τὴν ὠνόμασεν ἔτσι, ὅπως τότε ἐκεῖνοι τὴν ὠνόμαζον, καὶ ἀφοῦ ἐκ τῶν πραγμάτων τοὺς ἔδειξε τὴν νίκην καὶ ἐκείνους τοὺς ἀπέδειξε πάρα πολὺ μωρούς, κατόπιν ἀπέδωσεν εἰς αὐτὴν τὸ κατάλληλον ὄνομα λέγων· «Κηρύττομεν ὅμως σοφίαν εἰς τοὺς ὡρίμους πνευματικῶς». Σοφίαν δὲ ὀνομάζει τὸ κήρυγμα καὶ τὸν τρόπον τῆς σωτηρίας, δηλαδὴ τὴν σωτηρίαν διὰ τοῦ σταυροῦ· τελείους δὲ ὀνομάζει τοὺς πιστούς, καθ' ὅσον τέλειοι εἶναι ὅσοι γνωρίζουν τὰ ἀνθρώπινα ὅτι εἶναι πάρα πολὺ ἀσθενικὰ καὶ τὰ περιφρονοῦν, αὐτοὶ ποὺ εἶναι πεπεισμένοι νὰ μὴ ἔχουν στενὴν σχέσιν μὲ αὐτά· τέτοιοι δηλαδὴ ποὺ ἦσαν οἱ πιστοί.

«Σοφίαν ὅμως ὄχι τοῦ κόσμου αὐτοῦ». Ποῦ δηλαδὴ εἶναι χρήσιμος ἡ σοφία τοῦ κόσμου, ἡ ὁποία περιορίζεται εἰς τὰ ἐγκόσμια καὶ δὲν προχωρεῖ περαιτέρω, αὐτὴ ποὺ δὲν ἠμπορεῖ οὔτε ἐδῶ νὰ ὠφελήσῃ εἰς κάτι αὐτοὺς ποὺ τὴν κατέχουν; Ἄρχοντας δὲ τοῦ κόσμου ἐδῶ δὲν ὀνομάζει κάποιους δαίμονας, καθὼς ὑποπτεύονται μερικοί, ἀλλ' αὐτοὺς ποὺ ἔχουν ἀξιώματα, ποὺ ἔχουν ἐξουσίαν, αὐτοὺς ποὺ ἐνόμιζον ὅτι τὸ πρᾶγμα ἦτο πολὺ σπουδαῖον, δηλαδὴ τοὺς φιλοσόφους καὶ τοὺς ρήτορας καὶ τοὺς λογογράφους· διότι αὐτοὶ ὑπερίσχυον καὶ πολλάκις παρέσυρον τὸν λαὸν μὲ τοὺς λόγους των. Τοὺς ὠνόμασε δὲ ἄρχοντας τοῦ κόσμου, διότι ἡ δύναμίς των δὲν ὑπερβαίνει τὸν παρόντα κόσμον· διὰ τοῦτο καὶ προσέθεσε, «ποὺ καταργοῦνται», κατηγορῶν αὐτὴν τὴν σοφίαν τοῦ κόσμου καὶ μὲ τὰς λέξεις ποὺ χρησιμοποιεῖ καὶ μὲ ὅσα ἐπιχειρήματα προβάλλει· ἀφοῦ δηλαδὴ ἀπέδειξεν ὅτι ἡ σοφία ἐκείνη εἶναι ψευδής, ὅτι εἶναι μωρά, ὅτι τίποτε δὲν δύναται νὰ εὕρῃ, ὅτι εἶναι ἀσθενική, δεικνύει ὅτι εἶναι καὶ ὀλιγοχρόνιος.

«Ἀλλὰ κηρύττομεν σοφίαν Θεοῦ μυστηριώδη». Τί εἴδους μυστηριώδη. Καθ' ὅσον ὁ Χριστὸς λέγει· «ἐκεῖνο ποὺ ἠκούσατε κρυφὰ εἰς τὸ αὐτί, κηρύξατέ το ἀπὸ τὴν ταράτσαν»[2]· πῶς λοιπὸν τὴν ὀνομάζει μυστήριον; Ἐπειδὴ οὔτε ἄγγελος οὔτε ἀρχάγγελος οὔτε κά-

ἄλλη τις αὐτὸ κτιστὴ δύναμις ἤδει, πρὶν γενέσθαι. Διό φησιν, «Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ». Τοῦτο δὲ ἐποίησεν ἡμᾶς τιμῶν ὁ Θεός, ὥστε μεθ' ἡμῶν ἀκοῦσαι τῶν μυστηρίων. Καὶ γὰρ καὶ ἡμεῖς, οὓς ἂν ποιησώμεθα φίλους, τοῦτο τεκμήριον πρὸς αὐτοὺς εἶναί φαμεν τῆς φιλίας, τὸ μηδενὶ πρὸ αὐτῶν εἰπεῖν τὰ ἀπόρρητα.

Ἀκουέτωσαν οἱ τὸ κήρυγμα ἐκπομπεύοντες καὶ πᾶσιν ἁπλῶς ἐκφαίνοντες τοὺς μαργαρίτας καὶ τὸ δόγμα, καὶ τὰ ἅγια κυσὶ καὶ χοίροις ῥιπτοῦντες καὶ λογισμοῖς περιττοῖς. Τὸ γὰρ μυστήριον κατασκευῆς οὐ δεῖται, ἀλλ' ὅπερ ἐστί, τοῦτο μόνον ὂν καταγγέλλεται· ἐπεὶ οὐκ ἔσται μυστήριον θεῖον καὶ ὁλόκληρον, ὅταν καὶ παρὰ σαυτοῦ τι προσθῇς. Καὶ ἄλλως δὲ μυστήριον καλεῖται, ὅτι οὐχ ἅπερ ὁρῶμεν βλέπομεν, ἀλλ' ἕτερα ὁρῶμεν καὶ ἕτερα πιστεύομεν. Τοιαύτη γὰρ καὶ ἡ τῶν μυστηρίων ἡμῶν φύσις. Ἑτέρως γοῦν ἐγώ, καὶ ἑτέρως ὁ ἄπιστος περὶ τούτων διακείμεθα. Ἀκούω ἐγὼ ὅτι ἐσταυρώθη ὁ Χριστός, καὶ τὴν φιλανθρωπίαν εὐθέως θαυμάζω· ἀκούει ἐκεῖνος, καὶ ἀσθένειαν νομίζει. Ἀκούω ὅτι δοῦλος γέγονε, καὶ τὴν κηδεμονίαν θαυμάζω· ἀκούει ἐκεῖνος, καὶ ἀτιμίαν λογίζεται. Ἀκούω ὅτι ἀπέθανε, καὶ τὴν δύναμιν ἐκπλήττομαι, ὅτι ἐν θανάτῳ γενόμενος οὐκ ἐκρατήθη, ἀλλὰ καὶ ἐξέλυσε θάνατον· ἀκούει ἐκεῖνος, καὶ ἀδυναμίαν ὑποπτεύει. Ἀκούων ἀνάστασιν ἐκεῖνος, μῦθον τὸ πρᾶγμά φησιν· ἐγὼ δὲ τὰς διὰ τῶν πραγμάτων δεξάμενος ἀποδείξεις, προσκυνῶ τοῦ Θεοῦ τὴν οἰκονομίαν. Ἀκούων λουτρὸν ἐκεῖνος, ἁπλῶς ὕδωρ νομίζει· ἐγὼ δὲ οὐ τὸ ὁρώμενον ἁπλῶς βλέπω ἀλλὰ τὸν τῆς ψυχῆς καθαρμὸν τὸν διὰ τοῦ Πνεύματος. Ἐκεῖνος λελοῦσθαί μοι τὸ σῶμα νομίζει μόνον, ἐγὼ δὲ πεπίστευκα ὅτι καὶ ἡ ψυχὴ γέγονε καθαρά τε καὶ ἁγία, καὶ λογίζομαι τὸν τάφον, τὴν ἀνάστασιν, τὸν ἁγιασμόν, τὴν δικαιοσύνην, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν κληρονομίαν, τὴν βασιλείαν τῶν οὐρανῶν, τοῦ Πνεύματος τὴν χορηγίαν. Οὐ γὰρ τῇ ὄψει κρίνω τὰ φαινό-

3. Ἐφ. 3,10.

ποια ἄλλη κτιστὴ δύναμις τὸ ἐγνώριζε πρὶν νὰ συμβῇ. Διὰ τοῦτο λέγει· «Διὰ νὰ γνωρισθῇ τώρα εἰς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας εἰς τὰ οὐράνια διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ»[3]. Τοῦτο τὸ ἔκανε ὁ Θεὸς τιμῶν ἡμᾶς, ὥστε μαζί μας νὰ ἀκούσουν τὰ μυστήρια. Καὶ ἐμεῖς δηλαδὴ ἰσχυριζόμεθα ὅτι ἀπόδειξις τῆς φιλίας μας πρὸς ὅσους ἐκάναμε φίλους μας εἶναι τοῦτο, τὸ νὰ μὴ εἴπωμεν μυστικὰ εἰς ἄλλον πρὶν ἀπὸ αὐτούς.

Ἄς τὰ ἀκούσουν ὅσοι διασύρουν τὸ κήρυγμα καὶ ἀδιακρίτως ἀποκαλύπτουν τοὺς μαργαρίτας καὶ τὸ δόγμα εἰς ὅλους καὶ ρίπτουν τὰ ἅγια εἰς τὰ σκυλιὰ καὶ τοὺς χοίρους καὶ διατυπώνουν ἀνωφελεῖς συλλογισμούς· διότι τὸ μυστήριον δὲν ἔχει ἀνάγκην ἀπὸ τὴν ἀνθρωπίνην ἐπιχειρηματολογίαν, ἀλλὰ ὅπως εἶναι, ἔτσι μόνον κηρύσσεται, διότι δὲν εἶναι μυστήριον θεῖον καὶ ὁλόκληρον, ὅταν προσθέσῃς κάτι ἰδικόν σου. Καὶ δι' ἄλλον λόγον ὀνομάζεται μυστήριον, διότι δὲν πιστεύομεν ὅσα βλέπομεν, ἀλλὰ ἄλλα βλέπομεν καὶ ἄλλα πιστεύομεν. Δηλαδὴ τέτοια εἶναι ἡ φύσις τῶν μυστηρίων μας. Ἀλλιῶς λοιπὸν διάκειμαι πρὸς αὐτὰ ἐγὼ καὶ ἀλλιῶς ὁ ἄπιστος. Ἀκούω ἐγὼ ὅτι ἐσταυρώθη ὁ Χριστὸς καὶ ἀμέσως θαυμάζω τὴν φιλανθρωπίαν του· τὸ ἀκούει ἐκεῖνος καὶ τὸ νομίζει ἀσθένειαν. Ἀκούω ὅτι ἔγινε δοῦλος καὶ θαυμάζω τὴν φροντίδα του· τὸ ἀκούει ἐκεῖνος καὶ τὸ θεωρεῖ ἀτιμία. Ἀκούω ὅτι ἀπέθανε καὶ ἐκπλήττομαι διὰ τὴν δύναμίν του, διότι, ἂν καὶ ἀπέθανε, δὲν κατεκρατήθη, ἀλλὰ καὶ κατήργησε τὸν θάνατον· ἀκούει ἐκεῖνος καὶ ὑποπτεύεται ἀδυναμίαν. Ἐκεῖνος, ὅταν ἀκούῃ ἀνάστασιν, ἰσχυρίζεται ὅτι τὸ πρᾶγμα εἶναι μῦθος, ἐγὼ ὅμως παρεδέχθην τὰς ἀποδείξεις ἐκ τῆς πραγματικότητος καὶ προσκυνῶ τὴν οἰκονομίαν τοῦ Θεοῦ. Ἐκεῖνος, ὅταν ἀκούῃ λουτρόν, νομίζει ἁπλῶς ὕδωρ, ἐγὼ ὅμως βλέπω ὄχι ἁπλῶς αὐτὸ ποὺ φαίνεται, ἀλλὰ τὸν καθαρισμὸν τῆς ψυχῆς διὰ τοῦ Πνεύματος. Ἐκεῖνος νομίζει ὅτι τὸ σῶμα μου μόνον ἔχει λουσθῆ, ἐγὼ ὅμως πιστεύω ὅτι καὶ ἡ ψυχὴ γίνεται καθαρὰ καὶ ἁγία, καὶ σκέπτομαι τὸν τάφον, τὴν ἀνάστασιν, τὸν ἁγιασμόν, τὴν δικαιοσύνην, τὴν ἀπολύτρωσιν, τὴν υἱοθεσίαν, τὴν κληρονομίαν, τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν χορήγησιν τοῦ Πνεύματος· διότι δὲν κρίνω τὰ φαινόμενα κατ' ὄψιν, ἀλλὰ μὲ τοὺς ὀφθαλμοὺς τῆς διανοίας. Ἀκούω τὴν

μενα, ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς διανοίας. Ἀκούω σῶμα Χριστοῦ· ἑτέρως ἐγὼ νοῶ τὸ εἰρημένον, ἑτέρως ὁ ἄπιστος.

2. Καὶ καθάπερ τὰ παιδία τὰ βιβλία ὁρῶντα οὐκ οἶδε τῶν γραμμάτων τὴν δύναμιν, οὐδὲ οἶδεν ἅπερ ὁρᾷ, μᾶλλον δὲ κἂν ἀνὴρ ἄπειρος ᾖ γραμμάτων, ταὐτὰ πείσεται· ὁ δὲ ἔμπειρος πολλὴν εὑρήσει τοῖς γράμμασιν ἐναποκειμένην τὴν δύναμιν καὶ βίους ὁλοκλήρους καὶ ἱστορίας· καὶ ἐπιστολὴν ὁ μὲν ἄπειρος λαβών, χάρτην ἡγήσεται καὶ μέλαν εἶναι, ὁ δὲ ἔμπειρος καὶ φωνῆς ἀκούσεται καὶ διαλέξεται τῷ ἀπόντι, καὶ ὅπερ ἂν βούληται διὰ τῶν γραμμάτων πάλιν ἐρεῖ· οὕτω καὶ ἐπὶ τοῦ μυστηρίου γίνεται· οἱ μὲν ἄπιστοι, καίτοιγε ἀκούοντες, οὐ δοκοῦσιν ἀκούειν, οἱ δὲ πιστοὶ τὴν διὰ τοῦ Πνεύματος ἔχοντες ἐμπειρίαν ὁρῶσι τῶν ἐναποκειμένων τὴν δύναμιν. Τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγεν ὅτι καὶ νῦν τὸ κηρυττόμενον ἀποκέκρυπται· «Τοῖς γὰρ ἀπολλυμένοις», φησίν, «ἐστὶ κεκαλυμμένον». Ἄλλως δὲ καὶ τὸ παράδοξον ἐμφαίνει τοῦ κηρύγματος. Οὕτω δὴ εἴωθε καλεῖν ἡ Γραφὴ τὰ παρ' ἐλπίδας καὶ ὑπὲρ διάνοιαν ἀνθρωπίνην γινόμενα. Διὸ καὶ ἀλλαχοῦ, «Τὸ μυστήριόν μου ἐμοὶ καὶ τοῖς ἐμοῖς»· καὶ πάλιν ὁ Παῦλος, «Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα». Εἰ δὲ πανταχοῦ κηρύττεται, καὶ οὕτω μυστήριόν ἐστί. Καὶ γὰρ ὥσπερ ἐκελεύσθημεν, ἅπερ ἠκούσαμεν εἰς τὸ οὖς εἰπεῖν ἐπὶ τῶν δωμάτων, οὕτω προσετάγημεν μὴ δοῦναι τὰ ἅγια τοῖς κυσὶ μηδὲ ῥῖψαι τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. Οἱ μὲν γὰρ εἰσι ψυχικοί, καὶ οὐ νοοῦσιν, οἱ δὲ κάλυμμα ἔχουσιν ἐπὶ τῆς καρδίας αὐτῶν, καὶ οὐ βλέπουσιν.

Ἆρα μυστήριον τοῦτο μάλιστά ἐστιν, ὃ πανταχοῦ μὲν κηρύττεται, οὐ γνωρίζεται δὲ παρὰ τῶν οὐκ ὀρθὴν ἐχόντων γνώμην· ἐκκαλύπτεται δὲ οὐκ ἀπὸ σοφίας ἀλλ' ἀπὸ Πνεύματος ἁγίου, καθόσον ἡμῖν δέξασθαι δυνατόν. Διόπερ οὐκ ἄν τις ἁμάρτοι καὶ κατὰ τοῦτο αὐτὸ μυστή-

---

4. Β' Κορ. 4,3.
5. Ἡσ. 24,16.
6. Α' Κορ. 15,51.

ἔκφρασιν «σῶμα Χριστοῦ»· ἀλλιῶς ἐγὼ τὴν καταλαβαίνω καὶ ἀλλιῶς ὁ ἄπιστος.

2. Καὶ ὅπως τὰ παιδιά, παρ' ὅλον ὅτι βλέπουν τὰ βιβλία, δὲν γνωρίζουν τὴν δύναμιν τῶν γραμμάτων οὔτε γνωρίζουν ὅσα βλέπουν, πολὺ περισσότερον τὰ ἴδια θὰ πάθῃ ἕνας ἄνδρας ποὺ εἶναι ἄπειρος γραμμάτων· ἐκεῖνος ὅμως ποὺ γνωρίζει γράμματα θὰ εὕρῃ ὅτι ὑπάρχει πολλὴ δύναμις μέσα εἰς αὐτὰ καὶ ὅτι ὑπάρχουν ὁλόκληροι βίοι καὶ ἱστορίαι· ἐπίσης αὐτὸς ποὺ δὲν γνωρίζει γράμματα, ἐὰν λάβῃ ἐπιστολήν, θὰ τὴν θεωρήσῃ ὅτι εἶναι χάρτης καὶ μελάνη· ἐκεῖνος ὅμως ποὺ γνωρίζει γράμματα θὰ ἀκούσῃ καὶ φωνὴν καὶ θὰ συνομιλήσῃ μὲ τὸν ἀπόντα, καὶ ὅ,τι θέλῃ, θὰ τὸ εἴπῃ πάλιν μὲ γράμματα. Ἔτσι γίνεται καὶ μὲ τὸ μυστήριον· οἱ μὲν ἄπιστοι νομίζουν ὅτι δὲν ἀκούουν, ἂν καὶ ἀκούουν· οἱ πιστοὶ ὅμως ἔχοντες τὴν ἐμπειρίαν ποὺ τοὺς δίδει τὸ ἅγιον Πνεῦμα βλέπουν τὴν δύναμιν τῶν ὅσων εἶναι κρυπτά. Τοῦτο ἀκριβῶς δηλῶν ὁ Παῦλος ἔλεγεν ὅτι καὶ τώρα ἀκόμη τὸ βαθύτερον νόημα τοῦ κηρύγματος παραμένει κρυπτόν· διότι λέγει· «εἶναι σκεπασμένον δι' ἐκείνους ποὺ χάνονται»[4]. Ἀλλὰ καὶ κατ' ἄλλον τρόπον δηλώνει σαφῶς τὸ παράδοξον τοῦ κηρύγματος. Ἔτσι συνήθως ἡ ἁγία Γραφὴ ὀνομάζει ὅσα συμβαίνουν παρ' ἐλπίδα καὶ ὑπεράνω τῆς ἀνθρωπίνης διανοίας. Διὰ τοῦτο καὶ εἰς ἄλλο μέρος λέγει· «Τὸ μυστήριόν μου δι' ἐμὲ καὶ τοὺς ἰδικούς μου»[5]· καὶ πάλιν ὁ Παῦλος λέγει· «Ἰδού, σᾶς λέγω ἓν μυστήριον· ὅλοι δὲν θὰ ἀποθάνωμεν μέν, ἀλλὰ ὅλοι θὰ μεταβληθῶμεν»[6]. Καὶ ἂν ἀκόμη κηρύττεται παντοῦ, καὶ πάλιν παραμένει μυστήριον. Ὅπως δηλαδὴ ἐλάβαμε τὴν ἐντολὴν νὰ εἴπωμεν εἰς τοὺς ἀνθρώπους εἰς τὸ αὐτὶ καὶ εἰς ἀσφαλῆ τόπον ὅσα ἠκούσαμεν, ἔτσι ἐπίσης ἐλάβαμεν τὴν διαταγὴν νὰ μὴ δώσωμεν τὰ ἅγια εἰς τὰ σκυλιὰ οὔτε νὰ ρίψωμεν τοὺς μαργαρίτας ἐμπρὸς εἰς τοὺς χοίρους, διότι ἄλλοι μὲν εἶναι σαρκικοὶ καὶ δὲν κατανοοῦν τὰ μυστήρια, ἄλλοι δὲ ἔχουν κάλυμμα ἐπάνω εἰς τὴν καρδίαν των καὶ δὲν βλέπουν.

Ἑπομένως εἶναι πρὸ παντὸς μυστήριον τοῦτο, τὸ ὁποῖον κηρύττεται μὲν παντοῦ, δὲν τὸ κατανοοῦν ὅμως ὅσοι δὲν ἔχουν ὀρθὴν σκέψιν· ἀποκαλύπτεται δὲ ὄχι μὲ τὴν ἀνθρωπίνην σοφίαν, ἀλλὰ μὲ τὸ ἅγιον Πνεῦμα, ὅσον εἶναι δυνατὸν νὰ κατανοήσωμεν. Δι' αὐτὸ ἀκριβῶς δὲν θὰ ἔσφαλλε κάποιος, ἂν διὰ τὸν ἴδιον λόγον ὠνόμα-

ριον αὐτὸ προσειπὼν ἀπόρρητον· οὐ δὲ γὰρ ἡμῖν τοῖς πιστοῖς πᾶσα ἐνεχειρίσθη σαφήνεια καὶ ἀκρίβεια. Διὸ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον»: Διὰ τοῦτο ἔλεγε, «Λαλοῦμεν σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν». «Ἀποκεκρυμμένην», τουτέστιν ὅτι οὐδεὶς πρὸ ἡμῶν ἔμαθε τῶν ἄνω δυνάμεων, οὐδὲ οἱ πολλοὶ νῦν ἴσασιν. Ἢ ὅτι προώρισεν εἰς δόξαν ἡμῶν· καίτοιγε ἀλλαχοῦ φησιν, «εἰς δόξαν ἑαυτοῦ». Ἑαυτοῦ γὰρ ἡγεῖται δόξαν τὴν ἡμετέραν σωτηρίαν, ὥσπερ οὖν καὶ πλοῦτον ἑαυτοῦ καλεῖ, καίτοιγε αὐτόπλουτος ὢν ἀγαθῶν, καὶ οὐδενὸς δεόμενος εἰς τὸ εἶναι πλούσιος. «Προώρισε», φησί, τὴν περὶ ἡμᾶς κηδεμονίαν ἐνδεικνύμενος. Καὶ γὰρ ἐκεῖνοι μάλιστα καὶ τιμᾶν καὶ φιλεῖν ἡμᾶς νομίζονται, ὅσοιπερ ἄνωθεν ὦσιν ἡμᾶς παρεσκευασμένοι ποιεῖν εὖ· ὅπερ καὶ οἱ πατέρες ἐπὶ παίδων ποιοῦσι· καὶ γὰρ εἰ ὕστερον διδόασι τὰ χρήματα, ἀλλ' ἄνωθεν καὶ ἐξ ἀρχῆς εἰσι τοῦτο προῃρημένοι.

Τοῦτο καὶ ὁ Παῦλος σπουδάζει δεῖξαι νῦν, ὅτι ἀεὶ ἡμᾶς ἐφίλει καὶ ἄνωθεν ὁ Θεὸς καὶ μηδέπω γενομένους. Οὐ γάρ, ἄν, εἰ μὴ ἐφίλει, τὸν πλοῦτον ἡμῶν προώρισε. Μὴ τοίνυν ἐννοήσῃς τὴν ἐν μέσῳ γενομένην ἔχθραν· πρεσβυτέρα γὰρ ἦν αὐτῆς ἡ φιλία. Τὸ δέ, «πρὸ τῶν αἰώνων», τὸ ἀΐδιον φησι· καὶ γὰρ ἀλλαχοῦ οὕτω λιέγει, «Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων». Εὑρεθήσεται τοίνυν καὶ ὁ Υἱὸς οὕτως ἀΐδιος ὤν. Καὶ γὰρ περὶ αὐτοῦ φησιν ὅτι, «Δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν», ὅπερ ἐστὶ πρὸ τῶν αἰώνων ὑπάρχειν. Ὁ γὰρ ποιητὴς πρὸ τῶν ποιημάτων εὔδηλον ὅτι.

«Ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν». Οὐκοῦν οὐδὲ ἐγκλημάτων εἰσὶν ἄξιοι, εἴγε μὴ

---

7. αὐτ. 13, 9, 12.
8. Ἐφ. 1,12.
9. Ἑβρ. 1,2.
10. Α' Κορ. 2,8.

ζε τοῦτο μυστήριον ἀπόρρητον, διότι οὔτε εἰς ἐμᾶς τοὺς πιστοὺς ἐδόθη μὲ πλήρη σαφήνειαν καὶ ἀκρίβειαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡ γνῶσις μας εἶναι μερικὴ καὶ ἡ προφητεία περιωρισμένη. Τώρα δηλαδὴ βλέπομεν ὡς μέσα εἰς καθρέπτην ἀσαφῶς, τότε ὅμως θὰ βλέπωμεν πρόσωπον πρὸς πρόσωπον»[7]. Διὰ τοῦτο ἔλεγε· «Κηρύττομεν σοφίαν μυστηριώδη καὶ κρυμμένην, τὴν ὁποίαν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων διὰ τὴν δόξαν μας». «Κρυμμένην»· δηλαδὴ ὅτι κανεὶς πρὶν ἀπὸ ἐμᾶς δὲν ἔμαθε διὰ τὰς οὐρανίους δυνάμεις, οὔτε ὁ πολὺς ὁ κόσμος τώρα γνωρίζει· ἢ ὅτι τὴν προώρισε διὰ τὴν ἰδικήν μας δόξαν, ἂν καὶ ἀλλοῦ, ὡς γνωστόν, λέγει «διὰ τὴν ἰδικήν του δόξαν»[8], διότι θεωρεῖ δόξαν του τὴν ἰδικήν μας σωτηρίαν, ὅπως βεβαίως μᾶς ὀνομάζει πλοῦτον ἰδικόν του, ἂν καὶ εἶναι ἀφ' ἑαυτοῦ του πλούσιος ἀπὸ ἀγαθὰ καὶ δὲν ἔχει κανενὸς τὴν ἀνάγκην διὰ νὰ εἶναι πλούσιος. Λέγει «προώρισε», ὑποδηλώνων τὴν φροντίδα του δι' ἡμᾶς, καθ' ὅσον θεωροῦνται ὅτι μᾶς τιμοῦν καὶ μᾶς ἀγαποῦν πρὸ παντὸς ἐκεῖνοι, ποὺ εἶναι ἀνώτεροί μας καὶ εἶναι ἕτοιμοι νὰ μᾶς ὠφελήσουν· αὐτὸ ἀκριβῶς κάνουν καὶ οἱ πατέρες εἰς τὰ παιδιά των· διότι, ἐὰν δίδουν εἰς αὐτὰ ἀργότερον χρήματα, ἐν τούτοις εἶναι ἐξ ἀρχῆς πρὸ πολλοῦ προδιατεθειμένοι νὰ κάνουν τοῦτο.

Καὶ ὁ Παῦλος τώρα φροντίζει νὰ δείξῃ ὅτι ὁ Θεὸς πάντοτε καὶ ἐκ τῶν προτέρων εἶχεν ἀγάπην δι' ἡμᾶς ἀπὸ τότε ποὺ ἀκόμη δὲν εἴχομεν γεννηθῆ· διότι δὲν θὰ μᾶς προώριζε πλοῦτον, ἐὰν δὲν μᾶς ἠγάπα. Μὴ λοιπὸν σκεφθῇς τὴν ἔχθραν, ποὺ ἐδημιουργήθη ἐν τῷ μεταξύ· ἡ ἀγάπη τοῦ Θεοῦ εἶναι παλαιοτέρα ἀπὸ αὐτήν. Τὸ δὲ «πρὸ τῶν αἰώνων» ἐννοεῖ τὸ αἰώνιον, διότι ἀλλοῦ λέγει τὰ ἑξῆς· «αὐτὸς ποὺ ὑπάρχει πρὸ τῶν αἰώνων». Θὰ φανῇ λοιπὸν ὅτι καὶ ὁ Υἱὸς εἶναι ἔτσι αἰώνιος, διότι περὶ αὐτοῦ λέγει ὅτι «δι' αὐτοῦ ἔκαμε τοὺς αἰῶνας»[9], πρᾶγμα τὸ ὁποῖον σημαίνει ὅτι ὑπῆρχε πρὸ τῶν αἰώνων· διότι εἶναι ὁλοφάνερον ὅτι ὁ δημιουργὸς ὑπῆρχε πρὸ τῶν δημιουργημάτων του.

«Τὴν ὁποίαν κανεὶς ἀπὸ τοὺς ἄρχοντας τοῦ κόσμου αὐτοῦ δὲν ἔχει γνωρίσει· διότι, ἐὰν τὴν εἶχον γνωρίσει, δὲν θὰ ἐσταύρωνον τὸν Κύριον τῆς δόξης»[10]. Δὲν ἀξίζουν λοιπὸν νὰ τοὺς κατηγοροῦμεν, ἐὰν βεβαίως δὲν ἐγνώρισαν τὴν σοφίαν τοῦ Θεοῦ, καὶ διὰ τοῦ-

ἔγνωσαν, καὶ ἐσταύρωσαν. Καὶ εἰ μὴ ᾔδεσαν, πῶς ἔλεγεν αὐτοῖς, «Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί»; Περὶ γὰρ τοῦ Πιλάτου φησὶν ἡ Γραφὴ ὅτι οὐκ ᾔδει· εἰκὸς δὲ μηδὲ τὸν Ἡρώδην εἰδέναι. Τούτους ἂν εἴποι τις καλεῖσθαι ἄρχοντας τοῦ αἰῶνος τούτου. Εἰ δὲ καὶ περὶ τῶν Ἰουδαίων καὶ περὶ τῶν ἱερέων εἴποι τις ἂν τοῦτο λέγεσθαι, οὐκ ἂν ἁμάρτοι· καὶ γὰρ ἐκείνοις φησίν. «Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου». Πῶς οὖν ἀνωτέρω φησί, «Καὶ ἐμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί»; Ἀλλὰ τίς ὁ τρόπος τῆς ἀναγνώσεως ταύτης καὶ τίς ἐκείνης ἐν τοῖς εὐαγγελίοις ἤδη εἴρηται· καί, ὥστε μὴ συνεχῶς τὸ αὐτὸ στρέφειν, ἐκεῖ παραπέμπομεν τοὺς ἐντυχάνοντας.

3. Τί οὖν; ἀφείθη, φησίν, αὐτοῖς τὸ ἐπὶ τῷ σταυρῷ ἁμάρτημα; καὶ γὰρ εἶπεν, «Ἄφες αὐτοῖς». Εἰ μετενόησαν, ἀφείθη. Καὶ γὰρ ὁ μυρίαις βαλὼν χερσὶ τὸν Στέφανον καὶ διώξας τὴν Ἐκκλησίαν, ὁ Παῦλος, τῆς Ἐκκλησίας προστάτης ἐγένετο. Οὕτως οὖν κἀκείνοις ἀφείθη τοῖς βουληθεῖσι μεταγνῶναι· ὃ δὴ καὶ ὁ Παῦλος βοῶν ἔλεγε· «Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; Μὴ γένοιτο». «Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω; Μὴ γένοιτο». Εἶτα δεικνὺς ὅτι οὐκ ἀπεκλείσθη αὐτῶν ἡ μετάνοια, τεκμήριον τὴν ἐπιστροφὴν τὴν ἑαυτοῦ παρήγαγε λέγων· «Καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί». Τὸ δέ, «οὐκ ἔγνωσαν», ἐμοὶ δοκεῖ οὐ περὶ Χριστοῦ ἐνταῦθα εἰρῆσθαι, ἀλλὰ περὶ αὐτῆς τοῦ πράγματος τῆς οἰκονομίας· οἷον, τί ἐβούλετο ὁ θάνατος καὶ ὁ σταυρός, οὐκ ᾔδεσαν. Καὶ γὰρ καὶ ἐκεῖ οὐκ εἶπεν, ὅτι «ἐμὲ οὐκ οἴδασιν», ἀλλ' «οὐκ οἴδασι τί ποιοῦσι», τουτέστι, τὴν οἰκονομίαν τὴν τελουμένην καὶ τὸ μυστήριον ἀγνοοῦσιν. Οὐ γὰρ ᾔδεσαν ὅτι οὕτω λάμψαι ἔχει ὁ σταυρός, ὅτι τῆς οἰκουμένης γίνεται σωτηρία καὶ τῷ Θεῷ πρὸς τοὺς ἀνθρώπους καταλλαγή, καὶ ἡ πόλις αὐτῶν ἁλώσεται καὶ δεινὰ ὑποστήσονται τὰ ἔσχατα. Σοφίαν δὲ καὶ τὸν Χριστὸν καλεῖ καὶ τὸν σταυρὸν καὶ τὸ κήρυγμα. Εὐκαί-

---

11. Ἰω. 7,28.
12. αὐτ. 8,19.
13. Λουκᾶ 23,34.

το τὸν ἐσταύρωσαν. Καὶ ἐὰν δὲν ἐγνώριζον, πῶς ἔλεγεν εἰς αὐτούς «καὶ ἐμὲ γνωρίζετε, καὶ ἐπίσης γνωρίζετε ἀπὸ ποῦ εἶμαι»[11]; Διότι περὶ τοῦ Πιλάτου ἡ ἁγία Γραφὴ λέγει ὅτι δὲν ἐγνώριζεν, ἦτο δὲ ἑπόμενον οὔτε ὁ Ἡρώδης νὰ τὸν ἐγνώριζεν. Θὰ ἠμποροῦσε κανεὶς νὰ εἴπῃ ὅτι αὐτοὶ ὀνομάζονται ἄρχοντες τοῦ κόσμου τούτου. Ἐὰν ὅμως κανεὶς εἴπῃ ὅτι τοῦτο λέγεται καὶ περὶ τῶν Ἰουδαίων καὶ περὶ τῶν ἱερέων, δέν θὰ ἔσφαλλε· διότι εἰς ἐκείνους λέγει· «Δὲν γνωρίζετε οὔτε ἐμέ, οὔτε τὸν Πατέρα μου»[12]. Πῶς λοιπὸν λέγει ἀνωτέρω «καὶ ἐμέ γνωρίζετε, καὶ ἐπίσης γνωρίζετε ἀπὸ ποῦ εἶμαι»; Ἀλλὰ ἔχει ἤδη λεχθῆ πῶς νὰ ἐννοοῦμεν τοῦτο καὶ πῶς ἐκεῖνο εἰς τὰ εὐαγγέλια· καὶ διὰ νὰ μὴ γυρίζωμεν συνεχῶς εἰς τὸ ἴδιον, παραπέμπομεν ἐκεῖ τοὺς ἐνδιαφερομένους.

3. Τί λοιπόν; Συνεχωρήθη, λέγει, τὸ ἁμάρτημά των διὰ τὸν σταυρόν; διότι εἶπεν· «Συγχώρεσε αὐτούς»[13]. Ἐὰν μετενόησαν, ἔλαβον συγχώρησιν, καθ' ὅσον μάλιστα αὐτὸς ποὺ ἐλιθοβόλησεν ἀγρίως τὸν Στέφανον καὶ ἐδίωξε τὴν Ἐκκλησίαν, ὁ Παῦλος, ἔγινε προστάτης τῆς Ἐκκλησίας. Ἔτσι λοιπὸν ἔλαβον τὴν συγχώρησιν καὶ ἐκεῖνοι ποὺ ἠθέλησαν νὰ μετανοήσουν· αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος ἔλεγε μεγαλοφώνως· «Ἐρωτῶ λοιπόν· Μήπως ἔπεσαν εἰς σφάλματα, διὰ νὰ εἶναι ἡ πτῶσις των ὁριστική; Μὴ γένοιτο». «Ἐρωτῶ λοιπόν· Μήπως ὁ Θεὸς ἀπέρριψε τὸν ἐκλεκτὸν λαόν του; Μὴ γένοιτο»[14]. Ἐν συνεχείᾳ δεικνύων ὅτι δὲν ἀπεκλείσθη ἡ μετάνοια αὐτῶν ἔφερεν ὡς ἀπόδειξιν τὴν ἰδικήν του ἐπιστροφήν, λέγων· «διότι καὶ ἐγὼ εἶμαι Ἰσραηλίτης». Τὸ δὲ «δὲν ἐγνώρισαν» μοῦ φαίνεται ὅτι ἐδῶ δὲν ἔχει λεχθῆ περὶ τοῦ Χριστοῦ, ἀλλὰ περὶ τῆς ἰδίας τῆς οἰκονομίας τοῦ πράγματος, δηλαδὴ δὲν ἐγνώριζον τί ἤθελεν ὁ θάνατος καὶ ὁ σταυρός· διότι καὶ ἐκεῖ δὲν εἶπε, δὲν μὲ γνωρίζουν, ἀλλὰ «δὲν γνωρίζουν τί κάμνουν», δηλαδὴ ἀγνοοῦν τὴν τελουμένην οἰκονομίαν καὶ τὸ μυστήριον· δὲν ἐγνώριζον δηλαδὴ ὅτι ὁ σταυρὸς ἠμπορεῖ νὰ λάμψῃ τόσον πολύ, ὅτι γίνεται σωτηρία τῆς οἰκουμένης καὶ μέσον συμφιλιώσεως τοῦ Θεοῦ μὲ τοὺς ἀνθρώπους καὶ ὅτι ἡ πόλις των θὰ κυριευθῇ καὶ ὅτι θὰ ὑποστοῦν τὰ ἔσχατα δεινά. Σοφίαν δὲ ἀποκαλεῖ καὶ τὸν Χριστὸν καὶ τὸν σταυρὸν καὶ τὸ κήρυγμα. Εἰς κατάλληλον δὲ στιγμὴν τὸν ἀπεκάλεσε

14. Ρωμ. 11, 11, 1.

ρως δὲ Κύριον δόξης ἐκάλεσεν. Ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίας εἶναι δοκεῖ, δείκνυσιν ὅτι μεγάλη ἦν δόξα ὁ σταυρός. Ἀλλὰ μεγάλης ἔδει σοφίας, οὐ μόνον τὸ τὸν Θεὸν εἰδέναι ἀλλὰ καὶ μαθεῖν τοῦ Θεοῦ τὴν οἰκονομίαν ταύτην· ἡ δὲ ἔξωθεν σοφία οὐχὶ τοῦ προτέρου μόνον ἀλλὰ καὶ τούτου γέγονε κώλυμα.

«Ἀλλά, καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Καὶ ποῦ γέγραπται ταῦτα; Λέγεται μὲν γὰρ γεγράφθαι, καὶ ὅταν μὴ διὰ τῶν ῥημάτων ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ, ὡς ἐπὶ τῶν ἱστοριῶν· ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς ἐνταῦθα. Τὸ γάρ, «Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι», τοῦτο ταὐτόν ἐστι τῷ, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν». Ἢ τοῦτο τοίνυν φησὶν ἢ εἰκὸς καὶ γεγράφθαι ἐν βίβλοις καὶ ἠφανίσθαι τὰ βιβλία. Καὶ γὰρ πολλὰ διεφθάρη βιβλία καὶ ὀλίγα διεσώθη, καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας· καὶ τοῦτο δῆλον ἐν ταῖς Παραλειπομέναις. Καὶ γάρ φησιν ὁ ἀπόστολος ὅτι ἀπὸ Σαμουὴλ καὶ τῶν ἑξῆς προφητῶν πάντες εἰρήκασι περὶ αὐτοῦ· καὶ οὐ πάντως φέρεται ταῦτα· τὸν δὲ Παῦλον ἅτε νομομαθῆ ὄντα καὶ Πνεύματι φθεγγόμενον εἰκὸς εἰδέναι πάντα μετὰ ἀκριβείας. Καὶ τί λέγω περὶ τῆς αἰχμαλωσίας; Καὶ γὰρ πρὸ τῆς αἰχμαλωσίας πολλὰ ἠφάνιστο βιβλία τῶν Ἰουδαίων εἰς ἐσχάτην ἀσέβειαν ἐξακειλάντων. Καὶ δῆλον ἐκ τοῦ τέλους τῆς τετάρτης τῶν Βασιλειῶν. Τὸ γὰρ Δευτερονόμιον μόλις που εὕρηται ἐν κοπρίᾳ κατακεχωσμένον. Ἄλλως δὲ εἰσι καὶ διπλαῖ πολλαχοῦ προφητεῖαι τοῖς συνετωτέροις εὐκατάληπτοι, ἐξ ὧν πολλὰ τῶν ἀσαφῶν ἔστιν εὑρεῖν.

Τί οὖν; οὐκ εἶδεν ὀφθαλμός, ἃ ἡτοίμασεν ὁ Θεός; Οὐχί· τίς γὰρ τῶν ἀνθρώπων εἶδε τὰ οἰκονομεῖσθαι μέλλοντα;

---

15. Α' Κορ. 2,9.
16. Ἡσ. 52,15 Πρβλ. αὐτ. 64,4.
17. Ιρ. 3,24 Πρβλ. Β' Παρ. 9,29|12,15|13,22.

Κύριον δόξης· ἐπειδὴ δηλαδὴ ὁ σταυρὸς θεωρεῖται σύμβολον κακῆς φήμης, δεικνύει ὅτι ὁ σταυρὸς ἦτο μεγάλη δόξα. Ἀλλὰ ἐχρειάζετο μεγάλην σοφίαν ὄχι μόνον διὰ νὰ γνωρίσῃ κανεὶς τὸν Θεόν, ἀλλὰ καὶ διὰ νὰ μάθῃ αὐτὴν τὴν οἰκονομίαν τοῦ Θεοῦ, ἡ σοφία ὅμως τοῦ κόσμου ὑπῆρξε κώλυμα ὄχι μόνον διὰ τὸ πρῶτον, ἀλλὰ καὶ διὰ τὸ δεύτερον.

«Ἀλλά, καθὼς εἶναι γραμμένον, ἐκεῖνα ποὺ δὲν τὰ εἶδεν ὀφθαλμὸς ἀνθρώπου καὶ δὲν τὰ ἤκουσεν αὐτὶ καὶ δὲν τὰ ἐσκέφθη νοῦς αὐτοῦ, αὐτὰ τὰ ἡτοίμασεν ὁ Θεὸς δι' ὅσους τὸν ἀγαποῦν»[15]. Καὶ ποῦ ἔχουν γραφῆ αὐτά; Δηλαδή, λέγεται μὲν ὅτι ἔχουν γραφῆ καὶ ὅταν ἀκόμη ὑπάρχουν ὄχι μὲ λέξεις, ἀλλὰ εἰς τὰ ἴδια τὰ γεγονότα, ὅπως συμβαίνει ἐπὶ τῶν ἱστοριῶν· ἢ ὅταν ὑπάρχῃ τὸ ἴδιον μὲν νόημα ὄχι ὅμως μὲ τὰς ἰδίας λέξεις, ὅπως ἐδῶ· διότι τὸ «Θὰ τὸν ἴδουν ὅσοι δὲν ἐπληροφορήθησαν δι' αὐτὸν καὶ θὰ τὸν γνωρίσουν ὅσοι δὲν ἤκουσαν δι' αὐτόν»[16], εἶναι τὸ ἴδιον μὲ τὸ «ὅσα δὲν εἶδεν ὀφθαλμὸς καὶ δὲν ἤκουσεν αὐτὶ ἀνθρώπου». Ἢ λοιπὸν λέγει τοῦτο ἢ εἶναι φυσικὸν νὰ εἶχε γραφῆ εἰς βιβλία καὶ τὰ βιβλία νὰ ἔχουν χαθῆ· καθ' ὅσον μάλιστα πολλὰ βιβλία κατεστράφησαν καὶ ὀλίγα διεσώθησαν ἀκόμη καὶ κατὰ τὴν πρώτην αἰχμαλωσίαν, καὶ τοῦτο εἶναι φανερὸν εἰς τὰ Παραλειπόμενα· διότι ὁ ἀπόστολος λέγει ὅτι ἀπὸ τὸν Σαμουὴλ καὶ τοὺς μετέπειτα προφήτας ὅλοι ἔχουν ὁμιλήσει περὶ αὐτοῦ[17], καὶ ὅμως καθόλου δὲν ἀναφέρονται αὐτά· ὁ Παῦλος ὅμως, ἐπειδὴ ἦτο νομομαθὴς καὶ ὡμίλει ἐν Πνεύματι, ἦτο φυσικὸν νὰ τὰ γνωρίζῃ ὅλα μὲ ἀκρίβειαν. Καὶ τί λέγω περὶ τῆς αἰχμαλωσίας; ἀφοῦ μάλιστα καὶ πρὸ τῆς αἰχμαλωσίας πολλὰ βιβλία εἶχον χαθῆ, ἐπειδὴ οἱ Ἰουδαῖοι κατήντησαν εἰς ἐσχάτην ἀσέβειαν. Καὶ τοῦτο εἶναι φανερὸν ἀπὸ τὸ τέλος τῆς τετάρτης τῶν Βασιλειῶν. Τὸ Δευτερονόμιον ἐξ ἄλλου μόλις καὶ μετὰ δυσκολίας εὑρέθη κρυμμένον μέσα εἰς κοπριάν. Ἐξ ἄλλου ὑπάρχουν εἰς πολλὰ σημεῖα διπλαῖ προφητεῖαι κατανοηταὶ ἀπὸ τοὺς πλέον εἰδικούς, ἀπὸ τὰς ὁποίας προφητείας εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς πολλὰ ἀπὸ τὰ ἄλλως ἀσαφῆ.

Τί λοιπόν; δὲν εἶδεν ὀφθαλμός, ὅσα ἡτοίμασεν ὁ Θεός; Ὄχι· διότι ποῖος ἀπὸ τοὺς ἀνθρώπους εἶδεν ὅσα ἡ θεία οἰκονομία προορί-

Ἄρα οὖν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Καὶ πῶς; εἰ γὰρ οἱ προφῆται εἶπον, πῶς, φησίν, οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη; Οὐ γὰρ περὶ αὐτοῦ μόνον φησίν, ἀλλὰ περὶ πάσης τῆς ἀνθρωπίνης φύσεως. Τί οὖν; οἱ προφῆται οὐκ ἤκουσαν; Ἤκουσαν μέν, ἀλλ' οὐκ ἦν ἀνθρώπου οὖς τὸ οὖς τὸ προφητικόν· οὐ γὰρ ὡς ἄνθρωποι ἤκουσαν ἀλλ' ὡς προφῆται. Διό φησι, «Προσέθηκέ μοι ὠτίον ἀκούειν», τὴν προσθήκην τὴν ἀπὸ τοῦ Πνεύματος λέγων. Ὅθεν δῆλον ὅτι πρὶν ἀκοῦσαι, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Μετὰ γὰρ τὴν τοῦ Πνεύματος δόσιν οὐκ ἦν καρδία ἀνθρώπου ἀλλὰ καρδία πνευματικὴ ἡ τῶν προφητῶν, καθάπερ καὶ αὐτός φησι· «Νοῦν Χριστοῦ ἔχομεν». Ὃ δὲ λέγει, τοῦτό ἐστι· Πρὶν ἢ Πνεύματος ἀπολαῦσαι καὶ μαθεῖν τὰ ἀπόρρητα, ἐὐδὲ ἡμῶν τις οὐδὲ τῶν προφητῶν αὐτὰ ἐνενόησε· πῶς γάρ; ὅπου οὐδὲ ἄγγελοι αὐτὰ ᾔδεσαν.

Τί γὰρ χρὴ λέγειν, φησί, περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὅπου γε οὐδεὶς ἀνθρώπων ταῦτα ἠπίστατο, οὐδὲ αἱ ἄνω δυνάμεις; Ποῖα δὴ ταῦτα; Ὅτι διὰ τῆς δοκούσης εἶναι μωρίας, τοῦ κηρύγματος κρατήσει τῆς οἰκουμένης καὶ τὰ ἔθνη εἰσενεχθήσεται καὶ καταλλαγὴ τῷ Θεῷ πρὸς ἀνθρώπους ἔσται καὶ τοσαῦτα ἡμῖν ἥξει τὰ ἀγαθά. Πῶς οὖν ἔγνωμεν; «Ἡμῖν δέ», φησίν, «ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ». Οὐ διὰ τῆς ἔξωθεν σοφίας· αὕτη γάρ, καθάπερ τις θεραπαινὶς ἠτιμωμένη, οὐκ ἀφείθη ἔνδον εἰσελθεῖν καὶ παρακύψαι εἰς τὰ δεσποτικὰ μυστήρια.

4. Ὁρᾷς ὅσον τὸ μέσον τῆς σοφίας ταύτης κἀκείνης; Ἅπερ ἄγγελοι οὐκ ἔγνωσαν, ταῦτα ἡμᾶς ἐπαίδευσεν αὕτη. Ἡ δὲ ἔξωθεν τοὐναντίον ἐποίησεν· οὐ μόνον οὐκ ἐπαίδευσεν, ἀλλὰ καὶ ἐκώλυσε καὶ διετείχισε καὶ μετὰ τὸ γενέσθαι ἐπεσκίαζε τοῖς γεγενημένοις τὸν σταυρὸν κενοῦσα. Οὐ τοίνυν τῷ μαθεῖν δείκνυσι τὴν εἰς ἡμᾶς τιμὴν καὶ τῷ μετὰ ἀγγέλων μαθεῖν, ἀλλὰ καὶ τῷ διὰ τοῦ Πνεύματος αὐτοῦ

---

18. Ἡσ. 50,4.
19. Α' Κορ. 2,16.
20. αὐτ. 10.

ζει διὰ τὸ μέλλον; Ἄρα λοιπὸν οὔτε ἀνθρώπινον αὐτὶ ἤκουσεν, οὔτε συνέλαβε νοῦς ἀνθρώπου. Καὶ πῶς λέγει τοῦτο; ἐφ' ὅσον δηλαδὴ οἱ προφῆται τὰ εἶπον, πῶς λέγει ὅτι ἀνθρώπινον αὐτὶ δὲν ἤκουσε καὶ οὔτε συνέλαβε νοῦς ἀνθρώπου; διότι δὲν ὁμιλεῖ μόνον περὶ αὐτοῦ, ἀλλὰ διὰ ὅλην τὴν ἀνθρωπίνην φύσιν. Τί λοιπὸν λέγει: οἱ προφῆται δὲν ἤκουσαν; Ἤκουσαν μέν, ἀλλὰ τὸ αὐτὶ τῶν προφητῶν δὲν ἦτο αὐτὶ ἀνθρώπου· διότι δὲν ἤκουσαν ὡς ἄνθρωποι, ἀλλ' ὡς προφῆται. Διὰ τοῦτο λέγει, «Μοῦ προσέθεσεν αὐτί, διὰ νὰ ἀκούω»[18], ἐννοῶν τὴν προσθήκην ποὺ κάμνει τὸ Πνεῦμα. Ἔτσι εἶναι φανερὸν ὅτι πρὶν ἀκούσουν, οὔτε κἂν συνέλαβε νοῦς ἀνθρώπου· διότι μετὰ τὴν χορήγησιν τοῦ Πνεύματος ὁ νοῦς τῶν προφητῶν δὲν ἦτο ἀνθρώπινος, ἀλλὰ πνευματικός, ὅπως καὶ ὁ ἴδιος λέγει· «ἔχομεν νοῦν Χριστοῦ»[19]. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς: προτοῦ νὰ λάβωμεν τὸ Πνεῦμα καὶ νὰ μάθωμεν τὰ ἀπόρρητα, οὔτε ἀπὸ ἐμᾶς κανεὶς οὔτε ἀπὸ τοὺς προφήτας κατενόησεν αὐτά· διότι πῶς ἦτο δυνατόν, ἀφοῦ οὔτε ἄγγελοι τὰ ἐγνώριζον;

Τί πρέπει λοιπὸν νὰ λέγωμεν περὶ τῶν ἀρχόντων τοῦ κόσμου τούτου, λέγει, ἀφοῦ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν ἐγνώριζεν αὐτά, οὔτε ἀκόμη καὶ αἱ οὐράνιοι δυνάμεις; Καὶ ποῖα εἶναι αὐτά; Ὅτι μὲ αὐτὴν ποὺ θεωρεῖται μωρία τοῦ κηρύγματος θὰ ὑπερισχύσῃ τῆς οἰκουμένης καὶ τὰ ἔθνη θὰ γίνουν δεκτὰ εἰς τὴν πίστιν καὶ θὰ συμφιλιωθῇ ὁ Θεὸς μὲ τοὺς ἀνθρώπους καὶ τόσα ἀγαθὰ θὰ ἔλθουν εἰς ἐμᾶς. Πῶς λοιπὸν τὰ ἐγνωρίσαμεν; «Ὁ Θεὸς τὰ ἀπεκάλυψεν εἰς ἐμᾶς διὰ τοῦ Πνεύματός του», λέγει[20]. Ὄχι διὰ τῆς σοφίας τοῦ κόσμου· διότι αὐτὴ ὡσὰν νὰ ἦτο κάποια περιφρονημένη δούλη δὲν ἔλαβε τὴν ἄδειαν νὰ εἰσέλθῃ εἰς τὸ ἐσωτερικὸν καὶ νὰ συμμετάσχῃ εἰς τὰ μυστήρια τοῦ Κυρίου.

4. Βλέπεις πόση ἀπόστασις ὑπάρχει μεταξὺ αὐτῆς τῆς σοφίας καὶ ἐκείνης; Ὅσα δὲν ἔμαθαν ἄγγελοι, αὐτὰ μᾶς τὰ ἐδίδαξεν αὐτή. Ἡ σοφία ὅμως τοῦ κόσμου ἔκανε τὸ ἀντίθετον· ὄχι μόνον δὲν ἐδίδαξεν, ἀλλὰ καὶ ἠμπόδισε καὶ ἀπέκλεισεν ὡς διὰ τείχους, καὶ μετὰ τὴν ἀποκάλυψιν ἔρριπτε σκιὰν ἐπὶ τῶν γεγονότων μὲ τὸ νὰ θεωρῇ κενὸν πρᾶγμα τὸν σταυρόν. Δὲν ἀποδεικνύει λοιπὸν τὴν τιμὴν πρὸς ἐμᾶς μὲ τὸ νὰ ἐπιτρέψῃ νὰ μάθωμεν, καὶ μάλιστα νὰ μάθωμεν μαζὶ μὲ τοὺς ἀγγέλους, ἀλλὰ μὲ τὸ νὰ μάθωμεν διὰ τοῦ

μαθεῖν. Εἶτα δεικνὺς τὸ μέγεθος, φησίν· ὅτι, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐπιστάμενον τὰ ἀπόρρητα τοῦ Θεοῦ ἀπεκάλυψεν, οὐκ ἂν ἐμάθομεν. Οὕτω περισπούδαστον τῷ Θεῷ τὸ πρᾶγμα ἦν, ὥστε ἐν τοῖς ἀπορρήτοις εἶναι. Διὸ καὶ ἐκείνου ἐδεήθημεν διδασκάλου τοῦ ταῦτα σαφῶς εἰδότος. «Τὸ γὰρ Πνεῦμα πάντα», φησίν, «ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ». Οὐ γὰρ ἀγνοίας, ἀλλ' ἀκριβοῦς γνώσεως ἐνταῦθα τὸ ἐρευνᾶν ἐνδεικτικόν. Ταύτῃ γοῦν τῇ λέξει καὶ ἐπὶ τοῦ Θεοῦ κέχρηται λέγων· «Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος».

Εἶτα περὶ τῆς τοῦ Πνεύματος γνώσεως μετὰ ἀκριβείας εἰπὼν καὶ διδάξας ὅτι οὕτως ἐξισάζει πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν, ὡς ἡ ἀνθρώπου γνῶσις αὐτὴ πρὸς ἑαυτήν, καὶ δείξας ὅτι πάντα ἐκεῖθεν ἐμάθομεν, καὶ ἀναγκαίως ἐκεῖθεν, ἐπήγαγεν· «Ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες». Ὁρᾷς ποῦ ἡμᾶς ἀνήγαγεν ἀπὸ τῆς ἀξίας τοῦ διδασκάλου; Τοσοῦτον γὰρ ἡμεῖς ἐκείνων σοφώτεροι, ὅσον τὸ μέσον Πλάτωνός τε καὶ Πνεύματος ἁγίου. Οἱ μὲν γὰρ τοὺς ἔξωθεν ῥήτορας ἔχουσι διδασκάλους, ἡμεῖς δὲ τὸ Πνεῦμα τὸ ἅγιον. Τί δέ ἐστι, «πνευματικοῖς πνευματικὰ συγκρίνοντες»; Ὅταν πνευματικὸν καὶ ἄπορον ᾖ, ἀπὸ τῶν πνευματικῶν τὰς μαρτυρίας ἄγομεν. Οἷον, λέγω ὅτι ἀνέστη ὁ Χριστός, ὅτι ἀπὸ παρθένου ἐγεννήθη. Παράγω μαρτυρίας καὶ τύπους καὶ ἀποδείξεις τοῦ Ἰωνᾶ τὴν ἐν τῷ κήτει διατριβὴν καὶ τὴν μετὰ ταῦτα ἀπαλλαγήν, τῶν στειρῶν τοὺς τοκετούς, τῆς Σάρρας, τῆς Ῥεβέκκας καὶ τῶν λοιπῶν, τὴν ἐν τῷ παραδείσῳ τῶν δένδρων βλάστην γεγενημένην οὐ σπερμάτων καταβληθέντων, οὐχ ὑετῶν κατενεχθέντων, οὐκ αὔλακος ἀνατμηθείσης.

Τὰ γὰρ μέλλοντα διεπλάττετο καὶ διεγράφετο ὡς ἐν σκιᾷ τοῖς προτέροις, ἵνα πιστευθῇ ταῦτα παραγενόμενα. Καὶ δεί-

---

21. Ρωμ. 8,27.
22. Α' Κορ. 2,13.

Πνεύματός του. Ἔπειτα δεικνύων τὸ μέγεθος λέγει ὅτι, ἐὰν δὲν μᾶς τὰ ἀπεκάλυπτε τὸ Πνεῦμα, ποὺ ἐγνώριζε τὰ ἀπόρρητα τοῦ Θεοῦ, δὲν θὰ τὰ ἐμαθαίναμεν. Τόσον σπουδαῖον διὰ τὸν Θεὸν ἦτο τὸ πρᾶγμα, ὥστε νὰ εἶναι μεταξὺ τῶν ἀπορρήτων. Διὰ τοῦτο καὶ εἴχομεν ἀνάγκην ὡς διδασκάλου ἐκείνου, ὁ ὁποῖος ἐγνώριζε σαφῶς αὐτά, διότι, λέγει, «Τὸ πνεῦμα τὰ ἐρευνᾷ ὅλα, ἀκόμη καὶ τὰ βάθη τοῦ Θεοῦ». Ἡ ἔρευνα δηλαδὴ ἐδῶ εἶναι ἐνδεικτικὸν ὄχι ἀγνοίας, ἀλλ' ἀκριβοῦς γνώσεως. Αὐτὴν βεβαίως τὴν λέξιν χρησιμοποιεῖ καὶ διὰ τὸν Θεὸν λέγων· «ἐκεῖνος ποὺ ἐρευνᾷ τὰς καρδίας γνωρίζει τί εἶναι τὸ φρόνημα τοῦ πνεύματος»[21].

Κατόπιν, ἀφοῦ ὡμίλησε μὲ ἀκρίβειαν περὶ τῆς γνώσεως τοῦ Πνεύματος καὶ ἀφοῦ ἐδίδαξεν ὅτι αὐτὴ εἶναι τόσον ἴση πρὸς τὴν γνῶσιν τοῦ Θεοῦ ὅσον ἡ ἀνθρωπίνη γνῶσις εἶναι ἴση πρὸς τὸν ἑαυτόν της καὶ ἀφοῦ ἔδειξεν ὅτι ὅλα ἀπὸ ἐκεῖ τὰ ἐμάθαμεν καὶ μάλιστα ἀναγκαίως ἀπὸ ἐκεῖ, προσέθεσεν· «Αὐτὰ τὰ λέγομεν ὄχι μὲ λόγους ποὺ μᾶς τοὺς ἐδίδαξεν ἀνθρωπίνη σοφία, ἀλλὰ μὲ λόγους ποὺ μᾶς τοὺς ἐδίδαξε τὸ ἅγιον Πνεῦμα, ἑρμηνεύοντας τὰ πνευματικὰ πράγματα μὲ πνευματικὰ μέσα»[22]. Βλέπεις ποῦ μᾶς ὕψωσε χάρις εἰς τὴν ἀξίαν τοῦ διδασκάλου; Ἐμεῖς δηλαδὴ εἴμεθα τόσον σοφώτεροι ἀπὸ ἐκείνους, ὅση ἀπόστασις ὑπάρχει μεταξὺ Πλάτωνος καὶ ἁγίου Πνεύματος· διότι ἐκεῖνοι μὲν τοὺς κοσμικοὺς ῥήτορας ἔχουν ὡς διδασκάλους, ἐμεῖς ὅμως τὸ ἅγιον Πνεῦμα. Καὶ τί σημαίνει, «ἑρμηνεύοντες τὰ πνευματικὰ πράγματα μὲ πνευματικὰ μέσα»; Ὅτι κάτι εἶναι πνευματικὸν καὶ ἀκατανόητον, μὲ πνευματικὰ μέσα ἔχομεν τὰς μαρτυρίας, ὅπως π.χ. λέγω ὅτι ἀνεστήθη ὁ Χριστός, ὅτι ἐγεννήθη ἀπὸ παρθένον. Φέρω ὡς μαρτυρίας καὶ πρότυπα καὶ ἀποδείξεις τὴν παραμονὴν τοῦ Ἰωνᾶ μέσα εἰς τὸ κῆτος, τὴν ἐν συνεχείᾳ σωτηρίαν του, τοὺς τοκετοὺς τῶν στειρῶν, τῆς Σάρρας, τῆς Ρεβέκκας καὶ τῶν λοιπῶν, τὴν βλάστησιν τῶν δένδρων μέσα εἰς τὸν παράδεισον χωρὶς νὰ ριφθοῦν σπόροι, χωρὶς νὰ πέσουν βροχαί, χωρὶς νὰ ἀνοιχθῇ κανένα αὐλάκι.

Τὰ μέλλοντα δηλαδὴ διεμορφώνοντο καὶ διεγράφοντο ὡς εἰς σκιὰν μέσα εἰς ὅσα προηγοῦντο χρονικῶς, διὰ νὰ γίνουν αὐτὰ πιστευτά, ὅταν θὰ συνέβαινον καὶ φέρω πάλιν ὡς παράδειγμα τὸ πῶς

κνυμι πάλιν πῶς ἀπὸ γῆς ἄνθρωπος καὶ πῶς ἀπὸ ἀνθρώπου μόνον ἡ γυνὴ καὶ οὐδαμοῦ συνουσία, πῶς αὐτὴ ἡ γῆ ἀπ' οὐδενός, τῆς δυνάμεως τοῦ δημιουργοῦ πανταχοῦ πρὸς πάντα ἀρκούσης. Οὕτω πνευματικοῖς πνευματικὰ συγκρίνω, καὶ οὐδαμοῦ χρείαν ἔχω τῆς ἔξωθεν σοφίας, οὐδὲ λογισμῶν οὐδὲ παρασκευῶν. Ἐκεῖνοι γὰρ καὶ παρασαλεύουσι τὴν ἀσθενῆ διάνοιαν καὶ θορυβοῦσι καὶ ἀποδεῖξαι σαφῶς οὐδὲν ὧν λέγουσιν ἔχουσιν, ἀλλὰ καὶ τοὐναντίον ποιοῦσι· ταράττουσι μᾶλλον καὶ ζόφου πληροῦσι καὶ ἀπορίας πολλῆς. Διό φησι, «πνευματικῆς πνευματικὰ συγκρίνοντες». Ὁρᾷς ὡς περιττὴν αὐτὴν δείκνυσιν; οὐ μόνον δὲ περιττὴν ἀλλὰ καὶ ἐναντίαν καὶ βλαβεράν. Καὶ γὰρ τῷ εἰπεῖν, «ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ», καί,«ἵνα μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἡ πίστις ἡμῶν», τοῦτο ἐδήλωσεν. Ἐνταῦθα δὲ δείκνυσιν ὅτι ἀδύνατον θαρροῦντας καὶ τὸ πᾶν ἐπιτρέποντας αὐτῇ μαθεῖν τι τῶν χρησίμων.

«Ψυχικὸς γὰρ ἄνθρωπος», φησίν, «οὐ δέχεται τὰ τοῦ Πνεύματος». Δεῖ τοίνυν αὐτὴν ἀποθέσθαι πρότερον. Τί οὖν; διαβέβληται, φησίν, ἡ σοφία ἡ ἔξωθεν; καίτοι ἔργον ἐστὶ τοῦ Θεοῦ. Πόθεν δῆλον; Οὐ γὰρ αὐτὸς αὐτὴν ἐποίησεν, ἀλλὰ σὺ ἐπεξεῦρες· καὶ γὰρ σοφίαν ἐνταῦθα τὸ περίεργον τῆς ζητήσεως λέγει καὶ τὴν περιττὴν εὐγλωττίαν. Εἰ δὲ τὴν σύνεσιν τὴν ἀνθρωπίνην φαίη τις αὐτὸν λέγειν, καὶ οὕτω τὸ ἔγκλημα σόν. Σὺ γὰρ αὐτὴν διαβάλλεις ὁ κακῶς κεχρημένος, ὁ πρὸς βλάβην καὶ ἐναντίωσιν Θεοῦ, ὁ ἀπαιτῶν αὐτὴν ἅπερ οὐκ εἶχεν. Ἐπεὶ οὖν ἐν αὐτῇ καυχᾶσαι καὶ Θεῷ πολεμεῖς, ἤλεγξεν αὐτῆς τὴν ἀσθένειαν. Ἐπεὶ καὶ ἰσχὺς σώματος καλόν· ἀλλ' ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσατο αὐτῇ ὁ Κάϊν, παρέλυσεν αὐτὸν ὁ Θεὸς καὶ τρέμειν ἐποίησε. Καὶ ὁ οἶνος καλόν· ἀλλ' ἐπειδὴ ἀμέτρως ἀπέλαυ-

---

23. αὐτ. 1,18.
24. αὐτ. 2,5.
25. αὐτ. 14.
26. Γεν. 4,12.

ἐπλάσθη ὁ ἄνθρωπος ἀπὸ τὴν γῆν καὶ πῶς ἐδημιουργήθη ἡ γυναῖκα ἀπὸ μόνον τὸν ἄνθρωπον χωρὶς καθόλου νὰ ὑπάρξῃ συνουσία, τὸ πῶς ἐδημιουργήθη ἀπὸ τὸ τίποτε ἡ ἴδια ἡ γῆ, ἐφ' ὅσον ἡ δύναμις τοῦ δημιουργοῦ ἦτο παντοῦ ἀρκετὴ διὰ τὰ πάντα. Ἔτσι ἑρμηνεύω τὰ πνευματικὰ μὲ πνευματικὰ στοιχεῖα καὶ δὲν ἔχω καθόλου ἀνάγκην τῆς σοφίας τοῦ κόσμου οὔτε τῶν συλλογισμῶν οὔτε τῆς κατὰ κόσμον προπαρασκευῆς. Ἐκεῖνοι δηλαδὴ διασαλεύουν τὴν ἀσθενῆ διάνοιαν καὶ θορυβοῦν καὶ δὲν ἠμποροῦν νὰ ἀποδείξουν μὲ σαφήνειαν τίποτε ἀπὸ ὅσα λέγουν, ἀλλὰ κάνουν καὶ τὸ ἀντίθετον· ταράσσουν δηλαδὴ περισσότερον καὶ γεμίζουν μὲ σκότος καὶ πολλὴν ἀπορίαν. Διὰ τοῦτο λέγει, «ἑρμηνεύοντες τὰ πνευματικὰ πράγματα μὲ πνευματικὰ μέσα». Βλέπεις πόσον περιττὴν ἀποδεικνύει τὴν σοφίαν τοῦ κόσμου; ὄχι δὲ μόνον περιττὴν ἀλλὰ καὶ ἐχθρικὴν καὶ βραβεράν· διότι μὲ τὸ νὰ εἴπῃ, «διὰ νὰ μὴ χάσῃ τὴν δύναμίν του ὁ σταυρὸς τοῦ Χριστοῦ»[23], καὶ «διὰ νὰ μὴ στηρίζεται ἡ πίστις μας εἰς τὴν ἀνθρωπίνην σοφίαν»[24] τοῦτο ἐδήλωσεν. Ἐδῶ λοιπὸν δεικνύει ὅτι εἶναι ἀδύνατον οἱ ἄνθρωποι νὰ μάθουν κάτι χρήσιμον, ἐὰν ἔχουν ἐμπιστοσύνην καὶ ἀναθέτουν τὸ πᾶν εἰς τὴν σοφίαν τοῦ κόσμου.

«Ὁ φυσικὸς καὶ μὴ ἀναγεννημένος ἄνθρωπος, λέγει, «δὲν δέχεται ὅσα προέρχονται ἀπὸ τὸ Πνεῦμα τοῦ Θεοῦ»[25]. Πρέπει λοιπὸν προηγουμένως ὁ ἄνθρῶπος νὰ τὴν ἀποβάλῃ. Τί λοιπόν; θὰ ἔλεγε κάποιος· ἡ σοφία τοῦ κόσμου εἶναι διαβεβλημένη; καὶ ὅμως εἶναι ἔργον τοῦ Θεοῦ. Ἀπὸ ποῦ φαίνεται; ἀφοῦ δὲν τὴν ἐδημιούργησεν ὁ ἴδιος, ἀλλὰ σὺ τὴν κατέκτησες· σοφίαν δηλαδὴ ἐδῶ ὀνομάζει τὴν γεμάτην περιέργειαν ἀναζήτησιν τῆς γνώσεως καὶ τὴν περιττὴν εὐγλωττίαν. Ἐὰν ὅμως κάποιος ἰσχυρισθῇ, ὅτι αὐτὸς ἐννοεῖ τὴν ἀνθρωπίνην σύνεσιν, καὶ πάλιν σὺ πταίεις· διότι τὴν δυσφημεῖς σὺ ποὺ τὴν χρησιμοποιεῖς κακῶς, διὰ νὰ βλάψῃς καὶ ἐναντιωθῇς πρὸς τὸν Θεόν, σὺ ποὺ ἀπαιτεῖς ἀπὸ αὐτὴν ὅσα δὲν ἠμποροῦσε νὰ δώσῃ. Ἐπειδὴ λοιπὸν καυχᾶσαι δι' αὐτὴν καὶ πολεμεῖς τὸν Θεόν, ἤλεγξε τὴν ἀδυναμίαν της. Βεβαίως καὶ ἡ δύναμις τοῦ σώματος εἶναι καλή, ἀλλά, ἐπειδὴ ὁ Κάϊν δὲν τὴν ἐχρησιμοποίησε διὰ τὸ καλόν, ὁ Θεὸς τὸν παρέλυσε καὶ τὸν ἔκανε νὰ τρέμῃ[26]. Καὶ ὁ οἶνος εἶναι καλός, ἀλλά, ἐπειδὴ οἱ Ἰουδαῖοι τὸν ἀπήλαυσαν χω-

σαν οἱ Ἰουδαῖοι, καθόλου τοῖς ἱερεῦσιν ἀπηγόρευσεν ὁ Θεὸς τοῦ καρποῦ τὴν χρῆσιν.

Ἐπεὶ οὖν καὶ σὺ τῇ σοφίᾳ εἰς ἀθέτησιν ἀπεχρήσω τοῦ Θεοῦ καὶ μείζονα ἀπήτησας αὐτὴν τῆς οἰκείας ἰσχύος, ἀπάγων σε τῆς ἀνθρωπίνης ἐλπίδος ἔδειξεν αὐτῆς τὴν ἀσθένειαν. Καὶ γὰρ ψυχικός ἐστιν ὁ τὸ πᾶν τοῖς λογισμοῖς τῆς ψυχῆς διδοὺς καὶ μὴ νομίζων ἄνωθέν τινος δεῖσθαι βοηθείας, ὅπερ ἐστὶν ἀνοίας. Καὶ γὰρ ἔδωκεν αὐτὴν ὁ Θεός, ἵνα μανθάνῃ καὶ δέχηται τὸ παρ' αὐτοῦ, οὐχ ἵνα ἑαυτῇ αὐτὴ ἀρκεῖν νομίζῃ. Καὶ γὰρ οἱ ὀφθαλμοὶ καλοὶ καὶ χρήσιμοι, ἀλλ' ἐὰν βούλωνται χωρὶς φωτὸς ὁρᾶν, οὐδὲν αὐτοὺς τὸ κάλλος ὀνίνησιν οὐδὲ ἡ οἰκεία ἰσχύς, ἀλλὰ καὶ παραβλάπτει. Οὕτω τοίνυν καὶ ψυχή, ἐὰν βουληθῇ χωρὶς Πνεύματος βλέπειν, καὶ ἐμπόδιον αὐτῇ γίνεται.

Πῶς οὖν πρὸ τούτου, φησίν, ἀφ' ἑαυτῆς πάντα ἑώρα; Οὐδέποτε ἀφ' ἑαυτῆς, ἀλλ' εἶχε τὴν κτίσιν ἀντὶ βιβλίου προκειμένην ἐν μέσῳ. Ἐπεὶ δέ, ἀφέντες βαδίσαι τὴν ὁδόν, ἣν αὐτοῖς ἐκέλευσε, καὶ διὰ τοῦ κάλλους τῶν ὁρωμένων γνῶναι τὸν δημιουργόν, λογισμοῖς τὰ σκῆπτρα τῆς γνώσεως ἐγχειρίσαντες εἰς πέλαγος αὐτοὺς ἀσεβείας ἀσθενήσαντες ἐκεῖνοι κατέδυσαν, εὐθέως τὴν ἄβυσσον τῶν κακῶν εἰσήγαγον εἰπόντες οὐδὲν ἐξ οὐκ ὄντων γίνεσθαι ἀλλ' ἐξ ὕλης ἀγενήτου, ὅθεν καὶ μυρίας ἔτεκον αἱρέσεις. Καὶ ἐν μὲν τοῖς σφόδρα ἀτόποις συνηνέχθησαν, ἐν δὲ οἷς ἐδόκουν ὑγιές τι κἂν ὡς ἐν σκιαῖς ἀνειρώττειν, ἀλλήλοις συνερράγησαν, ἵν' ἑκατέρωθεν καταγελασθῶσιν. Ὅτι μὲν γὰρ ἐξ οὐκ ὄντων οὐδὲν γίνεται, πάντες ὁμοῦ σχεδὸν εἶπον καὶ ἔγραψαν, καὶ οὕτω μετὰ πολλῆς τῆς σπουδῆς. Ἐν τοῖς ἀτόποις οὖν ἤλασεν αὐτοὺς ὁ διάβολος· ἐν δὲ τοῖς χρησίμοις, ἐν οἷς ἔδοξαν κἂν ἐν αἰνίγματί τι τῶν ζητουμένων εὑρίσκειν, ἐν τού-

ρὶς μέτρον, ὁ Θεὸς ἀπηγόρευσε παντελῶς εἰς τοὺς ἱερεῖς τὴν χρῆσιν τοῦ καρποῦ.

Ἐπειδὴ λοιπὸν καὶ σὺ ἐχρησιμοποίησες κακῶς τὴν σοφίαν, διὰ νὰ ἀρνηθῇς τὸν Θεόν, καὶ ἐπειδὴ ἀπήτησες ἀπὸ αὐτὴν πράγματα μεγαλύτερα ἀπὸ τὴν δύναμίν της, μὲ τὸ νὰ σὲ ἀπομακρύνῃ ἀπὸ τὴν ἀνθρωπίνην ἐλπίδα ἔδειξε τὴν ἀδυναμίαν της· διότι πράγματι εἶναι φυσικὸς ἐκεῖνος ποὺ ἐμπιστεύεται τὸ πᾶν εἰς τοὺς λογισμοὺς τῆς ψυχῆς καὶ νομίζει ὅτι δὲν χρειάζεται καμμίαν βοήθειαν ἄνωθεν, πρᾶγμα τὸ ὁποῖον εἶναι μωρία· διότι βεβαίως ὁ Θεὸς ἔδωκε τὴν σοφίαν, διὰ νὰ μανθάνῃ καὶ νὰ δέχεται ὅ,τι προέρχεται ἀπὸ αὐτόν, ὄχι διὰ νὰ νομίζῃ ὅτι ἡ ἴδια ἔχει αὐτάρκειαν. Οἱ ὀφθαλμοὶ εἶναι πράγματι καλοὶ καὶ χρήσιμοι, ἀλλ' ἐὰν θέλουν νὰ βλέπουν εἰς τὸ σκότος, δὲν τοὺς ὠφελεῖ καθόλου τὸ κάλλος οὔτε ἡ ἱκανότης των, ἀλλ' ἀπεναντίας τοὺς βλάπτει. Ἔτσι λοιπὸν καὶ ἡ ψυχή, ἐὰν θελήσῃ νὰ βλέπῃ χωρὶς τὸ Πνεῦμα, ἀπεναντίας τῆς γίνεται ἐμπόδιον.

Πῶς λοιπόν, θὰ ἔλεγε κάποιος, πρὸ αὐτοῦ μὲ τὰς ἰδικάς της δυνάμεις τὰ ἔβλεπεν ὅλα; Οὐδέποτε μὲ τὰς ἰδικάς της δυνάμεις, ἀλλ' εἶχεν ἀντὶ βιβλίου τὴν κτίσιν ἐνώπιόν της. Ἐνῷ ὅμως ἀφέθησαν ἐλεύθεροι νὰ βαδίσουν τὴν ὁδόν, τὴν ὁποίαν τοὺς ὥρισεν ὁ Θεός, καὶ διὰ τοῦ κάλλους τῆς φύσεως νὰ γνωρίσουν τὸν δημιουργόν, ἐπειδὴ ἐκεῖνοι (οἱ σοφοὶ) ἔδωσαν τὰ σκῆπτρα τῆς γνώσεως εἰς τὴν λογικὴν καὶ λόγῳ τῆς ἀδυναμίας των ἐβύθισαν τοὺς ἀνθρώπους εἰς πέλαγος ἀσεβείας, ἀμέσως προεκάλεσαν τὴν ἄβυσσον τῶν κακῶν μὲ τὸ νὰ ἰσχυρισθοῦν ὅτι τίποτε δὲν γίνεται ἀπὸ ἀνύπαρκτα, ἀλλὰ ἀπὸ τὴν ἀγένητον ὕλην, καὶ ἔτσι ἐδημιούργησαν μυρίας αἱρέσεις. Καὶ εἰς μὲν τὰ πλέον ἄτοπα συνεφώνησαν, εἰς ὅσα ὅμως ἐφαίνοντο ὅτι φρονοῦν κάτι ὀρθὸν ἀκόμη καὶ ἂν ἔβλεπον ὡς εἰς ὄνειρον σκιὰν μόνον τῆς ἀληθείας, εἰς τὰ θέματα ἀκριβῶς αὐτὰ συνεπλάκησαν μεταξύ των, διὰ νὰ γίνῃ καταγέλαστος ὁ ἕνας εἰς τὸν ἄλλον. Ὅτι δηλαδὴ τίποτε δὲν γίνεται ἀπὸ ἀνύπαρκτα πράγματα ὅλοι μαζὶ σχεδὸν τὸ εἶπον καὶ τὸ ἔγραψαν, καὶ μάλιστα μὲ πολλὴν σπουδήν. Ὁ διάβολος λοιπὸν τοὺς ἐξώθησεν μὲν εἰς τὰ ἄτοπα, εἰς τὰ χρήσιμα ὅμως, εἰς τὰ ὁποῖα ἐφάνησαν ὅτι ὡς εἰς αἴνιγμα εὕρισκον κάτι ἀπὸ τὰ ζητούμενα, εἰς αὐτὰ ἐπολέμησαν τοὺς ἑαυτούς των, ὅπως π.χ. εἰς τὸ ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατος καὶ ὅτι

τοις ἑαυτοὺς ἐπολέμησαν· οἷον, ὅτι ἀθάνατος ἡ ψυχὴ καὶ ὅτι ἡ ἀρετὴ οὐδενὸς δεῖται τῶν ἔξωθεν καὶ ὅτι οὐκ ἀνάγκης οὐδὲ εἱμαρμένης τὸ γενέσθαι καλοὺς ἢ μὴ τοιούτους.

5. Εἶδες τοῦ διαβόλου τὴν κακουργίαν; Εἴ πού τι διεφθαρμένον εἶδεν εἰπόντας, ὁμονοῆσαι πάντας ἐποίησεν· εἴ πού τις ὑγιὲς φθεγξαμένους, ἑτέρους κατ' αὐτῶν διήγειρεν· ὥστε μήτε τὰ ἄτοπα ἐκπεσεῖν τῇ συμφωνίᾳ βεβαιούμενα καὶ τὰ χρήσιμα διαρρυῆναι ποικίλως βαλλόμενα. Ὅρα πῶς πανταχοῦ ἄτονος ἡ ψυχὴ καὶ οὐκ ἀρκεῖ ἑαυτῇ· καὶ τοῦτο εἰκότως γεγένηται. Εἰ γὰρ τοιαύτη γέγονε καὶ φιλονεικεῖ μηδενὸς χρείαν ἔχειν καὶ ἀπάγι ἑαυτὴν τοῦ Θεοῦ, εἰ μὴ τοιαύτη γεγένητο, ποῦ οὐκ ἂν ἐξώλισθε μανίας; Εἰ λαβοῦσα σῶμα θνητόν, ἀπὸ ψευδοῦς ὑποσχέσεως τοῦ διαβόλου προσεδόκησε πολλῷ μείζονα —«Ἔσεσθε» φησίν, «ὡς θεοί» — εἰ καὶ τοῦτο ἐξ ἀρχῆς ἔλαβεν ἀθάνατον, ποῦ οὐκ ἂν ἐξέπεσε; Καὶ γὰρ καὶ μετ' ἐκεῖνο ἀγένητον ἑαυτὴν ἔφησεν εἶναι καὶ τῆς οὐσίας τοῦ Θεοῦ, διὰ τοῦ σεσηπότος Μανιχαίων στόματος· καὶ τοὺς θεοὺς τοὺς παρ' Ἕλλησιν ἀπὸ τούτου τοῦ νοσήματος τῆς ὑποθέσεως ἀνέπλασε. Διὰ τοῦτό μοι δοκεῖ καὶ τὴν ἀρετὴν ὁ Θεὸς ἐπίμοχθον ποιῆσαι κάμπτων αὐτὴν καὶ εἰς τὸ μετριάζειν ἄγων. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ὡς ἂν εἴ τις ἀπὸ μικρῶν μεγάλα στοχάσαιτο, ἀπὸ τῶν Ἰσραηλιτῶν αὐτὸ μάθωμεν.

Οὗτοι γοῦν ἡνίκα οὐκ ἔζων ἐπίμοχθον βίον, ἀλλ' ἀνέσεως ἀπέλαυον, οὐκ ἐνεγκόντες τὴν εὐημερίαν ἐξώλισθον εἰς ἀσέβειαν. Τί οὖν ὁ Θεὸς μετὰ τοῦτο; Πλῆθος νομίμων ἐπέθηκε κωλύων αὐτῶν τὴν ἄδειαν. Καὶ ἵνα μάθῃς ὅτι οὐ πρὸς ἀρετήν τινα συντελεῖ τὰ νόμιμα ταῦτα, ἀλλ' ἀντὶ χαλινοῦ τινος ἦν αὐτοῖς διδόμενα ἀφορμὴν ἀσχολίας παρέχοντα, ἄκουσον τί περὶ αὐτῶν ὁ προφήτης φησίν. «Ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά». Τί δέ ἐστιν, «οὐ κα-

---

27. αὐτ. 3,5.

28. Μανιχαῖοι: Χριστιανικὴ αἵρεσις τοῦ 3ου αἰῶνος μ.Χ. Ὁ ἱδρυτής της Πέρσης Μάνης ἢ Μανιχαῖος ἀνέμειξε στοιχεῖα τοῦ Ζωροαστρισμοῦ μὲ τὴν χριστιανικὴν πίστιν. Ἐπίστευον εἰς τὴν ὕπαρξιν δύο ἀρχῶν, τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. Εἰς τὸν ἀγῶνα μετέχουν ὁ ἄνθρωπος, οἱ ἄγγελοι

ἡ ἀρετὴ δὲν ἔχει ἀνάγκην κανενὸς ἐξωτερικοῦ στοιχείου καὶ ὅτι οἱ ἄνθρωποι δὲν χρειάζονται τὴν ἀνάγκην οὔτε τὴν τύχην, διὰ νὰ γίνουν καλοὶ παρὰ νὰ μὴ εἶναι τέτοιοι.

Εἶδες τὴν κακουργίαν τοῦ διαβόλου; Ἐὰν συνέβη κάπου νὰ ἴδῃ ὅτι εἶπον κάτι διεφθαρμένον, τοὺς ἔκανεν ὅλους νὰ συμφωνήσουν· ἐὰν κάπου εἶδεν ὅτι εἶπον κάτι τὸ ὀρθόν, ἐξήγειρεν ἄλλους ἐναντίον αὐτῶν· ὥστε οὔτε τὰ ἄτοπα νὰ ἐξαφανισθοῦν ἐνισχυόμενα μὲ τὴν συμφωνίαν, ἐνῷ τὰ χρήσιμα νὰ καταστραφοῦν μὲ τὰς ποικίλας ἐπιθέσεις ἐναντίον των. Πρόσεξε πῶς εἶναι ἐξ ὁλοκλήρου ἀνίσχυρος ἡ ψυχὴ καὶ δὲν ἔχει αὐτάρκειαν, καὶ εὐλόγως ἔτσι ἔχει τὸ πρᾶγμα. Ἐφ' ὅσον δηλαδὴ εἶναι τέτοια ἐκ φύσεως καὶ φιλονεικεῖ ὅτι δὲν ἔχει ἀνάγκην κανενὸς καὶ μόνη της ὁδηγεῖται μακρὰν τοῦ Θεοῦ, ἐὰν δὲν ἦτο τέτοια, εἰς ποῖον εἶδος τρέλλας δὲν θὰ ἐξωλίσθαινεν; Τὴν στιγμὴν πού, ἂν καὶ ἔλαβε σῶμα θνητόν, ὅμως ἀνέμενε πολὺ μεγαλύτερα ἀπὸ τὴν ψευδῆ ὑπόσχεσιν τοῦ διαβόλου —διότι λέγει «θὰ γίνετε θεοί»[27]— ἐὰν καὶ τοῦτο ἐξ ἀρχῆς τὸ ἐλάμβανεν ἀθάνατον, ποῦ δὲν θὰ ἐξέπιπτεν; Καθ' ὅσον μάλιστα καὶ μετὰ ἀπὸ ἐκεῖνο εἶπε μὲ τὸ βρωμερὸν στόμα τῶν Μανιχαίων[28], ὅτι ἡ ἰδία εἶναι ἀγέννητος καὶ ἀπὸ τὴν οὐσίαν τοῦ Θεοῦ· καὶ ἐξ αἰτίας αὐτοῦ τοῦ νοσήματος ἐπανέφερε τοὺς θεοὺς τῶν Ἑλλήνων. Διὰ τοῦτο νομίζω ὅτι ὁ Θεὸς καὶ τὴν ἀρετὴν τὴν ἔκανεν ἐπίμοχθον, ταπεινώνων καὶ ὁδηγῶν αὐτὴν εἰς μετριοφροσύνην. Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀληθές, ὡς ἐὰν κάποιος συνεπέραινε μεγάλα ἀπὸ μικρά, ἂς μάθωμεν αὐτὸ ἀπὸ τοὺς Ἰσραηλίτας.

Αὐτοὶ λοιπόν, ὅταν δὲν ἔζων ἐπίμοχθον βίον, ἀλλ' ἀπήλαυον ἀνέσεως, ἐπειδὴ δὲν ἄνθεξαν τὴν εὐημερίαν, ἐξωλίσθησαν εἰς ἀσέβειαν. Τί ἔκανε λοιπὸν ὁ Θεὸς μετὰ ἀπὸ αὐτό; πρόσθεσε πλῆθος νόμων, ἐμποδίζων τὴν ἀσυδοσίαν των. Καὶ διὰ νὰ μάθῃς ὅτι οἱ νόμοι αὐτοὶ καθ' ἑαυτοὺς δὲν συντελοῦν εἰς κάποιαν ἀρετήν, ἀλλὰ ἐδόθησαν εἰς αὐτοὺς ὡς χαλινοί, ἐπειδὴ ἔδιδον ἀφορμὴν ἀσχολίας, ἄκουσε τί λέγει ὁ προφήτης δι' αὐτούς. «Ἔδωκα εἰς αὐτοὺς προστάγματα ὄχι καλά»[29]. Καὶ τί σημαίνει «οὐ καλά»; ὅτι δὲν συντε-

---

οἱ προφῆται καὶ ὁ Χριστός. Ἡ αἵρεσις εἶχε διαδοθῆ εἰς τὴν Εὐρώπην, Ἀφρικὴν καὶ Ἀσίαν καὶ διετηρήθη ἕως τὸν Μεσαίωνα.

29. Ἰεζ. 20,25.

λά»; Οὐδὲν μέγα πρὸς ἀρετὴν συντελοῦντα· διὸ καὶ ἐπάγει, «Δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς».

«Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος». Ὥσπερ γὰρ ἐν τοῖς ὀφθαλμοῖς τούτοις οὐδεὶς ἂν τὰ ἐν τοῖς οὐρανοῖς καταμάθοι, οὕτως οὐδὲ ψυχὴ μόνη τὰ τοῦ Πνεύματος. Καὶ τί λέγω τὰ ἐν τοῖς οὐρανοῖς; Οὐδὲ τὰ ἐν τῇ γῇ ἅπαντα. Καὶ γὰρ ὁρῶντες πύργου πόρρωθεν τετράγωνον στρογγύλον εἶναι νομίζομεν· ἔστι δὲ ὀφθαλμῶν ἀπάτη τὰ τῆς τοιαύτης ὑπολήψεως. Οὕτω τοίνυν καὶ ὅταν τὰ πόρρωθεν ἡμῶν πράγματα διὰ τῆς διανοίας μόνης δοκιμάζῃ τις, γέλως πολὺς ἔψεται· οὐ γὰρ μόνον οἷαπέρ ἐστιν αὐτὰ οὐκ ὄψεται, ἀλλὰ καὶ τὰ ἐναντία ὧν ἐστιν ἡγήσεται. Διὸ καὶ ἐπήγαγε· «Μωρία γὰρ αὐτῷ ἐστι». Τοῦτο δὲ οὐ τῆς φύσεως τοῦ πράγματος ἀλλὰ τῆς ἀσθενείας τοῦ μὴ δυνηθέντος τοῦ μεγέθους αὐτῶν ἐφικέσθαι διὰ τῶν τῆς ψυχῆς ὄψεων. Εἶτα καὶ τὴν αἰτίαν τίθησι λέγων, «Ὅτι οὐκ οἶδεν ὅτι πνευματικῶς ἀνακρίνεται». Τουτέστιν, ὅτι πίστεως δεῖται τὰ λεγόμενα καὶ λόγοις αὐτὰ καταλαβεῖν οὐκ ἔνι· ὑπερβαίνει γὰρ αὐτῶν τὸ μέγεθος ἐκ πολλοῦ τοῦ περιόντος τῆς ἡμετέρας διανοίας τὴν εὐτέλειαν. Διό φησιν· «Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται». Καὶ γὰρ ὁ βλέπων πάντα μὲν αὐτὸς καθορᾷ τὰ τοῦ μὴ βλέποντος, τὰ δὲ ἐκείνου τῶν μὴ βλεπόντων οὐδείς.

Οὕτω καὶ νῦν, τὰ μὲν ἡμέτερα καὶ τὰ τῶν ἀπίστων πάντα ἴσμεν ἡμεῖς, τὰ δὲ ἡμῶν ἐκεῖνοι λοιπὸν οὐκέτι. Καὶ γὰρ ἴσμεν τίς μὲν ἡ τῶν παρόντων πραγμάτων φύσις, τίς δὲ ἡ τῶν μελλόντων ἀξία καὶ τί ποτε ὁ κόσμος μετὰ ταῦτα γενήσεται, καὶ τί μὲν οἱ ἁμαρτωλοὶ πείσονται, τίνος δὲ ἀπολαύσονται οἱ δίκαιοι· καὶ ὅτι οὐδενὸς ἄξια τὰ παρόντα πράγματα καὶ ἴσμεν καὶ ἐλέγχομεν αὐτῶν τὴν εὐτέλειαν· τὸ γὰρ ἀνακρίνειν καὶ ἐλέγχειν ἐστί· καὶ ὅτι τὰ

---

30. Α΄ Κορ. 2,15.

λοῦν σπουδαίως αὐτὰ καθ' ἑαυτὰ εἰς τὴν ἀρετήν· διὰ τοῦτο καὶ προσθέτει· «δικαιώματα, μὲ τὰ ὁποῖα μόνον δὲν θὰ ἠμπορέσουν νὰ ζήσουν».

«Ὁ δὲ φυσικὸς καὶ μὴ ἀναγεννημένος ἄνθρωπος δὲν δέχεται ὅσα προέρχονται ἀπὸ τὸ Πνεῦμα». Ὅπως δηλαδὴ μὲ τοὺς ὀφθαλμοὺς αὐτοὺς κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ γνωρίσῃ τὰ τοῦ οὐρανοῦ, ἔτσι οὔτε ἡ ψυχὴ μόνη θὰ ἠμποροῦσε νὰ γνωρίσῃ τὰ τοῦ Πνεύματος. Καὶ τί λέγω τὰ τοῦ οὐρανοῦ; οὔτε ὅλα τὰ τῆς γῆς θὰ ἠμποροῦσε νὰ γνωρίσῃ. Ἐνῷ βλέπομεν δηλαδὴ ἀπὸ μακριὰ ἕνα τετράγωνον πύργον, νομίζομεν ὅτι εἶναι στρόγγυλος· καὶ ἔχομεν αὐτὴν τὴν ἀντίληψιν, διότι ἀπατῶνται οἱ ὀφθαλμοί. Ἔτσι λοιπὸν καὶ ὅταν κάποιος ἐξετάζῃ τὰ πράγματα ποὺ εἶναι μακριὰ ἀπὸ ἐμᾶς μὲ μόνην τὴν διάνοιαν, θὰ ἐπακολουθήσῃ πολὺς γέλως· διότι ὄχι μόνον δὲν θὰ ἴδῃ τί εἴδους εἶναι αὐτά, ἀλλὰ θὰ τὰ νομίσῃ καὶ ἀντίθετα ἀπὸ ὅ,τι πράγματι εἶναι. Διὰ τοῦτο καὶ προσέθεσεν· «Εἶναι μωρία κατὰ τὴν κρίσιν αὐτοῦ». Τοῦτο δὲ δὲν ὀφείλεται εἰς τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ εἰς τὴν ἀδυναμίαν αὐτοῦ ποὺ δὲν ἠδυνήθη νὰ ἀντιληφθῇ τὸ μέγεθος αὐτῶν μὲ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς. Κατόπιν προσθέτει καὶ τὴν αἰτίαν λέγων· «Διότι δὲν γνωρίζει ὅτι αὐτὰ πρέπει νὰ ἐξετάζωνται πνευματικῶς». Δηλαδή, ὅτι τὰ λεγόμενα χρειάζονται πίστιν καὶ δὲν εἶναι δυνατὸν νὰ τὰ καταλάβῃ κανεὶς μὲ λογικὰ ἐπιχειρήματα, διότι τὸ μέγεθος αὐτῶν ὑπερβαίνει κατὰ πολὴ τὴν εὐτέλειαν τῆς διανοίας μας. Διὰ τοῦτο λέγει· «Ὁ δὲ πνευματικὸς ἄνθρωπος τὰ ἐξετάζει καὶ τὰ κατανοεῖ ὅλα, τὸν ἴδιον ὅμως κανεὶς δὲν ἠμπορεῖ νὰ τὸν κατανοήσῃ»[30]. Ἐκεῖνος, ὡς γνωστόν, ποὺ βλέπει, παρατηρεῖ μὲν ὁ ἴδιος ὅλα ὅσα δὲν βλέπει ἕνας τυφλός, κανεὶς ὅμως ἀπὸ τοὺς τυφλοὺς δὲν βλέπει ὅσα παρατηρεῖ ἐκεῖνος ποὺ βλέπει.

Ἔτσι καὶ τώρα, ἐμεῖς μὲν γνωρίζομεν ὅλα τὰ ἰδικά μας καὶ τὰ τῶν ἀπίστων, ἐκεῖνοι ὅμως δὲν γνωρίζουν τὰ ἰδικά μας. Γνωρίζομεν δηλαδὴ ποία εἶναι ἡ φύσις τῶν παρόντων πραγμάτων καὶ ποία εἶναι ἡ ἀξία τῶν μελλόντων, καὶ τί τέλος πάντων θὰ γίνῃ ὁ κόσμος μετὰ ἀπὸ αὐτά, καὶ τί θὰ πάθουν οἱ ἁμαρτωλοί, τί δὲ θὰ ἀπολαύσουν οἱ δίκαιοι· καὶ ὅτι τὰ παρόντα πράγματα δὲν ἔχουν καμμίαν ἀξίαν καὶ τὸ γνωρίζομεν καὶ ἐλέγχομεν τὴν εὐτέλειάν των· διότι τὸ κρίνομεν σημαίνει καὶ ἐλέγχομεν· γνωρίζομεν ἐπίσης

μέλλοντά ἐστιν ἀθάνατα καὶ ἀκίνητα. Ταῦτα ἅπαντα οἶδεν ὁ πνευματικός, καὶ τί πείσεται ὁ ψυχικὸς ἀπελθὼν ἐκεῖ καὶ τίνος ἀπολαύσεται ὁ πιστὸς ἐντεῦθεν ἀποδημήσας, ὧν οὐδὲν οἶδεν ὁ ψυχικός. Διὸ καὶ σαφῆ τῶν εἰρημένων ἀπόδειξιν ἐπαγαγὼν ἔλεγε· «Τίς γὰρ ἔγνω νοῦν Κυρίου», φησίν· ὃς συμβιβάσει αὐτόν; Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν». Τουτέστι, τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν, καὶ ἅπερ αὐτὸς βούλεται καὶ ἀπεκάλυψεν. Ἐπειδὴ γὰρ εἶπεν ὅτι τὸ Πνεῦμα ἀπεκάλυψεν, ἵνα μή τις τὸν Υἱὸν παρώσηται, ἐπάγει ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἡμῖν ἔδειξεν· οὐ τοῦτο λέγων, ὅτι πάντα ἃ οἶδεν ἴσμεν, ἀλλ' ὅτι πάνα ἃ οἴδαμεν οὐκ ἀνθρώπινα, ὥστε ὑποπτευθῆναι, ἀλλὰ τοῦ νοῦ ἐκείνου καὶ πνευματικά.

Τὸν γὰρ νοῦν, ὃν ἔχομεν περὶ τούτων, τοῦ Χριστοῦ ἔχομεν· τουτέστι, τὴν γνῶσιν, ἣν ἔχομεν περὶ τῶν κατὰ τὴν πίστιν πραγμάτων, πνευματικὴν ἔχομεν, ὥστε εἰκότως ὑπ' οὐδενὸς ἀνακρινόμεθα. Οὐδὲ γὰρ οἷόν τε τὰ θεῖα εἰδέναι ἄνθρωπον ψυχικόν· διὸ καὶ ἔλεγε, «Τίς γὰρ ἔγνω νοῦν Κυρίου;», τὸν ἡμέτερον νοῦν τὸν περὶ τούτων ἐκείνου λέγων εἶναι νοῦν. Καὶ τό, «ὃς συμβιβάσει αὐτόν», οὐχ ἁπλῶς προσέθηκεν, ἀλλὰ πρὸς ὃ εἶπεν ἤδη, ὅτι τὸν πνευματικὸν οὐδεὶς ἀνακρίνει. Εἰ γὰρ εἰδέναι οὐδεὶς δύναται τοῦ Θεοῦ τὸν νοῦν, πολλῷ μᾶλλον διδάσκειν καὶ διορθοῦσθαι· τοῦτο γάρ ἐστιν, «ὃς συμβιβάσει αὐτόν».

Ὁρᾷς ὡς πανταχόθεν ἐξωθεῖ τὴν σοφίαν τὴν ἔξωθεν, καὶ πλείονα εἰδότα καὶ μείζονα δείκνυσι τὸν πνευματικόν; Ἐπειδὴ γὰρ ἐκεῖναι αἱ αἰτίαι, οἷον τό, «ἵνα μὴ καυχήσηται πᾶσα σάρξ», καὶ ὅτι «διὰ τοῦτο ἐξελέξατο τὰ μωρά, ἵνα καταισχύνῃ τοὺς σοφούς» καί, «ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ», οὐ σφόδρα τοῖς ἀπίστοις ἀξιόπιστοι εἶναι ἐδόκουν οὐδὲ ἐπαγωγοὶ καὶ ἀναγκαῖαι καὶ χρήσιμοι, λοιπὸν τίθησι τὴν κυριωτάτην αἰτίαν, ὅτι τούτῳ μάλιστα

31. αὐτ. 16.

ὅτι τὰ μέλλοντα εἶναι ἀθάνατα καὶ σταθερά. Ὁ πνευματικὸς ἄνθρωπος τὰ γνωρίζει ὅλα αὐτὰ καὶ ἐπὶ πλέον γνωρίζει τί θὰ πάθη ὁ πνευματικὰ νεκρὸς ἄνθρωπος, ὅταν ἀποθάνη καὶ τί θὰ ἀπολαύση ὁ πιστός, ὅταν φύγη ἀπὸ ἐδῶ, καὶ ἀπὸ ὅλα αὐτὰ τίποτε δὲν γνωρίζει ὁ πνευματικὰ νεκρὸς ἄνθρωπος. Διὰ τοῦτο, παρουσιάζων καὶ σαφῆ ἀπόδειξιν τῶν λόγων του, ἔλεγεν· «Ποῖος λοιπόν», λέγει, «ἐγνώρισε ποτὲ τὴν σκέψιν τοῦ Κυρίου, ὥστε νὰ διορθώση αὐτόν; Ἐμεῖς ὅμως ἔχομεν τὸν νοῦν τοῦ Χριστοῦ»[31]. Δηλαδὴ ὅσα εὑρίσκονται εἰς τὸν νοῦν τοῦ Χριστοῦ αὐτὰ ἐμεῖς τὰ γνωρίζομεν καὶ ὅσα αὐτὸς θέλει καὶ ἀπεκάλυψεν. Ἐπειδὴ δηλαδὴ εἶπεν ὅτι τὸ Πνεῦμα ἀπεκάλυψε, διὰ νὰ μὴ παραθεωρήση κανεὶς τὸν Υἱόν, προσθέτει ὅτι καὶ ὁ Χριστὸς μᾶς τὰ ἔδειξεν αὐτά· δὲν ἐννοεῖ ὅτι γνωρίζομεν ὅλα ὅσα γνωρίζει ὁ ἴδιος, ἀλλὰ ὅτι ὅλα ὅσα γνωρίζομεν δὲν εἶναι ἀνθρώπινα, ὥστε νὰ καταστοῦν ὕποπτα, ἀλλὰ ὅτι εἶναι τοῦ νοῦ ἐκείνου καὶ ὅτι εἶναι πνευματικά.

Ὁ νοῦς δηλαδή, τὸν ὁποῖον ἔχομεν δι' αὐτά, εἶναι νοῦς Χριστοῦ· δηλαδὴ ἡ γνῶσις, τὴν ὁποίαν ἔχομεν διὰ τὰ πράγματα τῆς πίστεως, εἶναι πνευματική, ὥστε εὐλόγως δὲν κρινόμεθα ἀπὸ κανένα. Καὶ οὔτε εἶναι δυνατὸν ὁ πνευματικὰ νεκρὸς ἄνθρωπος νὰ γνωρίζη τὰ θεῖα· διὰ τοῦτο καὶ ἔλεγε, «Ποῖος λοιπὸν ἐγνώρισε ποτὲ τὴν σκέψιν τοῦ Κυρίου;» ἀποκαλῶν τὴν ἰδικήν μας γνῶσιν περὶ τούτων γνῶσιν ἐκείνου. Καὶ τὸ «ὁ ὁποῖος νὰ διδάξη αὐτήν», δὲν τὸ προσέθεσεν ἀσκόπως, ἀλλὰ πρὸς ἐνίσχυσιν αὐτοῦ ποὺ εἶπεν ἤδη, ὅτι δηλαδὴ κανεὶς δὲν κρίνει τὸν πνευματικὸν ἄνθρωπον· διότι, ἐφ' ὅσον κανεὶς δὲν δύναται νὰ γνωρίση τὴν σκέψιν τοῦ Θεοῦ, πολὺ περισσότερον δὲν δύναται νὰ τὴν διδάσκη καὶ νὰ τὴν διορθώνη· αὐτὸ δηλαδὴ σημαίνει τὸ «ὁ ὁποῖος νὰ διδάξη αὐτήν».

Βλέπεις πῶς ἀπὸ κάθε ἄποψιν ἀπορρίπτει τὴν σοφίαν τοῦ κόσμου καὶ δεικνύει ὅτι ὁ πνευματικὸς ἄνθρωπος γνωρίζει περισσότερα καὶ σπουδαιότερα; Ἐπειδὴ δηλαδὴ ἐκεῖναι αἱ αἰτίαι ὅπως π.χ. τὸ «διὰ νὰ μὴ καυχηθῆ κανεὶς ἄνθρωπος», καὶ ὅτι, «διὰ τοῦτο ἐξέλεξε τοὺς μωροὺς κατὰ τὴν ἀνθρωπίνην κρίσιν, διὰ νὰ καταντροπιάση τοὺς σοφούς», καὶ τὸ «διὰ νὰ μὴ χάση τὴν δύναμίν του ὁ σταυρὸς τοῦ Χριστοῦ», δὲν ἐφαίνοντο εἰς τοὺς ἀπίστους ὅτι εἶναι πολὺ ἀξιόπιστοι οὔτε πειστικαὶ καὶ ἀναγκαῖαι καὶ χρήσιμοι, ἐν συνεχείᾳ θέτει τὴν μεγαλυτέραν αἰτίαν, ὅτι δηλαδὴ δυνάμεθα νὰ ἴ-

τῷ τρόπῳ δυνάμεθα ἰδεῖν, ἐξ οὗ καὶ τὰ ὑψηλὰ καὶ τὰ ἀπόρρητα καὶ τὰ ὑπὲρ ἡμᾶς μαθεῖν ἕξομεν. Καὶ γὰρ ἐκενοῦτο ὁ λόγος τῷ μὴ δύνασθαι ἡμᾶς καταλαβεῖν διὰ τῆς ἔξωθεν σοφίας τὰ ὑπὲρ ἡμᾶς. Ὁρᾷς ὅτι καὶ συνέφερεν οὕτω μᾶλλον μαθεῖν παρὰ τοῦ Πνεύματος; καὶ γὰρ καὶ εὐκολωτάτη καὶ σαφεστάτη ἡ διδασκαλία. «Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν»· τουτέστι, πνευματικόν, θεῖον, οὐδὲν ἀνθρώπινον ἔχοντα· οὐ γὰρ Πλάτωνος οὐδὲ Πυθαγόρου, ἀλλ' ὁ Χριστὸς τὰ ἑαυτοῦ τῇ ἡμετέρᾳ ἐνέθηκε διανοίᾳ.

Τοῦτο γοῦν αἰσχυνθῶμεν, ἀγαπητοί, καὶ βίον ἐπιδειξώμεθα ἄριστον. Ἐπεὶ καὶ αὐτὸς τοῦτο ποιεῖται πολλῆς φιλίας τεκμήριον, τὸ τὰ ἀπόρρητα ἡμῖν ἀποκαλύπτειν, λέγων, «Οὐκέτι ὑμᾶς λέγω δούλους· πάντες γὰρ ὑμεῖς φίλοι μού ἐστε, ὅτι, πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός, ἀπήγγειλα ὑμῖν»· τουτέστιν, ἐθάρρησα ὑμῖν. Εἰ δὲ τοῦτο μόνον φιλίας τεκμήριον, τὸ θαρρῆσαι, ὅταν φαίνηται μὴ θαρρήσας μόνον τὰ διὰ ῥημάτων μυστήρια, ἀλλὰ καὶ αὐτὰ ταῦτα διὰ τῶν ἔργων ἡμῖν χαρισάμενος, ἐννόησον πόσης ἀγάπης ἐστὶ τὸ γινόμενον. Τοῦτο γοῦν αἰσχυνθῶμεν· καὶ εἰ μηδεὶς γεέννης τοσοῦτος λόγος ἔσται ἡμῖν· ἀλλ' ἔστω γεέννης φοβερώτερον τὸ περὶ τὸν οὕτω φίλον καὶ εὐεργέτην ἀγνώμονας γενέσθαι καὶ ἀχαρίστους· μηδὲ ὡς μισθωτοὶ οἰκέται, ἀλλ' ὡς υἱοὶ καὶ ἐλεύθεροι πάντα πράττωμεν διὰ τὴν τοῦ Πατρὸς φιλίαν, καὶ παυσώμεθά ποτε τῷ κόσμῳ προσηλωμένοι, ἵνα καὶ Ἕλληνας καταισχύνωμεν. Ἐπεὶ καὶ νῦν βουλόμενος πρὸς αὐτοὺς ἀποτείνεσθαι, ἀναδύομαι, μήποτε τοῖς λόγοις αὐτοὺς νικῶντες καὶ τῇ τῶν δογμάτων ἀληθείᾳ, πολὺν τὸν καταγέλωτα ἀπὸ τῆς τοῦ βίου συγκρίσεως ἡμῖν ἐνέγκωμεν, ὅταν οἱ μὲν τῇ πλάνῃ προσέχοντες καὶ μηδὲν τοιοῦτο πεπεισμένοι φιλοσοφίας ἔχωνται, ἡμεῖς δὲ τοὐναντίον ἅπαν. Πλὴν ὅμως ἐρῶ· ἴσως γάρ, ἴσως μελετῶντες πρὸς αὐτοὺς μάχεσθαι φιλονεικήσομεν βελτίους αὐτῶν γενέσθαι καὶ κατὰ τὸν βίον αὐτόν.

---

32. Ἰω. 15,15.
33. Βλ. σχόλιον ἀρ. 18 τῆς Β' ὁμιλίας τοῦ παρόντος.

δωμεν κατ' ἐξοχὴν μὲ αὐτὸν τὸν τρόπον, μὲ τὸν ὁποῖον θὰ ἠμπορέσωμεν νὰ μάθωμεν καὶ τὰ ὑψηλὰ καὶ τὰ ἀπόρρητα καὶ ὅσα εἶναι ὑπεράνω ἡμῶν. Καθ' ὅσον μάλιστα μὲ τὸ νὰ μὴ δυνάμεθα νὰ καταλάβωμεν μὲ τὴν σοφίαν τοῦ κόσμου τὰ ὑπεράνω ἡμῶν ἐμηδενίζετο ἡ δύναμις τῆς λογικῆς. Βλέπεις ὅτι καὶ συνέφερεν ἔτσι νὰ μάθωμεν περισσότερα ἀπὸ τὸ Πνεῦμα; διότι πράγματι ἡ διδασκαλία αὐτὴ εἶναι εὐκολωτάτη καὶ σαφεστάτη. «Ἐμεῖς ὅμως ἔχομεν νοῦν Χριστοῦ»· δηλαδὴ πνευματικόν, θεῖον, ποὺ δὲν ἔχει τίποτε τὸ ἀνθρώπινον· διότι ὁ Χριστὸς δὲν ἔθεσε μέσα εἰς τὴν διάνοιάν μας τοῦ Πλάτωνος οὔτε τοῦ Πυθαγόρου, ἀλλὰ τὸν ἰδικόν του νοῦν.

Ἂς ἐντραπῶμεν λοιπὸν διὰ τοῦτο, ἀγαπητοί, καὶ ἂς δείξωμεν βίον ἄριστον· καθ' ὅσον καὶ ὁ Χριστὸς αὐτὸ κάνει ὡς ἀπόδειξιν τῆς μεγάλης φιλίας του, ὅτι δηλαδὴ μᾶς ἀποκαλύπτει τὰ ἀπόρρητα λέγων· «Δὲν σᾶς ὀνομάζω πλέον δούλους· εἶσθε ὅλοι φίλοι μου, διότι, ὅσα ἤκουσα ἀπὸ τὸν Πατέρα, σᾶς τὰ ἀνεκοίνωσα»[32]· δηλαδή, τὰ ἐνεπιστεύθην εἰς ἐσᾶς. Ἐφ' ὅσον δὲ ἀπόδειξις φιλίας εἶναι τοῦτο καὶ μόνον, ἡ ἐμπιστοσύνη, ὅταν εἶναι φανερὸν ὅτι δὲν ἐνεπιστεύθη μόνον τὰς μυστικὰς λέξεις τῶν μυστηρίων, ἀλλὰ καὶ διὰ τῶν ἔργων μᾶς ἐνεπιστεύθη τὰ ἴδια τὰ μυστήρια, σκέψου πόσην ἀγάπην δεικνύει ἡ ἐνέργειά του αὐτή. Διὰ τοῦτο λοιπὸν νὰ αἰσθανθῶμεν ἐντροπήν· καὶ ἂν δὲν σκεπτώμεθα τόσον πολὺ τὴν κόλασιν, ἀλλ' ὅμως ἂς θεωρῶμεν φοβερώτερον ἀπὸ τὴν κόλασιν τὸ νὰ δείξωμεν ἀγνωμοσύνην καὶ ἀχαριστίαν εἰς τέτοιον φίλον καὶ εὐεργέτην· καὶ ἂς πράττωμεν τὰ πάντα ὄχι ὡς μισθωτοὶ δοῦλοι ἀλλ' ὡς υἱοὶ καὶ ἐλεύθεροι ἄνθρρωποι ἐξ αἰτίας τῆς φιλίας τοῦ Πατρός, καὶ ἂς παύσωμεν τέλος πάντων νὰ εἴμεθα προσηλωμένοι εἰς τὸν κόσμον, διὰ νὰ καταισχύνωμεν καὶ τοὺς ἐθνικούς. Διότι τώρα, ἂν καὶ θέλω νὰ ἀπευθύνωμαι πρὸς αὐτούς, διστάζω μήπως, ἐνῷ τοὺς νικῶμεν εἰς τοὺς λόγους καὶ εἰς τὴν ἀλήθειαν τῶν δογμάτων, ἐπισύρωμεν εἰς βάρος μας τὸν χλευασμὸν ἀπὸ τὴν σύγκρισιν τοῦ βίου, ἀφοῦ ἐκεῖνοι μέν, ἂν καὶ εὑρίσκονται εἰς τὴν πλάνην καὶ δὲν πιστεύουν εἰς τίποτε ἰσάξιον μὲ τὴν ἰδικήν μας πίστιν, ὅμως ζοῦν βίον φιλοσοφίας[33], ἐνῷ ἐμεῖς κάμνομεν τὸ ἐντελῶς ἀντίθετον. Ἀλλ' ὅμως θὰ ὁμιλήσω· διότι προσπαθοῦντες νὰ ἀνταγωνιζώμεθα αὐτοὺς ἴσως ἐπιδιώξωμεν νὰ γίνωμεν καλύτεροι ἀπὸ αὐτοὺς καὶ εἰς τὴν ἰδίαν τὴν ζωήν.

Πρώην μὲν ἔλεγον ὅτι οὐκ ἂν ἐπῆλθε κηρῦξαι τοῖς ἀποστόλοις ἅπερ ἐκήρυξαν, εἰ μὴ θείας ἀπέλαυσαν χάριτος· καὶ ὅτι οὐ μόνον οὐ κατώρθωσαν, ἀλλ' οὐδ' ἂν ἐβουλεύσαντό τι τοιοῦτον· φέρε δὴ καὶ σήμερον αὐτὸ τοῦτο ἐπεξέλθωμεν τῷ λόγῳ καὶ δείξωμεν, ὡς ἀδύνατον ἦν τοῦτο κἂν ἑλέσθαι, κἂν ἐννοῆσαι, εἰ μὴ τὸν Χριστὸν εἶχον μεθ' ἑαυτῶν· οὐκ ἐπειδὴ ἀσθενεῖς πρὸς ἰσχυρούς, οὐκ ἐπειδὴ ὀλίγοι πρὸς πολλούς, οὐκ ἐπειδὴ πένητες πρὸς πλουσίους, οὐδὲ ἐπειδὴ ἀμαθεῖς πρὸς σοφοὺς παρετάττοντο, ἀλλ' ἐπειδὴ καὶ τῆς προλήψεως πολλὴν ἦν ἡ ἰσχύς. Ἴστε γὰρ ὡς οὐδὲν οὕτως ἰσχυρὸν παρὰ ἀνθρώποις ὡς συνηθείας παλαιᾶς τυραννίς. Ὥστε, εἰ καὶ μὴ δώδεκα ἦσαν μόνον μηδὲ οὕτως εὐτελεῖς καὶ τοιοῦτοι, ἀλλ' ἑτέρα οἰκουμένη τοσαύτη, καὶ πλῆθος ἀντίρροπον εἶχον μεθ' ἑαυτῶν τεταγμένον ἢ καὶ πολλῷ πλείους, καὶ οὕτω δύσκολον ἦν τὸ γινόμενον· ἐκείνοις μὲν γὰρ ἡ συνήθεια συνέπραττε, τούτοις δὲ ἡ καινοτομία ἠναντιοῦτο· οὐδὲν γὰρ οὕτω θορυβεῖ ψυχήν, κἂν ἐπὶ χρησίμῳ τινὶ γίνηται, ὡς καινοτομεῖν τι καὶ ξενίζειν, καὶ μάλιστα ὅταν περὶ λατρείας καὶ περὶ τῆς τοῦ Θεοῦ δόξης τοῦτο γίνηται.

Καὶ ὅση τούτου τοῦ πράγματος ἡ ἰσχύς, ἤδη ποιήσω φανερόν, πρότερον ἐκεῖνο εἰπών, ὅτι καὶ ἑτέρα δυσκολία προσῆν πρὸς Ἰουδαίους. Ἐπὶ μὲν γὰρ τῶν Ἑλλήνων καὶ τοὺς θεοὺς καὶ τὰ δόγματα αὐτῶν κατέλυον ἅπαντα, Ἰουδαίοις δὲ οὐχ οὕτω διελέγοντο, ἀλλὰ τῶν μὲν δογμάτων πολλὰ ἔπαυον, τὸν δὲ Θεὸν τὸν νομοθετήσαντα προσκυνεῖν ἐκέλευον· καὶ λέγοντες ὅτι δεῖ θεραπεύειν τὸν νομοθέτην, ἔλεγον, μὴ πάντα πείθου τῷ νόμῳ τῷ παρ' ἐκείνου τεθέντι, οἷον ἐν τῷ φυλάττειν τὸ σάββατον ἢ περιτομὴν τηρεῖν, ἢ θυσίας προσάγειν ἢ ἄλλο τι τῶν τοιούτων ποιεῖν. Ὥστε οὐ μόνον ἡ συνήθεια ἐμπόδιον ἦν ἀλλὰ καὶ τὸ τὸν Θεὸν προσκυνεῖν κελεύοντας, πολλοὺς τῶν ἐκείνου λύειν κελεύειν νόμους. Ἐπὶ δὲ τῶν Ἑλλήνων μεγάλη τῆς συνηθείας ἦν ἡ τυραννίς.

Προχθὲς ἔλεγα ὅτι οἱ Ἀπόστολοι δὲν θὰ ἀπεφάσιζον νὰ κηρύξουν ὅσα ἐκήρυξαν, ἐὰν δὲν εἶχον ἀπολαύσει τὴν θείαν χάριν· καὶ ὅτι ὄχι μόνον δὲν θὰ κατώρθωνον, ἀλλὰ οὔτε κἂν θὰ εἶχον σκεφθῇ κάτι τέτοιο· ἐμπρὸς λοιπὸν ἂς ὁμιλήσωμεν καὶ σήμερον διὰ τὸ ἴδιο θέμα καὶ ἂς δείξωμεν πόσον ἦτο ἀδύνατον νὰ ἀναλάβουν τοῦτο, ἀκόμη καὶ νὰ τὸ σκεφθοῦν, ἐὰν δὲν εἶχον τὸν Χριστὸν μαζί των· ὄχι διότι παρετάσσοντο ἀδύνατοι ἐναντίον ἰσχυρῶν, ὄχι διότι ἦσαν ὀλίγοι ἐναντίον πολλῶν, ὄχι διότι παρετάσσοντο πτωχοὶ ἐναντίον πλουσίων, οὔτε ἐπειδὴ ἀμόρφωτοι ἐναντίον σοφῶν, ἀλλὰ ἐπειδὴ ἦτο πολλὴ καὶ ἡ δύναμις τῆς προκαταλήψεως. Γνωρίζετε δηλαδὴ ὅτι τίποτε δὲν εἶναι τόσον ἰσχυρὸν εἰς τοὺς ἀνθρώπους ὅσον ἡ τυραννία παλαιᾶς συνηθείας. Ὥστε, καὶ ἂν ἀκόμη δὲν ἦσαν μόνον δώδεκα οὔτε τόσον εὐτελεῖς καὶ τόσον ἀδύνατοι, ἀλλὰ μία ἄλλη τόσον μεγάλη οἰκουμένη καὶ εἶχον μαζί των παρατεταγμένον πλῆθος ἰσοδύναμον ἢ καὶ πολὺ περισσοτέρους, καὶ πάλιν ἔτσι θὰ ἦτο δύσκολον τὸ ἔργον· διότι εἰς ἐκείνους μὲν συνέπραττεν ἡ συνήθεια, ἐνῷ εἰς αὐτοὺς ἠναντιοῦτο ἡ καινοτομία· καθ' ὅσον τίποτε δὲν θορυβεῖ τόσον τὴν ψυχήν, ἀκόμη καὶ ἂν γίνεται διὰ κάτι χρήσιμον, ὅσον ἡ καινοτομία καὶ ὁ νεωτερισμός, καὶ πρὸ παντὸς ὅταν τοῦτο γίνεται περὶ τῆς λατρείας καὶ τῆς δόξης τοῦ Θεοῦ.

Καὶ πόση εἶναι ἡ ἰσχὺς αὐτοῦ τοῦ πράγματος θὰ τὸ φανερώσω πλέον, ἀφοῦ προηγουμένως εἴπω τὸ ἑξῆς, ὅτι δηλαδὴ ὑπῆρχεν ἐπὶ πλέον καὶ ἄλλη δυσκολία προκειμένου διὰ τοὺς Ἰουδαίους. Δηλαδή, ὅσον μὲν ἀφορᾷ τοὺς Ἕλληνας κατέλυον καὶ τοὺς θεοὺς καὶ ὅλα ἀνεξαιρέτως τὰ δόγματά των, μὲ τοὺς Ἰουδαίους ὅμως δὲν συνεζήτουν κατὰ τὸν ἴδιον τρόπον, ἀλλὰ ἀπὸ τὰ μὲν δόγματα κατήργουν πολλά, ἐνῷ τοὺς προέτρεπον νὰ προσκυνοῦν τὸν Θεὸν ποὺ ἔδωσε τοὺς νόμους εἰς αὐτούς· καὶ ἐνῷ ἔλεγον ὅτι πρέπει νὰ λατρεύουν τὸν νομοθέτην, συγχρόνως ἔλεγον· Μὴ ὑπακούῃς εἰς ὅλας τὰς διατάξεις τοῦ νόμου ποὺ ἐκεῖνος ἐθέσπισεν, ὅπως π.χ. τὸ νὰ φυλάττῃς τὴν ἀργίαν τοῦ Σαββάτου ἢ νὰ τηρῇς τὴν περιτομὴν ἢ νὰ προβαίνῃς εἰς θυσίας ἢ τὸ νὰ κάνῃς κάτι παρόμοιον. Ὥστε δὲν ἦτο ἡ συνήθεια τὸ μόνον ἐμπόδιον, ἀλλὰ καὶ τὸ ὅτι, ἐνῷ τοὺς προέτρεπον νὰ προσκυνοῦν τὸν Θεόν, συγχρόνως τοὺς προέτρεπον νὰ παραβιάζουν πολλοὺς νόμους ἐκείνου. Εἰς τοὺς Ἕλληνας ἐξ ἄλλου ἦτο μεγάλη ἡ τυραννία τῆς συνηθείας.

7. Καὶ γάρ, εἰ καὶ δέκα ἐτῶν μόνον — οὐ λέγω χρόνου τοσούτου — καὶ εἰ ἀνθρώπων ὀλίγων — οὐ λέγω τῆς οἰκουμένης ἁπάσης— ὑπὸ συνηθείας προκατειλημμένων ἐπῆλθον οὗτοι, καὶ οὕτω δύσκολος ἦν ἡ μετάστασις· νυνὶ δὲ καὶ σοφισταὶ καὶ ῥήτορες καὶ πατέρες καὶ πάπποι καὶ ἐπίπαπποι καὶ πολλοὶ τῶν τούτων ἀνωτέρω τῇ πλάνῃ προκατειλημμένοι ἦσαν, καὶ γῆ καὶ θάλαττα καὶ ὄρη καὶ νάπαι, καὶ βαρβάρων πάντα τὰ γένη καὶ Ἑλλήνων δῆμοι πάντες, καὶ σοφοὶ καὶ ἰδιῶται, καὶ ἄρχοντες καὶ ἀρχόμενοι, καὶ γυναῖκες καὶ ἄνδρες, καὶ νέοι καὶ γέροντες, καὶ δεσπόται καὶ οἰκέται, καὶ γηπόνοι καὶ δημιουργοί, καὶ οἱ τὰς πόλεις καὶ οἱ τὰς χώρας οἰκοῦντες ἅπαντες. Καὶ εἰκὸς ἦν τοὺς κατηχουμένους λέγειν· τί ποτε τοῦτό ἐστι; πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἠπάτηνται, καὶ σοφισταὶ καὶ ῥήτορες καὶ φιλόσοφοι καὶ συγγραφεῖς, οἵ τε παρόντες οἵ τε πρὸ τούτου γενόμενοι, οἱ περὶ Πυθαγόραν καὶ Πλάτωνα, καὶ στρατηγοὶ καὶ ὕπατοι καὶ βασιλεῖς, καὶ οἱ τῶν πόλεων ἐξ ἀρχῆς πολισταὶ καὶ οἰκισταί, καὶ βάρβαροι καὶ Ἕλληνες; καὶ οἱ δώδεκα ἁλιεῖς καὶ σκηνοποιοὶ καὶ τελῶναι πάντων ἐκείνων εἰσὶ σοφώτεροι; καὶ τίς ἂν ταῦτα ἀνάσχοιτο; Ἀλλ' ὅμως οὐκ εἶπον ταῦτα, οὐκ ἐνενόησαν, ἀλλ' ἠνέσχοντο, καὶ ἔγνωσαν ὅτι πάντων ἦσαν σοφώτεροι· διὸ καὶ πάντων ἐκράτησαν.

Καὶ ἵνα μάθῃς πόση τῆς συνηθείας ἐστὶν ἡ ἰσχύς, τῶν τοῦ Θεοῦ προσταγμάτων πολλάκις ἐκράτησε. Καὶ τί λέγω προσταγμάτων; Αὐτῶν μὲν οὖν τῶν εὐεργεσιῶν. Καὶ γὰρ οἱ Ἰουδαῖοι μάννα ἔχοντες, σκόροδα ἐζήτουν, καὶ ἐλευθερίας ἀπολαύοντες, τῆς δουλείας ἐμέμνηντο καὶ Αἴγυπτον συνεχῶς ἐπεζήτουν διὰ τὴν συνήθειαν. Οὕτως ἡ συνήθεια τυραννικόν. Εἰ δὲ βούλει καὶ ἐκ τῶν ἔξωθεν αὐτὴν μαθεῖν, λέγεται Πλάτων καίτοιγε ἀκριβῶς εἰδὼς ὅτι πλάνη τις ἦν τὰ περὶ θεῶν καὶ ταῖς ἑορταῖς καὶ τοῖς ἄλλοις ἅπασι συγκαταβῆναι ἅτε οὐ κατισχύων συνηθείᾳ πολεμῆσαι, καὶ ἔργῳ παρὰ τοῦ διδασκάλου τοῦτο μαθών.

7. Πράγματι, ἐὰν οἱ Ἀπόστολοι εἶχον προσπαθήσει νὰ κηρύξουν ἐντὸς δέκα ἐτῶν μόνον —δὲν λέγω ἐντὸς τόσου χρόνου— καὶ εἰς ὀλίγους ἀνθρώπους —δὲν λέγω εἰς ὅλην τὴν οἰκουμένην— καὶ ἂν εἶχον πλησιάσει ἀνθρώπους προκατειλημμένους ἀπὸ τὴν συνήθειαν, καὶ πάλιν θὰ ἦτο δύσκολος ἡ μεταστροφή των· τώρα ὅμως ἦσαν προκατειλημμένοι ἀπὸ τὴν πλάνην καὶ σοφισταὶ καὶ ρήτορες καὶ πατέρες καὶ πάπποι καὶ πρόπαπποι καὶ πολλοὶ προγενέστεροι τούτων, καὶ ἐπὶ πλέον εἶχον κυριευθῆ ἀπὸ τὴν πλάνην καὶ γῆ καὶ θάλασσα καὶ ὄρη καὶ κοιλάδες καὶ ὅλα τὰ γένη τῶν βαρβάρων καὶ ὅλοι οἱ Ἕλληνες, καὶ σοφοὶ καὶ ἁπλοϊκοὶ καὶ ἄρχοντες καὶ ἀρχόμενοι καὶ γυναῖκες καὶ ἄνδρες καὶ νέοι καὶ γέροντες καὶ κύριοι καὶ δοῦλοι καὶ γεωργοὶ καὶ τεχνῖται καὶ ὅλοι οἱ κατοικοῦντες εἰς τὰς πόλεις καὶ τὴν ὕπαιθρον. Καὶ ἦτο φυσικὸν οἱ κατηχούμενοι νὰ λέγουν· τί τέλος πάντων συμβαίνει; ἔχουν ἀπατηθῆ ὅλοι οἱ ἄνθρωποι τῆς οἰκουμένης, καὶ σοφισταὶ καὶ ρήτορες καὶ φιλόσοφοι καὶ συγγραφεῖς, καὶ αὐτοὶ ποὺ ζοῦν τώρα καὶ οἱ προγενέστεροι, ὅσοι ἔζησαν εἰς τὸ περιβάλλον τοῦ Πυθαγόρου καὶ τοῦ Πλάτωνος, καὶ στρατηγοὶ καὶ ὕπατοι καὶ βασιλεῖς καὶ οἱ ἱδρυταὶ καὶ οἱ οἰκισταὶ τῶν πόλεων καὶ οἱ βάρβαροι καὶ οἱ Ἕλληνες; καὶ εἶναι σοφώτεροι ὅλων ἐκείνων οἱ δώδεκα ἁλιεῖς καὶ οἱ σκηνοποιοὶ καὶ οἱ τελῶναι; καὶ ποῖος θὰ τὰ ἐδέχετο αὐτά; Καὶ ὅμως δὲν τὰ εἶπον αὐτά, δὲν τὰ ἐσκέφθησαν, ἀλλὰ ἐδέχθησαν τὸ κήρυγμα καὶ ἐπίστευσαν ὅτι οἱ ἀπόστολοι ἦσαν σοφώτεροι ὅλων, καὶ διὰ τοῦτο ὑπερίσχυσαν ὅλων.

Καὶ διὰ νὰ μάθῃς πόση εἶναι ἡ δύναμις τῆς συνηθείας, αὐτὴ πολλάκις ὑπερίσχυσε τῶν προσταγμάτων τοῦ Θεοῦ. Καὶ τί λέγω τῶν προσταγμάτων; ὑπερίσχυσεν ἀκόμη καὶ τῶν ἰδίων τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Καὶ πράγματι, οἱ Ἰουδαῖοι, ἐνῷ εἶχον τὸ μάννα, ἐζήτουν σκόρδα, καὶ ἐνῷ ἀπήλαυον ἐλευθερίας, ἐνεθυμοῦντο τὴν δουλείαν καὶ λόγῳ τῆς συνηθείας ἐπεζήτουν συνεχῶς τὴν Αἴγυπτον. Τόσον τυραννικὴ εἶναι ἡ συνήθεια. Ἐὰν πάλιν θέλῃς νὰ ἀντιληφθῇς τὴν δύναμίν της μὲ παραδείγματα ἀπὸ τοὺς ἐθνικούς, λέγεται ὅτι ὁ Πλάτων, ἂν καὶ πλήρως ἐγνώριζεν ὅτι ἦτο μία πλάνη τὸ θέμα τῶν εἰδωλολατρικῶν θεῶν, ἐν τούτοις συμμετεῖχεν εἰς τὰς ἑορτὰς καὶ ὅλας τὰς ἄλλας σχετικὰς ἐκδηλώσεις, διότι δὲν εἶχε τὴν δύναμιν νὰ πολεμήσῃ τὴν συνήθειαν, καὶ τοῦτο τὸ ἐδιδάχθη ἐμ-

Καὶ γὰρ οὗτος ὑποπτευθεὶς ἐπὶ καινοτομίᾳ τινὶ τοιαύτῃ τοσοῦτον ἀπέσχε τοῦ κατορθῶσαι, ὅπερ ἐβούλετο, ὅτι καὶ τοῦ ζῆν ἐξέπεσε, καὶ ταῦτα ἀπολογησάμενος. Πόσους δὲ καὶ νῦν ὁρῶμεν ἀνθρώπους ἀπὸ προλήψεως κατεχομένους ἐν ἀσεβείᾳ καὶ εὔλογον μὲν οὐδὲν ἔχοντας εἰπεῖν, ἐπειδὰν ἐγκαλοῖντο Ἕλληνες ὄντες, πατέρας δὲ καὶ πάππους καὶ ἐπιπάππους προβαλλομένους; Διὰ δὴ τοῦτο καί τινες τῶν ἔξωθεν δευτέραν φύσιν τὴν συνήθειαν ἐκάλεσαν. Ὅταν δὲ καὶ ἐν δόγμασιν ἡ συνήθεια ᾖ, βεβαιοτέρα γίνεται· πάντα γάρ τις εὐκολώτερον ἀμείψειεν ἢ τὰ περὶ θρησκείας. Καὶ τὸ αἰσχύνεσθαι δὲ μτὰ τῆς συνηθείας ἱκανὸν ἦν ἐμποδίσαι, καὶ τὸ δοκεῖν ἐν ἐσχάτῳ γήρᾳ μεταμαθεῖν, καὶ παρὰ τῶν ἀσυνετωτέρων.

Καὶ τί θαυμάζεις, εἰ ἐπὶ ψυχῆς ταῦτα συμβαίνει, ὅπου γε καὶ ἐπὶ σώματος μεγάλην ἔχει τὴν ἰσχὺν ἡ συνήθεια; Ἐπὶ δὲ τῶν ἀποστόλων καὶ ἕτερον ἦν δυνατώτερον τούτων ἐμπόδισμα, τὸ μὴ μόνον συνήθειαν ἀμείβειν οὕτω παλαιὰν καὶ ἀρχαίαν, ἀλλὰ καὶ μετὰ κινδύνων τὴν μετάστασιν ποιεῖσθαι· οὐ γὰρ ἁπλῶς ἀπὸ συνηθείας εἰς συνήθειαν εἷλκον, ἀλλ' ἀπὸ συνηθείας ἄδειαν ἐχούσης εἰς πράγματα κινδύνους ἀπειλοῦντα· τὸν γὰρ πιστεύοντα ἔδει εὐθέως δημεύεσθαι, ἐλαύνεσθαι, πατρίδος ἐκπίπτειν, τὰ ἔσχατα πάσχειν δεινά, παρὰ πάντων μισεῖσθαι, κοινὸν εἶναι πολέμιον καὶ ἰδίοις καὶ ἀλλοτρίοις. Ὥστε, εἰ καὶ ἐπὶ συνήθειαν ἐκάλουν ἀπὸ κοινοτομίας, καὶ οὕτω δύσκολον τὸ πρᾶγμα ἦν· ὅπου δὲ ἀπὸ συνηθείας ἐπὶ καινοτομίαν, καὶ ταῦτα προσῆν τὰ δεινά, ἐννόησον πόσον ἦν τὸ ἐμπόδισμα.

Καὶ τῶν εἰρημένων δὲ πάλιν ἕτερον οὐκ ἔλαττον προσέκειτο τούτοις τὸ ποιοῦν δύσκολον τὴν μετάστασιν· μετὰ γὰρ τῆς συνηθείας καὶ τῶν κινδύνων καὶ ταῦτα τὰ

πράκτως ἀπὸ τὸν διδάσκαλόν του· αὐτὸς δηλαδή, ἂν καὶ τὸν ὑποψιάσθησαν διὰ κάποιαν τέτοιαν καινοτομίαν, ἐν τούτοις τόσον πολὺ κατέστη ἀκατόρθωτον εἰς αὐτὸν νὰ κάνῃ ὅ,τι ἤθελεν, ὥστε καὶ τὴν ζωήν του ἔχασε καὶ μάλιστα ἂν καὶ ἀπελογήθη δι' αὐτά. Ἐξ ἄλλου πόσους ἀνθρώπους βλέπομεν καὶ τώρα νὰ κατέχωνται ἀπὸ προκατάληψιν λόγῳ τῆς ἀσεβείας των καὶ νὰ μὴ ἔχουν νὰ εἴπουν τίποτε τὸ λογικόν, ὅταν τοὺς κατηγοροῦν, ἐπειδὴ εἶναι ἐθνικοί, παρὰ μόνον τοὺς βλέπομεν νὰ προβάλλουν ὡς ἐπιχείρημα τὴν πίστιν τῶν πατέρων, τῶν πάππων καὶ τῶν προπάππων των; Διὰ τοῦτο λοιπὸν καὶ μερικοὶ ἀπὸ τοὺς ἐθνικοὺς ὠνόμασαν τὴν συνήθειαν δευτέραν φύσιν. Καὶ ὅταν μάλιστα ἡ συνήθεια ἀφορᾷ εἰς τὰ δόγματα, τότε γίνεται σταθερωτέρα· ὅλα δηλαδὴ θὰ ἠμποροῦσε κάποιος νὰ τὰ μεταβάλῃ εὐκολώτερον, ὄχι ὅμως καὶ τὰ θέματα τῆς θρησκείας. Ἡ ἐντροπὴ μαζὶ μὲ τὴν συνήθειαν ἦτο ἱκανὴ νὰ τοὺς ἐμποδίσῃ νὰ πιστεύσουν, ἡ ἐντροπὴ ποὺ ᾐσθάνοντο, ἐπειδὴ θὰ ἐφαίνοντο ὅτι μετέβαλον πίστιν εἰς βαθὺ γῆρας καὶ ὅτι ἐδέχοντο τὴν νέαν πίστιν ἀπὸ κατωτέρους των εἰς σοφίαν.

Καὶ διατί ἀπορεῖς ποὺ συμβαίνουν αὐτὸ προκειμένου περὶ τῆς ψυχῆς, τὴν στιγμὴν πού, ὡς γνωστόν, καὶ εἰς θέματα τοῦ σώματος ἡ συνήθεια ἔχει μεγάλην δύναμιν; Οἱ Ἀπόστολοι ὅμως εἶχον καὶ ἄλλο ἐμπόδιον δυνατώτερον ἀπὸ αὐτά, ὄχι μόνον δηλαδὴ τὸ νὰ μεταβάλουν συνήθειαν τόσον παλαιὰν καὶ προγονικήν, ἀλλὰ καὶ τὸ νὰ κάνουν αὐτὴν τὴν μεταβολὴν μὲ κινδύνους· διότι δὲν προσείλκυον τοὺς ἀνθρώπους ἀπὸ μίαν συνήθειαν εἰς ἄλλην συνήθειαν, ἀλλὰ ἀπὸ συνήθειαν, ποὺ ἐξησφάλιζεν ἀσφάλειαν, εἰς κατάστασιν, ποὺ ἠπείλει κινδύνους· διότι ἐκεῖνος ποὺ ἐπίστευεν ἔπρεπε ἀμέσως νὰ χάσῃ μὲ δήμευσιν τὴν περιουσίαν του, νὰ διωχθῇ, νὰ ἐξορισθῇ ἀπὸ τὴν πατρίδα του, νὰ πάθῃ τὰ χειρότερα δεινά, νὰ μισηθῇ ἀπὸ ὅλους, νὰ εἶναι ἐχθρὸς κοινὸς εἰς τοὺς ἰδικούς του καὶ εἰς τοὺς ξένους. Ὥστε, καὶ ἂν ἀκόμη ἐκάλουν τοὺς ἀνθρώπους εἰς συνήθειαν μετὰ ἀπὸ καινοτομίαν, καὶ τότε θὰ ἦτο δύσκολον τὸ ἔργον· τώρα δὲ ποὺ ἐκάλουν ἀπὸ συνήθειαν εἰς καινοτομίαν, καὶ μάλιστα ὑπῆρχον ἐπὶ πλέον αὐτὰ τὰ δεινά, σκέψου πόσον ἦτο τὸ ἐμπόδιον.

Καὶ ἄλλο πάλιν ἐπὶ πλέον ὑπῆρχεν ὄχι μικρότερον ἀπὸ ὅσα ἀνέφερα, τὸ ὁποῖον ἔκαμνε δύσκολον τὴν μεταστροφήν· ἐκτὸς δηλαδὴ ἀπὸ τὴν συνήθειαν καὶ τοὺς κινδύνους καὶ αὐταὶ αἱ ἴδιαι αἱ

ἐπιτάγματα φορτικώτερα ἦν, καὶ ὧν ἀπῆγον ῥᾳδιά τε καὶ εὔκολα· ἀπὸ γὰρ πορνείας ἐπὶ σωφροσύνην ἐκάλουν, ἀπὸ μέθης ἐπὶ νηστείαν, ἀπὸ γέλωτος ἐπὶ δάκρυα καὶ κατάνυξιν, ἀπὸ πλεονεξίας ἐπὶ ἀκτημοσύνην, ἀπὸ φιλοζωΐας ἐπὶ θανάτους, ἀπὸ ἀδείας ἐπὶ κινδύνους· καὶ τὴν ἐσχάτην διὰ πάντων ἀπήτουν ἀκρίβειαν. «Αἰσχρότης», γάρ φησί, «καὶ μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν». Καὶ ταῦτα ἔλεγον τοῖς οὐδὲν ἄλλο εἰδόσιν ἢ μεθύειν καὶ γαστρίζεσθαι, τοῖς ἑορτὰς ἐπιτελοῦσιν οὐδαμόθεν ἄλλοθεν συνεστώσας ἢ ἀπὸ αἰσχρότητος καὶ γέλωτος καὶ κωμῳδίας ἁπάσης.

Ὥστε οὐ τῷ φιλοσοφίᾳ εἶναι τὰ πράγματα φαρτικὰ ἦν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ τῷ ἀνθρώποις λέγεσθαι ἐν ἀδείᾳ τραφεῖσι καὶ αἰσχρότητι καὶ μωρολογίᾳ καὶ γέλωτι καὶ κώμοις. Τίς γὰρ τῶν ἐν ἐκείνοις βεβιωκότων ἀκούων ὅτι «Ἐὰν μή τις ἄρῃ ἑαυτοῦ τὸν σταυρὸν καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος», καὶ ὅτι «Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν, καὶ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς», οὐκ ἂν ἐνάρκησε; τίς δὲ ἀκούων ὅτι «Ἐὰν μή τις ἀποτάξηται καὶ οἰκίᾳ καὶ πατρίδι καὶ χρήμασιν, οὐκ ἔστι μου ἄξιος», οὐκ ἂν ὤκνησεν, οὐκ ἂν ἀπηγόρευσεν;

Ἀλλ' ὅμως οὐ μόνον οὐκ ἐνάρκων οὐδὲ ἀνεδύοντο ταῦτα ἀκούοντες, ἀλλὰ προσέτρεχον καὶ ἐπεπήδων τοῖς δεινοῖς καὶ ἥρπαζον τὰ ἐπιταττόμενα. Τὸ δὲ ἀκούειν ὅτι παντὸς ῥήματος ἀργοῦ δώσομεν εὐθύνας καὶ «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν αὐτὴν ὀφθεῖσαν», καὶ «Ὁ ὀργισθεὶς εἰκῇ εἰς γέενναν πεσεῖται» τίνα οὐκ ἂν τῶν τότε ἀπεσόβησεν; Ἀλλ' ὅμως πάντες ἐπέδραμον, καὶ πολλοὶ καὶ ὑπὲρ τὰ σκάμματα ἥλλοντο. Τί οὖν αὐτοὺς ἐπήγετο; οὐκ εὔδηλον ὅτι ἡ δύναμις τοῦ

---

34. Ἐφ. 5,4.
35. Ματθ. 10,38, 34-35.
36. Λουκᾶ 14,33.
37. Ματθ. 12,36.
38. αὐτ. 5,28.
39. αὐτ. 22.

ἐντολαὶ ἦσαν βαρεῖαι, ἐνῷ ἦσαν ἄνετα καὶ εὔκολα ἐκεῖνα, ἀπὸ τὰ ὁποῖα ἀπεμάκρυνον τοὺς ἀνθρώπους οἱ Ἀπόστολοι· διότι ἀπὸ τὴν πορνείαν τοὺς ἐκάλουν εἰς σωφροσύνην, ἀπὸ τὴν μέθην εἰς νηστείαν, ἀπὸ τὸν γέλωτα εἰς δάκρυα καὶ κατάνυξιν, ἀπὸ τὴν πλεονεξίαν εἰς ἀκτημοσύνην, ἀπὸ τὴν φιλοζωΐαν εἰς θανάτους, ἀπὸ τὴν ἀφοβίαν εἰς κινδύνους· καὶ ἀπήτουν τὴν πλήρη ἀκρίβειαν δι' ὅλων· διότι λέγει, «Αἰσχροὶ λόγοι καὶ μικρολογίαι καὶ ἀπρεπῆ ἀστεῖα ἂς μὴ ἐξέρχωνται ἀπὸ τὸ στόμα σας»[34]. Καὶ τὰ ἔλεγον αὐτὰ εἰς ἀνθρώπους, ποὺ δὲν ἐγνώριζον τίποτε ἄλλο παρὰ νὰ μεθύουν καὶ νὰ τρώγουν ὑπερβολικῶς, ποὺ διωργάνωνον ἑορτάς, αἱ ὁποῖαι δὲν εἶχον τίποτε ἄλλο παρὰ αἰσχρότητα καὶ γέλωτα καὶ πᾶσαν διασκέδασιν.

Ὥστε οἱ λόγοι τοῦ κηρύγματος ἦσαν φορτικοί, ὄχι μόνον διότι ἐδίδασκον τὴν φιλοσοφίαν, ἀλλὰ καὶ διότι ἐλέγοντο εἰς ἀνθρώπους, οἱ ὁποῖοι ἀνετράφησαν εἰς ἀφοβίαν καὶ αἰσχρότητα καὶ μωρολογίαν καὶ γέλωτα καὶ διασκεδάσεις. Ποῖος δηλαδὴ ἀπὸ αὐτοὺς ποὺ εἶχον ζήσει μὲ ἐκεῖνον τὸν τρόπον ζωῆς δὲν θὰ παρέλυεν, ἀκούων ὅτι, «Ἐὰν κάποιος δὲν σηκώσῃ τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθήσῃ, δὲν εἶναι ἄξιός μου», καὶ ὅτι «Δὲν ἦλθα νὰ φέρω εἰρήνην, ἀλλὰ μάχαιραν, καὶ νὰ χωρίσω ἄνθρωπον ἀπὸ τὸν πατέρα του καὶ θυγατέρα ἀπὸ τὴν μητέρα της»[35]. Καὶ ποῖος δὲν θὰ ἐδίσταζεν, δὲν θὰ ἀπεκρούετο, ἀκούων ὅτι «Ἐὰν κάποιος δὲν ἀπαρνηθῇ καὶ τὴν οἰκίαν του καὶ τὴν πατρίδα του καὶ τὰ χρήματά του, δὲν εἶναι ἄξιός μου»;[36]

Ἀλλ' ὅμως ὄχι μόνον δὲν παρέλυον οὔτε ὑπεχώρουν ἀκούοντες αὐτά, ἀλλὰ προσέτρεχον καὶ προσήρχοντο μὲ προθυμίαν εἰς τὰ δεινὰ καὶ ἥρπαζον τὰς ἐντολάς. Ποῖον ἀπὸ τοὺς τότε ἀνθρώπους δὲν θὰ τὸν ἀπεμάκρυνε τὸ νὰ ἀκούῃ ὅτι θὰ δώσωμεν λόγον διὰ κάθε μάταιον λόγον μας[37] καὶ ὅτι «Ὁ ἄνδρας ποὺ εἶδε μίαν γυναῖκα καὶ τὴν ἐπεθύμησεν ἔχει ἤδη μοιχεύσει μὲ αὐτὴν ποὺ εἶδε»[38], καὶ ὅτι «Ἐκεῖνος ποὺ ὀργίζεται χωρὶς λόγον θὰ ριφθῇ εἰς τὴν κόλασιν»;[39] Ἀλλ' ὅμως ὅλοι ἔτρεξαν καὶ μάλιστα πολλοὶ ἐπετύγχανον περισσότερα τῶν καθωρισμένων. Τί προσεῖλκυε λοιπὸν αὐτούς; δὲν εἶναι φανερὸν ὅτι ἡ δύναμις τοῦ κηρυττομένου; διότι, ἐὰν δὲν συνέβαινεν ἔτσι, ἀλλὰ ἀντιθέτως, ἐὰν δηλαδὴ ἐκεῖνοι μὲν

κηρυττομένου; Εἰ γὰρ μὴ τοῦτο ἦν, τοὐναντίον δὲ ἦν, ἐκεῖνοι μὲν οὗτοι, οὗτοι δὲ ἦσαν ἐκεῖνοι, ἆρ' ἂν εὔκολον ἦν ἔχειν καὶ ἑλκύσαι τοὺς ἐναντιουμένους; Οὐκ ἔστιν εἰπεῖν.

8. Ὥστε διὰ πάντων δείκνυται θεία δύναμις οὖσα ἡ κατορθώσασα. Ἐπεὶ πόθεν ἔπεισαν, εἰπέ μοι, τοὺς χαύνους καὶ τοὺς διαρρέοντας ἐπὶ τὸν σκληρὸν καὶ τραχὺν φέροντες βίον; Ἀλλὰ τὰ μὲν παραγγέλματα τοιαῦτα· ἴδωμεν δὲ μήποτε τὸ δόγμα ἐπαγωγὸν ἦν. Καὶ μὴν καὶ τοῦτο ἱκανὸν ἦν τοὺς ἀπίστους ἀποσοβῆσαι. Τί γὰρ ἔλεγον οἱ κηρύττοντες; Ὅτι τὸν ἐσταυρωμένον δεῖ προσκυνεῖν καὶ τοῦτον Θεὸν νομίζειν, τὸν ἐκ γυναικὸς γεννηθέντα Ἰουδαίας. Καὶ τίς ἂν τούτοις ἐπείσθη μὴ θείας δυνάμεως προηγουμένης; Ὅτι μὲν γὰρ ἐσταυρώθη καὶ ἐτάφη, πάντες εἶδον· ὅτι δὲ ἀνέστη καὶ ἀνῆλθε, πλὴν τῶν ἀποστόλων οὐδεὶς ἐθεάσατο.

Ἀλλ' ἐπαγγελίαις αὐτοὺς ἐπῆραν, φησί, καὶ ψόφῳ ῥημάτων ἠπάτησαν. Τοῦτο μὲν οὖν αὐτὸ μάλιστα δείκνυσι καὶ χωρὶς τῶν εἰρημένων ἁπάντων ὅτι οὐκ ἔστιν ἀπάτη τὰ ἡμέτερα. Τὰ μὲν γὰρ δυσχερῆ πάντα ἐνταῦθα συνέβαινε, τὰ δὲ χρηστὰ μετὰ τὴν ἀνάστασιν ἐπαγγείλασθαι ἔδει. Αὐτὸ μὲν οὖν τοῦτο —πάλιν γὰρ ἐρῶ— δείκνυσι θεῖον ὂν τὸ ἡμέτερον κήρυγμα. Διὰ τί γὰρ μηδεὶς τῶν πιστευόντων εἶπεν, ὅτι οὐ πρόσειμι οὐδὲ ἀνέχομαι· τὸ δυσχερῆ μοι ἐνταῦθα ἀπειλεῖς καὶ τὰ χρηστὰ μετὰ τὴν ἀνάστασιν ἐπαγγέλλῃ; πόθεν γὰρ δῆλον ὅτι ἀνάστασις ἔσται; τίς τῶν ἀπελθόντων ἦλθε; τίς τῶν κειμένων ἀνέστη; τίς περὶ τούτων εἶπε μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; Ἀλλ' οὐδὲν τούτων οὐκ ἐνενόησαν, ἀλλὰ καὶ τὰς ψυχὰς ἐπέδωκαν ὑπὲρ τοῦ σταυρωθέντος. Ὥστε αὐτὸ τοῦτο μάλιστα μεγάλης δυνάμεως ἦν, τὸ μηδέποτε μηδὲν τοιοῦτον ἀκούσαντας ἀθρόον πεῖσαι περὶ μεγάλων οὕτω πραγμάτων καὶ παρασκευάσαι τὰ μὲν δυσχερῆ καταδέξασθαὶ ἐπι τῆς πείρας, τὰ δὲ χρηστὰ ἐν ἐλπίσιν ἔχειν. Εἰ δὲ ἠπάτων, τοὐναντίον ἂν ἐποίησαν· τὰ μὲν χρηστὰ ἐντεῦθεν ἐπηγγείλαντο, τὰ δὲ φοβερὰ ἐσίγησαν, καὶ τὰ παρόντα καὶ τὰ

ἦσαν αὐτοί, αὐτοὶ δὲ ἐκεῖνοι, ἆρά γε θὰ ἦτο εὔκολον νὰ προσελκύσῃ καὶ νὰ κρατήσῃ τοὺς ἐναντιουμένους; Δὲν εἶναι δυνατὸν νὰ τὸ δεχθῶμεν.

Ὥστε δι' ὅλων ἀποδεικνύεται ὅτι ἦτο θεία δύναμις αὐτὴ ποὺ κατώρθωσε (τὴν μεταστροφὴν τῶν ἀνθρώπων). Διότι, εἰπέ μου, πῶς ἔπεισαν τοὺς νωθροὺς καὶ τοὺς πλαδαροὺς λόγῳ τῆς τρυφῆς, ἐνῷ τοὺς ἔφερον εἰς σκληρὸν καὶ τραχὺν βίον; Ἀλλὰ αἱ μὲν ἐντολαὶ ἦσαν τέτοιαι· ἂς ἴδωμεν ὅμως μήπως τυχὸν τὸ κηρυττόμενον δόγμα ἦτο ἑλκυστικόν. Καὶ ὅμως καὶ τοῦτο ἦτο ἱκανὸν νὰ ἀπομακρύνῃ τοὺς ἀπίστους. Τί ἔλεγον δηλαδὴ οἱ κηρύττοντες; ὅτι πρέπει νὰ προσκυνοῦν τὸν ἐσταυρωμένον καὶ νὰ πιστεύουν ὡς Θεὸν αὐτόν, ποὺ ἐγεννήθη ἀπὸ γυναῖκα Ἰουδαία. Καὶ ποῖος θὰ ἐπείθετο εἰς αὐτούς, ἐὰν δὲν προηγεῖτο θεία δύναμις; Δηλαδὴ τὸ ὅτι μὲν ἐσταυρώθη καὶ ἐτάφη ὅλοι τὸ εἶδον· τὸ ὅτι ὅμως ἀνεστήθη καὶ ἀνελήφθη ἐκτὸς τῶν Ἀποστόλων οὐδεὶς τὸ εἶδεν.

Ἀλλὰ τοὺς παρέσυραν, θὰ ἔλεγε κάποιος, μὲ ὑποσχέσεις καὶ τοὺς ἐξηπάτησαν μὲ ἐντυπωσιακοὺς λόγους. Αὐτὸ λοιπὸν καὶ μόνον καὶ χωρὶς ὅλα ὅσα εἶπον προηγουμένως ἀποδεικνύει πληρέστατα ὅτι ἡ πίστις μας δὲν εἶναι ἀπάτη· διότι ὅλα μὲν τὰ δυσχερῆ συνέβαινον ἐδῶ, ἐνῷ ἔπρεπε νὰ κηρύξουν ὅτι τὰ ἀγαθὰ θὰ ὑπάρξουν μετὰ τὴν ἀνάστασιν. Αὐτὸ λοιπὸν καὶ μόνον —πάλι θὰ τὸ εἴπω— ἀποδεικνύει ὅτι τὸ κήρυγμά μας εἶναι θεϊκόν. Διατί δηλαδὴ κανεὶς ἀπὸ τοὺς πιστοὺς δὲν εἶπε· 'Δὲν προσέρχομαι εἰς τὴν πίστιν οὔτε τὴν δέχομαι· μὲ φοβερίζεις ἐδῶ μὲ τὰ δύσκολα καὶ μοῦ ὑπόσχεσαι τὰ ἀγαθὰ μετὰ τὴν ἀνάστασιν; καὶ ἀπὸ ποῦ φαίνεται ὅτι θὰ ὑπάρξῃ ἀνάστασις; ποῖος ἀπὸ τοὺς ἀποθανόντας ἐπέστρεψεν; ποῖος ἀπὸ τοὺς νεκροὺς ἀνέστη; ποῖος ὡμίλησε δι' αὐτὰ τὰ θέματα μετὰ τὴν ἀποδημίαν του ἀπὸ ἐδῶ;' Ὅμως δὲν ἐσκέφθησαν τίποτε ἀπὸ αὐτά, ἀλλὰ ἔδωσαν ἀκόμη καὶ τὴν ζωήν των ὑπὲρ τοῦ σταυρωθέντος. Ὥστε αὐτὸ καὶ μόνον ἦτο μεγίστη ἀπόδειξις μεγάλης δυνάμεως, τὸ ὅτι δηλαδὴ ἀνθρώπους, ποὺ ποτὲ δὲν ἤκουσαν κάτι τέτοιο, τοὺς ἔπεισαν πλήρως εἰς τόσον σπουδαῖα θέματα καὶ τοὺς ἡτοίμασαν τὰς μὲν δυσχερείας νὰ τὰς δεχθοῦν διὰ τὴν παροῦσαν ζωήν, τὰ δὲ ἀγαθὰ νὰ τὰ ἐλπίζουν. Ἐὰν ὅμως τοὺς ἐξηπάτων, θὰ ἔκαμνον τὸ ἀντίθετον· τὰ μὲν ἀγαθὰ θὰ τὰ ὑπέσχοντο διὰ τὴν πάρουσαν ζωήν, ἐνῷ θὰ ἀπεσιώπων τὰ φοβερὰ καὶ τὰ παρόντα καὶ

μέλλοντα· οὕτω γὰρ οἱ ἀπατῶντες καὶ οἱ κολακεύοντες ποιοῦσιν· οὐδὲν τραχὺ οὐδὲ ἐπαχθὲς οὐδὲ φορτικὸν προτείνουσιν, ἀλλὰ τοὐναντίον ἅπαν· τοῦτο γάρ ἐστιν ἀπάτη.

'Αλλ' ἡ ἄνοια, φησί, τῶν πολλῶν πεισθῆναι ἐποίησε τοῖς λεγομένοις. Τί φῄς; ὅτε ὑπὸ Ἕλλησιν ἦσαν, οὐκ ἦσαν ἀνόητοι, ἀλλ' ὅτε πρὸς ἡμᾶς μετέστησαν, τότε ἀνόητοι γεγόνασι; καίτοιγε οὐκ ἄλλους ἀνθρώπους οὐδὲ ἐξ ἄλλης οἰκουμένης λαβόντες ἔπεισαν οἱ ἀπόστολοι. Καίτοι τὰ μὲν Ἑλλήνων ἁπλῶς κατεῖχον, τὰ δὲ ἡμέτερα μετὰ κινδύνων κατεδέξαντο· ὥστε, εἰ μετὰ λόγου κρίττονος αὐτὰ κατεῖχον, τοσοῦτον αὐτοῖς ἐντραφέντες χρόνον οὐκ ἂν αὐτῶν ἀπέστησαν, καὶ μάλιστα ὅτι οὐδὲ ἀκινδύνως ἀποστῆναι ἐνῆν. 'Επεὶ δὲ ἔγνωσαν ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως ὅτι γέλως ἐκεῖνα καὶ πλάνη, διὰ τοῦτο καὶ θανάτων κοινὰ ηὐτομόλησαν, ἅτε τούτου μὲν τοῦ δόγματος κατὰ φύσιν ὄντος, ἐκείνου δὲ παρὰ φύσιν.

ἀπειλουμένων τῶν μὲν συνήθων ἀπεπήδησαν, εἰς δὲ τὰ

'Αλλ' οἰκέται, φησίν, ἦσαν οἱ πεισθέντες καὶ γυναῖκες καὶ τίτθαι καὶ μαῖαι καὶ εὐνοῦχοι. Μάλιστα μὲν οὐκ ἀπὸ τούτων ἡμῖν ἡ ἐκκλησία συνέστηκε μόνον, καὶ τοῦτο δῆλον ἅπασιν· εἰ δὲ ἀπὸ τούτων, τοῦτο μάλιστά ἐστι τὸ ποιοῦν τὸ κήρυγμα θαυμαστόν, ὅτι τοιαῦτα δόγματα, οἷα Πλάτων καὶ οἱ κατ' ἐκεῖνον οὐκ ἴσχυσαν ἐννοῆσαι, ἐξαίφνης ἴσχυσαν οἱ ἁλιεῖς, τὸ πάντων ἀμαθέστατον γένος, πείσαντες κατεδέξασθαι. Οὐδὲ γάρ, εἰ φρονίμους ἔπεισαν μόνον, οὕτω θαυμαστὸν ἦν τὸ γεγονός· ἐπειδὴ δὲ οἰκέτας καὶ τίτθας καὶ εὐνούχους εἰς τοσοῦτον ἤγαγον φιλοσοφίας, ὡς ἀγγέλοις ἐφαμίλλους ποιῆσαι, μεγίστην τῆς θείας ἐμπνοίας παρεῖχον ἀπόδειξιν. Καὶ γάρ, εἰ μὲν εὐτελῆ τινα ἐπέταττον, εἶχε λόγον ἴσως τὸ τὴν τούτων πειθὼ εἰς ἀπόδειξιν τῆς εὐτελείας τῶν λεγομένων προβάλλεσθαι· εἰ δὲ μεγάλα καὶ ὑψηλὰ καὶ ἀνθρωπίνην σχεδὸν ὑπερβαίνοντα φύσιν

---

40. Βλ. σχόλιον ἀρ. 18 τῆς Β' ὁμιλίας τοῦ παρόντος.

τὰ μέλλοντα· διότι ἔτσι κάμνουν οἱ ἀπατεῶνες καὶ οἱ κόλακες· δὲν προτείνουν τίποτε τραχὺ οὔτε δυσάρεστον οὔτε φορτικόν, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετον· καὶ τοῦτο ἀκριβῶς εἶναι ἀπάτη.

Ἀλλὰ ἡ μωρία τῶν πολλῶν, θὰ ἔλεγε κάποιος, τοὺς ἔκανε νὰ πεισθοῦν εἰς τὰ κηρυττόμενα ὑπὸ τῶν Ἀποστόλων. Τί λέγεις; ὅταν ἦσαν εἰδωλολάτραι, δὲν ἦσαν ἀνόητοι, ἀλλὰ ὅταν μετεστράφησαν πρὸς ἐμᾶς, τότε ἔγιναν ἀνόητοι; καθ' ὅσον βέβαια οἱ Ἀπόστολοι δὲν ἔλαβον καὶ δὲν ἔπεισαν ἄλλους ἀνθρώπους οὔτε ἀπὸ ἄλλην οἰκουμένην. Καὶ ὅμως αὐτοὶ οἱ ἄνθρωποι, ἐνῷ ἦσαν εἰδωλολάτραι καὶ εἶχον τὴν ἡσυχίαν των, ὅμως ἐδέχθησαν τὴν πίστιν μας καὶ ἔκτοτε ἐκινδύνευον· ὥστε, ἐὰν ἐπίστευον εἰς τὰ εἴδωλα ἐκ πεποιθήσεως, ἐπειδὴ θὰ εἶχον τόσον χρόνον ἀνατραφῆ μὲ αὐτά, δὲν θὰ τὰ ἐγκατέλειπον, καὶ πρὸ παντὸς διότι θὰ διέτρεχον κινδύνους μὲ αὐτὴν τὴν ἀποστασίαν των. Ἐπειδὴ ὅμως ἀπὸ τὴν ἰδίαν τὴν φύσιν τῶν πραγμάτων κατενόησαν, ὅτι ἐκεῖνα ἦσαν γέλως καὶ πλάνη, διὰ τοῦτο, ἐνῷ τοὺς ἠπείλουν μὲ θάνατον, ἀπέδρασαν μὲν ἀπὸ ὅσα εἶχον συνηθίσει, προσέτρεξαν δὲ εἰς τὴν νέαν πίστιν, ἐπειδὴ πράγματι αὐτὴ μὲν ἡ πίστις ἦτο κατὰ φύσιν, ἐνῷ ἐκείνη ἦτο παρὰ φύσιν.

Ἀλλά, θὰ ἔλεγε κάποιος, οἱ πεισθέντες ἦσαν δοῦλοι καὶ γυναῖκες καὶ παραμάναι καὶ μαῖαι καὶ εὐνοῦχοι. Τὸ ὅτι βεβαίως ἡ Ἐκκλησία μας δὲν ἀπετελέσθη μόνον ἀπὸ αὐτοὺς εἶναι καὶ τοῦτο εἰς ὅλους φανερόν· ἐὰν ὅμως ἀπετελέσθη ἀπὸ αὐτούς, τοῦτο πρὸ παντὸς εἶναι ποὺ κάμνει τὸ κήρυγμά μας θαυμαστόν, ὅτι δηλαδὴ τέτοια δόγματα, τὰ ὁποῖα ὁ Πλάτων καὶ οἱ μαθηταί του δὲν ἠδυνήθησαν νὰ τὰ κατανοήσουν, αἰφνιδίως ἠδυνήθησαν οἱ ἁλιεῖς, οἱ πλέον ἀμαθεῖς ἀπὸ ὅλους τοὺς ἀνθρώπους, νὰ πείσουν νὰ τὰ δειχθοῦν. Δὲν θὰ ἦτο δηλαδὴ τὸ γεγονὸς τόσον θαυμαστόν, ἐὰν εἶχον πείσει μόνον φρονίμους· ἐπειδὴ ὅμως δούλους καὶ τροφοὺς καὶ εὐνούχους τοὺς ὡδήγησαν εἰς τόσον βαθμὸν φιλοσοφίας[40], ὥστε νὰ τοὺς κάνουν ἰσαξίους μὲ ἀγγέλους, ἔδιδον μεγίστην ἀπόδειξιν τῆς θείας ἐμπνεύσεως. Καὶ βεβαίως, ἐὰν μὲν παρήγγελον πράγματα εὐτελῆ, ἴσως θὰ εἶχε λόγον νὰ προβάλλεται ἡ πίστις αὐτῶν ὡς ἀπόδειξις τῆς εὐτελείας τῶν λεγομένων· ἐφ' ὅσον ὅμως ἠσχολοῦντο φιλοσοφικῶς μὲ τὰ μεγάλα καὶ ὑψηλὰ καὶ μὲ θέματα ποὺ ὑπερέβαινον σχεδὸν τὴν ἀνθρωπίνην φύσιν καὶ ἐχρειάζοντο ὑψηλὴν διά-

καὶ ὑψηλῆς δεόμενα διανοίας ἐφιλοσόφουν, ὅσῳ ἂν δείξῃς ἀνοήτους τοὺς πεισθέντας, τοσούτῳ μᾶλλον ἀποδεικνύεις σοφοὺς καὶ θείας χάριτος πεπληρωμένους τοὺς πείσαντας.

Ἀλλὰ τῇ ὑπερβολῇ τῶν ἐπαγγελιῶν, φησίν, ἔπεισαν. Αὐτὸ δὲ τοῦτο οὐ θαυμάζεις, εἰπέ μοι, πῶς ἔπεισαν μετὰ θάνατον προσδοκᾶν ἔπαθλα καὶ ἀμοιβάς; Ἐγὼ γὰρ αὐτὸ τοῦτο ἐκπλήττομαι. Ἀλλὰ καὶ τοῦτο ὑπὸ ἀνοίας, φησί. Ποίας ἀνοίας, εἰπέ μοι, ταῦτα, ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ δικαστήριον ἀδέκαστον μετὰ τὸν ἐνταῦθα ἡμᾶς λήψεται βίον, καὶ εὐθύνας καὶ ῥημάτων καὶ πραγμάτων καὶ ἐννοιῶν δώσομεν τῷ τὰ ἀπόρρητα εἰδότι Θεῷ, καὶ τοὺς μὲν κακοὺς ὀψόμεθα κολαζομένους, τοὺς δὲ ἀγαθοὺς στεφανουμένους; Ταῦτα γὰρ οὐχὶ ἀνοίας ἀλλὰ τῆς μεγίστης ἐστὶ φιλοσοφίας· τὸ δὲ τἀναντία τούτων νομίζειν ἀνοίας.

9. Αὐτὸ οὖν τοῦτο, εἰπέ μοι, τὸ καταφρονεῖν τῶν παρόντων, τὸ μέγα νομίζειν ἀρετήν, τὸ μὴ τὰ ἆθλα ἐνταῦθα ζητεῖν ἀλλὰ περαιτέρω προϊέναι ταῖς ἐλπίσι καὶ ψυχὴν οὕτως εὔτονον ἔχειν καὶ πιστήν, ὡς μηδενὶ τῶν παρόντων δεινῶν πρὸς τὰς μελλούσας παρεμποδίζεσθαι ἐλπίδας, πόσης ἂν εἴη φιλοσοφίας; Ἀλλὰ βούλει καὶ αὐτῶν τῶν ἐπαγγελιῶν καὶ τῶν προρρήσεων μαθεῖν τὴν δύναμιν καὶ τὴν ἀλήθειαν, τῶν πρὸ τούτων, τῶν μετὰ ταῦτα; Θέα μοι σειρὰν χρυσῆν πλεκομένην ποικίλως ἐξ ἀρχῆς. Εἶπέ τινα αὐτοῖς περὶ ἑαυτοῦ καὶ περὶ τῶν ἐκκλησιῶν καὶ περὶ τῶν μελλόντων πραγμάτων, καὶ λέγων ἐθαυματούργει. Οὐκοῦν ἀπὸ τῆς ἐκβάσεως τῶν εἰρημένων δῆλον ὅτι καὶ τὰ θαύματα ἀληθῆ καὶ τὰ μέλλοντα ἐπηγγελμένα.

Ἵνα δὲ καὶ σαφέστερον γένηται τὸ λεγόμενον, ἐπ' αὐτῶν αὐτὸ ποιήσω τῶν πραγμάτων φανερόν. Ἀνέστησε τὸν Λάζαρον ῥήματι μόνῳ ψιλῷ καὶ ζῶντα ἔδειξεν. Εἶπε πάλιν ὅτι «Πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς ἐκκλησίας, καὶ ὅτι «Ὁ καταλιπὼν πατέρα ἢ μητέρα ἑκατονταπλασίονα

41. ἔνθ. ἀνωτ.

νοιαν, ὅσον ἀνοήτους παρουσιάσῃς τοὺς πεισθέντας, τόσον περισσότερον σοφοὺς καὶ πλήρεις θείας χάριτος ἀποδεικνύεις τοὺς πείσαντας.

Ἀλλά, θὰ ἔλεγε κάποιος, οἱ Ἀπόστολοι ἔπεισαν μὲ τὴν ὑπερβολὴν τῶν ὑποσχέσεων. Καὶ δὲν θαυμάζεις, εἰπέ μου, τοῦτο ἀκριβῶς, πῶς δηλαδὴ ἔπεισαν τοὺς ἀνθρώπους νὰ προσδοκοῦν ἔπαθλα καὶ ἀμοιβὰς μετὰ τὸν θάνατον; Ἐγὼ δηλαδὴ δι' αὐτὸ ἀκριβῶς ἐκπλήττομαι. Ἀλλά, θὰ εἴπῃ, ὅτι καὶ τοῦτο προέρχεται ἀπὸ μωρίαν. Ἀπὸ ποίαν μωρίαν, εἰπέ μου, προέρχονται αὐτά, ὅτι δηλαδὴ ἡ ψυχὴ εἶναι ἀθάνατος καὶ ὅτι μετὰ τὴν ἐπίγειον ζωήν μας θὰ ἀντιμετωπίσωμεν ἀδέκαστον δικαστήριον, καὶ εἰς τὸν Θεόν, ποὺ γνωρίζει ὅλα τὰ ἀπόρρητα, θὰ δώσωμεν λόγον διὰ τοὺς λόγους καὶ τὰς πράξεις καὶ τὰς σκέψεις μας, καὶ ὅτι τοὺς μὲν κακοὺς θὰ τοὺς ἴδωμεν νὰ τιμωρῶνται, τοὺς δὲ ἀγαθοὺς νὰ στεφανώνωνται; Αὐτὰ δηλαδὴ δὲν προέρχονται ἀπὸ μωρίαν, ἀλλὰ ἀπὸ τὴν ὑψηλοτέραν φιλοσοφίαν [41], ἐνῷ εἶναι δεῖγμα μωρίας τὸ νὰ πιστεύῃ κανεὶς τὰ ἀντίθετα τούτων.

9. Εἰπέ μου, λοιπόν· αὐτὸ μόνον, τὸ νὰ καταφρονῇ κανεὶς τὰ παρόντα, τὸ νὰ πιστεύῃ ὅτι εἶναι μεγάλο πρᾶγμα ἡ ἀρετή, τὸ νὰ μὴ ζητῇ τὰ ἔπαθλα εἰς τὴν παροῦσαν ζωήν, ἀλλὰ νὰ τὰ ἐλπίζῃ διὰ τὴν ἄλλην ζωήν, τὸ νὰ ἔχῃ τέλος τόσον ρωμαλέαν καὶ πιστὴν ψυχήν, ὥστε κανὲν ἀπὸ τὰ παρόντα δεινὰ νὰ μὴ δύναται νὰ τὸν ἀποτρέψῃ ἀπὸ ὅσα ἐλπίζει διὰ τὸ μέλλον, πόσον ὕψος φιλοσοφίας δὲν ἀποδεικνύει; Ἀλλὰ θέλεις νὰ μάθῃς τὴν δύναμιν καὶ τὴν ἀλήθειαν καὶ τῶν ἰδίων τῶν ἐπαγγελιῶν καὶ τῶν προφητειῶν, ὅσαι ἐλέχθησαν καὶ πρὶν καὶ μετὰ ἀπὸ αὐτά; Κάνε μου τὴν χάριν καὶ πρόσεξε ἀπὸ τὴν ἀρχὴν τὴν περίτεχνον χρυσῆν ἅλυσίδα. Εἶπεν εἰς αὐτοὺς μερικὰ διὰ τὸν ἑαυτόν του καὶ διὰ τὰς ἐκκλησίας καὶ δι' ὅσα ἐπρόκειτο νὰ συμβοῦν, καὶ λέγων ἐθαυματούργει. Λοιπόν, ἀπὸ τὴν πραγματοποίησιν τῶν λεχθέντων εἶναι φανερὸν ὅτι καὶ τὰ θαύματα ἦσαν ἀληθῆ καὶ ὅσα ὑπεσχέθη διὰ τὸ μέλλον.

Καὶ διὰ νὰ γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, θὰ τὸ ἀποδείξω μὲ τὰ ἴδια τὰ γεγονότα. Ἀνέστησε τὸν Λάζαρον μὲ ἕνα ἁπλοῦν μόνον λόγον καὶ τὸν ἐπαρουσίασε ζωντανόν. Εἶπεν ἐπίσης ὅτι «Πύλαι ᾅδου δὲν θὰ καταβάλουν τὴν Ἐκκλησίαν», καὶ ὅτι «Ἐκεῖνος ποὺ ἐγκατέλειψε πατέρα ἢ μητέρα πρὸς χάριν μου θὰ λάβῃ εκα-

λήψεται ἐν τῷ αἰῶνι τούτῳ καὶ ζωὴν αἰώνιον κληρονομήσει». Οὐκοῦν τὸ μὲν θαῦμα ἕν, τὸ τοῦ Λαζάρου, αἱ δὲ προρρήσεις δύο, ἡ μὲν ἐνταῦθα δεικνυμένη, ἡ δὲ ἐν τῷ μέλλοντι. Σκόπει τοίνυν πῶς ἅπαντα δι' ἀλλήλων κατασκευάζεται. Εἰ μὲν γάρ τις ἀπιστοίη ὅτι Λάζαρος ἀνέστη, ἀπὸ τῆς προρρήσεως τῆς περὶ τῆς ἐκκλησίας εἰρημένης πιστευέτω τῷ θαύματι· τὸ γὰρ πρὸ τοσούτων λεχθὲν χρό*νων τότε ἐξέβη καὶ τέλος ἔλαβε· πύλαι γὰρ ἅδου τῆς ἐκκλησίας οὐ κατίσχυσαν. Ὁ τοίνυν ἀληθεύσας ἐν τῇ προρρήσει εὔδηλον ὅτι καὶ τὸ θαῦμα εἰργάσατο· ὁ δὲ καὶ τὸ θαῦμα ἐργασάμενος καὶ ἅπερ εἶπεν εἰς τέλος ἀγαγών, εὔδηλον ὅτι καὶ ἐν τῇ προρρήσει τῇ περὶ τῶν μελλόντων ἀληθεύει, λέγων, ὅτι ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει ὁ τῶν παρόντων ὑπεριδών. Τὰ γὰρ ἤδη γεγενημένα καὶ εἰρημένα ἐνέχυρα μέγιστα τῶν μελλόντων ἐκβήσεσθαι δέδωκε.*

Ταῦτα τοίνυν ἅπαντα καὶ τὰ τούτοις ἐοικότα ἀπὸ τῶν *εὐαγγελίων συναγαγόντες λέγωμεν πρὸς αὐτοὺς καὶ ἐπιστομίζωμεν αὐτούς. Εἰ δὲ λέγοι τις, 'Πῶς οὖν οὐκ ἐσβέσθη τέλεον ἡ πλάνη;' ἐκεῖνο ἂν εἴπομεν· ὅτι ὑμεῖς αἴτιοι οἱ πρὸς τὴν ἑαυτῶν στασιάζοντες σωτηρίαν· ἐπεὶ ὁ Θεὸς τὰ φθῆναι τῆς ἀσεβείας.*

Ἀναλογισώμεθα τοίνυν τὰ εἰρημένα διὰ βραχέων. Ποίαν ἔχει φύσιν τὰ πράγματα; τοὺς ἀσθενεῖς ὑπὸ τῶν δυνατῶν ἡττᾶσθαι ἢ τοὐναντίον; τοὺς τὰ εὔκολα λέγοντας ἢ τοὺς χαλεπώτερα; τοὺς μετὰ κινδύνων ἕλκοντας ἢ τοὺς μετὰ ἀδείας; τοὺς καινοτομοῦντας ἢ τοὺς τὴν συνήθειαν κρατύνοντας; τοὺς ἐπὶ τραχεῖαν ἢ τοὺς ἐπὶ τὴν ῥᾳδίαν ἄγοντας ὁδόν; τοὺς τῶν πατρῴων ἀφιστῶντας ἢ τοὺς οὐ ξένα νομοθετοῦντας; τοὺς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν πάντα ὑπισχνουμένους τὰ χρηστὰ ἢ τοὺς ἐν τῷ παρόντι κολακεύοντας βίῳ; τοὺς πολλοὺς ὑπὸ τῶν ὀλίγων ἢ τοὺς ὀλίγους ὑπὸ τῶν πολλῶν;

---

42. Ματθ. 16,18|19,29.

τονταπλάσια εἰς τὴν ζωὴν αὐτὴν καὶ θὰ κληρονομήσῃ τὴν αἰώνιον ζωήν»[42]. Λοιπόν, τὸ μὲν θαῦμα ἦτο ἕν, τὸ τοῦ Λαζάρου, αἱ δὲ προφητεῖαι ἦσαν δύο, ἐκ τῶν ὁποίων ἡ μὲν μία ἀποδεικνυομένη εἰς τὴν παροῦσαν ζωήν, ἡ δὲ ἄλλη εἰς τὴν μέλλουσαν. Πρόσεξε λοιπὸν πῶς ὅλα ἀποδεικνύονται τὸ ἓν διὰ τοῦ ἄλλου. Δηλαδή, ἐὰν μὲν κανεὶς δὲν πιστεύῃ ὅτι ὁ Λάζαρος ἀνεστήθη, ἂς πιστεύῃ εἰς τὸ θαῦμα ἀπὸ τὴν προφητείαν, ἡ ὁποία ἐλέχθη περὶ τῆς Ἐκκλησίας· ἐκεῖνο δηλαδή, ποὺ ἐλέχθη πρὶν ἀπὸ τόσα πολλὰ χρόνια, ἐπηληθεύθη τότε καὶ ἐπραγματοποιήθη· διότι πύλαι ᾅδου δὲν κατέβαλαν τὴν Ἐκκλησίαν. Αὐτὸς λοιπὸν ποὺ ἀπεδείχθη ἀληθὴς εἰς τὴν προφητείαν εἶναι ὁλοφάνερον ὅτι ἀληθεύει καὶ εἰς τὴν προφητείαν τὴν σχετικὴν μὲ τὰ μέλλοντα, ὅταν λέγῃ, ὅτι ἐκεῖνος ποὺ περιφρονεῖ τὰ παρόντα θὰ λάβῃ ἑκατονταπλάσια καὶ ὅτι θὰ κληρονομήσῃ ζωὴν αἰώνιον. Ὅσα δηλαδὴ ἔκανε καὶ εἶπε τὰ έδωσε ὡς πολυτίμους ἐγγυήσεις διὰ τὰ μέλλοντα.

Ὅλα λοιπὸν αὐτὰ καὶ τὰ παρόμοια, ἀφοῦ τὰ συναθροίσωμεν ἀπὸ τὰ Εὐαγγέλια, ἂς τὰ ἀναφέρωμεν πρὸς αὐτοὺς καὶ ἂς τοὺς ἀποστομώνωμεν. Καὶ ἂν κάποιος εἴπῃ· 'Πῶς λοιπὸν δὲν ἐξηφανίσθη ἐξ ὁλοκλήρου ἡ πλάνη;', θὰ ἠμπορούσαμεν νὰ δώσωμεν τὴν ἑξῆς ἀπάντησιν· ὅτι δηλαδὴ αἴτιοι εἴσθε σεῖς, ποὺ ἀντιστρατεύεσθε τὴν ἰδικήν σας σωτηρίαν· διότι ὁ Θεὸς ἔχει οἰκονομήσει τὰ πράγματα ἔτσι, ὥστε νὰ μὴ μείνῃ οὔτε λείψανον τῆς ἀσεβείας.

Ἂς ἀναλογισθῶμεν λοιπὸν ἐν συντομίᾳ ὅσα ἔχουν λεχθῆ. Τί εἶναι σύμφωνον μὲ τὴν φύσιν; οἱ ἀδύνατοι νὰ ἡττῶνται ἀπὸ τοὺς δυνατοὺς ἢ τὸ ἀντίθετον; αὐτοὶ ποὺ λέγουν τὰ εὔκολα ἢ τὰ δυσκολώτερα; αὐτοὶ ποὺ προσελκύουν ἀνθρώπους μὲ κινδύνους ἢ ὅσοι κάνουν τοῦτο χωρὶς νὰ φοβοῦνται; ἐκεῖνοι ποὺ κάνουν καινοτομίας ἢ αὐτοὶ ποὺ ἐνισχύουν τὴν συνήθειαν; ἐκεῖνοι ποὺ ὁδηγοῦν τοὺς ἀνθρώπους εἰς τὴν δύσκολον ἢ εἰς τὴν εὔκολον ὁδόν; ἐκεῖνοι ποὺ ἐγκαταλείπουν τὰ πατροπαράδοτα ἢ ὅσοι ἐκδίδουν συνήθεις νόμους; ἐκεῖνοι ποὺ ὑπόσχονται πάντα τὰ ἀγαθὰ διὰ μετὰ τὴν ἀποδημίαν ἀπὸ τὴν ἐδῶ ζωὴν ἢ αὐτοὶ ποὺ κολακεύουν τοὺς ἀνθρώπους εἰς τὴν παροῦσαν ζωήν; σύμφωνον μὲ τὴν φύσιν εἶναι νὰ ἡττῶνται οἱ πολλοὶ ἀπὸ τοὺς ὀλίγους ἢ οἱ ὀλίγοι ἀπὸ τοὺς πολλούς;

Ἀλλὰ καὶ ὑμεῖς ἐνταῦθα, φησίν, ὑπέσχεσθε. Τί δὲ ἐνταῦθα ὑπεσχόμεθα; Ἁμαρτημάτων ἄφεσιν καὶ λουτρὸν παλιγγενεσίας. Μάλιστα μὲν καὶ τὸ βάπτισμα ἐν τοῖς μέλλουσιν ἔχει τὸ πλέον. Καὶ βοᾷ Παῦλος λέγων· «Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ἡ ζωὴ ὑμῶν φανερωθῇ, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ». Εἰ δὲ καὶ ἐνταῦθα ἔχει ἀγαθά, ὥσπερ οὖν καὶ ἔχει, καὶ τοῦτο μάλιστα πολλοῦ θαύματος, ὅτι ἴσχυσαν πεῖσαι τοὺς τὰ μυρία ἐργασαμένους δεινὰ καὶ ὅσα μηδεὶς ἕτερος, ὅτι πάντα ἀπολούσονται καὶ οὐδενὸς δώσουσι λόγον τῶν πεπλημμελημένων.

Ὥστε καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζειν ἐχρῆν, ὅτι ἀνθρώπους βαρβάρους τοιαύτην ἔπεισαν καταδέξασθαι πίστιν καὶ χρηστὰς περὶ τῶν μελλόντων ἔχειν ἐλπίδας καὶ τὸ πρότερον τῶν ἁμαρτημάτων φορτίον ἀπεσκευασμένους μετὰ πολλῆς τῆς προθυμίας εἰς τὸ ἐπιὸν τῶν ὑπὲρ τῆς ἀρετῆς ἅπτεσθαι πόνων, καὶ πρὸς αἰσθητὸν μὲν μηδὲν κεχηνέναι, πάντων δὲ ἀνωτέρους τῶν σωματικῶν γεγενημένους νοερὰς δέξασθαι δωρεάς, καὶ τὸν Πέρσην καὶ τὸν Σαυρομάτην καὶ τὸν Μαῦρον· καὶ τὸν Ἰνδὸν εἰδέναι ψυχῆς καθαρμὸν καὶ Θεοῦ δύναμιν καὶ φιλανθρωπίαν ἄφατον καὶ πίστεως φιλοσοφίαν καὶ Πνεύματος ἁγίου ἐπιφοίτησιν καὶ σωμάτων ἀνάστασιν καὶ ζωῆς ἀθανάτου δόγματα. Ταῦτα γὰρ ἅπαντα καὶ τὰ τούτων πλείονα γένη βαρβάρων οἱ ἁλιεῖς μυσταγωγοῦντες ἐν τῷ βαπτίσματι φιλοσοφεῖν ἔπεισαν.

Ταῦτα τοίνυν ἅπαντα μετὰ ἀκριβείας φυλάξαντες πρὸς αὐτοὺς λέγωμεν καὶ τὴν ἀπὸ τοῦ βίου πάλιν αὐτοῖς ἀπόδειξιν παρεχώμεθα, ἵνα ἑκατέρωθεν ἡμεῖς τε σωθῶμεν, ἐκείνους τε ἐπισπασώμεθα πρὸς τὴν τοῦ Θεοῦ δόξαν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

1. Κολ. 3.3-4.

Ἀλλά, θὰ ἔλεγε κάποιος, καὶ σεῖς δίδετε ὑποσχέσεις διὰ τὴν παροῦσαν ζωήν. Ἀλλὰ τί ὑποσχόμεθα ἐδῶ; Ἄφεσιν ἁμαρτημάτων καὶ λουτρὸν ἀναγεννήσεως. Μάλιστα καὶ τὸ βάπτισμα ἔχει τὸ μεγαλύτερον μέρος τῆς ἀμοιβῆς εἰς τὴν μέλλουσαν ζωήν. Καὶ ὁ Παῦλος βοᾷ λέγων· «Διότι ἀπεθάνατε καὶ ἡ ζωή σας εἶναι κρυμμένη μαζὶ μὲ τὸν Χριστὸν εἰς τὸν Θεόν. Ὅταν φανερωθῇ ὁ Χριστὸς ποὺ εἶναι ἡ ζωή σας, τότε καὶ σεῖς θὰ φανερωθῆτε μαζί του δοξασμένοι»[43]. Ἐὰν δὲ καὶ διὰ τὴν παροῦσαν ζωὴν ἔχῃ ἀγαθά —ὅπως βεβαίως καὶ ἔχει— καὶ διὰ τοῦτο μάλιστα πρέπει πολὺ νὰ θαυμάσωμεν, διότι ἠμπόρεσαν οἱ Ἀπόστολοι νὰ πείσουν ἐκείνους, ποὺ εἶχον κάνει κακὰ ἄπειρα καὶ ὅσα κανεὶς ἄλλος, ὅτι θὰ καθαρισθοῦν ἀπὸ ὅλα καὶ ὅτι δὲν θὰ δώσουν λόγον διὰ κανένα ἀπὸ τὰ ἁμαρτήματά των.

Ὥστε καὶ μόνον διὰ τοῦτο θὰ ἔπρεπε πάρα πολὺ νὰ θαυμάζωμεν, ὅτι δηλαδὴ ἔπεισαν βαρβάρους ἀνθρώπους νὰ δεχθοῦν τέτοιαν πίστιν καὶ νὰ ἐλπίζουν ἀγαθὰ διὰ τὸ μέλλον καί, ἀφοῦ ἀπηλλάγησαν ἀπὸ τὸ προηγούμενον φορτίον τῶν ἁμαρτημάτων των, εἰς τὸ ἑξῆς μὲ πολλὴν προθυμίαν νὰ ἀναλαμβάνουν τοὺς κόπους διὰ τὴν ἀρετήν, καὶ διὰ τίποτε μὲν τὸ αἰσθητὸν νὰ μὴ μένουν ἔκπληκτοι, ἀλλά, ἀφοῦ εἶχον γίνει ἀνώτεροι ὅλων τῶν σωματικῶν, νὰ δεχθοῦν νοερὰς δωρεάς· καὶ τὸν Πέρσην καὶ τὸν Σαυρομάτην καὶ τὸν Μαῦρον καὶ τὸν Ἰνδὸν τοὺς ἔπεισαν νὰ γνωρίσουν τὸν καθαρισμὸν τῆς ψυχῆς καὶ τοῦ Θεοῦ τὴν δύναμιν καὶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν καὶ τὴν φιλοσοφίαν τῆς πίστεως καὶ τὴν ἐπιφοίτησιν τοῦ ἁγίου Πνεύματος καὶ τὴν ἀνάστασιν τῶν σωμάτων καὶ τὰ δόγματα τῆς ἀθανάτου ζωῆς. Ὅλα δηλαδὴ αὐτὰ τὰ γένη τῶν βαρβάρων καὶ περισσότερα ἀπὸ αὐτὰ οἱ ἁλιεῖς μὲ τὸ νὰ τὰ μυοῦν εἰς τὰ μυστήρ[illegible] τὸ βάπτισμα τὰ ἔπεισαν νὰ ζοῦν μὲ φιλοσοφίαν.

Ὅλα λοιπὸν αὐτά, ἀφοῦ τὰ φυλάξωμεν μὲ ἀκρίβειαν, νὰ τὰ λέγωμεν πρὸς αὐτοὺς καὶ ἐπὶ πλέον μὲ τὴν ζωήν μας νὰ τοὺς δίδωμεν ἀπόδειξιν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ δύο, καὶ ἐμεῖς νὰ σωθῶμεν καὶ ἐκείνους νὰ τοὺς ἑλκύσωμεν πρὸς τὴν δόξαν τοῦ Θεοῦ· διότι εἰς αὐτὸν ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Η'
Κορ. 3, 1 - 11

«Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε· ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε».

1. Καθελὼν τὴν φιλοσοφίαν τὴν ἔξωθεν καὶ τὸν τῦφον αὐτῆς καταβαλὼν ἅπαντα, ἐφ' ἑτέραν ὑπόθεσιν ἔρχεται. Καὶ γὰρ εἰκὸς ἦν ἐκείνους λέγειν ὅτι, εἰ μὲν τὰ Πλάτωνος ἢ Πυθαγόρου ἤ τινος ἑτέρου τῶν φιλοσόφων ἀπηγγέλλομεν, εἰκότως οὕτω μακρὸν καθ' ἡμῶν ἀπέτεινες λόγον· εἰ δὲ τὰ τοῦ Πνεύματος καταγγέλλομεν, τίνος ἕνεκεν τὴν ἔξωθεν σοφίαν ἄνω καὶ κάτω στρέφεις; Πῶς οὖν πρὸς τοῦτο ἵσταται, ἄκουσον. «Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. Μάλιστα μὲν γάρ, εἰ καὶ τέλειοι, φησίν, ἦτε καὶ ἐν τοῖς πνευματικοῖς, οὐδὲ οὕτως ἐχρῆν ἐπαίρεσθαι· οὐδὲ γὰρ τὰ ὑμέτερα καταγγέλλετε, οὐδὲ ἅπερ αὐτοὶ οἴκοθεν εὑρήκατε· νυνὶ δὲ οὐδὲ ταῦτα ἴστε ὡς εἰδέναι χρή, ἀλλὰ μαθηταί ἐστε καὶ πάντων ἔσχατοι. Ὥστε, εἰ μὲν ἐπὶ τῇ ἔξωθεν σοφίᾳ φρονεῖτε μεγάλα, ἐλήλεγκται οὐδὲν οὖσα αὕτη, πολλὰ καὶ ἐπὶ τοῖς πνευματικοῖς ἐναντία ἡμῖν· εἰ δὲ καὶ ἐπὶ τοῖς πνευματικοῖς, καὶ ἐν τούτοις τὸ ἔλαττον κατέχετε καὶ ἐν τοῖς ἐσχάτοις ἑστήκατε. Διό φησιν, «Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς».

Οὐκ εἶπεν, οὐκ ἐλάλησα, ἵνα μὴ δόξῃ φθόνου τὸ πρᾶγμα εἶναι· ἀλλὰ διπλῶς αὐτῶν καθαιρεῖ τὸ φρόνημα, ἑνὶ μὲν τρόπῳ, δείξας ὅτι οὐκ ἴσασι τὰ τέλεια, δευτέρῳ δέ, ὅτι αὐτοὶ τοῦ μὴ εἰδέναι γεγόνασιν αἴτιοι, καὶ τρίτῳ

---

1. Α' Κορ. 3,1-2.

ΛΟΓΟΣ Η'
Α' Κορ. 3, 1-11

«Καὶ ἐγώ, ἀδελφοί, δὲν ἠμπόρεσα νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὅπως ἥρμοζε πρὸς πνευματικοὺς ἀνθρώπους, ἀλλ' ὅπως ἥρμοζε πρὸς πνευματικὰ ἀνωρίμους ἀνθρώπους, ὡς πρὸς νήπια κατὰ Χριστόν. Σᾶς ἐπότισα γάλα καὶ ὄχι στερεὰν τροφήν, διότι δὲν ἠμπορούσατε ἀκόμη νὰ τὴν λάβετε· ἀλλὰ οὔτε τώρα ἀκόμη ἠμπορεῖτε, διότι εἶσθε ἀκόμη πνευματικὰ ἀνώριμοι»[1].

1. Ἀφοῦ κατεδίκασε τὴν κοσμικὴν σοφίαν καὶ κατέβαλεν ὅλην τὴν ἀλαζονείαν της, ἔρχεται εἰς ἄλλο θέμα. Καθ' ὅσον μάλιστα θὰ ἦτο φυσικὸν οἱ Κορίνθιοι νὰ εἴπουν ὅτι, ἐὰν μὲν ἐκηρύσσομεν τὴν φιλοσοφίαν τοῦ Πλάτωνος ἢ τοῦ Πυθαγόρου ἢ κανενὸς ἄλλου ἀπὸ τοὺς φιλοσόφους, εὐλόγως θὰ ἀπηύθυνες ἐναντίον μας τόσον μακρὸν λόγον· ἐφ' ὅσον ὅμως ὁμολογοῦμεν τὰ τοῦ Πνεύματος, διὰ ποῖον λόγον συνεχῶς ἀναφέρεις τὴν ἀνθρωπίνην σοφίαν; Ἄκουσε λοιπὸν πῶς σκέπτεται ὡς πρὸς τὸ σημεῖον τοῦτο. «Καὶ ἐγώ, ἀδελφοί, δὲν ἠμπόρεσα νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὅπως ἥρμοζε πρὸς πνευματικούς». Ἐὰν δηλαδή, λέγει, πράγματι ἦσθε τέλειοι καὶ ἄνθρωποι τοῦ Πνεύματος, καθόλου δὲν θὰ ἔπρεπε νὰ ὑπερηφανεύεσθε· διότι οὔτε ἰδικήν σας σοφίαν κηρύττετε, οὔτε ὅσα οἱ ἴδιοι εὕρετε ἀπὸ κληρονομίαν· καὶ τώρα μάλιστα αὐτὰ οὔτε τὰ γνωρίζετε ὅπως πρέπει νὰ τὰ γνωρίζετε, ἀλλὰ εἶσθε μαθηταὶ καὶ οἱ τελευταῖοι ὅλων. Ὥστε, ἐὰν μὲν μεγαλοφρονῆτε διὰ τὴν ἀνθρωπίνην σοφίαν, ἀποδεικνύεται ὅτι αὐτὴ δὲν εἶναι τίποτε, ἀλλὰ ἐπὶ πλέον ὅτι μᾶς εἶναι καὶ ζημία εἰς τὰ πνευματικά· ἐὰν δὲ μεγαλοφρονῆτε καὶ διὰ τὰ πνευματικά, τότε καὶ εἰς αὐτὰ ἐλάχιστα κατέχετε καὶ εἶσθε τελευταῖοι. Διὰ τοῦτο λέγει· «Δὲν ἠμπόρεσα νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὅπως ἥρμοζε πρὸς πνευματικούς».

Δὲν εἶπεν, «δὲν σᾶς ὡμίλησα», διὰ νὰ μὴ φανῇ ὅτι τὸ πρᾶγμα προέρχεται ἀπὸ φθόνον· ἀλλὰ μὲ δύο τρόπους ἐξουδετερώνει τὴν ἀλαζονείαν των, ἀφ' ἑνὸς μὲν μὲ τὸ ὅτι ἀπέδειξεν ὅτι δὲν γνωρίζουν τὴν τελειότητα, ἀφ' ἑτέρου δὲ μὲ τὸ ὅτι οἱ ἴδιοι εἶναι αἴτιοι

δὲ πρὸς τούτοις, τῷ δεικνύναι ὅτι οὐδὲ ἔτι νῦν δύνανται. Τὸ μὲν γὰρ τὴν ἀρχὴν μὴ δυνηθῆναι ἴσως τῆς τοῦ πράγματος φύσεως ἦν· καίτοιγε οὐδὲ ταύτην αὐτοῖς ἀφίησι τὴν ἀπολογίαν. Οὐ γὰρ διὰ τὸ μὴ δύνασθαι δέξασθαι τὰ ὑψηλά φησιν αὐτοὺς μὴ δεδέχθαι ἀλλὰ διὰ τὸ σαρκικοὺς εἶναι. Πλὴν ἀλλ' ἐν ἀρχῇ μὲν οὕτως οὐκ ἦν κατηγορίας ἄξιον· τὸ δὲ καὶ χρόνου παρελθόντος τοσούτου μηδέπω πρὸς τὰ τελειότερα φθάσαι τοῦτο τῆς ἐσχάτης νωθείας ἦν. Τοῦτο γοῦν ἐγκαλεῖ καὶ Ἑβραίοις, ἀλλ' οὐ μετὰ τοσαύτης σφοδρότητος. Ἐκείνους μὲν γὰρ καὶ διὰ τὴν θλῖψιν τοιούτους εἶναί φησι, τούτους δὲ δι' ἐπιθυμίαν τῆς πονηρίας· οὐκ ἔστι δὲ ἴσον τοῦτο κἀκεῖνο. Καὶ δείκνυσιν ὅτι ἐκείνοις μὲν ἐπιτιμῆσαι βουλόμενος, τούτους δὲ διεγείρων μᾶλλον ἔλεγε ταῦτα ἀληθεύων. Τούτοις μὲν γάρ φησιν, «Ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε», ἐκείνοις δέ, «Διόπερ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον ἐπὶ τὴν τελειότητα φερώμεθα», καὶ πάλιν, «Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμεθα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν».

Καὶ πῶς τοὺς Πνεύματος ἐπιτυχόντας τοσούτου σαρκικοὺς καλεῖ, καὶ ὧν ἀρχόμενος τοσαῦτα διῆλθεν ἐγκώμια; Ἐπεὶ κἀκεῖνοι σαρκικοὶ ἦσαν, πρὸς οὓς φησιν ὁ Κύριος· «Ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»· καίτοι καὶ δαίμονας ἐξέβαλον καὶ νεκροὺς ἀνέστησαν καὶ προφητείας ἐπεδείξαντο. Ὥστε ἔστι καὶ σημεῖα ποιήσαντα εἶναι σαρκικόν. Καὶ γὰρ τῷ Βαλαὰμ ἐνήργησεν ὁ Θεὸς καὶ τῷ Φαραὼ τὰ μέλλοντα ἀπεκάλυψε καὶ τῷ Ναβουχοδονόσορ, καὶ Καϊάφας προεφήτευσεν οὐκ εἰδὼς ἃ ἔλεγε· καὶ ἕτεροι δέ τινες δαιμόνια ἐξέβαλον τῷ αὐτοῦ ὀνόματι οὐκ ὄντες μετ' αὐτοῦ. Ἐπειδὴ γὰρ οὐ διὰ τοὺς ποιοῦντας ταῦτα γίνεται, ἀλλὰ δι' ἑτέρους, πολλάκις δὲ καὶ δι' ἀναξίων ταῦτα ἐγίνετο.

Καὶ τί θαυμάζεις, εἰ ἐπὶ ἀνδρῶν ἀναξίων δι' ἑτέρους ταῦτα γίνεται, ὅπου γε καὶ δι' ἁγίων; Καὶ γὰρ Παῦλός φη-

---

2. Ἑβρ. 6, 1, 9.
3. Ματθ. 7,23.

αὐτῆς τῆς ἀγνοίας, καὶ ἐπὶ πλέον μὲ τὸ ὅτι ἀπέδειξεν ὅτι οὔτε καὶ τώρα ἀκόμη δύνανται νὰ γνωρίσουν τὴν τελειότητα. Τὸ ὅτι δηλαδὴ εἰς τὴν ἀρχὴν δὲν ἠδυνήθησαν, ἴσως ὠφείλετο εἰς τὴν φύσιν τοῦ πράγματος· καὶ ὅμως οὔτε δι᾿ αὐτὸ δέχεται τὴν ἀπολογίαν των· διότι λέγει ὅτι δὲν εἶχον δεχθῆ τὰ ὑψηλά, ὄχι διότι δὲν ἠδύναντο νὰ τὰ δεχθοῦν, ἀλλὰ διότι ἦσαν πνευματικὰ ἀνώριμοι. Ἀλλ᾿ ὅμως εἰς τὴν ἀρχὴν μὲν τοῦτο δὲν ἦτο ἄξιον κατηγορίας, τὸ ὅτι ὅμως, ἐνῷ παρῆλθε τόσος πολὺς χρόνος, δὲν ἔφθασαν ἀκόμη εἰς τὴν τελειοτέραν ζωήν, τοῦτο ἦτο ἀποτέλεσμα τῆς χειροτέρας ραθυμίας. Διὰ τοῦτο, ὡς γνωστόν, κατηγορεῖ καὶ τοὺς Ἑβραίους, ἀλλὰ ὄχι μὲ τόσην σφοδρότητα· διότι λέγει ὅτι ἐκεῖνοι μὲν εἶναι τέτοιοι καὶ ἐξ αἰτίας τῆς θλίψεως, αὐτοὶ ὅμως ἐξ αἰτίας τῆς ἐπιθυμίας τῆς πονηρίας, καὶ δὲν εἶναι ἴσον τοῦτο καὶ ἐκεῖνο. Καὶ ἀποδεικνύεται ὅτι ἐκείνους μὲν ἤθελε νὰ τοὺς ἐπιτιμήσῃ, ἐνῷ αὐτοὺς μᾶλλον προσπαθῶν νὰ τοὺς ἀφυπνίσῃ τὰ ἔλεγε αὐτὰ ἀληθῶς· διότι εἰς αὐτοὺς μὲν λέγει, «Ἀλλὰ οὔτε τώρα ἀκόμη ἠμπορεῖτε», εἰς ἐκείνους δέ, «Διὰ τοῦτο, ἀφοῦ ἀφήσωμεν τὴν στοιχειώδη διδασκαλίαν περὶ τοῦ Χριστοῦ, ἂς προχωρῶμεν πρὸς τὴν τελειότητα»· καὶ πάλιν· «Διὰ σᾶς ὅμως ἔχομεν πεποίθησιν καὶ ἐλπίζομεν τὰ καλύτερα ποὺ ὁδηγοῦν εἰς τὴν σωτηρίαν, ἂν καὶ σᾶς ὁμιλοῦμεν ἔτσι ἐπιτιμητικά»[2].

Καὶ πῶς ὀνομάζει σαρκικοὺς αὐτοὺς ποὺ ἔλαβον τόσον πολὺ Πνεῦμα καὶ διὰ τοὺς ὁποίους εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς ἔπλεξε τόσα πολλὰ ἐγκώμια; Διότι ἦσαν σαρκικοὶ καὶ ἐκεῖνοι, πρὸς τοὺς ὁποίους ὁ Κύριος λέγει· «Φύγετε μακριὰ ἀπὸ ἐμέ, σεῖς ποὺ πράττετε τὴν ἀνομίαν· δὲν σᾶς γνωρίζω»[3]· ἂν καὶ βέβαια ἐκεῖνοι καὶ δαίμονας ἐξέβαλον καὶ νεκροὺς ἀνέστησαν καὶ προφητείας ἔκαναν. Ὥστε εἶναι δυνατὸν ἀκόμη καὶ ἕνας ποὺ ἔκανε θαύματα νὰ εἶναι σαρκικός. Καθ᾿ ὅσον μάλιστα διὰ τοῦ Βαλαὰμ ἐνήργησεν ὁ Θεὸς καὶ εἰς τὸν Φαραὼ καὶ εἰς τὸν Ναβουχοδονόσορα ἀπεκάλυψε τὰ μέλλοντα, καὶ ὁ Καϊάφας προεφήτευσε χωρὶς νὰ κατανοῇ ὅσα ἔλεγεν· ἐπὶ πλέον καὶ μερικοὶ ἄλλοι ἐξέβαλον δαιμόνια ἐπικαλούμενοι τὸ ὄνομά του χωρὶς νὰ εἶναι ὀπαδοί του. Ἐπειδὴ δηλαδὴ αὐτὰ δὲν γίνονται δι᾿ ὅσους ἐνεργοῦν αὐτά, ἀλλὰ χάριν ἄλλων, πολλάκις αὐτὰ ἔγιναν ἀκόμη καὶ δι᾿ ἀναξίων.

Καὶ διατί ἀπορεῖς, ἂν δι᾿ ἀναξίων ἀνδρῶν γίνωνται χάριν ἄλλων αὐτά, τὰ ὁποῖα, ὡς γνωστόν, γίνονται καὶ δι᾿ ἁγίων; καθ᾿ ὅσον

σι· «Πάντα ὑμῶν ἐστιν, εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς εἴτε ζωὴ εἴτε θάνατος»· καὶ πάλιν· ὅτι «Αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας». Ἐπεί, εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἂν ἐκώλυσε πάντας διαφθαρῆναι. Συμβαίνει γὰρ ἄρχοντας μὲν εἶναι φαύλους καὶ μιαρούς, τοὺς δὲ ἀρχομένους ἐπιεικεῖς καὶ μετρίους, καὶ λαϊκοὺς μὲν ἐν εὐλαβείᾳ ζῆν, ἱερέας δὲ ἐν πονηρίᾳ· καὶ οὐκ ἔμελλεν οὐδὲ βάπτισμα εἶναι οὔτε σῶμα Χριστοῦ οὔτε προσφορὰ δι' ἐκείνων, εἰ πανταχοῦ τὴν ἀξίαν ἡ χάρις ἐζήτει. Νυνὶ δὲ καὶ δι' ἀναξίων εἴωθεν ἐνεργεῖν ὁ Θεός, καὶ οὐδὲν τοῦ βαπτίσματος ἡ χάρις παρὰ τοῦ βίου τοῦ ἱερέως παραβλάπτεται· ἐπεὶ ἔμελλεν ὁ λαμβάνων ἐλαττοῦσθαι. Ὥστε, εἰ καὶ σπανιάκις γίνεται ταῦτα, γίνεται δ' οὖν ὅμως. Ταῦτα δὲ λέγω, ἵνα μή τις τῶν παρεστώτων τὸν βίον περιεργαζόμενος τοῦ ἱερέως σκανδαλίζηται περὶ τὰ τελούμενα. Οὐδὲν γὰρ ἄνθρωπος εἰς τὰ προκείμενα εἰσάγει, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστί, κἀκεῖνός ἐστιν ὑμᾶς ὁ μυσταγωγῶν.

«Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε». Ἵνα γὰρ μὴ δόξῃ φιλοτιμίας ἕνεκεν εἰρηκέναι ταῦτα, ἅπερ εἴρηκεν, ὅτι ὁ πνευματικὸς ἀνακρίνει τὰ πάντα καὶ ὅτι ὑπ' οὐδενὸς ἀνακρίνεται καὶ ὅτι νοῦν Χριστοῦ ἔχομεν, καὶ τὸν τῦφον αὐτῶν καταστέλλων, ὅρα τί φησιν· οὐ διὰ τοτῦο, φησίν, ἐσίγησα, ὡς οὐδὲν πλέον δυνάμενος ὑμῖν εἰπεῖν, ἀλλ' ὅτι σαρκικοί ἐστε. «Ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε».

2. Διὰ τί μὴ εἶπεν, οὐ θέλετε, ἀλλ' «οὐ δύνασθε»; Ὅτι καὶ τοῦτο ἀντ' ἐκείνου τέθεικε. Τὸ γὰρ μὴ δύνασθαι τοῦτο ἀπὸ τοῦ μὴ θέλειν ἐστίν· ὅπερ αὐτοῖς μὲν φέρει κατηγορίαν, τῷ δὲ διδασκάλῳ συγγνώμην. Εἰ μὲν γὰρ ἀπὸ φύσεως οὐκ ἠδύναντο, ἴσως ἄν τις συνέγνω· ἐπειδὴ δὲ ἀπὸ προαιρέσεως, ἀπεστέρηνται τῆς ἀπολογίας. Εἶτα λέγει καὶ τὸ

---

4. Α' Κορ. 3,22.
5α. Ἐφ. 4,11-12.

ὁ Παῦλος λέγει· «Ὅλα εἶναι ἰδικά σας, εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς εἴτε ζωὴ εἴτε θάνατος»[4]· καὶ πάλιν· ὅτι «Αὐτὸς ὥρισεν ἄλλους μὲν ἀποστόλους, ἄλλους προφήτας, ἄλλους ποιμένας καὶ διδασκάλους, διὰ νὰ καταρτίζουν τοὺς ἁγίους διὰ τὸ ἔργον τῆς διακονίας»[5α]. Διότι, ἐὰν δὲν συνέβαινε τοῦτο, τίποτε δὲν θὰ ἠμπόδιζε νὰ καταστραφοῦν ὅλοι. Συμβαίνει δηλαδὴ οἱ μὲν ἄρχοντες νὰ εἶναι φαῦλοι καὶ μιαροί, ἐνῷ οἱ ἀρχόμενοι νὰ εἶναι ἤπιοι καὶ πρᾶοι, καὶ οἱ μὲν λαϊκοὶ νὰ ζοῦν μὲ εὐλάβειαν, ἐνῷ οἱ ἱερεῖς μὲ πονηρίαν· καὶ δὲν ἐπρόκειτο οὔτε βάπτισμα νὰ ὑπάρχῃ οὔτε σῶμα Χριστοῦ οὔτε προσφορὰ δι' ἐκείνων, ἐὰν ἡ χάρις ἐζήτει παντοῦ τοὺς ἀξίους. Ἀλλ' ὅμως συνηθίζει ὁ Θεὸς νὰ ἐνεργῇ καὶ δι' ἀναξίων, καὶ δὲν παραβλάπτεται καθόλου ἡ χάρις τοῦ βαπτίσματος ἀπὸ τὸν βίον τοῦ ἱερέως· διότι ἀλλιῶς ὁ λαμβάνων τὴν χάριν θὰ ἐζημιοῦτο. Ὥστε, ἂν καὶ σπανίως γίνονται αὐτά, πάντως ὅμως γίνονται. Τὰ λέγω δὲ αὐτά, διὰ νὰ μὴ σκανδαλίζεται κανεὶς ἀπὸ σᾶς, ποὺ εὑρίσκεσθε τώρα ἐδῶ, διὰ ὅσα συμβαίνουν, ἐὰν περιεργάζεται τὸν βίον τοῦ ἱερέως. Διότι ὁ ἄνθρωπος καθόλου δὲν εἰσάγει εἰς τὰ μυστήρια, ἀλλὰ τὸ πᾶν εἶναι ἔργον τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ ἐκεῖνος εἶναι ποὺ μᾶς ὁδηγεῖ εἰς τὰ μυστήρια.

«Καὶ ἐγώ, ἀδελφοί, δὲν ἠμπόρεσα νὰ ὁμιλήσω πρὸς ἐσᾶς ὅπως ἥρμοζε πρὸς πνευματικούς, ἀλλὰ ὡς πρὸς σαρκικούς. Γάλα σᾶς ἐπότισα καὶ ὄχι στερεὰν τροφήν, διότι δὲν ἠμπορούσατε ἀκόμη νὰ τὴν δεχθῆτε». Διὰ νὰ μὴ φανῇ, δηλαδή, ὅτι ἀπὸ φιλοδοξίαν ἔχει εἴπει ὅσα εἶπεν, ὅτι δηλαδὴ ὁ πνευματικὸς ἄνθρωπος κρίνει τὰ πάντα καὶ ὅτι δὲν κρίνεται ἀπὸ κανένα καὶ ὅτι ἔχομεν νοῦν Χριστοῦ, καὶ διὰ νὰ καταστείλῃ τὴν ἀλαζονείαν των, πρόσεξε τί λέγει· δὲν ἐσιώπησα, λέγει, διὰ τοῦτο, δηλαδὴ διότι δῆθεν δὲν ἠμποροῦσα πλέον τίποτε ἄλλο νὰ σᾶς εἰπῶ, ἀλλὰ διότι εἶσθε σαρκικοί· «Ἀλλὰ οὔτε τώρα ἀκόμη ἠμπορεῖτε».

2. Διατί δὲν εἶπε, δὲν θέλετε, ἀλλὰ «δὲν ἠμπορεῖτε»; Διότι καὶ τοῦτο τὸ εἶπεν ἀντ' ἐκείνου. Τὸ ὅτι δὲν ἠμποροῦσαν προέρχεται ἀπὸ τὸ ὅτι δὲν ἤθελον, πρᾶγμα τὸ ὁποῖον δι' αὐτοὺς μὲν ἐπισύρει κατηγορίαν, διὰ δὲ τὸν διδάσκαλον συγγνώμην. Δηλαδή, ἐὰν μὲν ἐκ φύσεως δὲν ἠμποροῦσαν, ἴσως κανεὶς θὰ τοὺς συνεχώρει· ἐπειδὴ ὅμως ἐκ προθέσεως δὲν ἠμποροῦσαν, δὲν ἔχουν τί νὰ ἀπολογηθοῦν. Ἔπειτα λέγει καὶ τὸ εἶδος ποὺ τοὺς ἔκαμνε σαρκικούς·

εἶδος τὸ ποιοῦν αὐτοὺς σαρκικούς· «Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε». Καίτοι καὶ πορνείας καὶ ἀσελγείας ἔχων αὐτῶν εἰπεῖν ἐκεῖνο μᾶλλον τίθησι τὸ ἁμάρτημα, ὅπερ ἐσπούδαζε διορθῶσαι τέως. Εἰ δὲ ζῆλος σαρκικοὺς ποιεῖ, ὥρα λοιπὸν ἅπαντας ὀλολῦξαι μέγα καὶ σάκκον περιβαλέσθαι καὶ σποδὸν ὑποστρώσασθαι· τίς γὰρ τοῦ πάθους τούτου καθαρός; πλὴν εἰ μὴ ἀπ' ἐμαυτοῦ καὶ τὰ τῶν ἄλλων στοχάζομαι. Εἰ ζῆλος σαρκικοὺς ποιεῖ καὶ οὐκ ἀφίησιν εἶναι πνευματικούς, καίτοιγε προφητεύοντας καὶ ἕτερα θαυμαστὰ ἐπιδεικνυμένους, ὅταν μηδὲ χάρις τοσαύτη παρῇ, ποῦ θήσομεν τὰ ἡμέτερα, ὅταν μὴ ἐπὶ τούτῳ μόνῳ, ἀλλὰ καὶ ἐφ' ἑτέροις μείζοσιν ὦμεν ἁλισκόμενοι;

Ἐντεῦθεν μανθάνομεν ὅτι εἰκότως ἔλεγεν ὁ Χριστὸς ὅτι ὁ ποιῶν τὰ φαῦλα οὐκ ἔρχεται πρὸς τὸ φῶς, καὶ ὅτι βίος ἀκάθαρτος ἐμποδίζει δόγμασιν ὑψηλοῖς οὐκ ἀφεὶς τὸ διορατικὸν φανῆναι τῆς διανοίας. Ὥσπερ οὖν οὐκ ἔστιν ἐν πλάνῃ ὄντα καὶ ὀρθῶς βιοῦντα μεῖναι ἐν πλάνῃ ποτέ, οὕτως οὐ ῥᾴδιον πονηρίᾳ συντρεφόμενον ἀναβλέψαι ταχέως πρὸς τὸ τῶν παρ' ἡμῖν δογμάτων ὕψος, ἀλλὰ χρὴ πάντων καθαρεύειν τῶν παθῶν τὸν μέλλοντα θηρᾶν τὴν ἀλήθειαν· ὁ γὰρ τούτων ἀπηλλαγμένος καὶ τῆς πλάνης ἀπαλλαγήσεται καὶ ἐπιτεύξεται τῆς ἀληθείας. Μὴ γάρ μοι τὸ μὴ πλεονεκτεῖν μόνον μηδὲ τὸ μὴ πορνεύειν ἀρκεῖν εἰς τουτό σοι νόμιζε, ἀλλὰ χρὴ πάντα συνδραμεῖν τῷ ζητοῦντι τἀληθές. Διὸ Πέτρος, «Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι»· τουτέστι καλεῖ καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν ἀλήθειαν.

Οὐχ ὁρᾷς Παῦλον, ὅτι πάντων σφοδρότερος ἦν ἐν τῷ πολεμεῖν καὶ διώκειν; ἀλλ' ὅμως, ἐπειδὴ βίον ἄληπτον εἶχε καὶ οὐ πάθει ταῦτα ἔπραττεν ἀνθρωπίνῳ, καὶ ἐδέχθη καὶ πάντας ὑπερηκόντισεν. Εἰ δὲ λέγοι τις, 'Πῶς ὁ δεῖνα ὁ Ἕλλην χρηστὸς ὢν καὶ ἀγαθὸς καὶ φιλάνθρωπος μένει

---

56. Α' Κορ. 3,3. 6. Ἰω. 3,20. 7. Πρ. 10,34-35.

«Διότι, ὅταν ὑπάρχῃ μεταξύ σας φιλονεικία καὶ φθόνος καὶ διαίρεσις, δὲν εἶσθε σαρκικοὶ καὶ δὲν ζῆτε ὡς μὴ ἀναγεννημένοι ἄνθρωποι;»[5β]. Καὶ ἐνῷ ἠμποροῦσε νὰ τοὺς κατηγορήσῃ διὰ πορνείαν καὶ ἀσέλγειαν, τονίζει περισσότερον ἐκεῖνο τὸ ἁμάρτημα, τὸ ὁποῖον ἤθελεν ἐν τῷ μεταξὺ νὰ διορθώσῃ. Ἐὰν ὅμως ἡ ζηλοτυπία κάμνῃ τοὺς ἀνθρώπους σαρκικούς, τότε λοιπὸν εἶναι καιρὸς ὅλοι νὰ θρηνήσωμεν πολὺ καὶ νὰ φορέσωμεν σάκκον καὶ στρώσωμεν ἀπὸ κάτω στάκτην· διότι ποῖος εἶναι καθαρὸς ἀπὸ τὸ πάθος αὐτό; ἐκτὸς ἂν κρίνω τοὺς ἄλλους ἀπὸ τὸν ἑαυτόν μου. Ἂν ἡ ζηλοτυπία κάμνῃ σαρκικοὺς τοὺς ἀνθρώπους καὶ δὲν τοὺς ἀφήνῃ νὰ εἶναι πνευματικοί, ἂν καὶ τοὺς κάμνει νὰ προφητεύουν καὶ νὰ παρουσιάζουν καὶ ἄλλα θαυμαστά, ἐὰν δὲν εἶναι τόσον μεγάλη ἡ χάρις, πῶς θὰ σταθῶμεν, ὅταν κυριευώμεθα ὄχι μόνον ἀπὸ αὐτὸ ἀλλὰ καὶ ἀπὸ ἄλλα μεγαλύτερα πάθη;

Ἀπὸ ἐδῶ ἀντιλαμβανόμεθα ὅτι δικαίως ὁ Χριστὸς ἔλεγεν, ὅτι ἐκεῖνος ποὺ κάμνει φαῦλα ἔργα δὲν ἔρχεται πρὸς τὸ φῶς[6], καὶ ὅτι βίος ἀκάθαρτος εἶναι ἐμπόδιον διὰ τὰ ὑψηλὰ δόγματα, διότι δὲν ἀφήνει νὰ φανῇ ἡ διορατικὴ δύναμις τῆς διανοίας. Ὅπως λοιπὸν δὲν εἶναι ποτὲ δυνατὸν ἕνας, ποὺ εὑρίσκεται εἰς πλάνην καὶ ζῇ ὀρθῶς, νὰ μείνῃ εἰς τὴν πλάνην, ἔτσι δὲν εἶναι εὔκολον ἕνας, ποὺ ζῇ μὲ τὴν πονηρίαν, αἴφνης νὰ κοιτάξῃ πρὸς τὸ ὕψος τῶν δογμάτων μας, ἀλλά, ἐκεῖνος ποὺ πρόκειται νὰ ἐπιζητῇ τὴν ἀλήθειαν, πρέπει προηγουμένως νὰ καθαρισθῇ ἀπὸ ὅλα τὰ πάθη· διότι ἐκεῖνος ποὺ ἔχει ἀπαλλαγῇ ἀπὸ αὐτά, θὰ ἀπαλλαγῇ καὶ ἀπὸ τὴν πλάνην καὶ θὰ εὕρῃ τὴν ἀλήθειαν. Μὴ νομίζῃς δηλαδή, σὲ παρακαλῶ, ὅτι δι' αὐτὴν σοῦ εἶναι ἀρκετὸν τὸ ὅτι δὲν ἔχεις πλεονεξίαν καὶ ὅτι δὲν πορνεύεις, ἀλλὰ πρέπει νὰ ἔχῃ ὅλας τὰς ἀρετὰς ἐκεῖνος ὁ ὁποῖος ζητεῖ τὴν ἀλήθειαν. Διὰ τοῦτο ὁ Πέτρος λέγει· «Πιστεύω πράγματι ὅτι ὁ Θεὸς δὲν εἶναι προσωπολήπτης, ἀλλὰ εἰς κάθε ἔθνος ὅποιος τὸν φοβεῖται καὶ πράττει τὸ δίκαιον εἶναι δεκτὸς ἀπὸ αὐτόν»[7]· δηλαδὴ καλεῖ καὶ ἑλκύει αὐτὸν πρὸς τὴν ἀλήθειαν.

Δὲν βλέπεις τὸν Παῦλον, ὅτι ἦτο ἐξ ὅλων ὁ φοβερώτερος πολέμιος καὶ διώκτης; ἀλλ' ὅμως, ἐπειδὴ εἶχεν ἀνεπίληπτον βίον καὶ δὲν ἔπραττεν αὐτὰ ἀπὸ ἀνθρώπινον πάθος, καὶ δεκτὸς ἔγινε καὶ ὅλους τοὺς ὑπερέβαλεν. Ἐὰν δὲ κάποιος ἤθελεν εἰπεῖ· Πῶς ὁ τάδε ἐθνικός, ἐνῷ εἶναι καλὸς καὶ ἀγαθὸς καὶ φιλάνθρωπος, μένει εἰς

πλανώμενος;', ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἕτερον ἔχει πάθος, κενοδοξίαν ἢ νωθείαν ψυχῆς ἢ τὸ μὴ μεριμνᾶν περὶ τῆς οἰκείας σωτηρίας, ἀλλ' ἁπλῶς καὶ εἰκῇ τὰ κατ' αὐτὸν φέρεσθαι νομίζειν. Ὁ δὲ Πέτρος τὸν ἐργαζόμενον δικαιοσύνην, τὸν ἐν πᾶσιν ἄληπτόν φησι· «Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος», καί· «Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει». Πῶς οὖν, φησίν, ἀκάθαρτοι κατηξιώθησαν τοῦ κηρύγματος; Ἐπειδὴ ἠθέλησαν καὶ ἐπεθύμησαν. Τοὺς μὲν γὰρ καὶ πεπλανημένους ἕλκει, ἐπειδὰν παθῶν καθαρεύωσι· τοὺς δὲ ἀφ' ἑαυτῶν προσιόντας οὐ διωθεῖται· πολλοὶ δὲ καὶ ἀπὸ προγόνων ἐδέξαντο τὴν εὐσέβειαν.

«Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις». Λοιπὸν πρὸς τοὺς ἀρχομένους ἀποδύεται. Ἐν μὲν γὰρ τοῖς ἔμπροσθεν τοὺς ἄρχοντας κατέβαλεν εἰπὼν ὅτι οὐδενὸς ἀξία ἡ σοφία τοῦ λόγου, ἐνταῦθα δὲ τοὺς ἀρχομένους πλήττει, λέγων· «Ὅταν γὰρ λέγῃ τις, ἐγὼ μὲν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, οὐχὶ σαρκικοί ἐστε;», καὶ δείκνυσιν ὅτι τοῦτο οὐ μόνον οὐδὲν αὐτοὺς ὤνησεν οὐδὲ προσλαβεῖν τι πεποίηκεν, ἀλλὰ καὶ πρὸς τὴν τῶν μειζόνων ὠφέλειαν ἐνεπόδισε. Τοῦτο γὰρ ζῆλον ἔτεκεν, ὁ δὲ ζῆλος σαρκικοὺς ἐποίησε· τὸ δὲ γενέσθαι σαρκικοὺς οὐκ ἀφῆκεν ἀκοῦσαι τῶν ὑψηλοτέρων.

«Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς;». Μετὰ γὰρ τὴν τῶν πραγμάτων κατασκευὴν καὶ ἀπόδειξιν γυμνότερον λοιπὸν κέχρηται τῇ κατηγορίᾳ· καὶ τὸ αὐτοῦ ὄνομα τίθησι πᾶσαν περιαιρῶν τραχύτητα καὶ οὐκ ἀφεὶς ὀργισθῆναι πρὸς τὰ λεγόμενα. Εἰ γὰρ Παῦλος οὐδέν ἐστι, καὶ οὐκ ἀγανακτεῖ, πολλῷ μᾶλλον ἐκείνους δυσχεραίνειν οὐκ ἐχρῆν. Διπλῇ τοίνυν αὐτοὺς παραμυθεῖται, τῷ τε ἑαυτὸν ὑποθεῖναι καὶ τῷ μὴ παντὸς αὐτοὺς ἀποστερῆσαι ὡς οὐδὲν συντελοῦντας· ἀλλὰ δίδωσι μὲν αὐτοῖς τι μικρόν, δίδωσι δὲ ὅμως. Εἰπὼν γάρ, «Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς;», ἐπήγαγεν· «Ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύ-

---

8. Φιλ. 3,6 Ὅλοι οἱ κώδικες ἔχουν «Πέτρος». Προφανῶς ὑπάρχει κενὸν εἰς τὸ παραδεδομένον κείμενον.

9. Β' Τιμ. 1,3.

τὴν πλάνην;', θὰ τοῦ ἔλεγον τοῦτο, ὅτι δηλαδὴ ἔχει ἄλλο πάθος, κενοδοξίαν ἢ ραθυμίαν ψυχῆς ἢ ἀδιαφορίαν διὰ τὴν σωτηρίαν του, καὶ νομίζει ὅτι θὰ τοῦ ἔλθουν ὅλα καλὰ ἀπὸ τὴν τύχην. Ὁ δὲ Πέτρος δι' ἐκεῖνον ποὺ ἀσκεῖ δικαιοσύνην καὶ εἶναι εἰς ὅλα ἄμεμπτος λέγει:...... «Ὡς πρὸς τὴν δικαιοσύνην τοῦ νόμου ὑπῆρξα ἄμεμπτος»[8], καί· «Εὐχαριστῶ τὸν Θεόν, τὸν ὁποῖον λατρεύω, ὅπως οἱ πρόγονοί μου, μὲ καθαρὰν συνείδησιν»[9]. Πῶς λοιπόν, θὰ ἔλεγε κάποιος, ἄνθρωποι ἀκάθαρτοι κατηξιώθησαν τοῦ κηρύγματος; Ἐπειδὴ ἠθέλησαν καὶ ἐπεθύμησαν. Δηλαδὴ τοὺς μὲν πλανεμένους τοὺς ἕλκει ἐὰν εἶναι καθαροὶ ἀπὸ πάθη, ἐκείνους ὅμως ποὺ προσέρχονται ἀπὸ ἰδικήν των πρωτοβουλίαν δὲν τοὺς ἀπωθεῖ· πολλοὶ τέλος ἐδέχθησαν τὴν εὐσέβειαν ἀπὸ τοὺς προγόνους των.

«Διότι ὅπου ὑπάρχει μεταξύ σας φθόνος καὶ φιλονεικία». Ἀκολούθως ἀσχολεῖται μὲ τοὺς ἀρχομένους· διότι εἰς μὲν τὰ προηγούμενα κατέβαλε τοὺς ἄρχοντας μὲ τὸ νὰ εἴπῃ ὅτι δὲν ἔχει καμμίαν ἀξίαν ἡ σοφία τοῦ νοῦ, ἐδῶ δὲ πλήττει τοὺς ἀρχομένους, λέγων· «Ὅταν δηλαδὴ κάποιος λέγῃ: ἐγὼ εἶμαι τοῦ Παύλου ἐγὼ Ἀπολλώ, δὲν εἶσθε σαρκικοί;»[10], καὶ δεικνύει ὅτι τοῦτο ὄχι μόνον καθόλου δὲν τοὺς ὠφέλησεν οὔτε τοὺς ἔκανε νὰ κερδίσουν τίποτε, ἀλλὰ καὶ τοὺς ἠμπόδισε νὰ ὠφεληθοῦν τὰ ἀνώτερα· διότι τοῦτο ἐγέννησε ζηλοτυπίαν, ἡ δὲ ζηλοτυπία τοὺς ἔκανε σαρκικούς καὶ τὸ ὅτι ἔγιναν σαρκικοὶ δὲν τοὺς ἄφησε νὰ ἀκούσουν τὰ ὑψηλότερα.

«Τί λοιπὸν εἶναι ὁ Παῦλος, τί ὁ Ἀπολλώ;»[11] Δηλαδή, μετὰ τὴν ἀποκατάστασιν τῶν πραγμάτων καὶ τὴν ἀπόδειξιν, ἐν συνεχείᾳ διατυπώνει τὴν κατηγορίαν φανερώτερον· καὶ θέτει τὸ ὄνομά του ἀφαιρῶν πᾶσαν ἀγριότητα συναισθημάτων καὶ μὴ ἐπιτρέπων νὰ ὀργισθοῦν διὰ τὰ λεγόμενα. Διότι, ἐὰν ὁ Παῦλος δὲν εἶναι τίποτε, καὶ δὲν ἀγανακτῇ δι' αὐτό, πολὺ περισσότερον δὲν ἔπρεπεν ἐκεῖνοι νὰ ἀγανακτοῦν. Κατὰ δύο λοιπὸν τρόπους τοὺς στηρίζει, καὶ μὲ τὸ νὰ χρησιμοποιήσῃ τὸν ἑαυτόν του καὶ μὲ τὸ νὰ μὴ τοὺς ἀποστερήσῃ ἀπὸ τὰ πάντα, διότι δῆθεν δὲν κατορθώνουν τίποτε· ἀλλὰ τοὺς δίδει κάτι μικρόν, ὁπωσδήποτε ὅμως τοὺς δίδει. Διότι, ἀφοῦ εἶπε, «Τί λοιπὸν εἶναι ὁ Παῦλος, τί ὁ Ἀπολλώ;», προσέθεσεν· «παρὰ ὑπηρέται διὰ τῶν ὁποίων ἐπιστεύσατε;». Τοῦτο

10. Α' Κορ. 3,4.
11. αὐτ. 5.

σατε;». Τοῦτο δὲ αὐτὸ μὲν καθ' ἑαυτὸ μέγα καὶ πολλῶν ἄξιον μισθῶν, πρὸς δὲ τὸ ἀρχέτυπον καὶ τὴν ῥίζαν τῶν ἀγαθῶν οὐδέν. Οὐ γὰρ ὁ διακονούμενος τοῖς ἀγαθοῖς ἀλλ' ὁ παρέχων αὐτὰ καὶ διδούς, οὗτός ἐστιν ὁ εὐεργέτης. Καὶ οὐκ εἶπεν 'εὐαγγελισταί', ἀλλ' «ἢ διάκονοι», ὅπερ πλέον ἐστίν. Οὐ γὰρ ἁπλῶς εὐηγγελίσαντο, ἀλλὰ καὶ διηκόνησαν ἡμῖν· τὸ μὲν γὰρ λόγου μόνου ἐστί, τὸ δὲ καὶ ἔργον ἔχει. Ὥστε, εἰ καὶ ὁ Χριστὸς διάκονος μόνον ἐστὶν ἀγαθῶν καὶ οὐχ ἡ ῥίζα αὐτὸς καὶ πηγή, ὡς Υἱὸς μέντοι, ὅρα ποῦ τοῦτο τὸ πρᾶγμα κατάγεται.

3. Πῶς οὖν, φησί, λέγει αὐτὸν διάκονον γεγενῆσθαι περιτομῆς; Περὶ τῆς κατὰ σάρκα οἰκονομίας ἐκεῖ λέγων, καὶ οὐδὲ τούτῳ τῷ τρόπῳ, ᾧ νῦν εἰρήκαμεν. Ἐκεῖ μὲν γὰρ διάκονον τὸν πληρωτήν φησιν, οὐχὶ τὸν οἴκοθεν παρασχόμενον τὰ ἀγαθά· Καὶ οὐκ εἶπεν, 'οἱ προσαγόμενοι ὑμᾶς εἰς τὴν πίστιν', ἀλλὰ «δι' ὧν ἐπιστεύσατε», πάλιν ἐκείνοις τὸ πλέον διδοὺς καὶ τοὺς διακόνους κἀντεῦθεν δηλῶν. Εἰ τοίνυν ἑτέρῳ διηκοῦντο, πῶς οὗτοι τὴν ἀξίαν ἁρπάζουσι;

Σὺ δέ μοι σκόπει, πῶς οὐδαμῶς αὐτοῖς ἐγκαλεῖ ὡς ἁρπάζουσιν, ἀλλὰ τοῖς παρέχουσιν. Ἡ γὰρ ὑπόθεσις τοῦ σφάλματος ἐν τῷ πλήθει ἦν· καὶ γὰρ ἐκεῖνοι εἰ ἀπέστησαν, οὗτοι διελύοντο. Δύο τοίνυν κατεσκεύασε σοφῶς, ὅθεν τε ἔδει καθελεῖν τὸ ἁμάρτημα, ἐκεῖθεν ὑπορύξας, καὶ πρὸς ἐκείνους ἀπέχθειαν μὴ κτησάμενος μηδὲ φιλονεικοτέρους ποιήσας. «Καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν». Οὐδὲ γὰρ αὐτὸ τοῦτο τὸ μικρὸν παρ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Θεοῦ τοῦ ἐγχειρίζοντος. Ἵνα γὰρ μὴ λέγωσι, τί οὖν; τοὺς διακονουμένους ἡμῖν οὐ στέρξομεν; ναί, φησίν, ἀλλ' εἰδέναι χρὴ μέχρι τίνος· οὐδὲ γὰρ τοῦτο αὐτὸ παρ' αὐτῶν, ἀλλὰ παρὰ τοῦ δόντος Θεοῦ.

«Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε». Τουτέστι, πρῶτος κατέβαλον τὸν λόγον· ὥστε

---

12. Ρωμ. 15,8.
13. Α' Κορ. 3,6.

δὲ εἶναι μὲν αὐτὸ καθ' ἑαυτὸ μέγα ἔργον καὶ ἄξιον πολλῶν μισθῶν, ὅμως δὲν εἶναι τίποτε συγκρινόμενον πρὸς τὸ πρότυπον καὶ τὴν ρίζαν τῶν ἀγαθῶν· διότι εὐεργέτης δὲν εἶναι αὐτὸς ποὺ διακονεῖ εἰς τὰ ἀγαθά, ἀλλ' αὐτὸς ποὺ τὰ δίδει. Καὶ δὲν εἶπεν 'εὐαγγελισταί', ἀλλὰ «παρὰ διάκονοι», πρᾶγμα τὸ ὁποῖον εἶναι κάτι περισσότερον. Δὲν ἔκαναν δηλαδὴ ἁπλῶς εὐαγγελισμόν, ἀλλὰ καὶ μᾶς διηκόνησαν· καὶ ὁ μὲν εὐαγγελισμὸς εἶναι μόνον λόγος, ἐνῷ ἡ διακονία εἶναι καὶ ἔργον. Ὥστε, ἐὰν καὶ ὁ Χριστὸς εἶναι μόνον διάκονος ἀγαθῶν καὶ ὄχι ἡ ἰδία ἡ ρίζα καὶ ἡ πηγή, καθ' ὅσον εἶναι Υἱός, πρόσεξε ποῦ ὁδηγεῖ ἡ ὑπόθεσις αὐτή.

3. Πῶς λοιπόν, θὰ ἰσχυρίζετο κάποιος, λέγει ὅτι αὐτὸς ὑπῆρξε διάκονος περιτομῆς;[12] Ἐκεῖ ἐννοεῖ τὴν κατὰ σάρκα οἰκονομίαν καὶ ὄχι μὲ τὸν τρόπον αὐτόν, τὸν ὁποῖον ἐννοοῦμεν ἐδῶ. Ἐκεῖ ὀνομάζει διάκονον ἐκεῖνον ποὺ ἐπραγματοποίησε τὴν ὑπόσχεσιν τῶν ἀγαθῶν, ὄχι ἐκεῖνον ποὺ ἔδωσεν ἀπὸ τὸν ἑαυτόν του τὰ ἀγαθά. Καὶ δὲν εἶπεν, 'ἐκεῖνοι ποὺ σᾶς ὁδηγοῦν εἰς τὴν πίστιν', ἀλλ' «ἐκεῖνοι, διὰ τῶν ὁποίων ἐπιστεύσατε», δίδων πάλιν εἰς ἐκείνους τὸ περισσότερον τῆς πρωτοβουλίας καὶ ἐννοῶν καὶ ἐδῶ τοὺς διακόνους. Ἐφ' ὅσον λοιπὸν ἀπὸ ἄλλον διηκονοῦντο, πῶς σφετερίζονται αὐτοὶ τὴν ἀξίαν;

Σὺ ὅμως κάνε μου τὴν χάριν καὶ πρόσεξε ὅτι καθόλου δὲν κατηγορεῖ αὐτούς, διότι δῆθεν σφετερίζονται, ἀλλὰ ἐκείνους ποὺ δίδουν τὴν ἀφορμήν· διότι ἡ αἰτία τοῦ σφάλματος ἀποδίδεται εἰς τὸ πλῆθος· καὶ ἐὰν ἐκεῖνοι εἶχον ἐγκαταλείψει τὴν πίστιν, αὐτοὶ θὰ εἶχον διαλυθῇ. Κατὰ τρόπον σοφὸν λοιπὸν ἐπέτυχε δύο πράγματα, ἀφ' ἑνὸς μὲν νὰ ἐκριζώσῃ τὸ ἁμάρτημα ἐκεῖ ὅπου ἔπρεπε νὰ τὸ ἐξουδετερώσῃ καὶ ἀφ' ἑτέρου νὰ μὴ καταληφθῇ ἀπὸ ἀπέχθειαν πρὸς ἐκείνους οὔτε ν' αὐξήσῃ τὴν διάθεσιν τῶν διὰ ἔριδας. «Καὶ ὅπως ἔδωκεν εἰς τὸν καθένα ὁ Κύριος». Δηλαδὴ οὔτε τοῦτο τὸ μηδαμινὸν ὀφείλεται εἰς τὰς ἰδικάς των δυνάμεις, ἀλλὰ εἶναι ἔργον τοῦ Θεοῦ ποὺ ἐνεργεῖ. Δηλαδή, διὰ νὰ μὴ λέγουν, 'Τί λοιπόν; δὲν θὰ εὐγνωμονοῦμεν ἐκείνους ποὺ μᾶς διακονοῦν;', τοὺς λέγει· 'Ναί, ἀλλὰ πρέπει νὰ γνωρίζητε μέχρι ποίου σημείου· διότι οὔτε τοῦτο προέρχεται ἀπὸ αὐτούς, ἀλλὰ ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος τὸ ἔδωσεν.

«Ἐγὼ ἐφύτευσα, ὁ Ἀπολλὼς ἐπότισε, ἀλλ' ὁ Θεὸς ηὔξησε»[13]. Δηλαδή, πρῶτος ἔρριψα τὸν λόγον, καὶ διὰ νὰ μὴ ξηρανθοῦν οἱ σπό-

δὲ μὴ ξηρανθῆναι τοῖς πειρασμοῖς τὰ σπέρματα Ἀπολλὼς τὰ παρ' ἑαυτοῦ προσέθηκε· τὸ δὲ πᾶν τοῦ Θεοῦ γέγονεν. «Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός». Ὁρᾷς πῶς αὐτοὺς παραμυθεῖται, ὥστε μὴ τραχυτέρους γενέσθαι τῷ ἀκοῦσαι, 'τίς ἐστιν ὁ δεῖνα, καὶ τίς ὁ δεῖνα;'. Ἀμφότερα γὰρ φορτικὰ καὶ τὸ εἰπεῖν τίς ἐστιν ὁ δεῖνα καὶ τίς ἐστιν ὁ δεῖνα καὶ τὸ εἰπεῖν, 'οὔτε ὁ φυτεύων οὔτε ὁ ποτίζων ἐστί τι'. Πῶς οὖν αὐτὰ παρεμυθήσατο; Τῷ τε ἐπὶ τοῦ οἰκείου προσώπου προσάγειν τὴν ἐξουδένωσιν· «Τίς γάρ ἐστι Παῦλος, τίς δὲ Ἀπολλώς;» καὶ τῷ τὸ πᾶν ἀναθεῖναι τῷ πάντα δεδωκότι Θεῷ. Εἰπὼν γὰρ ὅτι οὗτος ἐφύτευσε, καὶ προσθεὶς ὅτι οὐδέν ἐστιν ὁ φυτεύων, ἐπήγαγεν· «ἀλλ' ὁ αὐξάνων Θεός». Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλ' ἑτέρᾳ ἐπαγωγῇ πάλιν αὐτὸ θεραπεύει λέγων· «Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσι». Διὰ γὰρ τούτου καὶ ἕτερον κατασκευάζει, τὸ μὴ ἐπαίρεσθαι κατ' ἀλλήλων. Ἓν δὲ εἶναι αὐτούς φησι πρὸς τὸ μηδὲν δύνασθαι ἄνευ τοῦ αὐξάνοντος Θεοῦ. Τοῦτο δὲ εἰπὼν οὐδὲ τοὺς πολλὰ κάμνοντας ἀφῆκε κατεξανίστασθαι τῶν ἐλάττονα εἰσενεγκάντων οὔτε τοὺς ἑτέρους τούτοις φθονεῖν.

Εἶτα, ἐπειδὴ τοῦτο ῥαθυμοτέρους ἐποίει, τὸ πάντας ἓν εἶναι νομίζεσθαι καὶ τοὺς πολλὰ καμόντας καὶ τοὺς ἐλάττω, ὅρα πῶς αὐτὸ διωρθώσατο, εἰπών· «Ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον». Ὡς ἂν εἰ ἔλεγε· 'Μὴ φοβοῦ, ὅτι εἶπον ὅτι ἕν εἰσι· πρὸς γὰρ τὸ τοῦ Θεοῦ ἔργον παραβαλλόμενοι, ἕν εἰσι· ἐπεὶ πόνων ἕνεκεν οὐκ εἰσίν, ἀλλὰ ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται'.

Εἶτα καὶ λιπαίνει πλέον αὐτὸ κατορθώσας ὅπερ ἐβούλετο, καὶ χαρίζεται ἐν οἷς ἔξεστι μετὰ φιλοτιμίας. «Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιόν ἐστε, Θεοῦ οἰκοδομή ἐστε». Ὁρᾷς πῶς καὶ αὐτοῖς ἔργον ἔδωκεν οὐ μικρὸν κατασκευάσας πρότερον ὅτι τὸ πᾶν ἐστι τοῦ Θεοῦ; Ἐπειδὴ γὰρ ἀεὶ παραινεῖ πείθεσθαι τοῖς ἡγουμένοις, διὰ τοῦτο οὐ

14. αὐτ. 7.
15. αὐτ. 8.
16. αὐτ. 9.

ροι ἀπὸ τοὺς πειρασμούς, ὁ Ἀπολλὼς προσέθεσε τὸ ἰδικόν του ἔργον· ἀλλὰ τὸ πᾶν εἶναι ἔργον τοῦ Θεοῦ. «Ὥστε δὲν εἶναι τίποτε οὔτε ἐκεῖνος ποὺ φυτεύει οὔτε ἐκεῖνος ποὺ ποτίζει, ἀλλ' ὁ Θεὸς ποὺ αὐξάνει»[14]. Βλέπεις πῶς τοὺς παρηγορεῖ, ὥστε νὰ μὴ γίνουν σκληρότεροι μὲ τὸ νὰ ἀκούσουν, 'ποῖος εἶναι ὁ τάδε καὶ ποῖος ὁ τάδε;' Διότι καὶ τὰ δύο εἶναι ἐνοχλητικά, δηλαδὴ καὶ τὸ νὰ εἴπῃ κανείς, 'ποῖος εἶναι ὁ τάδε καὶ ποῖος ὁ τάδε;', καὶ τὸ νὰ εἴπη, ὅτι «οὔτε ὁ φυτεύων οὔτε ὁ ποτίζων εἶναι τίποτε». Πῶς λοιπὸν ἐμετρίασεν αὐτά; Μὲ τὸ νὰ παρουσιάσῃ τὸ μηδαμινὸν τοῦ ἔργου εἰς τὸ ἰδικόν του πρόσωπον, λέγων· «Τί λοιπὸν εἶναι ὁ Παῦλος, τί ὁ Ἀπολλώς;», καὶ μὲ τὸ νὰ ἀποδώσῃ τὸ πᾶν εἰς τὸν Θεὸν ποὺ δίδει τὰ πάντα. Ἀφοῦ δηλαδὴ εἶπεν ὅτι αὐτὸς ἐφύτευσε καὶ ἀφοῦ προσέθεσεν ὅτι δὲν εἶναι τίποτε ὁ φυτεύων, συνεπλήρωσεν «ἀλλ' ὁ αὐξάνων Θεός». Καὶ δὲν ἐσταμάτησεν εἰς τοῦτο, ἀλλὰ μὲ νέον συμπέρασμα πάλιν τὸ διορθώνει λέγων· «Ἐκεῖνος ποὺ φυτεύει καὶ ἐκεῖνος ποὺ ποτίζει εἶναι ἕν»[15]. Μὲ αὐτὸ δηλαδὴ διδάσκει καὶ κάτι ἄλλο, τὸ νὰ μὴ ὑπερηφανεύεται ὁ ἕνας κατὰ τοῦ ἄλλου. Λέγει δὲ ὅτι αὐτοὶ εἶναι ἓν ὡς πρὸς τὸ ὅτι τίποτε δὲν δύνανται νὰ κάνουν χωρὶς τὸν Θεόν, ποὺ αὐξάνει τὸ ἔργον. Μὲ τὸ νὰ εἴπῃ δὲ τοῦτο οὔτε ἐκείνους, ποὺ κοπιάζουν πολύ, τοὺς ἔκανε νὰ ἀγανακτοῦν δι' ὅσους προσέφερον ὀλίγα, οὔτε αὐτοὺς τοὺς δεύτερους νὰ φθονοῦν τοὺς πρώτους.

Ἔπειτα, ἐπειδὴ τοῦτο τοὺς ἔκαμνε ραθυμότερους, τὸ νὰ νομίζουν δηλαδὴ ὅτι εἶναι τὸ ἴδιο ὅλοι, καὶ ἐκεῖνοι ποὺ προσέφερον πολλὰ καὶ ἐκεῖνοι ποὺ προσέφερον ὀλίγα, πρόσεξε πῶς τὸ διώρθωσε μὲ τὸ νὰ εἴπῃ· «κάθε ἕνας θὰ λάβῃ τὸν μισθόν του ἀναλόγως τοῦ κόπου του». Ὡσὰν νὰ ἔλεγε· 'Μὴ φοβᾶσαι διὰ τὸ ὅτι εἶπον ὅτι ὅλοι εἶναι τὸ ἴδιον· διότι συγκρινόμενοι μὲ τὸ ἔργον τοῦ Θεοῦ εἶναι ὅλοι τὸ ἴδιον· ἀλλὰ ὅσον ἀφορᾷ εἰς τοὺς κόπους των δὲν εἶναι ὅλοι τὸ ἴδιον, ἀλλὰ ὁ κάθε ἕνας θὰ λάβῃ τὸν ἰδικόν του μισθόν'.

Ἔπειτα, ἀφοῦ ἐπέτυχεν αὐτὸ ποὺ ἤθελεν, μετριάζει τὸ αὐστηρὸν ὕφος του ἀκόμη περισσότερον καὶ πρὸς αὐτοὺς ποὺ πράττουν κατὰ δύναμιν ἐκδηλώνει πολλὴν ἐπιείκειαν. «Εἴμεθα δηλαδὴ συνεργάται τοῦ Θεοῦ· σεῖς εἶσθε ἀγρὸς τοῦ Θεοῦ, οἰκοδομὴ τοῦ Θεοῦ»[16]. Βλέπεις πῶς ἀποδίδει καὶ εἰς αὐτοὺς ἔργον ὄχι μικρόν, ἀφοῦ προηγουμένως ἀπέδειξεν ὅτι τὸ πᾶν εἶναι ἔργον τοῦ Θεοῦ. Ἐπειδὴ δηλαδὴ πάντοτε συμβουλεύει πειθαρχίαν εἰς τοὺς ἄρχοντας, διὰ τοῦτο

σφόδρα ἐξευτελίζει τοὺς διδασκάλους. «Θεοῦ γεώργιόν ἐστε». Ἐπειδὴ γὰρ εἶπεν «ἐφύτευσα», τῇ τροπῇ ἐπέμεινεν. Εἰ δὲ Θεοῦ γεώργιον, οὐκ ἀπὸ τῶν γωργούντων ὑμᾶς, ἀλλ' ἀπὸ τοῦ Θεοῦ καλεῖσθαι δίκαιον. Οὐ γὰρ ἀγρὸς γεωργοῦ καλεῖται, ἀλλὰ τοῦ οἰκοδεσπότου. «Θεοῦ οἰκοδομή ἐστε». Πάλιν ἡ οἰκοδομὴ οὐ τοῦ τεχνίτου, ἀλλὰ τοῦ δεσπότου ἐστίν. Εἰ δὲ οἰκοδομή ἐστε, οὐ χρὴ διεσπάσθαι· ἐπεὶ οὐκ ἂν εἴη τοῦτο οἰκοδομή. Εἰ γεώργιόν ἐστε, διαιρεῖσθαι οὐ χρή, ἀλλ' ἑνὶ φραγμῷ τῷ τῆς ὁμονοίας τειχίζεσθαι.

«Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα». Σοφὸν ἑαυτὸν ἐκάλεσεν ἐνταῦθα οὐκ ἐπαίρων ἑαυτόν, ἀλλὰ τύπον αὐτοῖς διδοὺς καὶ δεικνὺς ὅτι τοῦτό ἐστι σοφοῦ, τὸ ἕνα θεῖναι θεμέλιον. Ὅρα γοῦν πῶς μετριάζει. Εἰπὼν γὰρ σοφὸν ἑαυτὸν οὐκ ἀφῆκεν αὐτοῦ τοῦτο εἶναι, ἀλλ' ὅλον ἑαυτὸν πρότερον ἀναθεὶς τῷ Θεῷ, τότε ἑαυτὸν οὕτως ἐκάλεσε. «Κατὰ γὰρ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι», φησίν. Ὁμοῦ γὰρ δείκνυσιν ὅτι καὶ τὸ πᾶν ἐστι τοῦ Θεοῦ καὶ ὅτι τοῦτο μάλιστά ἐστι χάρις, τὸ μὴ διῃρῆσθαι, ἀλλ' ἀφ' ἑνὶ κεῖσθαι θεμελίῳ. «Ἄλλος ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ». Ἐνταῦθά μοι δοκεῖ εἰς τὸν περὶ τῆς πολιτείας λοιπὸν αὐτοὺς ἐμβάλλειν ἀγῶνα, ἐπειδὴ συνῆψεν ἅπαξ καὶ ἓν ἐποίησε. «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Ἰησοῦς Χριστός». Οὐ δύναται δέ, ἕως ἂν ᾖ ἀρχιτέκτων· ἂν δὲ τεθῇ, οὐκέτι ἐστὶν ἀρχιτέκτων.

4. Ἴδε πῶς καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν κατασκευάζει τὸ προκείμενον ἅπαν. Ὃ δὲ λέγει, τοῦτό ἐστι· Κατήγγειλα τὸν Χριστόν, παρέδωκα ὑμῖν τὸν θεμέλιον, σκοπεῖτε πῶς ἐποικοδομεῖτε, εἰ κενοδόξως, εἰ πρὸς ἀνθρώπους ἀποσπῶντες τοὺς μαθητάς. Μὴ τοίνυν προσέχωμεν ταῖς αἱρέσεσι· «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον».

---

17. αὐτ. 10.
18. αὐτ. 11.

δὲν ἐκμηδενίζει πλήρως τοὺς διδασκάλους. «Εἶσθε ἀγρὸς τοῦ Θεοῦ». Ἐπέμεινε δηλαδὴ εἰς τὴν μεταφοράν, ἐπειδὴ εἶπεν «ἐφύτευσα». Ἐφ' ὅσον δὲ εἶσθε ἀγρὸς τοῦ Θεοῦ, εἶναι δίκαιον νὰ ὀνομάζεσθε ὄχι ἀπὸ τὸ ὄνομα αὐτῶν, ποὺ τὸν καλλιεργοῦν, ἀλλὰ ἀπὸ τοῦ Θεοῦ· διότι ἕνας ἀγρὸς δὲν παίρνει τὸ ὄνομά του ἀπὸ αὐτὸν ποὺ τὸ καλλιεργεῖ, ἀλλὰ ἀπὸ τὸν ἰδιοκτήτην. «Εἶσθε οἰκοδομὴ τοῦ Θεοῦ». Ἐπίσης ἡ οἰκοδομὴ δὲν εἶναι τοῦ τεχνίτου, ἀλλὰ τοῦ ἰδιοκτήτου. Καὶ ἂν εἶσθε οἰκοδομή, δὲν πρέπει νὰ ἔχετε διάσπασιν, διότι τοῦτο δὲν θὰ ἦτο οἰκοδομή. Ἐὰν εἶσθε ἀγρός, δὲν πρέπει νὰ ἔχετε διαιρέσεις, ἀλλὰ νὰ περιτειχίζεσθε μὲ ἕνα φράκτην, τὸν φράκτην τῆς ὁμονοίας.

«Κατὰ τὴν χάριν τοῦ Θεοῦ, ποὺ μοῦ ἐδόθη, ὡς καλὸς ἀρχιτέκτων ἔχω θέσει θεμέλιον»[17]. Σοφὸν ἀπεκάλεσεν ἐδῶ τὸν ἑαυτόν του, ὄχι ἀπὸ ἔπαρσιν, ἀλλὰ δίδων εἰς αὐτοὺς πρότυπον καὶ δεικνύων ὅτι τοῦτο εἶναι χαρακτηριστικὸν τοῦ σοφοῦ, τὸ νὰ θέτῃ ἓν θεμέλιον. Πρόσεξε λοιπὸν πῶς ὁμιλεῖ μὲ μετριοφροσύνην. Ἀφοῦ δηλαδὴ εἶπε τὸν ἑαυτόν του σοφόν, δὲν ἄφησε νὰ ἐννοηθῇ ὅτι ἡ σοφία εἶναι ἰδική του, ἀλλά, ἀφοῦ προηγουμένως ἀπέδωσεν ὅλον τὸν ἑαυτόν του εἰς τὸν Θεόν, τότε ἀπεκάλεσεν σοφὸν τὸν ἑαυτόν του· διότι λέγει «κατὰ τὴν χάριν τοῦ Θεοῦ ποὺ μοῦ ἐδόθη». Δηλαδὴ δεικνύει συγχρόνως ὅτι καὶ τὸ πᾶν εἶναι τοῦ Θεοῦ καὶ ὅτι τοῦτο πρὸ παντὸς εἶναι χάρις, τὸ νὰ μὴ γίνωνται διαιρέσεις, ἀλλὰ τὸ ὅλον ἔργον νὰ στηρίζεται εἰς ἓν θεμέλιον. «Ἄλλος κτίζει· κάθε ἕνας δὲ ἂς προσέχῃ πῶς κτίζει». Ἐδῶ νομίζω ὅτι ἐν συνεχείᾳ εἰσάγει αὐτοὺς εἰς τὸν ἀγῶνα τῆς πνευματικῆς ζωῆς, ἀφοῦ τοὺς συνήνωσε καὶ τοὺς ἔκαμε ἕν. «Κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ θέσῃ ἄλλον θεμέλιον ἐκτὸς ἐκείνου ποὺ ἔχει τεθῆ, τὸ ὁποῖον εἶναι ὁ Ἰησοῦς Χριστός»[18]. Καὶ δὲν δύναται, ἐφ' ὅσον ὑπάρχει ὁ ἀρχιτέκτων· ἐὰν ὅμως τεθῇ τὸ θεμέλιον, δὲν ὑπάρχει πλέον ἀρχιτέκτων.

4. Κοίταξε πῶς ἀποδεικνύει τὸ ὅλον θέμα ἀκόμη καὶ μὲ κοινὰς ἐννοίας. Αὐτὸ λοιπὸν ποὺ λέγει, σημαίνει τὸ ἑξῆς: Ἐκήρυξα τὸν Χριστόν, σᾶς ἔδωκα τὸ θεμέλιον, προσέχετε τώρα πῶς συνεχίζετε τὴν οἰκοδομήν, μήπως μὲ κενοδοξίαν, μήπως ἀποσπᾶτε τοὺς μαθητὰς διὰ νὰ τοὺς προσκολλήσητε εἰς ἀνθρώπους. Ἂς μὴ δίδωμεν λοιπὸν προσοχὴν εἰς τὰς αἱρέσεις· «Κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ θέσῃ ἄλλο θεμέλιον ἐκτὸς ἐκείνου ποὺ ἔχει τεθῆ».

Ἐπὶ τοῦτον οὖν οἰκοδομῶμεν καὶ ὡς θεμελίου ἐχώμεθα, ὡς κλῆμα ἀμπέλου, καὶ μηδὲν ἔστω μέσον ἡμῶν καὶ Χριστοῦ· ἂν γὰρ γένηταί τι μέσον, εὐθέως ἀπολλύμεθα. Καὶ γὰρ τὸ κλῆμα κατὰ τὸ συνεχὲς ἕλκει τὴν πιότητα· καὶ ἡ οἰκοδομὴ κατὰ τὸ κεκολλῆσθαι ἕστηκεν· ὡς ἂν διαστῇ, ἀπόλλυται, οὐκ ἔχουσα ποῦ ἐρείσει ἑαυτήν. Μὴ τοίνυν ἁπλῶς ἐχώμεθα τοῦ Χριστοῦ, ἀλλὰ κολληθῶμεν αὐτῷ· ἂν γὰρ διαστῶμεν, ἀπολλύμεθα. «Οἱ γὰρ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται», φησί. Κολλώμεθα τοίνυν αὐτῷ, καὶ κολλώμεθα διὰ τῶν ἔργων· «Ὁ γὰρ τηρῶν τὰς ἐντολάς μου, αὐτὸς ἐν ἐμοὶ μένει». Καὶ γὰρ διὰ πολλῶν ἡμᾶς ὑποδειγμάτων ἑνοῖ.

Σκόπει δέ. Αὐτὸς ἡ κεφαλή, ἡμεῖς τὸ σῶμα· μὴ δύναται μέσον τι εἶναι κεφαλῆς καὶ σώματος διάστημα κενόν; Αὐτὸς θεμέλιος, ἡμεῖς οἰκοδομή· αὐτὸς ἄμπελος, ἡμεῖς κλήματα· αὐτὸς ὁ νυμφίος, ἡμεῖς ἡ νύμφη· αὐτὸς ὁ ποιμήν, ἡμεῖς τὰ πρόβατα· ὁδὸς ἐκεῖνος, ἡμεῖς οἱ βαδίζοντες· ναὸς πάλιν ἡμεῖς, αὐτὸς ἔνοικος· αὐτὸς ὁ πρωτότοκος, ἡμεῖς οἱ ἀδελφοί· αὐτὸς ὁ κληρονόμος, ἡμεῖς οἱ συγκληρονόμοι· αὐτὸς ἡ ζωή, ἡμεῖς οἱ ζῶντες· αὐτὸς ἡ ἀνάστασις, ἡμεῖς οἱ ἀνιστάμενοι· αὐτὸς φῶς, ἡμεῖς οἱ φωτιζόμενοι. Ταῦτα πάντα ἕνωσιν ἐμφαίνει καὶ οὐδὲν μέσον κενὸν ἀφίησιν εἶναι, οὐδὲ τὸ μικρότατον. Ὁ γὰρ μικρὸν ἀποστάς, καὶ πολὺ προϊὼν ἀποστήσεται. Καὶ γὰρ τὸ σῶμα, ἂν μικρὰν ἀπὸ ξίφους διάσπασιν δέξηται, διαφθείρεται· καὶ ἡ οἰκοδομή, κἂν μικρὸν διαχάνῃ, καταλύεται· καὶ τῆς ῥίζης τὸ κλῆμα, κἂν μικρὸν ἀποκοπῇ, γέγονεν ἄχρηστον. Ὥστε τὸ μικρὸν τοῦτο οὐκ ἔστι μικρόν, ἀλλὰ καὶ σχεδὸν τὸ ὅλον ἐστίν. Ὅταν οὖν μικρόν τι πλημμελήσωμεν ἢ καὶ ῥᾳθυμήσωμεν, μὴ παρίδωμεν τὸ μικρόν· ἐπεὶ ταχέως παροφθὲν τοῦτο μέγα γίνεται. Οὕτω καὶ ἱμάτιον ἀρχὴν λαβὸν ῥήγνυσθαι καὶ ἀμεληθὲν διόλου τὸ σχίσμα προήγαγε· καὶ

19. Ψαλ. 72,27.
20. Ἰω. 15,10.

Ἂς οἰκοδομῶμεν λοιπὸν ἐπάνω εἰς αὐτὸ τὸ θεμέλιον, καὶ ἂς εἴμεθα προσκολλημένοι εἰς αὐτὸ ὡς θεμέλιον, ὡς κλῆμα ἀμπέλου, καὶ ἂς μὴ ὑπάρχῃ τίποτε μεταξὺ ἡμῶν καὶ τοῦ Χριστοῦ, διότι, ἂν ὑπάρξῃ κάτι εἰς τὸ μέσον, ἀμέσως χανόμεθα. Τὸ κλῆμα δηλαδὴ τρέφεται ἀπὸ τὸν χῶρον εἰς τὸν ὁποῖον εὑρίσκεται· καὶ ἡ οἰκοδομὴ στέκεται ἐπειδὴ τὰ διάφορα μέρη της εἶναι συνδεδεμένα· μόλις ὑπάρξῃ διάστασις τῶν μερῶν, χάνεται, διότι δὲν ἔχει ποῦ νὰ στηριχθῇ. Λοιπόν, νὰ μὴ κρατώμεθα ἁπλῶς ἀπὸ τὸν Χριστόν, ἀλλὰ νὰ προσκολληθῶμεν εἰς αὐτόν· διότι, ἂν ἀπομακρυνθῶμεν, χανόμεθα. «Ἐκεῖνοι ποὺ κρατοῦν τοὺς ἑαυτούς των μακριὰ ἀπὸ ἐσὲ θὰ χαθοῦν»[19], λέγει. Ἂς προσκολλώμεθα λοιπὸν εἰς αὐτὸν καὶ μάλιστα ἂς προσκολλώμεθα διὰ τῶν ἔργων· «ἐκεῖνος ποὺ τηρεῖ τὰς ἐντολάς μου, αὐτὸς μένει μαζί μου»[20]. Καὶ μάλιστα μᾶς ἑνώνει μὲ πολλὰ παραδείγματα.

Πρόσεξε λοιπόν. Αὐτὸς εἶναι ἡ κεφαλή, ἐμεῖς τὸ σῶμα· μήπως εἶναι δυνατὸν νὰ ὑπάρξῃ κανένα κενὸν διάστημα μεταξὺ τῆς κεφαλῆς καὶ τοῦ σώματος; Αὐτὸς εἶναι τὸ θεμέλιον, ἐμεῖς ἡ οἰκοδομή· αὐτὸς ἄμπελος, ἐμεῖς κλήματα· αὐτὸς εἶναι ὁ νυμφίος, ἐμεῖς ἡ νύμφη· αὐτὸς ὁ ποιμήν, ἐμεῖς τὰ πρόβατα· ἐκεῖνος εἶναι ἡ ὁδός, ἐμεῖς οἱ βαδίζοντες εἰς αὐτήν· ἐμεῖς ἐπίσης εἴμεθα ναός, αὐτὸς εἶναι ὁ ἔνοικος· αὐτὸς εἶναι ὁ πρωτότοκος, ἐμεῖς οἱ ἀδελφοί του· αὐτὸς εἶναι ὁ κληρονόμος, ἐμεῖς οἱ συγκληρονόμοι· αὐτὸς εἶναι ἡ ζωή, ἐμεῖς οἱ ζῶντες· αὐτὸς εἶναι ἡ ἀνάστασις, ἐμεῖς οἱ ἀναστημένοι· αὐτὸς εἶναι τὸ φῶς, ἐμεῖς οἱ φωτιζόμενοι. Ὅλα αὐτὰ φανερώνουν ἕνωσιν καὶ δὲν ἀφήνουν νὰ ὑπάρχῃ κανένα κενὸν εἰς τὸ μέσον, οὔτε τὸ παραμικρόν· διότι ὅποιος ἀπομακρύνεται ὀλίγον, προχωρῶν θὰ ἀπομακρυνθῇ πολύ. Τὸ σῶμα π.χ. καταστρέφεται, ἂν ἡ συνοχή του διακοπῇ μὲ ξίφος εἰς κάποιο σημεῖον· καὶ ἡ οἰκοδομὴ καταρρέει, ἂν ἔχῃ ἔστω καὶ μικρὸν κενόν· καὶ τὸ κλῆμα γίνεται ἄχρηστον, ἂν ἀποκοπῇ ἀπὸ τὴν ρίζαν ἔστω καὶ ἐπ' ὀλίγον. Ὥστε τοῦτο τὸ μικρὸν δὲν εἶναι μικρόν, ἀλλὰ σχεδὸν εἶναι τὸ πᾶν. Ὅταν λοιπὸν κάνωμεν ἕνα μικρὸν πλημμέλημα ἢ δείξωμεν ἔστω καὶ ὀλίγην ραθυμίαν, ἂς μὴ ἀδιαφορήσωμεν διὰ τὸ μικρὸν τοῦ παραπτώματος, διότι τοῦτο ταχέως θὰ γίνῃ μέγα, ἐὰν ἀμελήσωμεν. Κατὰ παρόμοιον τρόπον ἓν ἔνδυμα, ἐὰν ἀρχίσῃ νὰ σχίζεται καὶ ἀμελήσωμεν διὰ τοῦτο, σχίζεται τελείως· ἐπίσης, ἐὰν ἀδιαφορήσωμεν δι' ἕνα ὄροφον, ἀπὸ

ὄροφος ὀλίγων κεράμων καταπεσόντων παροφθεὶς ὁλόκληρον τὸν οἶκον κατήνεγκε.

Ταῦτ' οὖν ἡμεῖς λογιζόμενοι μηδέποτε τῶν μικρῶν καταφρονῶμεν, ἵνα μὴ εἰς τὰ μεγάλα ἐμπέσωμεν· ἂν δ' ἄρα καταφρονήσωμεν καὶ εἰς τὸ βάθος ἔλθωμεν τῶν κακῶν, μηδὲ ἐκεῖσε γενόμενοι ἀπογνῶμεν, ἵνα μὴ ἐμπέσωμεν εἰς καρηβαρίαν. Δύσκολον γὰρ λοιπὸν ἀνελθεῖν ἐκεῖθεν τὸν μὴ σφόδρα νήφοντα, οὐ διὰ τὸ μῆκος μόνον, ἀλλὰ καὶ διὰ τὴν θέσιν αὐτήν. Βάθος γάρ ἐστι καὶ ἡ ἁμαρτία, καὶ κάτω φέρουσα θλίβει. Καὶ καθάπερ οἱ εἰς φρέαρ ἐμπεσόντες οὐκ ἂν ῥᾳδίως ἀνέλθοιεν, ἀλλ' ἑτέρων δεήσονται τῶν ἀναγόντων αὐτούς, οὕτω καὶ ὁ εἰς βάθος ἐλθὼν τῶν ἁμαρτημάτων. Χαλάσωμεν οὖν σχοινία πρὸς τοὺς τοιούτους καὶ ἀνιμησώμεθα· μᾶλλον δὲ οὐχ ἑτέρων δεῖ μόνον, ἀλλὰ καὶ ἡμῶν αὐτῶν, ἵνα καὶ ἑαυτοὺς ἐπιδῶμεν, καὶ ἀναβησόμεθα οὐ τοσοῦτον, ὅσον κατέβημεν, ἀλλὰ πολλῷ πλέον, ἐὰν βουλώμεθα. Καὶ γὰρ ὁ Θεὸς βοηθεῖ· οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτόν.

Μηδεὶς τοίνυν ἀπογινωσκέτω, μηδεὶς τὸ τῶν ἀσεβῶν πασχέτω πάθος· ἐκείνων γάρ ἐστι τὸ τοιοῦτον ἁμάρτημα. «Ἀσεβὴς γὰρ ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ». Ὥστε οὐ τὸ πλῆθος τῶν ἁμαρτημάτων ποιεῖ τὴν ἀπόγνωσιν, ἀλλ' ἡ τοῦ ἀσεβοῦς γνώμη. Κἂν πᾶσαν τοίνυν ἐπέλθῃς κακίαν, εἰπὲ πρὸς ἑαυτόν· φιλάνθρωπός ἐστιν ὁ Θεὸς καὶ τῆς σωτηρίας ἐπιθυμεῖ τῆς ἡμετέρας· «Ἐὰν γὰρ ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ», φησί, καὶ πρὸς τὴν ἐναντίαν ἕξιν μεταστήσω. Μὴ τοίνυν ἀπαγορεύσωμεν· οὐ γὰρ τὸ πεσεῖν οὕτω χαλεπόν, ὡς τὸ πεσόντα κεῖσθαι· οὔτε τὸ τρωθῆναι δεινόν, ὡς τὸ τρωθέντα μὴ βούλεσθαι θεραπεύεσθαι. «Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι

---

21. Ἰεζ. 18,23.
22. Παρ. 18,3.
23. Ἠσ. 1,18.
24. Παρ. 20,9.

τὸν ὁποῖον κατέπεσαν ὀλίγα κεραμίδια, αὐτὸς φέρει τὴν κατάρρευσιν εἰς ὁλόκληρον τὴν οἰκίαν.

Ἔχοντες λοιπὸν εἰς τὸν νοῦν μας αὐτὰ ποτὲ νὰ μὴ καταφρονῶμεν τὰ μικρὰ παραπτώματα, διὰ νὰ μὴ πέσωμεν εἰς τὰ μεγάλα· ἂν ὅμως τὰ καταφρονήσωμεν καὶ φθάσωμεν εἰς τὸ βάθος τῶν κακῶν, οὔτε τότε νὰ καταληφθῶμεν ἀπὸ ἀπόγνωσιν, ἐπειδὴ ἐφθάσαμεν ἐκεῖ, διὰ νὰ μὴ βαρύνῃ ἡ κεφαλή μας· διότι εἶναι δύσκολον ἕνας ἀπὸ ἐκεῖ νὰ ἀνέλθῃ ἐν συνεχείᾳ, ἐὰν δὲν ἔχῃ πλήρη νηφαλιότητα, καὶ τοῦτο ὄχι μόνον λόγῳ τοῦ μήκους, ἀλλὰ καὶ λόγῳ τῆς ἰδίας τῆς θέσεως· διότι καὶ ἡ ἁμαρτία εἶναι βάθος καὶ προξενεῖ θλῖψιν εἰς ὅσους φέρει κάτω. Ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ πίπτουν μέσα εἰς πηγάδι δὲν εἶναι εὔκολον νὰ ἀνέλθουν, ἀλλὰ χρειάζονται ἄλλους νὰ τοὺς σύρουν ἐπάνω, ἔτσι καὶ αὐτὸς ποὺ ἔφθασεν εἰς βάθος ἁμαρτημάτων. Ἂς ρίψωμεν λοιπὸν σχοινία πρὸς αὐτοὺς καὶ ἂς τοὺς σύρωμεν πρὸς τὰ ἐπάνω· καὶ μᾶλλον τοῦτο πρέπει νὰ γίνῃ ὄχι μόνον διὰ τοὺς ἄλλους, ἀλλὰ καὶ διὰ τοὺς ἑαυτούς μας· νὰ δέσωμεν καὶ τοὺς ἑαυτούς μας, καί, ἂν θέλωμεν, θὰ ἀνέλθωμεν ὄχι τόσον, ὅσον κατέβημεν, ἀλλὰ πολὺ περισσότερον. Καθ' ὅσον μάλιστα ὁ Θεὸς βοηθεῖ, διότι δὲν θέλει τὸν θάναον τοῦ ἁμαρτωλοῦ, ἕως ὅτου αὐτὸς ἐπιστρέψῃ[21].

Κανεὶς λοιπὸν νὰ μὴ καταλαμβάνεται ἀπὸ ἀπόγνωσιν, κανεὶς νὰ μὴ παθαίνῃ ὅ,τι παθαίνουν οἱ ἀσεβεῖς· διότι ἐκεῖνοι πίπτουν εἰς τὸ ἁμάρτημα αὐτό. Διότι «Ὅταν ὁ ἀσεβὴς ἔλθῃ εἰς τὸ βάθος τῶν κακῶν, αἰσθάνεται περιφρόνησιν»[22]. Ὥστε δὲν εἶναι τὸ πλῆθος τῶν ἁμαρτημάτων, ποὺ φέρει τὴν ἀπόγνωσιν, ἀλλ' ὁ τρόπος σκέψεως τοῦ ἀσεβοῦς. Καὶ ἂν λοιπὸν ἀκόμη ἔχῃς ὅλην τὴν κακίαν, εἰπὲ πρὸς τὸν ἑαυτόν σου. Ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ ἐπιθυμεῖ τὴν ἰδικήν μας σωτηρίαν. Διότι λέγει «Ἐὰν αἱ ἁμαρτίαι σας εἶναι πολὺ κόκκιναι, θὰ τὰς κάμω λευκὰς ὡσὰν τὸ χιόνι»[23] καὶ θὰ ἀλλάξω εἰς τὸ ἑξῆς τὸν τρόπον ζωῆς σου. Ἂς μὴ ἀποκάμωμεν λοιπόν, διότι δὲν εἶναι ἡ πτῶσις τόσον δυσάρεστος, ὅσον τὸ νὰ παραμένῃ κανεὶς εἰς τὴν πτῶσιν· οὔτε εἶναι φοβερὸν τὸ νὰ τραυματισθῇ κανείς, ὅσον τὸ νὰ τραυματισθῇ καὶ νὰ μὴ θέλῃ νὰ θεραπευθῇ. «Ποῖος δύναται νὰ καυχηθῇ ὅτι ἔχει ἁγνὴν καρδίαν; ἢ ποῖος δύναται νὰ ὑπερηφανευθῇ ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτίας;»[24]. Αὐτὰ τὰ λέγω,

ἀπὸ ἁμαρτιῶν;». Ταῦτα λέγω, οὐχ ἵνα ῥαθυμοτέρους ὑμᾶς ποιήσω, ἀλλ' ἵνα κωλύσω εἰς ἀπόγνωσιν ἐμπεσεῖν.

5. Βούλει μαθεῖν πῶς ἐστιν ἡμῶν ἀγαθὸς ὁ δεσπότης; Ἀνῆλθεν ὁ τελώνης μυρίων γέμων κακῶν καὶ εἰπών, «Ἱλάσθητί μοι» μόνον, κατῆλθε δεδικαιωμένος. Καὶ διὰ τοῦ προφήτου δέ φησιν ὁ Θεός· «Δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτὸν καὶ εἶδον ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ». Τί τῆς φιλανθρωπίας ταύτης ἴσον; Ἵνα στυγνάσῃ μόνον, φησίν, ἀφῆκα τὰ ἁμαρτήματα. Ἡμεῖς δὲ οὐδὲ αὐτὸ τοῦτο ποιοῦμεν· διὸ μάλιστα τὸν Θεὸν παροργίζομεν. Ὁ γὰρ καὶ διὰ μικρῶν ἵλεως γενόμενος, ὅταν μὴ τούτων τύχῃ, εἰκότως ἀγανακτεῖ, καὶ τὴν ἐσχάτην ἀπαιτεῖ τιμωρίαν ἡμᾶς· ὑπερβαλλούσης γάρ ἐστι τοῦτο καταφρονήσεως. Τίς γοῦν ἐλυπήθη ποτὲ δι' ἁμαρτίας; τίς ἐστέναξε; τίς τὸ στῆθος ἔπληξε; τίς ἐμερίμνησεν; Οὐδένα ἔγωγε οἶμαι· ἀλλὰ μυρίας μὲν ἡμέρας θρηνοῦσιν ἄνθρωποι ὑπὲρ οἰκετῶν ἀποθανόντων, ὑπὲρ ζημίας χρημάτων, τὴν δὲ ψυχὴν ἀπολλύντες καθ' ἑκάστην ἡμέραν, οὐδὲ εἰς νοῦν βαλλόμεθα. Πῶς οὖν δυνήσῃ τὸν Θεὸν ἐξιλεώσασθαι, ὅταν μηδὲ ὅτι ἥμαρτες εἰδῇς;

Ναί, φησίν, ἥμαρτον. Ναί μοι λέγεις τῇ γλώττῃ· εἰπέ μοι τῇ διανοίᾳ καὶ μετὰ τοῦ ῥήματος στέναξον, ἵνα διηνεκῶς εὐθυμῇς. Καὶ γὰρ εἰ ἠλγοῦμεν ἐπὶ τοῖς ἁμαρτήμασιν, εἰ ἐστενάζομεν ἐπὶ τοῖς πλημμελήμασιν, οὐδὲν ἂν ἄλλο ἡμᾶς ἐλύπησε τῆς ὀδύνης ταύτης πᾶσαν ἀθυμίαν παρωθουμένης. Ὥστε καὶ ἕτερον ἂν ἐκερδάνομεν μετὰ τῆς ἐξομολογήσεως, τὸ μὴ βαπτίζεσθαι τοῖς λυπηροῖς τοῦ παρόντος βίου μηδὲ φυσᾶσθαι τοῖς λαμπροῖς· καὶ ταύτῃ πάλιν μειζόνως ἂν ἐξιλεωσάμεθα τὸν Θεόν, ὥσπερ οὖν, οἷς ποιοῦμεν νῦν, παροξύνομεν.

Εἰπὲ γάρ μοι, εἴ τινα ἔχεις οἰκέτην, καὶ πολλὰ παθὼν ἐκεῖνος κακὰ παρὰ τῶν ὁμοδούλων, τῶν μὲν ἄλλων μηδενὸς λόγον ποιοῖτο, ὑπὲρ δὲ τοῦ μὴ παροργίζεσθαι τὸν δεσπότην φροντίζοι μόνον, ἆρα οὐχ ἱκανὸς ἀπὸ τούτου μό-

25. Λουκᾶ 18,13.
26. Ἡσ. 57, 17-18.

όχι διά νά σάς κάνω ραθυμοτέρους, ἀλλὰ διὰ νὰ σᾶς ἐμποδίσω νὰ πέσητε εἰς ἀπόγνωσιν.

5. Θέλεις νὰ μάθῃς διατί ὁ Κύριός μας εἶναι ἀγαθός; Ὁ τελώνης ἀνῆλθε γεμᾶτος ἀπὸ μύρια κακὰ καὶ ἀφοῦ εἶπε μόνον, «Ἐλέησέ με»[25], κατῆλθε συγχωρημένος. Ἐξ ἄλλου καὶ διὰ τοῦ προφήτου ὁ Θεὸς λέγει· «Ἐξ αἰτίας τῆς ἁμαρτίας του τὸν ἐλύπησα ὀλίγον καὶ εἶδα ὅτι ἐλυπήθη καὶ ἐπορεύετο θλιμμένος, καὶ τὸν ἐθεράπευσα»[26]. Τί εἶναι ἴσον μὲ αὐτὴν τὴν φιλανθρωπίαν; Διὰ νὰ λυπηθῇ μόνον, λέγει, τοῦ συνεχώρησα τὰ ἁμαρτήματα. Ἐμεῖς ὅμως οὔτε αὐτὸ κάμνομεν, καὶ διὰ τοῦτο παροργίζομεν τὸν Θεὸν πάρα πολύ· διότι αὐτὸς ποὺ ἐκδηλώνει εὐσπλαχνίαν ἀκόμη καὶ ἂν παρακληθῇ δι' ὀλίγων, ὅταν δὲν τὸν παρακαλέσωμεν οὔτε τόσον, εὐλόγως ἀγανακτεῖ καὶ ἀπαιτεῖ νὰ τιμωρηθῶμεν μὲ τὴν ἐσχάτην τιμωρίαν. Ποῖος λοιπὸν ἐλυπήθη ποτὲ διὰ τὰς ἁμαρτίας του; ποῖος ἐστέναξε; ποῖος ἐκτύπησε τὸ στῆθος του μὲ συντριβήν; ποῖος ἐφρόντισεν; Ἐγὼ τοὐλάχιστον νομίζω κανείς· ἀλλ' ὅμως οἱ ἄνθρωποι ἐπὶ πάρα πολλὰς ἡμέρας θρηνοῦν μὲν διὰ ἀποθανόντας οἰκείους των, διὰ ἀπώλειαν χρημάτων, οὔτε κἂν ὅμως τὸ σκεπτόμεθα ὅτι καθημερινῶς χάνομεν τὴν ψυχήν μας. Πῶς λοιπὸν θὰ δυνηθῇς νὰ συγχωρηθῇς ἀπὸ τὸν Θεόν, ὅταν οὔτε κἂν γνωρίζῃς ὅτι ἡμάρτησες;

Ναί, λέγει, ἡμάρτησα. Μοῦ λέγεις 'Ναί' μὲ τὴν γλῶσσαν· εἰπέ μου τοῦτο μὲ τὴν διάνοιαν καὶ συγχρόνως ἀναστέναξε, διὰ νὰ εἶσαι συνεχῶς χαρούμενος. Καθ' ὅσον μάλιστα, ἐὰν ἐστενοχωρούμεθα μὲ τὰ ἁμαρτήματά μας, ἐὰν ἐστενάζαμεν διὰ τὰ σφάλματά μας, τίποτε ἄλλο δὲν θὰ μᾶς ἔθλιβε, διότι αὐτὴ ἡ ὀδύνη θὰ ἀπεμάκρυνε κάθε λύπην μας. Ὥστε καὶ κάτι ἄλλο θὰ ἐπερδίζαμεν μαζὶ μὲ τὴν ἐξομολόγησιν, δηλαδὴ τὸ νὰ μὴ βυθιζώμεθα εἰς τὰς θλίψεις τοῦ παρόντος βίου οὔτε νὰ ἀλαζονευώμεθα διὰ τὰς λαμπρότητάς του· καὶ ἔτσι ἐπίσης πολὺ θὰ ἐξιλεώναμεν τὸν Θεόν, ὅπως ἀκριβῶς μὲ ὅσα κάμνομεν τώρα τὸν παροξύνομεν.

Εἰπέ μου λοιπόν· Ἐὰν ἔχῃς ἕνα δοῦλον καὶ ἐνῷ αὐτὸς ἔπαθε πολλὰ κακὰ ἀπὸ τοὺς συνδούλους του, διὰ μὲν τὰ ἄλλα δὲν λέγει τίποτε, ἀλλὰ φροντίζει μόνον νὰ μὴ ἐξοργίζῃ τὸν κύριόν του, ἆρά γε δὲν ἀξίζει δι' αὐτὸ καὶ μόνον νὰ καταπαύσῃ τὴν ὀργήν σου; Καὶ

νου λῦσαί σου τὴν ὀργήν; Τί δέ; ἂν τῶν μὲν εἰς σὲ πλημμελημάτων μηδεμίαν ποιοῖτο φροντίδα, ὑπὲρ δὲ τῶν πρὸς τοὺς ὁμοδούλους φροντίζοι, οὐχὶ μείζονα ἐπάξεις τὴν τιμωρίαν; Οὕτω καὶ ὁ Θεὸς ποιεῖ· ὅταν μὲν ἀμελῶμεν αὐτοῦ τῆς ὀργῆς, σφοδροτέραν ἐπάγει αὐτήν· ὅταν δὲ φροντίζωμεν, ἡμερωτέραν· μᾶλλον δὲ οὐδὲ ἐπάγει λοιπόν. Βούλεται γὰρ ἡμᾶς ἑαυτοὺς ἀπαιτεῖν τὴν τιμωρίαν τῶν ἡμαρτημένων, καὶ οὐκέτι λοιπὸν αὐτὸς ἀπαιτεῖ. Διὰ τοῦτο γὰρ καὶ ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα τῷ φόβῳ τὴν καταφρόνησιν ἀνέλῃ· ὅταν δὲ ἐξ ἀπειλῆς φοβηθῶμεν μόνης, οὐκ ἀφίησιν ὑπομεῖναι τὴν πεῖραν. Ὅρα γοῦν πρὸς τὸν Ἱερεμίαν τί φησιν· «Οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; Οἱ πατέρες αὐτῶν καίουσι πῦρ, οἱ υἱοὶ αὐτῶν συνάγουσι ξύλα, αἱ γυναῖκες αὐτῶν τρίβουσι στέαρ». Δέος μὴ κ~' περὶ ἡμῶν λεχθῇ τι τοιοῦτον.

Οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν; Οὐδεὶς τὰ τοῦ Χριστοῦ ζητεῖ, ἀλλὰ πάντες τὰ ἑαυτῶν. Οἱ υἱοὶ αὐτῶν εἰς ἀσελγείας τρέχουσιν, οἱ πατέρες αὐτῶν εἰς πλεονεξίαν καὶ ἁρπαγήν, αἱ γυναῖκες αὐτῶν ἐπὶ τὰς φαντασίας τὰς βιωτικὰς οὐ μόνον οὐκ ἐγκόπτουσαι τοὺς ἄνδρας, ἀλλὰ καὶ παροξύνουσαι. Στῆθι γοῦν ἐπὶ τῆς ἀγορᾶς· ἐρώτησον τοὺς ἀπιόντας καὶ ἐπανιόντας, καὶ οὐδένα ὄψει ὑπὲρ πνευματικοῦ πράγματος σπεύδοντα, ἀλλὰ πάντας ὑπὲρ σαρκικῶν τρέχοντας. Μέχρι τίνος οὐκ ἀνανήφομεν; μέχρι τίνος εἰς ὕπνον καταφερόμεθα βαθύν; οὐκ ἐλάβομεν κόρον τῶν κακῶν; Καίτοιγε καὶ χωρὶς τῶν ῥημάτων ἀρκεῖ καὶ αὐτὴ τῶν πραγμάτων ὑμᾶς ἡ πεῖρα διδάξαι τῶν παρόντων τὴν οὐδένειαν καὶ τὸ μοχθηρὸν ἅπαν. Ἄνθρωποι γοῦν τὴν ἔξωθεν σοφίαν ἀσκοῦντες καὶ μηδὲν τῶν μελλόντων εἰδότες, ἐπειδὴ κατέγνωσαν πολλὴν τῶν παρόντων πραγμάτων εὐτέλειαν, διὰ τοῦτο ἀπέστησαν μόνον.

Ποίας οὖν σὺ τεύξῃ συγγνώμης χαμαὶ συρόμενος καὶ μὴ καταφρονῶν τῶν μικρῶν καὶ παρερχομένων ὑπὲρ τῶν μεγάλων καὶ διαιωνιζόντων, ὁ καὶ αὐτοῦ τοῦ Θεοῦ ἀκούων

---

27. Ἰερ. 7, 17-18.

τὸ ἀντίθετον· ἂν δὲν φροντίζῃ καθόλου διὰ τὰ σφάλματά του πρὸς ἐσέ, ἀλλὰ φροντίζῃ διὰ τὰ σφάλματά του πρὸς τοὺς συνδούλους του, δὲν θὰ τὸν τιμωρήσῃς περισσότερον; Ἔτσι κάνει καὶ ὁ Θεός· ὅταν μὲν ἀδιαφορῶμεν διὰ τὴν ὀργήν του, ὀργίζεται περισσότερον· ὅταν δὲ φροντίζωμεν, ἡ ὀργή του εἶναι ἠπιωτέρα, καὶ μᾶλλον οὔτε κἂν ὀργίζεται πλέον. Θέλει δηλαδὴ ἐμεῖς οἱ ἴδιοι νὰ ζητῶμεν τὴν τιμωρίαν τῶν ἁμαρτημάτων μας καὶ δὲν τὴν ἀπαιτεῖ πλέον ὁ ἴδιος. Διὰ τοῦτο δηλαδὴ καὶ μᾶς ἀπειλεῖ μὲ τιμωρίαν, διὰ νὰ ἐξαφανίσῃ τὴν ἀδιαφορίαν μὲ τὸν φόβον· ὅταν δὲ φοβηθῶμεν καὶ μόνον ἀπὸ τὴν ἀπειλήν, δὲν μᾶς ἀφήνει νὰ δοκιμάσωμεν τὴν τιμωρίαν. Κοίταξε λοιπὸν πρὸς τὸν Ἰερεμίαν τί λέγει· «Δὲν βλέπεις τί κάνουν αὐτοί; Οἱ πατέρες αὐτῶν καίουν πῦρ, οἱ υἱοὶ αὐτῶν συγκεντρώνουν ξύλα, οἱ γυναῖκες αὐτῶν ζυμώνουν ζύμην»[27]. Νὰ φοβώμεθα μήπως καὶ διὰ μᾶς λεχθῇ κάτι τέτοιο.

Δὲν βλέπεις τί κάνουν αὐτοί; Οὐδεὶς ἐπιζητεῖ τὰ τοῦ Χριστοῦ, ἀλλὰ ὅλοι ἐπιζητοῦν τὰ ἰδικά των. Οἱ υἱοί των τρέχουν εἰς ἀσελγείας, οἱ πατέρες των εἰς πλεονεξίαν καὶ ἁρπαγήν, αἱ γυναῖκες των ὄχι μόνον δὲν συγκρατοῦν ἀλλ' ἀντιθέτως προκαλοῦν τοὺς ἄνδρας των εἰς τὰς ἐντυπωσιακὰς βιωτικὰς ἐνασχολήσεις. Στάσου λοιπὸν εἰς τὴν ἀγοράν· ἐρώτησε αὐτοὺς ποὺ φεύγουν καὶ ἔρχονται, καὶ κανένα δὲν θὰ ἰδῇς νὰ φροντίζῃ διὰ πνευματικὸν θέμα, ἀλλὰ ὅλοι νὰ τρέχουν διὰ τὰ σαρκικά. Μέχρι πότε δὲν θὰ συνέλθωμεν; μέχρι πότε θὰ εὑρισκώμεθα εἰς ὕπνον βαθύν; δὲν ἐχορτάσαμεν τὰ κακά; Καὶ ὅμως καὶ χωρὶς λόγους ἀρκεῖ καὶ μόνη ἡ πεῖρα τῶν πραγμάτων νὰ μᾶς διδάξῃ διὰ τὴν ματαιότητα καὶ τὴν καθολικὴν ἀθλιότητα τῶν παρόντων. Ἄνθρωποι λοιπὸν ποὺ ἐκαλλιέργουν τὴν ἀνθρωπίνην σοφίαν καὶ δὲν ἐγνώριζον τίποτε ἀπὸ τὰ μέλλοντα, ἐπειδὴ κατενόησαν τὴν πολλὴν εὐτέλειαν τῶν παρόντων πραγμάτων, διὰ τοῦτο καὶ μόνον ἀπέστησαν.

Πῶς λοιπὸν σὺ θὰ συγχωρηθῇς, ἀφοῦ σύρεσαι κάτω καὶ δὲν καταφρονεῖς τὰ μικρὰ καὶ παρέρχεσαι τὰ μεγάλα καὶ αἰώνια, σὺ ποὺ ἀκούεις τὸν ἴδιον τὸν Θεὸν νὰ σοῦ δεικνύῃ αὐτὰ καὶ νὰ σοῦ τὰ

ταῦτά σοι δεικνύντος καὶ ἐκκαλύπτοντος καὶ ἐπαγγελίας τοιαύτας παρ' αὐτοῦ ἔχων; Ὅτι γὰρ οὐχ ἱκανὰ ταῦτα κατασχεῖν, ἔδειξαν οἱ καὶ χωρὶς ἐπαγγελίας τῶν μειζόντων ἀπεχόμενοι τούτων. Ποῖον γὰρ πλοῦτον προσδοκήσαντες ἐπὶ πενίαν ἦλθον; Οὐδένα· ἀλλ' ἀπὸ τοῦ σφόδρα εἰδέναι ὅτι ἡ τοιαύτη πενία πλούτου κρείττων ἐστί. Ποίαν ζωὴν ἐλπίσαντες ἀφῆκαν τρυφὴν καὶ σκληραγωγίᾳ ἔδωκαν ἑαυτούς; Οὐδεμίαν· ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν φύσιν μαθόντες καὶ συνειδότες ὅτι τοῦτο μᾶλλον ἐπιτηδειότερον καὶ πρὸς ψυχῆς φιλοσοφίαν καὶ πρὸς σώματος ὑγείαν.

Ταῦτ' οὖν ἡμεῖς ἀναλογιζόμενοι καὶ τὰ μέλλοντα ἀγαθὰ συνεχῶς ἐν ἑαυτοῖς στρέφοντες ἀποστῶμεν τῶν παρόντων, ἵνα τύχωμεν ἐκείνων τῶν μελλόντων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

28. Βλ. σχόλιον ἀρ. 18 Β' λόγου τοῦ παρόντος.

ἀποκαλύπτῃ καὶ ἐνῷ ἔχεις τέτοιας ὑποσχέσεις ἀπὸ αὐτόν; ὅτι βεβαίως αὐτὰ δὲν εἶναι ἱκανὰ νὰ ἱκανοποιήσουν τὸ ἔδειξαν αὐτοὶ ποὺ ἀπέχουν ἀπὸ αὐτὰ καὶ χωρὶς νὰ τοὺς ἔχουν δοθῆ ἀπὸ ἄλλου ὑποσχέσεις διὰ ἀνώτερα. Ποῖον δηλαδὴ πλοῦτον ἀνέμενον καὶ ἦλθον εἰς τὴν πτωχείαν; Κανένα, ἀλλὰ διότι ἐγνώριζον πολὺ καλῶς ὅτι ἡ πενία αὐτοῦ τοῦ εἴδους εἶναι ἀνωτέρα ἀπὸ τὸν πλοῦτον. Ποίαν ζωὴν ἤλπισαν καὶ ἄφησαν τὴν ἄνετον ζωὴν καὶ παρεδόθησαν εἰς τὴν σκληραγωγίαν; Οὐδεμίαν, ἀλλὰ διότι κατενόησαν τὴν ἰδίαν τὴν φύσιν τῶν πραγμάτων καὶ ἀνεγνώρισαν ὅτι τοῦτο εἶναι πολὺ καταλληλότερον καὶ διὰ τὴν φιλοσοφίαν[28] τῆς ψυχῆς καὶ διὰ τὴν ὑγείαν τοῦ σώματος.

Αὐτὰ λοιπὸν ἐμεῖς ἔχοντες εἰς τὸν νοῦν μας καὶ ἐνθυμούμενοι συνεχῶς τὰ μέλλοντα ἀγαθὰ ἂς ἀποχωρισθῶμεν ἀπὸ τὰ παρόντα, διὰ νὰ λάβωμεν ἐκεῖνα τὰ μέλλοντα μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμὴ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Θ.
Α΄ Κορ. 3,12-17

«Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην· ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. Εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός».

1. Οὐ μικρὸν ἡμῖν τοῦτο τὸ προκείμενον ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων, καὶ ὧν ἅπαντες ζητοῦσιν ἄνθρωποι, εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ. Ὅτι μὲν γὰρ οὐκ ἔχει, ὁ Χριστὸς ἀπεφήνατο λέγων· «Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει». Καὶ οἶδα μὲν ὅτι ναρκᾶτε ταῦτα ἀκούοντες· ἀλλὰ τί πάθω; Καὶ γὰρ ὁ Θεὸς κελεύει ταῦτα συνεχῶς ἐνηχεῖν, λέγων· «Διάστειλαι τῷ λαῷ τούτῳ»· καὶ ἡμεῖς εἰς διακονίαν λόγου τετάγμεθα, καὶ ἀνάγκη φορτικὸν εἶναι τοῖς ἀκροαταῖς, οὐχ ἑκόντα, ἀλλ' ἀναγκαζόμενον. Μᾶλλον δέ, εἰ βούλεσθε, οὐκ ἐσόμεθα φορτικοί· «Ἂν», γάρ φησί, «ποιῇς τὸ ἀγαθόν, μὴ φοβοῦ». Ὥστε ἔξεστιν ὑμῖν μὴ μόνον μὴ μετὰ ἀπεχθείας ἀλλὰ καὶ μετὰ ἡδονῆς ἡμῶν ἀκούειν.

Ὅτι μὲν οὖν οὐκ ἔχει τέλος, καὶ ὁ Χριστὸς ἀπεφήνατο· καὶ ὁ Παῦλος δέ φησι, δεικνὺς ἀθάνατον τὴν κόλασιν, ὅτι οἱ ἁμαρτάνοντες δίκην τίσουσιν ὄλεθρον αἰώνιον· καὶ πάλιν, «Μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε μοιχοὶ οὔτε μαλακοὶ βασιλείαν Θεοῦ κληρονομήσουσι»· καὶ Ἑβραίοις δὲ

1. Α΄ Κορ. 3,12-15.
2. Μάρκ. 9,44.
3. Ἐξ. 19,10.

ΛΟΓΟΣ Θ'
Α' Κορ. 3, 12-17

«Ἐὰν κανεὶς κτίζῃ ἐπάνω εἰς τὸ θεμέλιον τοῦτο χρυσόν, ἄργυρον, πολυτίμους λίθους, ξύλα, χόρτον, καλάμια, τὸ ἔργον καθενὸς θὰ γίνῃ φανερόν· ἡ ἡμέρα θὰ τὸ φανερώσῃ, διότι ἐκείνη ἡ ἡμέρα ἀποκαλύπτεται μὲ φωτιὰν καὶ ἡ φωτιὰ θὰ δοκιμάσῃ τὸ ἔργον τοῦ καθενὸς τί εἴδους ἔργον εἶναι. Ἐὰν κάποιου τὸ ἔργον, ποὺ ἔκτισε, μένῃ, θὰ λάβῃ μισθόν· ἐὰν κάποιου τὸ ἔργον καῇ, θὰ ὑποστῇ ζημίας, ὁ ἴδιος βέβαια θὰ σωθῇ, ἀλλὰ ἔτσι ὅπως σώζεται κανεὶς ἀπὸ φωτιάν»[1].

1. Τοῦτο ἐδῶ τὸ ζήτημα, ποὺ θίγεται τώρα, δὲν μᾶς εἶναι δευτερεῦον, ἀλλὰ ἀναφέρεται εἰς τὰ πλέον ἀναγκαῖα καὶ εἰς αὐτά, τὰ ὁποῖα ὅλοι οἱ ἄνθρωποι ζητοῦν νὰ μάθουν, δηλαδὴ ἐὰν ἔχῃ τέλος τὸ πῦρ τῆς κολάσεως. Τὸ ὅτι δὲν ἔχει ὁ Χριστὸς τὸ κατέστησε σαφὲς λέγων· «τὸ πῦρ αὐτῶν δὲν θὰ σβησθῇ καὶ ὁ σκώληξ αὐτῶν δὲν θὰ ἀποθάνῃ»[2]. Καὶ γνωρίζω μὲν ὅτι παραλύετε, ὅταν ἀκούητε αὐτά, ἀλλὰ τί νὰ κάνω; καθ' ὅσον μάλιστα ὁ Θεὸς παραγγέλλει αὐτὰ συνεχῶς νὰ ἀντηχοῦν, λέγων· «Δῶσε αὐτὰς τὰς ἐντολὰς εἰς αὐτὸν τὸν λαόν»[3]· καὶ ἐγὼ ἔχω ταχθῇ εἰς τὴν διακονίαν τοῦ λόγου καὶ κατὰ συνέπειαν εἶναι ἀνάγκη νὰ εἶμαι ἐνοχλητικὸς εἰς τοὺς ἀκροατὰς χωρὶς νὰ τὸ θέλω, ἀλλὰ διότι ἀναγκάζομαι. Μᾶλλον δέ, ἐὰν θέλετε, δὲν θὰ εἶμαι ἐνοχλητικός· διότι λέγει· «Ἂν κάμνῃς τὸ ἀγαθόν, μὴ φοβῆσαι»[4]. Ὥστε εἶναι δυνατὸν ὄχι μόνον νὰ μὴ μὲ ἀκούητε μὲ ἀπέχθειαν, ἀλλὰ καὶ μὲ εὐχαρίστησιν.

Τὸ ὅτι λοιπὸν δὲν ἔχει τέλος τὸ πῦρ τῆς κολάσεως, καὶ ὁ Χριστὸς τὸ ἐφανέρωσεν· καὶ ὁ Παῦλος ἐπίσης, δεικνύων ὅτι ἡ κόλασις εἶναι αἰώνιος, λέγει ὅτι οἱ ἁμαρτωλοὶ θὰ τιμωρηθοῦν μὲ αἰώνιον ὄλεθρον[5]· καὶ πάλιν· «Μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε μοιχοὶ οὔτε θηλυπρεπεῖς θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ»[6]. Καὶ

4. Ρωμ. 13,3.
5. Β' Θεσσ. 1,9.
. Α' Κορ. 6,9-10.

ἔλεγεν, «Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Καὶ ὁ Χριστὸς δὲ τοῖς εἰρηκόσιν, «Ἐν τῷ ὀνόματί σου δυνάμεις πολλὰς ἐποιήσαμεν», φησί· «Πορεύεσθε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν». Καὶ αἱ παρθένοι δὲ ἀποκλεισθεῖσαι οὐκέτι εἰσῆλθον· καὶ περὶ τῶν μὴ θρεψάντων δὲ ἀποκλεισθεῖσαι οὐκέτι εἰσῆλθον· καὶ περὶ τῶν μὴ θρεψάντων δὲ αὐτόν φησιν ὅτι ἀπελεύσονται εἰς κόλασιν αἰώνιον.

Καὶ μή μοι λέγε, ποῦ ὁ τοῦ δικαίου διαφυλάττεται λόγος, εἰ μὴ ἔχει τέλος ἡ κόλασις; Ὅταν γὰρ ὁ Θεὸς ἐργάζηταί τι, πείθου ταῖς ἀποφάσεσι καὶ μὴ ὑπόβαλλε λογισμοῖς ἀνθρωπίνοις τὰ λεγόμενα. Ἄλλως δέ, πῶς οὐκ ἂν εἴη δίκαιον τὸν μυρία παθόντα ἐξ ἀρχῆς ἀγαθά, εἶτα κολάσεως ἄξια πράξαντα καὶ μήτε ἀπειλῇ μήτε εὐεργεσίᾳ γενόμενον βελτίω κολάζεσθαι; Εἰ γὰρ τὸ δίκαιον ἐξετάζοις, ἐξ ἀρχῆς ἡμᾶς εὐθέως ἐχρῆν ἀπολέσθαι κατὰ τὸν τοῦ δικαίου λόγον· μᾶλλον δὲ οὐδὲ τότε κατὰ τὸν τοῦ δικαίου λόγον μόνον. Καὶ γὰρ καὶ φιλανθρωπίαν εἶχεν, εἰ καὶ τοῦτο ἐπάθομεν, τὸ γινόμενον. Ὅταν μὲν γάρ τις τὸν μηδὲν ἠδικηκότα ὑβρίζῃ, κατὰ τὸν τοῦ δικαίου λόγον δίδωσι δίκην· ὅταν δέ τις τὸν εὐεργέτην, τὸν οὐδὲν προπαθόντα αἴτιον καὶ Θεὸν ὄντα καὶ ψυχὴν ἐμπνεύσαντα καὶ μυρία χαρισάμενον καὶ εἰς οὐρανὸν βουληθέντα ἀναγαγεῖν, εἶτα τοῦτον μετὰ τοσαύτας εὐεργεσίας μὴ μόνον ὑβρίζῃ, ἀλλὰ καὶ καθ' ἡμέραν ὑβρίζῃ δι' ὧν ποιεῖ, ποίας ἄξιος ἔσται συγγνώμης; Οὐχ ὁρᾷς πῶς τὸν Ἀδὰμ ἐκόλασε διὰ μίαν ἁμαρτίαν;

Ναί, φησί· παράδεισον γὰρ ἔδωκεν ἐκείνῳ, καὶ πολλῆς εὐνοίας ἀπολαῦσαι ἐποίησε. Καίτοιγε οὐκ ἔστιν ἴσον ἀδείας ἀπολαύοντα ἁμαρτάνειν καὶ ἐν θλίψει καθεστῶτα πολλῇ. Καὶ γὰρ τὸν δεινὸν τοῦτό ἐστιν, ὅτι οὐδὲ ἐν παραδείσῳ ὢν ἁμαρτάνεις ἀλλ' ἐν τοῖς μυρίοις τοῦ παρόντος βίου κακοῖς, καὶ οὐδὲ τῇ ταλαιπωρίᾳ σωφρονέστερος

7. Ἑβρ. 12.14.
8. Ματθ. 7,22-23.
9. Ματθ. 25,46.

πρὸς τοὺς Ἑβραίους ἐξ ἄλλου ἔλεγεν· «Νὰ ἐπιδιώκετε τὴν εἰρήνην μὲ ὅλους καὶ τὸν ἁγιασμόν, χωρὶς τὸν ὁποῖον κανεὶς δὲν θὰ ἴδῃ τὸν Κύριον»[7]. Ἐξ ἄλλου καὶ ὁ Χριστὸς εἰς ἐκείνους ποὺ τοῦ λέγουν· «Εἰς τὸ ὄνομά σου ἐκάμαμεν πολλὰ θαύματα», ἀπαντᾷ· «Φύγετε μακριά μου σεῖς ποὺ κάμνετε ἄνομα ἔργα· δὲν σᾶς γνωρίζω»[8]. Καὶ αἱ παρθένοι, ποὺ ἀπεκλείσθησαν, δὲν εἰσῆλθον ποτὲ πλέον, καὶ δι' ὅσους δὲν τοῦ ἔδωσαν τροφὴν λέγει ὅτι θὰ ὁδηγηθοῦν εἰς κόλασιν αἰώνιον[9].

Καὶ μὴ μὲ ἐρωτᾷς ποῦ ἰσχύει ἡ δικαιοσύνη, ἐὰν ἡ κόλασις δὲν ἔχῃ τέλος· διότι, ὅταν ὁ Θεὸς κάνῃ κάτι, νὰ ὑπακούῃς εἰς τὰς ἀποφάσεις καὶ μὴ ἐξετάζῃς μὲ τὴν ἀνθρωπίνην λογικὴν τὰ λεγόμενα. Ἄλλωστε πῶς δὲν θὰ ἦτο δίκαιον νὰ τιμωρῆται αὐτός, ὁ ὁποῖος, ἐνῷ ἀπὸ τὴν ἀρχὴν ἐδέχθη μυρίας εὐεργεσίας, ἔπραξε κατόπιν ἄξια κολάσεως, καὶ δὲν ἔγινε καλύτερος οὔτε μὲ ἀπειλὴν οὔτε μὲ εὐεργεσίαν; Ἐὰν δηλαδὴ ἐξετάζῃς τὸ δίκαιον τοῦ πράγματος, ἔπρεπεν ἐξ ἀρχῆς καὶ κατ' εὐθεῖαν νὰ ἀπολεσθῶμεν συμφώνως πρὸς τὴν ἔννοιαν τῆς δικαιοσύνης· μᾶλλον δὲ οὔτε τότε μόνον συμφώνως πρὸς τὰς ἀπαιτήσεις τῆς δικαιοσύνης· καθ' ὅσον καὶ ἂν ἀκόμη εἴχομεν πάθει τοῦτο, τὸ γεγονὸς αὐτὸ θὰ ἐδείκνυε καὶ φιλανθρωπίαν. Ὅταν δηλαδὴ κάποιος ὑβρίζῃ ἕνα, ὁ ὁποῖος καθόλου δὲν τὸν ἠδίκησε, τιμωρεῖται συμφώνως πρὸς τὴν δικαιοσύνην· ὅταν ὅμως κάποιος τὸν εὐεργέτην, ὁ ὁποῖος δὲν τοῦ ἔκανε μὲν προηγουμένως κανένα κακόν, ἀντιθέτως τοῦ ἔκανεν ἄπειρα καλά, αὐτὸν ποὺ καὶ τὴν ζωὴν τοῦ ἔδωσε καὶ Θεός του εἶναι καὶ τοῦ ἔδωσε ψυχὴν καὶ τοῦ ἐχάρισε μύρια καί, ἐφ' ὅσον θὰ θελήσῃ, καὶ εἰς τὸν οὐρανὸν θὰ τὸν ἀναβιβάσῃ, ὅταν μετὰ ἀπὸ τόσας εὐεργεσίας αὐτὸν τὸν εὐεργέτην ὄχι μόνον ἁπλῶς τὸν ὑβρίζῃ, ἀλλὰ καὶ καθημερινῶς τὸν ὑβρίζῃ μὲ τὰς πράξεις του, ποίας συγγνώμης θὰ εἶναι ἄξιος; Δὲν βλέπεις πῶς ἐτιμώρησε τὸν Ἀδὰμ διὰ μίαν ἁμαρτίαν;

Ναί, λέγει· διότι ἔδωσεν εἰς ἐκεῖνον παράδεισον καὶ τὸν ἔκανε νὰ ἀπολαύσῃ πολλῆς εὐνοίας του. Καὶ βεβαίως τὸ νὰ ἁμαρτάνῃ κάποιος, ἐνῷ ἔχει πλήρη ἀσφάλειαν, δὲν εἶναι ἴσον μὲ τὸ νὰ ἁμαρτάνῃ εὑρισκόμενος εἰς πολλὴν θλῖψιν. Τὸ φοβερὸν δηλαδὴ εἶναι τοῦτο, ὅτι δὲν ἁμαρτάνεις εὑρισκόμενος εἰς τὸν παράδεισον, ἀλλὰ εἰς τὰς ἀπείρους δυσκολίας τοῦ παρόντος βίου, καὶ ὅμως δὲν γίνεσαι σωφρονέστερος· ὁμοιάζεις μὲ κάποιον ποὺ εἶναι δεμένος μὲ

γίνῃ· ὥσπερ ἂν εἴ τις δεδεμένος χρῷτο τῇ πονηρίᾳ. Σοὶ δὲ καὶ παραδείσου μείζονα ἐπηγγείλατο· καὶ οὔτε ἔδωκεν ἤδη, ἵνα μή σε διαχέῃ ἐν τῷ καιρῷ τῶν ἀγώνων, οὔτε ἐσίγησεν, ἵνα μή σε καταβάλῃ τοῖς πόνοις. Κἀκεῖνος μὲν μίαν ἁμαρτίαν ἁμαρτὼν θάνατον ὁλόκληρον ἐπεσπάσατο, ἡμεῖς δὲ μυρία καθ' ἑκάστην ἡμέραν πλημμελοῦμεν. Εἰ δὲ μίαν ἐργασάμενος ἐκεῖνος τοσοῦτον ἐπεσπάσατο κακὸν καὶ θάνατον εἰσήνεγκεν, οἱ διηνεκῶς ἐν ἁμαρτήμασι ζῶντες τί οὐ πεισόμεθα, οἱ ἀντὶ παραδείσου τὸν οὐρανὸν προσδοκῶντες;

Φορτικὸς ὁ λόγος καὶ λυπεῖ τὸν ἀκροατήν· καὶ ἐξ ὧν αὐτὸς πάσχω, τοῦτο οἶδα· καὶ γὰρ ἡ καρδία μου ταράττεται καὶ πάλλει· καὶ ὅσῳ ἂν ἴδω κατασκευαζόμενον τὸν τῆς γεέννης λόγον, τοσούτῳ μᾶλλον τρέμω καὶ διαλύομαι τῷ δέει. Ἀλλ' ἀνάγκη ταῦτα λέγειν, ἵνα μὴ περιπέσωμεν τῇ γεέννῃ. Οὐκ ἔλαβες σὺ παράδεισον οὐδὲ ξύλα καὶ φυτά, ἀλλ' οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά. Εἰ δὲ ὁ ἐλάττω λαβὼν κατεδικάσθη, καὶ οὐδεὶς αὐτὸν ἐξείλατο λόγος, πολλῷ μᾶλλον ἡμεῖς οἱ πλείονα ἁμαρτάνοντες καὶ ἐπὶ μείζονι κεκλημένοι τὰ ἀνήκεστα ὑπομενοῦμεν. Ἐννόησον γοῦν πόσον χρόνον ἐν τῷ θανάτῳ μένει διὰ μίαν ἁμαρτίαν τὸ γένος τὸ ἡμέτερον. Πεντακισχίλια ἔτη καὶ πλείω παρῆλθε, καὶ ὁ θάνατος οὐδέπω λέλυται διὰ μίαν ἁμαρτίαν. Καὶ οὐδὲ ἔχομεν εἰπεῖν ὅτι προφητῶν ἤκουσεν ὁ Ἀδάμ, ὅτι ἐπὶ ἁμαρτήμασιν ἑτέρους κολαζομένους εἶδε, καὶ φοβηθῆναι ἐντεῦθεν αὐτὸς εἰκὸς ἦν τότε καὶ μόνος, ἀλλ' ὅμως ἐτιμωρεῖτο.

Σὺ δὲ οὐδὲν ἂν ἔχοις τούτων προβάλλεσθαι, ὁ μετὰ τοσαῦτα παραδείγματα γενόμενος χείρων, ὁ σοτούτου καταξιωθεὶς Πνεύματος, καὶ οὐ μίαν οὐδὲ δύο καὶ τρεῖς, ἀλλὰ μυρίας ἐφελκόμενος ἁμαρτίας. Μὴ γάρ, ὅτι ἐν ῥοπῇ βραχείᾳ τὰ ἁμαρτήματα γίνεται, τοῦτο σκόπει καὶ διὰ τοῦτο καὶ τὴν κόλασιν ῥοπῆς εἶναι νόμιζε. Οὐχ ὁρᾷς τοὺς ἀνθρώπους, οἱ πολλάκις ὑπὲρ μιᾶς κλοπῆς καὶ μιᾶς μοι-

τὴν πονηρίαν καὶ ζῇ ἀναγκαστικῶς μὲ αὐτήν. Καὶ ὅμως σοῦ ὑπεσχέθη ἀνώτερα καὶ ἀπὸ τὸν παράδεισον· καὶ δὲν σοῦ τὰ ἔδωσεν ἀκόμη, διὰ νὰ μὴ μειώσῃ τὴν δύναμίν σου εἰς τὸν καιρὸν τῶν ἀγώνων, οὔτε τὰ ἀπεσιώπησεν, διὰ νὰ μὴ καταβληθῇς ἀπὸ τοὺς κόπους. Καὶ ὁ μὲν Ἀδὰμ ἔκανε μίαν ἁμαρτίαν καὶ προεκάλεσεν ὁλόκληρον τὸν θάνατόν του, ἐμεῖς ὅμως καθημερινῶς κάμνομεν ἄπειρα πλημμελήματα. Ἐὰν δὲ ἐκεῖνος, ποὺ ἔκανε μίαν ἁμαρτίαν, ἐπέσυρε τόσον μέγα κακὸν καὶ εἰσήγαγεν εἰς τὸν κόσμον τὸν θάνατον τί δὲν θὰ πάθωμεν ἐμεῖς ποὺ ζῶμεν συνεχῶς εἰς τὴν ἁμαρτίαν, καὶ ποὺ προσδοκῶμεν ἀντὶ τοῦ παραδείσου τὸν οὐρανόν;

Εἶναι ἐνοχλητικὸς ὁ λόγος καὶ λυπεῖ τὸν ἀκροατήν· καὶ γνωρίζω τοῦτο ἀπὸ ὅ,τι παθαίνω ἐγὼ ὁ ἴδιος· ἡ καρδία μου δηλαδὴ ταράσσεται καὶ πάλλει καὶ ὅσον ἀκούω νὰ γίνεται λόγος διὰ τὴν κόλασιν τόσον περισσότερον τρέμω καὶ καταρρέω ἀπὸ τὸν φόβον. Ἀλλ' εἶναι ἀνάγκη νὰ τὰ λέγωμεν αὐτά, διὰ νὰ μὴ καταντήσωμεν εἰς τὴν κόλασιν. Σὺ δὲν ἔλαβες παράδεισον οὔτε ξύλα καὶ φυτά, ἀλλ' οὐρανὸν καὶ οὐράνια ἀγαθά. Καὶ ἐφ' ὅσον κατεδικάσθη ἐκεῖνος ποὺ ἔλαβεν ὀλιγώτερα καὶ δὲν τὸν ἔσωσε καμμία δικαιολογία, πολὺ περισσότερον θὰ ὑποστῶμεν ἀνεπανόρθωτα κακὰ ἐμεῖς, ποὺ διαπράττομεν περισσοτέρας ἁμαρτίας καὶ ἔχομεν κληθῆ διὰ ἀνώτερα. Σκέψου λοιπὸν πόσον χρόνον μένει τὸ γένος μας εἰς τὸν θάνατον ἐξ αἰτίας μιᾶς ἁμαρτίας. Ἔχουν περάσει περισσότερα ἀπὸ πέντε χιλιάδες ἔτη, καὶ ὅμως ὁ θάνατος ἐξ αἰτίας μιᾶς ἁμαρτίας δὲν ἔχει ἀκόμη καταργηθῆ. Καὶ οὔτε ἠμποροῦμεν νὰ εἴπωμεν ὅτι ὁ Ἀδὰμ ἤκουσε προφήτας, ὅτι εἶδεν ἄλλους νὰ τιμωρῶνται διὰ τὰ ἁμαρτήματά των, ὁπότε ἦτο φυσικὸν νὰ φοβηθῇ καὶ νὰ σωφρονισθῇ ἀπὸ αὐτὸ τὸ παράδειγμα τῶν ἄλλων· διότι τότε ἦτο πρῶτος καὶ μόνος, ἀλλ' ὅμως ἐτιμωρεῖτο.

Σὺ ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν θὰ ἠμποροῦσες νὰ προβάλλῃς ὡς δικαιολογίαν, σὺ ὁ ὁποῖος ἔγινες χειρότερος μετὰ ἀπὸ τόσα πολλὰ παραδείγματα, σὺ ὁ ὁποῖος κατηξιώθης τόσου Πνεύματος καὶ ὅμως φέρεις μαζί σου ὄχι μίαν οὔτε δύο καὶ τρεῖς, ἀλλὰ μυρίας ἁμαρτίας. Ἐπειδὴ δηλαδὴ τὰ ἁμαρτήματα γίνονται εἰς σύντομον στιγμήν, μὴ νομίζῃς διὰ τοῦτο ὅτι καὶ ἡ κόλασις διαρκεῖ μίαν στιγμήν. Δὲν βλέπεις τοὺς ἀνθρώπους, οἱ ὁποῖοι πολλάκις ἐξ αἰτίας μιᾶς κλοπῆς καὶ μιᾶς μοιχείας, ποὺ συνέβη εἰς μίαν σύντομον στιγμήν,

χείας ἐν μικρᾷ ῥοπῇ γινομένης ἐν δεσμωτηρίοις καὶ μετάλλοις ὁλόκληρον αὐτῶν τὸν βίον ἀνήλωσαν λιμῷ διηνεκεῖ καὶ μυρίοις παλαίοντες θανάτοις; καὶ οὐδεὶς αὐτοὺς ἐξείλετο, οὐδὲ εἶπεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ ἁμάρτημα γέγονε, δεῖ καὶ τὴν κόλασιν ἀντίρροπον τῇ ἁμαρτίᾳ καὶ τὸν χρόνον ἔχειν.

2. Ἀλλ' ἄνθρωποι, φησίν, εἰσὶν οἱ ταῦτα ποιοῦντες, ὁ δὲ Θεὸς φιλάνθρωπός ἐστι. Πρῶτον μὲν οὖν οὐδὲ ἄνθρωποι ὠμότητι ταῦτα πράττουσιν, ἀλλὰ φιλανθρωπίᾳ· καὶ ὁ Θεὸς δέ, ὥσπερ ἐστὶ φιλάνθρωπος, οὕτω καὶ ἐπεξέρχεται· «Κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ πολὺς καὶ ὁ ἔλεγχος αὐτοῦ». Ὅταν οὖν εἴπῃς φιλάνθρωπον τὸν Θεόν, τότε μείζονά μοι λέγεις τῆς κολάσεως τὴν ἀφορμήν, ὅτι εἰς τοιοῦτον ἁμαρτάνομεν. Διὸ καὶ Παῦλος ἔλεγε, «Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος». Ἀνάσχεσθε, παρακαλῶ, τῆς πυρᾶς τῶν ῥημάτων· ἴσως γάρ, ἴσως ἔσται τις ὑμῖν ἐντεῦθεν παραμυθία. Τίς ἀνθρώπων δύναται κολάσαι οὕτως, ὡς ἐκόλασεν ὁ Θεός, κατακλυσμὸν ποιήσας καὶ πανωλεθρίαν τοσούτου γένους καὶ μετὰ μικρὸν πάλιν πῦρ ἄνωθεν βρέξας καὶ πάντας ἄρδην ἀφανίσας; ποία ἀνθρώπων τιμωρία δύναται εἶναι τοιαύτη; Οὐχ ὁρᾷς ἀθάνατον σχεδὸν καὶ τὴν ἐντεῦθεν κόλασιν οὖσαν; Τετρακισχίλια ἔτη παρῆλθε, καὶ ἡ τιμωρία μένει τῶν Σοδομιτῶν ἀκμάζουσα. Ὥσπερ γὰρ ἡ φιλανθρωπία αὐτοῦ μεγάλη, οὕτω καὶ ἡ κόλασις.

Καὶ γὰρ εἰ μὲν φορτικά τινα ἐπέταξε καὶ ἀδύνατα, ἴσως ἄν τις εἶχε τὴν δυσκολίαν προβάλλεσθαι τῶν νόμων· εἰ δὲ σφόδρα ῥᾷστα, τί ἂν ἔχοιμεν εἰπεῖν μηδὲ τούτων ποιούμενοι λόγον; Νηστεῦσαι οὐ δύνασαι οὐδὲ παρθενίαν ἀσκῆσαι; Καίτοιγε δύνασαι, ἐὰν θέλῃς, καὶ κατηγοροῦσιν ἡμῶν οἱ δυνηθέντες· ἀλλ' ὅμως οὐκ ἐχρήσατο ταύτῃ πρὸς ἡμᾶς ὁ Θεὸς τῇ ἀκριβείᾳ οὐδὲ ἐπέταξε ταῦτα οὐδὲ ἐνο-

---

10. Οἱ βαρυποινῖται, ὅπως καὶ οἱ δοῦλοι, ἐχρησιμοποιοῦντο εὐρύτατα εἰς τὴν ἐκμετάλλευσιν τῶν μεταλλείων κατὰ τὴν Ἀρχαιότητα καὶ τὴν βυζαντινὴν ἐποχήν.

11. Σοφ. Σειρ. 16,12.

12. Ἑβρ. 10,31.

ἐδαπάνησαν ὁλόκληρον τὸν βίον των εἰς δεσμωτήρια καὶ μεταλλεῖα[10] παλαίοντες μὲ συνεχῆ πεῖναν καὶ μυρίους θανάτους; καὶ κανεὶς δὲν τοὺς ἔσωσεν, οὔτε εἶπεν ὅτι, ἐπειδὴ τὸ ἁμάρτημα συνέβη εἰς σύντομον χρονικὸν διάστημα, πρέπει καὶ ἡ τιμωρία τῆς ἁμαρτίας νὰ εἶναι ἰσοδύναμος καὶ νὰ διαρκῇ ἴσον χρόνον.

2. Ἀλλά, θὰ ἔλεγε κάποιος, αὐτοὶ ποὺ κάνουν αὐτὰ εἶναι ἄνθρωποι, ὁ Θεὸς ὅμως εἶναι φιλάνθρωπος. Πρῶτον μὲν οὔτε οἱ ἄνθρωποι βέβαια ἐπιβάλλουν αὐτὰς τὰς ποινὰς ἀπὸ ὠμότητα ἀλλὰ ἀπὸ φιλανθρωπίαν· καὶ ὁ Θεὸς ἐπίσης, ὅπως εἶναι φιλάνθρωπος, ἔτσι καὶ τιμωρεῖ αὐστηρῶς· «Συμφώνως πρὸς τὴν πολλὴν εὐσπλαγχνίαν του θὰ εἶναι αὐστηρὸς καὶ ὁ ἔλεγχος αὐτοῦ»[11]. Ὅταν λοιπὸν λέγῃς ὅτι εἶναι φιλάνθρωπος ὁ Θεός, τότε εἶναι ὡσὰν νὰ μοῦ λέγῃς ὅτι εἶναι μεγαλυτέρα ἡ αἰτία τῆς τιμωρίας μας, διότι ἁμαρτάνομεν πρὸς ἕνα τέτοιον Θεόν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Εἶναι φοβερὸν νὰ πέσῃ κανεὶς εἰς τὰς χεῖρας τοῦ ζωντανοῦ Θεοῦ»[12]. Προσέξατε, σᾶς παρακαλῶ, τὴν πύρινον δύναμιν τῶν λόγων, διότι ἴσως ἀπὸ αὐτὸ νὰ ἔχετε κάποιαν παρηγορίαν. Ποῖος ἀπὸ τοὺς ἀνθρώπους δύναται νὰ τιμωρήσῃ τόσον αὐστηρῶς, ὅσον ἐτιμώρησεν ὁ Θεός, μὲ τὸ νὰ προκαλέσῃ κατακλυσμὸν καὶ τὴν πανωλεθρίαν τόσον πολλῶν ἀνθρώπων καὶ ἐν συνεχείᾳ μὲ τὸ νὰ βρέξῃ πῦρ καὶ νὰ ἐξαφανίσῃ τοὺς πάντας; ποία τιμωρία ἀνθρώπων δύναται νὰ εἶναι τέτοια; Δὲν βλέπεις ὅτι καὶ ἡ κόλασις ποὺ προῆλθεν ἀπὸ αὐτὴν τὴν αἰτίαν ὅτι εἶναι σχεδὸν ἀθάνατος; Ἔχουν παρέλθει τέσσαρες χιλιάδες ἔτη, καὶ ὅμως ἡ τιμωρία τῶν Σοδομιτῶν ἐξακολουθεῖ νὰ ἰσχύῃ. Ὅπως δηλαδὴ ἡ φιλανθρωπία του εἶναι μεγάλη, ἔτσι εἶναι μεγάλη καὶ ἡ τιμωρία.

Καὶ πράγματι· ἐὰν μὲν εἶχε παραγγείλει πράγματα βαρέα καὶ ἀδύνατα, ἴσως θὰ ἠμπόρουσε κάποιος νὰ προβάλλῃ τὴν δυσκολίαν τῶν νόμων· ἐφ' ὅσον ὅμως εἶναι πάρα πολὺ εὔκολα, τί θὰ ἠμπορούσαμεν νὰ προβάλωμεν ὡς δικαιολογίαν διὰ τὸ ὅτι δὲν κάμνομεν οὔτε καὶ αὐτά; Δὲν ἠμπορεῖς νὰ νηστεύσῃς οὔτε νὰ ἀσκήσῃς τὴν παρθενίαν; Ἂν καὶ βέβαια ἠμπορεῖς, ἐὰν θέλῃς, καὶ ὅσοι τὸ κατώρθωσαν μᾶς κατηγοροῦν· ἀλλ' ὅμως ὁ Θεὸς δὲν φέρεται πρὸς ἐμᾶς μὲ αὐτὴν τὴν ἀπαιτητικότητα οὔτε μᾶς διέταξεν ἢ μᾶς ἐνομοθέτη-

μοθέτησεν, ἀλλ' ἀφῆκεν εἶναι τὴν αἵρεσιν ἐν τῇ γνώμῃ τῶν ἀκουόντων· σωφρονεῖν δὲ ἐν γάμῳ δύνασαι καὶ μὴ μεθύειν δύνασαι. Χρήματα κενῶσαι οὐ δύνασαι πάντα; Καίτοιγε δύνασαι, καὶ δηλοῦσιν οἱ ἐργασάμενοι· ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐπέταξεν, ἀλλὰ μὴ ἁρπάζειν ἐκέλευσε καὶ ἐκ τῶν ὄντων τοῖς δεομένοις ἐπικουρεῖν. Εἰ δὲ λέγοι τις ὅτι οὐδὲ τῇ γυναικὶ μόνον ἀρκεσθῆναι δύναμαι, ἀπατᾷ ἑαυτὸν καὶ παραλογίζεται· καὶ κατηγοροῦσιν οἱ χωρὶς γυναικὸς σωφρονοῦντες. Τί δέ, εἰπέ μοι; μὴ λοιδορεῖσθαι οὐ δύνασαι, μὴ καταρᾶσθαι οὐ δύνασαι; Καὶ μὴν τὸ ταῦτα ποιεῖν φορτικόν, οὐ τὸ μὴ ποιεῖν. Ποίαν οὖν ἔχομεν ἀπολογίαν τὰ οὕτω κοῦφα καὶ εὔκολα μὴ φυλάττοντες; Οὐκ ἔστιν εἰπεῖν οὐδεμίαν. Ὅτι μὲν οὖν ἀθάνατος ἡ κόλασις ἐκ τῶν εἰρημένων ἁπάντων δῆλον· ἐπειδὴ δὲ δοκεῖ τισι τὸ τοῦ Παύλου ῥῆμα ἀντιπίπτειν, φέρε καὶ αὐτὸ καταμάθωμεν ἀγαγόντες εἰς μέσον.

Εἰπὼν γὰρ «Εἴ τινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται», ἐπήγαγεν· «Αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός». Τί οὖν ἂν εἴπομεν πρὸς τοῦτο; Σκοπήσωμεν πρότερον τίς ἐστιν ὁ θεμέλιος καὶ τίς ὁ χρυσὸς καὶ τίνες οἱ λίθοι οἱ τίμιοι καὶ τίς ὁ χόρτος καὶ τίς ἡ καλάμη. Τὸν μὲν οὖν θεμέλιον φανερῶς αὐτὸς ἐδήλωσε τὸν Χριστὸν εἰπών· «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον», φησίν, «ὅς ἐστι Χριστὸς Ἰησοῦς». Ἡ δὲ οἰκοδομὴ πράξεις ἐμοὶ δοκοῦσιν εἶναι. Καίτοιγέ τινές φασιν ὅτι καὶ αὐτὸ τοῦτο περὶ διδασκάλων εἴρηται καὶ μαθητῶν καὶ περὶ αἱρέσεων διεφθαρμένων· ἀλλ' ὁ λόγος οὐ παραδέχεται. Εἰ γὰρ τοῦτό ἐστι, πῶς τὸ μὲν ἔργον ἀπόλλυται, ὁ δὲ οἰκοδομῶν σωθήσεται κἂν διὰ πυρός; τὸν γὰρ αἴτιον μᾶλλον ἀπόλλυσθαι ἐχρῆν· νυνὶ δὲ εὑρεθήσεται πλείονα δίκην διδοὺς ὁ οἰκοδομηθείς. Εἰ μὲν γὰρ ὁ διδάσκαλος αἴτιος γέγονε τῆς κακίας, πλείονας ἄξιος δοῦναι δίκην· πῶς οὖν σωθήσεται; εἰ δ' οὐκ αἴτιος, ἀλλὰ παρὰ τὴν οἰκείαν

---

13. Α' Κορ. 3,11.

σεν αὐτά, ἀλλ' ἄφησε τὴν ἐκλογὴν νὰ ἀνήκῃ εἰς τὴν διάθεσιν αὐτῶν ποὺ ἀκούουν τὸν λόγον του· ἠμπορεῖς ὅμως νὰ εἶσαι σώφρων εἰς τὸν γάμον καὶ ἠμπορεῖς νὰ μὴ μεθύῃς. Δὲν ἠμπορεῖς νὰ χαρίσῃς ὅλα τὰ χρήματά σου; Ἂν καὶ βέβαια ἠμπορεῖς, καὶ τὸ μαρτυροῦν ὅσοι τὸ ἔκαναν· ἀλλ' ὅμως οὔτε τὸ ἐπέβαλεν αὐτό, ἀλλὰ παρήγγειλε νὰ μὴ εἴμεθα ἅρπαγες καὶ νὰ βοηθῶμεν ἐκ τῶν ὑπαρχόντων ὅσους ἔχουν ἀνάγκην. Καὶ ἂν κάποιος λέγῃ, ὅτι 'Δὲν ἠμπορῶ νὰ ἀρκεσθῶ εἰς τὴν γυναῖκά μου μόνον', ἐξαπατᾷ τὸν ἑαυτόν του καὶ παραλογίζεται, καὶ ἔχει κατηγόρους ἐκείνους ποὺ ζοῦν μὲ σωφροσύνην χωρὶς νὰ ἔχουν σχέσεις μὲ γυναῖκα. Εἰπέ μου λοιπόν· δὲν ἠμπορεῖς νὰ μὴ κακολογῇς; δὲν ἠμπορεῖς νὰ μὴ καταρᾶσαι; Καὶ ὅμως, τὸ νὰ κάμνῃ κανεὶς αὐτὰ εἶναι βαρύ, ὄχι τὸ νὰ μὴ τὰ κάμνῃ. Ποίαν λοιπὸν δικαιολογίαν ἔχομεν διὰ τὸ ὅτι δὲν τηροῦμεν αὐτά, ποὺ εἶναι τόσον ἐλαφρὰ καὶ εὔκολα; Καμμίαν δὲν ἠμποροῦμεν νὰ προβάλωμεν. Ἀπὸ ὅλα λοιπὸν ὅσα ἐλέχθησαν εἶναι φανερὸν ὅτι ἡ κόλασις εἶναι αἰώνιος· ἐπειδὴ ὅμως μερικοὶ νομίζουν ὅτι ὁ λόγος τοῦ Παύλου λέγει τὸ ἀντίθετον, ἐμπρός, ἀφοῦ φέρωμεν εἰς τὸ μέσον τὸ θέμα, ἂς τὸ ἐξετάσωμεν καὶ αὐτό.

Ἀφοῦ δηλαδὴ εἶπεν «Ἐὰν κάποιου τὸ ἔργον, ποὺ ἔκτισε, μένῃ, θὰ λάβῃ μισθόν· ἐὰν κάποιου τὸ ἔργον καῇ, θὰ ὑποστῇ ζημίας», προσέθεσεν· «ὁ ἴδιος ὅμως θὰ σωθῇ, ἀλλὰ ἔτσι ὅπως σώζεται κανεὶς ἀπὸ τὸ πῦρ». Τί θὰ ἠμπορούσαμεν λοιπὸν νὰ εἴπωμεν διὰ τοῦτο; Κατ' ἀρχὴν ἂς ἐξετάσωμεν ποῖον εἶναι τὸ θεμέλιον καὶ ποῖος ὁ χρυσός, ποῖοι οἱ πολύτιμοι λίθοι, ποία ἡ χόρτος καὶ ποία ἡ καλάμη. Τὸ μὲν θεμέλιον ὁ ἴδιος σαφῶς ἐδήλωσε ὅτι εἶναι ὁ Χριστὸς μὲ τὸ νὰ εἴπῃ «Κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ θέσῃ ἄλλο θεμέλιον ἐκτὸς ἐκείνου ποὺ ἔχει τεθῆ, τὸ ὁποῖον εἶναι ὁ Ἰησοῦς Χριστός»[13]. Ἡ δὲ οἰκοδομὴ νομίζω ὅτι εἶναι αἱ πράξεις. Ἂν καὶ βέβαια μερικοὶ λέγουν ὅτι καὶ αὐτὸ τὸ ἴδιον ἔχει λεχθῆ περὶ διδασκάλων καὶ μαθητῶν καὶ περὶ διεφθαρμένων αἱρέσεων, ἀλλ' ὁ λόγος αὐτὸς δὲν γίνεται δεκτός. Διότι, ἐὰν αὐτὸ εἶναι ἔτσι, πῶς τὸ μὲν ἔργον χάνεται, ὁ οἰκοδομῶν ὅμως θὰ σωθῇ, ἔστω καὶ ὡς διὰ πυρός; διότι ὁ αἴτιος μᾶλλον θὰ ἔπρεπε νὰ τιμωρηθῇ· τώρα ὅμως θὰ συμβῇ νὰ τιμωρῆται περισσότερον τὸ ἔργον τῆς οἰκοδομήσεως. Δηλαδή, ἐὰν μὲν ὁ διδάσκαλος ἔχῃ γίνει ὁ αἴτιος τοῦ κακοῦ, εἶναι ἄξιος νὰ τιμωρηθῇ αὐστηρῶς· πῶς λοιπὸν θὰ σωθῇ; ἐὰν δὲ δὲν εἶναι αἴτιος,

δυστροπίαν οἱ μαθηταὶ τοιοῦτοι γεγόνασιν, οὐδ' ὅλως ἄξιος δοῦναι δίκην, ἀλλ' οὐδὲ ζημίαν ὑποστῆναι ὁ καλῶς οἰκοδομήσας. Πῶς οὖν φησι, «ζημιωθήσεται»; Ὅθεν δῆλον ὅτι περὶ πράξεων ὁ λόγος.

Ἐπειδὴ γὰρ μέλλει λοιπὸν πρὸς τὸν πεπορνευκότα ἀποτείνεσθαι, ἄνωθεν καὶ πρὸ πολλοῦ καταβάλλεται τὰ προοίμια. Οἶδε γὰρ περὶ ἑτέρου διαλεγόμενος ἐν αὐτῇ τῇ περὶ ἑτέρου διαλέξει προκατασκευάζειν ἕτερον, ἐφ' ὃ μέλλει ἰέναι. Καὶ γὰρ ἐπιτιμῶν περὶ τοῦ μὴ ἀναμένειν ἑαυτοὺς τοῖς ἀρίστοις τὸν περὶ τῶν μυστηρίων κατεσκεύασε λόγον. Ὅτι δὲ καὶ νῦν πρὸς τὸν πεπορνευκότα ἐπείγεται, περὶ τοῦ θεμελίου εἰπὼν ἐπήγαγεν, «Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός». Ταῦτα δὲ ἔλεγεν ἤδη διασαλεύων τῷ φόβῳ τὴν ψυχὴν τοῦ πεπορνευκότος. «Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην». Μετὰ γὰρ τὴν πίστιν οἰκοδομῆς χρεία· διὸ καὶ ἀλλαχοῦ φησιν· «Οἰκοδομεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις». Καὶ γὰρ καὶ ὁ τεχνίτης καὶ ὁ μαθητὴς συνεισφέρουσιν ἐν τῇ οἰκοδομῇ· διὸ λέγει, «Ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ».

3. Εἰ δὲ περὶ πίστεως ταῦτα εἴρητο, λόγον οὐκ ἔχει τὸ λεγόμενον· ἐν γὰρ πίστει ἴσους πάντας εἶναι χρή, ἐπειδὴ μία πίστις· ἐν δὲ ἀρετῇ βίου οὐκ ἔνι πάντας εἶναι τοὺς αὐτούς. Πίστις μὲν γὰρ οὐκ ἔστιν ἡ μὲν ἐλάττων, ἡ δὲ βελτίων, ἀλλ' ἡ αὐτὴ πάντων τῶν ἀληθῶς πιστευόντων· ἐπὶ δὲ βίου ἔστι τοὺς μὲν σπουδαιοτέρους εἶναι, τοὺς δὲ ῥαθυμοτέρους· καὶ τοὺς μὲν ἀκριβεστέρους, τοὺς δὲ καταδεεστέρους· καὶ τοὺς μὲν τὰ μείζω, τοὺς δὲ ἐλάττω κατωρθωκέναι· καὶ τοὺς μὲν χαλεπώτερα, τοὺς δὲ καταδεέστερα πεπλημμεληκέναι. Διὰ τοῦτο εἶπε, «χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην».

---

14. αὐτ. 16-17.
15. αὐτ. 12.
16. Α' Θεσσ. 4,18 Πρβλ. αὐτ. 5,11.

ἀλλὰ παρὰ τὸν ἰδικόν του δύστροπον χαρακτῆρα οἱ μαθηταί του ἔχουν γίνει τέτοιοι, καθόλου δὲν εἶναι ἄξιος νὰ τιμωρηθῇ, ἀλλ' οὔτε καὶ νὰ ὑποστῇ καμμίαν ζημίαν αὐτὸς ποὺ ἔκανε καλὴν οἰκοδομήν. Πῶς λοιπὸν λέγει, «θὰ ὑποστῇ ζημίας»; Ἄρα εἶναι φανερὸν ὅτι ὁμιλεῖ περὶ πράξεων.

Ἐπειδὴ δηλαδὴ πρόκειται ἐν συνεχείᾳ νὰ στραφῇ πρὸς τὸν πόρνον, κάμνει ἕνα προοίμιον ἀρκετὰ πιὸ πρίν. Διότι γνωρίζει, καθὼς ὁμιλεῖ περὶ ἄλλου θέματος, νὰ προετοιμάζῃ δι' ἄλλο θέμα, διὰ τὸ ὁποῖον πρόκειται νὰ ὁμιλήσῃ· πράγματι λοιπόν, ἐπιτιμῶν τοὺς πιστοὺς διὰ τὸ ὅτι δὲν κρατοῦν τοὺς ἑαυτούς των εἰς τὰ ἄριστα προετοίμασε τὸν λόγον περὶ τῶν μυστηρίων. Ὅτι ἐπείγεται τώρα νὰ ἀσχοληθῇ μὲ τὸν πόρνον ἀποδεικνύεται ἀπὸ τὸ ὅτι, ἀφοῦ ὡμίλησε περὶ τοῦ θεμελίου, προσέθεσεν· «Δὲν γνωρίζετε ὅτι εἶσθε ναὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ μέσα σας; Ἐὰν κάποιος καταστρέφῃ τὸν ναὸν τοῦ Θεοῦ, θὰ τὸν καταστρέψῃ ὁ Θεός»[14]. Αὐτὰ δὲ τὰ ἔλεγε διαταράσσων ἀπὸ τὴν στιγμὴν αὐτὴν μὲ τὸν φόβον τὴν ψυχὴν τοῦ πόρνου. «Ἐὰν κάποιος κτίζῃ ἐπάνω εἰς τὸ θεμέλιον αὐτὸ χρυσόν, ἄργυρον, πολυτίμους λίθους, ξύλα, καλάμια»[15]. Δηλαδὴ μετὰ τὴν πίστιν χρειάζεται οἰκοδόμησις· διὰ τοῦτο καὶ ἀλλοῦ λέγει· «Νὰ οἰκοδομῆτε ὁ ἕνας τὸν ἄλλον μὲ αὐτοὺς τοὺς λόγους»[16]· καθ' ὅσον καὶ ὁ τεχνίτης καὶ ὁ μαθητευόμενος συνεισφέρουν εἰς τὴν οἰκοδόμησιν· διὰ τοῦτο λέγει· «Κάθε ἕνας νὰ προσέχῃ πῶς κτίζει».

3. Ἐὰν αὐτὰ εἶχον λεχθῇ περὶ πίστεως, δὲν θὰ ὑπῆρχε λόγος νὰ λεχθοῦν, διότι εἰς τὴν πίστιν πρέπει ὅλοι νὰ εἶναι ἴσοι, ἐπειδὴ μία εἶναι ἡ πίστις· εἰς τὴν ἀρετὴν τοῦ βίου ὅμως δὲν εἶναι δυνατὸν ὅλοι νὰ εἶναι ἴδιοι. Ἡ πίστις δηλαδὴ δὲν εἶναι δυνατὸν εἰς ἄλλον μὲν νὰ εἶναι μικροτέρα, εἰς ἄλλον δὲ καλυτέρα, ἀλλὰ εἶναι ἡ ἰδία εἰς ὅλους τοὺς ἀληθῶς πιστεύοντας· εἰς τὸν βίον ὅμως εἶναι δυνατὸν ἄλλοι μὲν νὰ εἶναι περισσότερον φιλόπονοι, ἄλλοι δὲ ραθυμότεροι· καὶ οἱ μὲν πρῶτοι εἶναι ἑπόμενον νὰ ζοῦν ὀρθότερον βίον, οἱ δὲ δεύτεροι νὰ εἶναι ὑποδεέστεροι· καὶ εἶναι ἑπόμενον ἄλλοι μὲν νὰ ἔχουν κατορθώσει τὰ μεγαλύτερα, ἄλλοι δὲ τὰ μικρότερα· ἄλλοι μὲν νὰ ἔχουν κάνει τὰ μεγαλύτερα σφάλματα, ἄλλοι δὲ τὰ ἐλαφρότερα. Διὰ τοῦτο εἶπε· «χρυσόν, ἄργυρον, πολυτίμους λίθους, ξύλα, χόρτον, καλάμια».

«Ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται». Τὴν πρᾶξιν ἐνταῦθά φησιν. «Εἴ τινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται». Καίτοιγε, εἰ περὶ μαθητῶν καὶ διδασκάλων τὸ λεγόμενον ἦν, οὔτε ζημιοῦσθαι ἐχρῆν, εἰ μὴ ἤκουσαν οἱ μαθηταί. Διὰ γὰρ τοῦτό φησιν, «Ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον»· οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὸν κόπον. Τί γάρ, εἰ μὴ προσεῖχον οἱ ἀκούοντες; Ὅθεν δῆλον καὶ ἐντεῦθεν ὅτι περὶ ἔργων τὸ λεγόμενον.

Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Εἴ τις κακὸν βίον ἔχει μετὰ πίστεως ὀρθῆς, οὐ προστήσεται αὐτοῦ ἡ πίστις εἰς τὸ μὴ κολάζεσθαι, τοῦ ἔργου κατακαιομένου. Τὸ δέ, «κατακαήσεται», τοῦτ' ἔστιν, οὐκ οἴσει τοῦ πυρὸς τὴν ῥύμην. Ἀλλ' ὥσπερ, εἴ τις, χρυσᾶ ὅπλα ἔχων, διέλθοι ποταμὸν πυρός, φαιδρότερος διαβαίνει· εἰ δὲ χόρτον ἔχων διέλθοι, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ἑαυτὸν ἀπόλλυσιν· οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστίν. Οὐ γὰρ ὡς περὶ ἐνυποστάτων διαλεγόμενος καὶ διακαιομένων, τοῦτο λέγει, ἀλλὰ τὸν φόβον μᾶλλον ἐπιτεῖναι θέλων καὶ δεῖξαι γυμνὸν ἀσφαλείας τὸν ἐν κακίᾳ ὄντα· διὸ καὶ ἔλεγε, «ζημιωθήσεται». Ἰδοὺ μία κόλασις. «Αὐτὸς δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός». Ἰδοὺ καὶ δευτέρα. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐχὶ καὶ αὐτὸς οὕτως ἀπολεῖται, ὡς τὰ ἔργα, εἰς τὸ μηδὲν χωρῶν, ἀλλὰ μενεῖ ἐν τῷ πυρί. Σωτηρίαν γοῦν τὸ πρᾶγμα καλεῖ, φησί· διὰ γὰρ τοῦτο προσέθηκεν, «ὡς διὰ πυρός». Καὶ γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ἐν τῷ πυρὶ σώζεται περὶ τῶν μὴ κατακαιομένων εὐθέως ὑλῶν.

Μὴ γάρ, ἐπειδὴ «πῦρ» ἤκουσας, νομίσῃς εἰς ἀνυπαρξίαν χωρεῖν τοὺς καιομένους. Εἰ δὲ σωτηρίαν καὶ τὴν τοιαύτην τιμωρίαν καλεῖ, μὴ θαυμάσῃς· ἔθος γὰρ αὐτῷ καὶ ἐπὶ τῶν κακεμφάτων καλοῖς ὀνόμασι κεχρῆσθαι καὶ ἐπὶ τῶν χρηστῶν τοῖς ἐναντίοις. Οἷον τὸ τῆς αἰχμαλωσίας ὄνομα πονηροῦ πράγματος δοκεῖ εἶναι ὄνομα, ἀλλ' ἐπὶ καλῷ Παῦλος αὐτῷ κέχρηται λέγων· «Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ». Καὶ ἐπὶ κα-

«Τὸ ἔργον τοῦ καθενὸς θὰ γίνῃ φανερόν». Ἐδῶ ἐννοεῖ τὴν πρᾶξιν. «Ἂν κάποιου τὸ ἔργον, ποὺ ἔκτισε, μένῃ, θὰ λάβῃ μισθόν· ἐὰν κάποιου τὸ ἔργον καῇ, θὰ ὑποστῇ ζημίας». Καὶ βέβαια, ἐὰν τοῦτο ἐλέγετο περὶ μαθητῶν καὶ διδασκάλων, οὔτε θὰ ἔπρεπε νὰ τιμωρηθοῦν οἱ διδάσκαλοι, ἐὰν οἱ μαθηταὶ δὲν τὸν εἶχον ἀκούσει. Διὰ τοῦτο λοιπὸν λέγει, «κάθε ἕνας θὰ λάβῃ τὸν μισθόν του ἀναλόγως μὲ τὸν κόπον του»· ὄχι ἀναλόγως μὲ τὸ ἀποτέλεσμα, ἀλλὰ ἀναλόγως μὲ τὸν κόπον. Εἰς τί εὐθύνονται οἱ διδάσκαλοι, ἐὰν δὲν ἔδιδον προσοχὴν οἱ ἀκούοντες; Ἄρα καὶ ἀπὸ ἐδῶ φαίνεται ὅτι ὁ λόγος εἶναι περὶ ἔργων.

Ἡ σημασία αὐτοῦ ποὺ λέγει εἶναι ἡ ἑξῆς: Ἐὰν κάποιος διάγῃ κακὸν βίον, ἀλλὰ ἔχῃ ὀρθὴν πίστιν, δὲν θὰ τὸν βοηθήσῃ ἡ πίστις του νὰ μὴ τιμωρηθῇ, ἐφ' ὅσον τὸ ἔργον κατακαίεται. Τὸ δὲ «κατακαήσεται» σημαίνει ὅτι δὲν θὰ ἀνθέξῃ τὴν δύναμιν τοῦ πυρός. Ἀλλὰ ὅπως ἀκριβῶς, ἐὰν κάποιος ἔχων χρυσᾶ ὅπλα, διέλθῃ ποταμὸν πυρός, ἐξέρχεται ἀπὸ αὐτὸν λαμπρότερος, ἐὰν δὲ διήρχετο αὐτὸν ἔχων χόρτον, ὄχι μόνον δὲν ὠφελεῖ εἰς τίποτε, ἀλλὰ καὶ τὸν ἑαυτόν του καταστρέφει, ἔτσι συμβαίνει καὶ μὲ τὰ ἔργα. Δὲν τὸ λέγει δηλαδὴ αὐτὸ ὡσὰν νὰ διελέγετο περὶ πραγματικῶν προσώπων καὶ περὶ κατακαιομένων, ἀλλ' ἐπειδὴ ἤθελε νὰ αὐξήσῃ περισσότερον τὸν φόβον καὶ νὰ ἀποδείξῃ ὅτι ἐκεῖνος ποὺ ζῇ εἰς τὴν κακίαν δὲν ἔχει καμμίαν ἀσφάλειαν· καὶ διὰ τοῦτο ἔλεγε «θὰ ὑποστῇ ζημίας». Νὰ μία τιμωρία. «Ὁ ἴδιος θὰ σωθῇ, ἀλλὰ ἔτσι ὅπως σώζεται κανεὶς ἀπὸ τὸ πῦρ». Νὰ καὶ ἡ δευτέρα. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς: Δὲν θὰ χαθῇ καὶ ὁ ἴδιος ἔτσι ὅπως τὰ ἔργα, ἐκμηδενιζόμενος, ἀλλὰ θὰ μείνῃ μέσα εἰς τὸ πῦρ. Τὸ πρᾶγμα, λέγει, χρειάζεται βεβαίως σωτηρίαν, καὶ διὰ τοῦτο προσέθεσεν, «ὅπως σώζεται κανεὶς ἀπὸ τὸ πῦρ»· διότι, ὡς γνωστόν, συνηθίζομεν νὰ λέγωμεν περὶ τῶν ὑλῶν, ποὺ δὲν κατακαίονται καὶ δὲν ἀποτεφροῦνται ἀμέσως, ὅτι διατηροῦνται εἰς τὸ πῦρ.

Μὴ νομίσῃς ὅμως, ἐπειδὴ ἤκουσες τὴν λέξιν «πῦρ», ὅτι αὐτοὶ ποὺ κατακαίονται ὁδηγοῦνται εἰς τὴν ἀνυπαρξίαν. Ἐὰν δὲ ὀνομάζῃ σωτηρίαν καὶ τὴν τιμωρίαν αὐτοῦ τοῦ εἴδους, μὴ ἀπορῇς, διότι συνηθίζει νὰ χρησιμοποιῇ εὐήχους λέξεις δι' ὅσα ἠχοῦν κακῶς καὶ διὰ τὰ καλὰ τὰς ἀντιθέτους λέξεις· ὅπως π.χ. ἡ λέξις «αἰχμαλωσία» θεωρεῖται ὅτι σημαίνει κάτι τὸ κακόν, ἀλλὰ ὁ Παῦλος τὴν

κῷ πάλιν εὐφήμῳ κέχρηται ὀνόματι λέγων, «Ἐβασίλευσεν ἡ ἁμαρτία», καίτοιγε τὸ τῆς βασιλείας ὄνομα εὔφημόν ἐστι μᾶλλον. Οὕτω καὶ ἐνταῦθα· εἰπών, «σωθήσεται», οὐδὲν ἕτερον ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ᾐνίξατο, ὡς ἂν εἰ ἔλεγεν· αὐτὸς δὲ μενεῖ διηνεκῶς κολαζόμενος.

Εἶτα καὶ ἐπιφέρει λέγων· «Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε;» Ἐπειδὴ γὰρ περὶ τῶν διατεμνόντων τὴν ἐκκλησίαν ἐν τῇ ἔμπροσθεν διελέχθη, καθάπτεται λοιπὸν καὶ τοῦ πεπορνευκότος σαφῶς μὲν οὐδέπω, ἀορίστως δὲ αἰνιττόμενος τὸν διεφθαρμένον αὐτοῦ βίον καὶ ἐπαίρων τὸ ἁμάρτημα ἀπὸ τῆς ἤδη δοθείσης αὐτῷ δωρεᾶς. Εἶτα καὶ τοὺς ἄλλους ἐντρέπει ἀπὸ τῶν αὐτῶν τούτων τῶν ἤδη ὑπαρξάντων. Ἢ γὰρ ἀπὸ τῶν μελλόντων ἢ ἀπὸ τῶν ἤδη γεγενημένων, ἢ λυπηρῶν ἢ χρηστῶν, ἀεὶ τοῦτο ποιεῖ· ἀπὸ μὲν τῶν μελλόντων, «Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται», ἀπὸ δὲ τῶν ἤδη γεγενημένων, «Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός».

Ὁρᾷς τὴν καταφορὰν τοῦ λόγου; Ἀλλ' ἕως τὸ πρόσωπον ἄδηλόν ἐστιν οὐχ οὕτως ἐπαχθὲς τὸ λεγόμενον, πάντων διανεμομένων τὸν τῆς ἐπιτιμήσεως φόβον. «Φθερεῖ τοῦτον ὁ Θεός»· τουτέστιν ἀπολεῖ. Τοῦτο δὲ οὐχὶ καταρωμένου ἐστίν, ἀλλὰ προφητεύοντος. «Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν». Ὁ δὲ πεπορνευμένος βέβηλος. Εἶτα ἵνα μὴ δόξῃ πρὸς ἐκεῖνον ἀποτείνεσθαι εἰπών, «Ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν», ἐπήγαγεν, «Οἵτινές ἐστε ὑμεῖς». «Μηδεὶς ἑαυτὸν ἐξαπατάτω». Καὶ τοῦτο πρὸς ἐκεῖνον ὡς νομίζοντά τι εἶναι καὶ ἀπὸ τῆς σοφίας αὐχοῦντα.

Καὶ ἵνα μὴ δόξῃ παρέργως μέχρι πολλοῦ πρὸς αὐτὸς ἀποτείνεσθαι, ἐμβαλὼν αὐτὸν εἰς ἀγωνίαν καὶ τῷ φόβῳ παραδοὺς αὐτὸν πάλιν ἐπὶ τὸ κοινὸν ἔγκλημα τὸν λόγον ἄγει λέγων· «Εἴ τις δοκεῖ φρόνιμος εἶναι ἐν ὑμῖν ἐν τῷ

---

17. Β' Κορ. 10,5.
18. Ρωμ. 5,21.
19. Α' Κορ. 3,18.

χρησιμοποιεῖ διὰ καλόν, λέγων· «Αἰχμαλωτίζομεν κάθε σκέψιν ὥστε νὰ ὑπακούῃ εἰς τὸν Χριστόν»[17]. Καὶ πάλιν χρησιμοποιεῖ εὐήχους λέξεις διὰ κακὰ πράγματα, λέγων, «Ἐβασίλευσεν ἡ ἁμαρτία»[18], ἂν καὶ ἡ λέξις «βασιλεία» εἶναι μᾶλλον εὔηχος λέξις. Ἔτσι καὶ ἐδῶ· μὲ τὸ νὰ εἰπῇ «θὰ σωθῇ», δὲν ἔκανε ὑπαινιγμὸν διὰ τίποτε ἄλλο, παρὰ διὰ τὸ μέγεθος τῆς τιμωρίας, ὡσὰν νὰ ἔλεγεν ὅτι ὁ ἁμαρτωλὸς αὐτὸς θὰ τιμωρῆται συνεχῶς.

Ἐν συνεχείᾳ προσθέτει, ὡσὰν συμπέρασμα τὰ ἑξῆς· «Δὲν γνωρίζετε ὅτι εἶσθε ναὸς τοῦ Θεοῦ;». Ἐπειδὴ δηλαδὴ εἰς τὴν προηγουμένην ὁμιλίαν ὡμίλησε περὶ ἐκείνων ποὺ διαιροῦν τὴν Ἐκκλησίαν, μέμφεται ἐν συνεχείᾳ καὶ τὸν πόρνον, οὐδέποτε μὲν ὀνομαστικῶς ἀλλὰ ἀορίστως ὑπαινίσσεται τὸν διεφθαρμένον βίον του καὶ διαχωρίζει τὸ ἁμάρτημα ἀπὸ τὴν δωρεάν, ἡ ὁποία τοῦ εἶχεν ἤδη δοθῆ. Κατόπιν ἀποτρέπει καὶ τοὺς ἄλλους ἀπὸ ὅσα ἀκριβῶς εἶχον ἤδη πράξει· διότι πάντοτε κάμνει τοῦτο, λαμβάνων ὡς ἀφορμὴν ὅσα πρόκειται νὰ συμβοῦν ἢ ἔχουν ἤδη συμβῆ, εἴτε λυπηρὰ εἴτε ἀγαθά. Ἀπὸ μὲν τὰ μέλλοντα λέγει· «Ἡ ἡμέρα ἐκείνη θὰ τὸ φανερώσῃ διότι ἀποκαλύπτεται μὲ πῦρ», ἀπὸ ὅσα δὲ ἔχουν συμβῆ λέγει· «Δὲν γνωρίζετε ὅτι εἶσθε ναὸς τοῦ Θεοῦ καὶ τὸ πνεῦμα τοῦ Θεοῦ κατοικεῖ μέσα σας; Ἐὰν κάποιος καταστρέψῃ τὸν ναὸν τοῦ Θεοῦ, θὰ τὸν καταστρέψῃ ὁ Θεός».

Βλέπεις τὴν σφοδρότητα τοῦ λόγου; Ἀλλ' ἐν ὅσῳ εἶναι ἄγνωστον τὸ πρόσωπον τοῦ κατηγορουμένου, δὲν εἶναι τόσον βαρὺς ὁ λόγος, διότι ὅλοι συμμετέχουν εἰς τὸν φόβον, ποὺ προέρχεται ἀπὸ τὴν ἐπιτίμησιν. «Φθερεῖ τοῦτον ὁ Θεός» δηλαδὴ θὰ τὸν καταστρέψῃ. Τοῦτο δὲ δὲν σημαίνει ὅτι καταρᾶται, ἀλλὰ ὅτι προφητεύει. «Διότι ὁ ναὸς τοῦ Θεοῦ εἶναι ἅγιος», ἐνῷ ὁ πόρνος εἶναι βέβηλος. Κατόπιν διὰ νὰ μὴ φανῇ ὅτι ἀπευθύνεται πρὸς ἐκεῖνον, ἀφοῦ εἶπε, «Διότι ὁ ναὸς τοῦ Θεοῦ εἶναι ἅγιος», προσέθεσε· «Καὶ αὐτὸς ὁ ναὸς εἶσθε σεῖς». «Κανεὶς ἂς μὴ ἐξαπατᾷ τὸν ἑαυτόν του»[19]. Καὶ τοῦτο τὸ λέγει δι' ἐκεῖνον, διότι ἐνόμιζεν ὅτι δῆθεν εἶναι κάτι καὶ ὑπερηφανεύετο διὰ τὴν σοφίαν του.

Καὶ διὰ νὰ μὴ φανῇ ὅτι ἐπὶ πολὺ ἀποτείνεται πρὸς αὐτὸν χωρὶς νὰ εἶναι ὁ κύριος σκοπός του, ἀφοῦ τὸν ἔβαλεν εἰς ἀγωνίαν καὶ τὸν παρέδωσεν εἰς τὸν φόβον, πάλιν φέρει τὸν λόγον εἰς τὸ κοινὸν ἁμάρτημα καὶ λέγει· «Ἐὰν κάποιος μεταξύ σας νομίζῃ ὅτι εἶ-

αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός». Ποιεῖ δὲ αὐτὸ λοιπὸν μετὰ πολλῆς τῆς παρρησίας ἅτε καταγωνισάμενος αὐτοὺς ἱκανῶς. Κἂν γὰρ πλούσιος ᾖ τις, κἂν εὐγενής, τῶν εὐτελῶν ἐστιν εὐτελέστερος, ὅταν ὑπὸ τῆς ἁμαρτίας ἁλῷ. Ὥσπερ γὰρ κἂν βασιλεὺς ᾖ τις, δοῦλος δὲ γένηται βαρβάρων, πάντων ἐστὶν ἀθλιώτερος, οὕτω καὶ ἐπὶ τῆς ἁμαρτίας· βάρβαρος γάρ ἐστιν ἡ ἁμαρτία καὶ ψυχῆς οὐκ εἰδυῖα φείδεσθαι τῆς ἅπαξ ἁλούσης, ἀλλ' ἐπὶ λύμῃ τῶν ἐπιδεχομένων αὐτὴν τυραννοῦσα.

4. Οὐδὲν γὰρ οὕτως ἀλόγιστον ὡς ἁμαρτία, οὐδὲν οὕτως ἀνόητον καὶ μωρὸν καὶ ῥαγδαῖον· πάντα ἀνατρέπει καὶ συγχεῖ καὶ ἀπόλλυσιν, ἔνθα ἂν εἰσπηδήσῃ· ἀηδὴς ἰδεῖν, φορτικὴ καὶ ἐπαχθής. Καὶ εἴ τις αὐτὴν ἀνέπλαττε ζωγράφος, οὐκ ἄν μοι δοκεῖ ἁμαρτεῖν οὕτως αὐτὴν ἀναπλάττων, γυναῖκά τινα θηριόμορφον, βάρβαρον, πῦρ πνέουσαν, ἀτερπῆ, μέλαιναν, οἵας οἱ τῶν ἔξωθεν ποιηταὶ τὰς Σκύλλας ὑπογράφουσι. Μυρίαις γὰρ χερσὶν ἐπιλαμβάνεται τῶν ἡμετέρων λογισμῶν καὶ ἀδοκήτως ἐπεισέρχεται καὶ πάντα διασπαράττει καθάπερ οἱ κύνες οἱ λάθρα δάκνοντες. Μᾶλλον δὲ τί δεῖ ζωγραφίας ἡμῖν δέον τοὺς κατ' αὐτὴν πεποιωμένους εἰς μέσον ἀγαγεῖν;

Τίνα οὖν βούλεσθε πρότερον ὑπογράψωμεν; τὸν πλεονέκτην καὶ ἅρπαγα; Καὶ τί τῶν ὀφθαλμῶν ἐκείνων ἀναισχυντότερον; τί ἀναιδέστερον καὶ κυνικώτερον; οὐ γὰρ οὕτω κύων ἕστηκεν ἀναιδευόμενος ὡς οὗτος, ὅταν τὰ πάντων ἁρπάζῃ. Τί τῶν χειρῶν μιαρώτερον ἐκείνων; τί τοῦ στόματος ἰταμώτερον τοῦ πάντα καταπίνοντος καὶ οὐ κορεννυμένου; Μὴ γὰρ εἰς τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ἴδῃς, ὅτι ἀνθρώπου· οὐ γὰρ τὰ τοιαῦτα βλέπουσιν οἱ ἀνθρώπινοι ὀφθαλμοί. Οὐ βλέπει τοὺς ἀνθρώπους ἀνθρώπους, οὐ βλέπει τὸν οὐρανὸν οὐρανόν, οὐδὲ ἀνανεύει πρὸς τὸν δεσπότην, ἀλλὰ πάντα χρήματα εἶναι νομίζει. Οἱ ἀνθρώπων ὀφθαλμοὶ πένητας εἰώθασιν ὁρᾶν καταπεπονημένους, καὶ ἐπικλᾶσθαι· οὗτοι δὲ ὁρῶσι πένητας καὶ ἐκθηριοῦνται. Οἱ ἀνθρώπων ὀφθαλμοὶ οὐχ ὡς ἴδια τὰ ἀλ-

---

20. αὐτ. 19.

ναι σοφὸς κατὰ τὴν κρίσιν τοῦ κόσμου αὐτοῦ, ἂς γίνῃ μωρός, διὰ νὰ γίνῃ σοφός»[20]. Καὶ τὸ κάνει αὐτὸ ἐν συνεχείᾳ μὲ πολλὴν παρρησίαν, διότι πράγματι τοὺς ἀντεμετώπισεν ἐπιτυχῶς. Διότι, καὶ ἂν ἀκόμη κάποιος εἶναι πλούσιος ἢ ἔχῃ εὐγενῆ καταγωγήν, εἶναι ὁ εὐτελέστερος τῶν εὐτελῶν, ὅταν κυριευθῇ ἀπὸ τὴν ἁμαρτίαν. Δηλαδή, ὅπως ἀκριβῶς ἂν κάποιος εἶναι βασιλεὺς καὶ γίνῃ δοῦλος βαρβάρων, εἶναι ὁ δυστυχέστερος ὅλων, ἔτσι συμβαίνει καὶ μὲ τὴν ἁμαρτίαν· ἡ ἁμαρτία δηλαδὴ εἶναι βάρβαρος καὶ δὲν γνωρίζει νὰ εὐσπλαγχνίζεται τὴν ψυχήν, τὴν ὁποίαν κατέλαβε μίαν φοράν, ἀλλὰ τυραννεῖ ἕως ὅτου νὰ καταστρέψῃ αὐτοὺς ποὺ τὴν δέχονται.

4. Πράγματι, τίποτε δὲν εἶναι τόσον παράλογον ὅσον ἡ ἁμαρτία, τίποτε δὲν εἶναι τόσον ἀνόητον καὶ μωρὸν καὶ βίαιον· ὅπου εἰσχωρήσῃ, ἀνατρέπει, συγχέει καὶ καταστρέφει τὰ πάντα· ἔχει ὄψιν δυσάρεστον, ἐνοχλητικὴν καὶ δυσβάστακτον. Καὶ ἂν κάποιος ζωγράφος τὴν ἐζωγράφιζε, νομίζω ὅτι δὲν θὰ ἔσφαλλεν, ἂν τὴν παρίστανεν ὡς ἑξῆς· ὡς μίαν δηλαδὴ γυναῖκα θηριόμορφον, βάρβαρον, πνέουσαν πῦρ, μοχθηράν, μαύρην, ὡσὰν ἐκείνας τὰς Σκύλλας ποὺ περιγράφουν οἱ ποιηταὶ τῶν ἐθνικῶν. Μὲ μύρια δηλαδὴ χέρια καταλαμβάνει τὴν σκέψιν μας καὶ ἀπροσδοκήτως εἰσορμᾷ καὶ κατασπαράσσει τὰ πάντα ὅπως οἱ σκύλοι, ποὺ δαγκάνουν κρυφίως. Ἀλλὰ μᾶλλον τί χρειαζόμεθα τὰς περιγραφάς, ἐφ' ὅσον ἠμποροῦμεν νὰ φέρωμεν ἐδῶ εἰς τὸ μέσον αὐτοὺς ποὺ κατέχονται ἀπὸ αὐτήν;

Ποῖον λοιπὸν θέλετε πρῶτον νὰ περιγράψωμεν; τὸν πλεονέκτην καὶ ἅρπαγα; Καὶ τί ὑπάρχει ἀναισχυντότερον ἀπὸ τοὺς ὀφθαλμοὺς ἐκείνων; τί εἶναι ἀναιδέστερον καὶ αἰσχρότερον; πράγματι δὲν στέκεται ἔτσι ἕνας σκύλος, ὅπως στέκεται αὐτός, ὅταν ἁρπάζῃ τὰ πράγματα ὅλων. Τί εἶναι περισσότερον μολυσμένον ἀπὸ τὰ χέρια ἐκείνων; τί εἶναι θρασύτερον ἀπὸ τὸ στόμα ἐκείνου ποὺ ὅλα τὰ καταπίνει καὶ ὅμως δὲν χορταίνει. Μὴ ἴδῃς εἰς τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμούς, ὅτι αὐτὰ εἶναι ἀνθρώπινα· διότι αὐτοῦ τοῦ εἴδους τὰ πάθη δὲν τὰ βλέπουν οἱ ἀνθρώπινοι ὀφθαλμοί. Δὲν βλέπει τοὺς ἀνθρώπους ὡς ἀνθρώπους, δὲν βλέπει τὸν οὐρανὸν ὡς οὐρανὸν καὶ δὲν ὑψώνει τὸ βλέμμα του πρὸς τὸν κύριον, ἀλλὰ νομίζει ὅτι τὰ πάντα εἶναι χρήματα. Οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων συνήθως βλέπουν πτωχοὺς ταλαιπωρημένους καὶ τοὺς εὐσπλαγχνίζονται, αὐτοὶ ὅμως

λότρια βλέπουσιν, ἀλλὰ καὶ τὰ ἴδια ὡς ἀλλότρια, καὶ οὐκ ἐφίενται τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ εἰς ἑτέρους κενοῦσι τὰ ἑαυτῶν· οὗτοι δὲ οὐκ ἀνέχονται, εἰ μὴ τὰ πάντων λάβοιεν· οὐ γὰρ ἀνθρώπινον, ἀλλὰ θηριῶδες ἔχουσιν ὄμμα. Οἱ ἀνθρώπων ὀφθαλμοὶ γυμνὸν ἰδεῖν τὸ σῶμα τὸ ἑαυτῶν οὐκ ἀνέχονται· αὐτῶν γάρ ἐστι, κἂν ἑτέρων ᾖ κατὰ πρόσωπον· οὗτοι δὲ εἰ μὴ πάντας γυμνώσαιεν καὶ τὰ πάντων οἴκοι κατάθοιντο, οὐδέποτε κόρον λαμβάνουσι· μᾶλλον δὲ οὐδὲ τότε ἐμπιπλῶνται. Διόπερ οὐδὲ θηρίων τὰς χεῖρας τὰς τούτων ἄν τις εἶναι φαίη μόνον, ἀλλὰ καὶ τούτων ἀγριωτέρας πολλῷ καὶ χαλεπωτέρας· ἄρκτοι μὲν γὰρ καὶ λύκοι, ἐπειδὰν λάβωσι κόρον, τῆς τοιαύτης τροφῆς ἀφίστανται· οὗτοι δὲ κόρον οὐκ ἔχουσι. Καίτοι διὰ τοῦτο χεῖρας ἡμῖν ἐποίησεν ὁ Θεός, ἵνα ἑτέροις βοηθῶμεν, οὐχ ἵνα ἐπιβουλεύωμεν. Εἰ δὲ μέλλοιμεν αὐταῖς εἰς τοῦτο κεχρῆσθαι, βέλτιον αὐτὰς ἀποκοπῆναι καὶ χωρὶς τούτων εἶναι.

Σὺ δέ, ἂν μὲν πρόβατον σπαράττῃ θηρίον, ἀλγεῖς· εἰς αὐτὸν δὲ τὸν ὁμόφυλον τοῦτο ἐργαζόμενος οὐ νομίζεις τι ποιεῖν δεινόν; καὶ πῶς ἂν εἴης ἄνθρωπος; Οὐχ ὁρᾷς ὅτι ἀνθρώπινον πρᾶγμα καλοῦμεν τὸ ἐλέου γέμον καὶ φιλανθρωπίας· ὅταν δὲ ὠμόν τι καὶ ἀπηνὲς ἐργάσηται, ἀπάνθρωπον τὸν τοιοῦτον ὀνομάζομεν; Οὐκοῦν τὸν χαρακτῆρα τοῦ ἀνθρώπου ἀπὸ τοῦ ἐλεεῖν, τοῦ δὲ θηρίου ἀπὸ τοῦ ἐναντίου ὑπογράφομεν λέγοντες ἀεί· μὴ γὰρ ἄνθρωπος, θηρίον ἢ κύων; Οἱ γὰρ ἄνθρωποι πενίαν διορθοῦσιν, οὐκ αὔξουσι. Τούτων καὶ τὰ στόματα θηρίων ἐστὶ στόματα, μᾶλλον δὲ καὶ ταῦτα ἐκείνων ἀγριώτερα· καὶ γὰρ ῥήματα φθέγγονται μᾶλλον ἐκείνων τῶν ὀδόντων ἰὸν ἀφιέντα φόνον ἐργαζόμενα. Καὶ εἰ πάντα τις ἐπέλθοι, τότε ὄψεται καλῶς, πῶς θηρία ἀπὸ ἀνθρώπων τοὺς χρωμένους ἡ ἀπανθρωπία ποιεῖ. Εἰ δὲ καὶ τὴν διάνοιάν τις ἐξετάσειε τῶν τοιούτων, οὐκέτι θηρία μόνον, ἀλλὰ καὶ δαίμονας αὐτοὺς προσερεῖ. Καὶ γὰρ πολλῆς γέμουσι τῆς ἀπηνείας καὶ τῆς

βλέπουν πτωχοὺς καὶ γίνονται θηρία. Οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων δὲν βλέπουν τὰ ξένα ὡς ἰδικά των, ἀλλὰ καὶ τὰ ἰδικά των ὡς ξένα, καὶ δὲν ἐπιθυμοῦν ὅσα ἐδόθησαν εἰς τοὺς ἄλλους, ἀλλὰ ἀκόμη καὶ τὰ ἰδικά των τὰ δίδουν εἰς τοὺς ἄλλους· αὐτοὶ ὅμως δὲν σταματοῦν παρὰ ἀφοῦ λάβουν ὅλων τὰ ὑπάρχοντα· καὶ τοῦτο, διότι δὲν ἔχουν ἀνθρώπινον, ἀλλὰ μάτι θηρίου. Οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων δὲν δύνανται νὰ ἴδουν τὸν ἑαυτόν των ἀπ' εὐθείας, διότι εἶναι ὁ ἴδιος ὁ ἑαυτός των· τοὺς ὀφθαλμοὺς τῶν ἄλλων τοὺς βλέπουν κατὰ πρόσωπον. Αὐτοὶ ὅμως, ἂν δὲν γυμνώσουν τοὺς πάντας καὶ δὲν ἀποθηκεύσουν εἰς τὴν οἰκίαν των τὰ ὑπάρχοντα ὅλων, οὐδέποτε χορταίνουν, καὶ μᾶλλον οὔτε τότε χορταίνουν. Διὰ τοῦτο θὰ ἠμποροῦσε κάποιος νὰ εἴπῃ ὅτι αἱ χεῖρες αὐτῶν δὲν εἶναι μόνον χεῖρες θηρίων, ἀλλὰ καὶ πολὺ ἀγριώτεραι καὶ φοβερώτεραι ἀπὸ αὐτάς· διότι αἱ ἄρκτοι καὶ οἱ λύκοι, ὅταν χορτάσουν, δὲν πλησιάζουν τὴν τροφήν των· αὐτοὶ ὅμως δὲν χορταίνουν. Καὶ ὅμως διὰ τοῦτο ὁ Θεὸς μᾶς ἔδωσε χεῖρας, διὰ νὰ βοηθῶμεν τοὺς ἄλλους, ὄχι νὰ τοὺς ἐπιβουλευώμεθα. Ἐὰν ὅμως πρόκειται νὰ τὰς χρησιμοποιήσωμεν πρὸς τὸν σκοπὸν αὐτόν, εἶναι καλύτερον νὰ κοποῦν καὶ νὰ εἴμεθα χωρὶς αὐτάς.

Σὺ δέ, ἂν μὲν ἕνα θηρίον κατασπαράσσῃ πρόβατον, στενοχωρεῖσαι· ὅταν ὅμως τὸ κάνῃς τοῦτο εἰς βάρος τοῦ συνανθρώπου σου, δὲν νομίζεις ὅτι κάνεις κάτι τὸ φοβερόν; καὶ τότε πῶς εἶναι δυνατὸν νὰ εἶσαι ἄνθρωπος; Δὲν βλέπεις ὅτι ὀνομάζομεν ἀνθρώπινον αὐτὸ ποὺ εἶναι γεμᾶτον ἀπὸ εὐσπλαχνίαν καὶ φιλανθρωπίαν, ἐνῷ ὅταν κάποιος διαπράξῃ κάτι ἄγριον καὶ σκληρόν, ὅτι αὐτοῦ τοῦ εἴδους τὴν πρᾶξιν τὴν ὀνομάζομεν ἀπάνθρωπον; Ἐπομένως τὸν μὲν ἄνθρωπον τὸν χαρακτηρίζομεν ἀπὸ τὴν ὕπαρξιν εὐσπλαχνίας, τὸ δὲ θηρίον ἀπὸ τὴν ἔλλειψιν αὐτῆς, λέγοντες πάντοτε· μήπως ὁ ἄνθρωπος εἶναι θηρίον ἢ σκύλος; διότι οἱ ἄνθρωποι ἐξαφανίζουν τὴν πενίαν, δὲν τὴν αὐξάνουν. Τῶν ἀνθρώπων αὐτοῦ τοῦ εἴδους καὶ τὰ στόματα εἶναι στόματα θηρίων, μᾶλλον δὲ εἶναι ἀγριώτερα ἐκείνων· διότι πράγματι λέγουν λόγους, οἱ ὁποῖοι χύνουν δηλητήριον περισσότερον ἀπὸ τοὺς ὀδόντας ἐκείνων καὶ προξενοῦν τὸν θάνατον. Καὶ ἂν ἐξετάσῃ κανεὶς ὅλα, τότε θὰ ἰδῇ καλῶς πῶς ἡ ἀπανθρωπία μεταβάλλει ἐκείνους ποὺ κατέχονται ἀπὸ αὐτὴν ἀπὸ ἀνθρώπους εἰς θηρία. Ἐὰν δὲ κάποιος ἐξετάσῃ καὶ τὴν σκέψιν αὐτῶν τῶν ἀνθρώπων, ὄχι μόνον θηρία ἀλλὰ καὶ δαίμονας ἀκόμη θὰ

πρὸς τὸν ὁμόδουλον ἔχθρας· καὶ οὔτε βασιλείας ἔρως ἐκεῖ, οὔτε γεέννης φόβος, οὐκ αἰδὼς ἀνθρώπων, οὐκ ἔλεος, οὐ συμπάθεια, ἀλλ' ἀναισχυντία καὶ ἰταμότης καὶ ὑπεροψία τῶν μελλόντων ἁπάντων· καὶ μῦθος αὐτοῖς εἶναι δοκεῖ τὰ τοῦ Θεοῦ ῥήματα τὰ περὶ κολάσεως καὶ γέλως ἡ ἀπειλή.

Τοιαύτη γὰρ ἡ τοῦ πλεονέκτου διάνοια. Ὅταν οὖν ἔνδοθεν μὲν δαίμονες ὦσιν, ἔξωθεν δὲ θηρία καὶ θηρίων χείρους, ποῦ θήσομεν τοὺς τοιούτους, εἰπέ μοι; Ὅτι γὰρ καὶ θηρίων χείρους, δῆλον ἐκεῖθεν· τὰ θηρία τῇ φύσει τοιαῦτά ἐστιν, οὗτοι δὲ κατὰ φύσιν τὸ ἥμερον ἔχοντες παρὰ φύσιν εἰς τὸ θηριῶδες ἑαυτοὺς ἐξάγειν βιάζονται. Καὶ οἱ δαίμονες δὲ τοὺς ἐπιβουλευομένους ἀνθρώπους συμπράττοντας ἑαυτοῖς ἔχουσιν· ὡς, εἰ μὴ συνέπραττον, τὸ πλέον τῶν ἐπιβουλῶν τῶν καθ' ἡμῶν ἐκείνοις ἀνῄρητο· οὗτοι δὲ καὶ φιλονεικούντων αὐτοῖς τῶν ἐπηρεαζομένων κρατεῖν ἐπιχειροῦσι. Πάλιν ὁ δαίμων ἀνθρώπῳ πολεμεῖ, οὐ δαίμοσι τοῖς ὁμοφύλοις· οὗτος δὲ τὸ συγγενὲς καὶ οἰκεῖον παντὶ τρόπῳ κακοῦν ἐπείγεται καὶ οὐδὲ τὴν φύσιν αἰδεῖται.

Οἶδα ὅτι πολλοὶ πρὸς ἡμᾶς ὑπὲρ τούτων ἀπεχθάνονται τῶν ῥημάτων· ἐγὼ δὲ οὐκ ἀπεχθάνομαι πρὸς αὐτούς, ἀλλ' ἐλεῶ καὶ δακρύω τοὺς οὕτω διακειμένους· κἂν πλῆξαι θέλωσιν, ἡδέως ἂν ἀνασχοίμην, εἰ ἀπέχοιντο τῆς θηριωδίας ταύτης. Οὐδὲ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ ὁ προφήτης μεθ' ἡμῶν τοὺς τοιούτους ἐκβάλλει τῆς τῶν ἀνθρώπων συγγενείας, λέγων, ὅτι «Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκεν, ἀλλὰ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις».

Γενώμεθα τοίνυν ἄνθρωποί ποτε καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψωμεν καὶ τὸ κατ' εἰκόνα ἀπολάβωμεν καὶ ἀνακτησώμεθα, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

21. Ψαλ. 48,21.
22. Κολ. 3,10.

τοὺς ὀνομάσῃ· διότι πράγματι εἶναι γεμᾶτοι ἀπὸ πολλὴν σκληρότητα καὶ ἔχθραν πρὸς τὸν συνάνθρωπόν των, καὶ δὲν ὑπάρχει εἰς αὐτοὺς οὔτε πόθος διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, οὔτε φόβος διὰ τὴν κόλασιν, οὔτε ἐντρέπονται τοὺς ἀνθρώπους, οὔτε ὑπάρχει εἰς αὐτοὺς εὐσπλαχνία, οὔτε συμπάθεια, ἀλλ' ἀναισχυντία καὶ θρασύτης καὶ ἀδιαφορία δι' ὅλα τὰ μέλλοντα· καὶ νομίζουν αὐτοὶ ὅτι εἶναι μῦθος τὰ λόγια τοῦ Θεοῦ περὶ κολάσεως καὶ γέλως ἡ ἀπειλή.

Τέτοια λοιπὸν εἶναι ἡ σκέψις τοῦ πλεονέκτου. Ὅταν λοιπὸν ἐσωτερικῶς μὲν εἶναι δαίμονες, ἐξωτερικῶς δὲ θηρία καὶ χειρότεροι ἀπὸ θηρία, εἰπέ μου, ποῦ θὰ κατατάξωμεν τοὺς ἀνθρώπους τοῦ εἴδους αὐτοῦ; Ὅτι εἶναι δηλαδὴ χειρότεροι καὶ ἀπὸ τὰ θηρία φαίνεται ἀπὸ τὸ ἑξῆς: Τὰ θηρία εἶναι θηρία ἀπὸ τὴν φύσιν των, αὐτοὶ ὅμως, ἐνῷ ἀπὸ τὴν φύσιν των εἶναι ἥμερα ὄντα, βιάζουν τοὺς ἑαυτούς των νὰ γίνουν θηρία. Καὶ οἱ δαίμονες ἔχουν ὡς συνεργούς των αὐτούς, οἱ ὁποῖοι ἐπιβουλεύονται ἀνθρώπους, διότι, ἐὰν αὐτοὶ δὲν συνέπραττον, ἐκεῖνοι (οἱ δαίμονες) θὰ εἶχον ἀναλάβει τὸ μεγαλύτερον μέρος τῶν ἐπιβουλῶν ἐναντίον μας· αὐτοὶ δὲ προσπαθοῦν νὰ καταβάλουν ὅσους ἀντιδροῦν εἰς τὰ σχέδιά των καὶ τοὺς καταστρέφουν. Ἐπίσης ὁ δαίμων ἀνταγωνίζεται τὸν ἄνθρωπον, ὄχι τοὺς ὁμοφύλους του δαίμονας· αὐτὸς ὅμως (ὁ πλεονέκτης) βιάζεται μὲ κάθε τρόπον νὰ βλάπτῃ τὸν συνάνθρωπόν του, ὁ ὁποῖος εἶναι συγγενής του κατὰ τὴν καταγωγὴν καὶ ὅμοιός του, καὶ δὲν ἐντρέπεται οὔτε τὴν φύσιν.

Γνωρίζω ὅτι πολλοὶ δυσανασχετοῦν εἰς βάρος μου ἐξ αἰτίας αὐτῶν τῶν λόγων μου, ἐγὼ ὅμως δὲν τοὺς ἀποστρέφομαι, ἀλλ' εὐσπλαχνίζομαι καὶ δακρύζω δι' ὅσους ἔτσι αἰσθάνονται· καὶ ἂν θέλουν νὰ μὲ κτυπήσουν, εὐχαρίστως θὰ τὸ ὑπέφερον, ἐὰν ἀπεῖχον ἀπὸ τὴν θηριωδίαν αὐτήν. Καὶ ὄχι μόνον ἐγώ, ἀλλὰ καὶ ὁ προφήτης μαζὶ μὲ ἐμένα ἀποκλείει τοὺς ἀνθρώπους αὐτοὺς ἀπὸ τὴν συγγένειαν τῶν ἀνθρώπων, λέγων ὅτι «Ὁ ἄνθρωπος, ἐνῷ εἶχε τιμήν, δὲν τὸ κατενόησεν, ἀλλὰ ἐξισώθη μὲ τὰ κτήνη ποὺ δὲν ἔχουν νοῦν»[21].

Ἂς γίνωμεν λοιπὸν ἐπὶ τέλους ἄνθρωποι καὶ ἂς στρέψωμεν τὰ βλέμματά μας πρὸς τὸν οὐρανὸν καὶ ἂς λάβωμεν πάλιν καὶ ἂς ἀνακτήσωμεν τὸ «κατ' εἰκόνα»[22], διὰ νὰ κερδίσωμεν καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ι'
Α' Κορ. 3,18-4,2

«Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴς τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν».

1. Ὅπερ ἔφθην εἰπών, καὶ πρὸ τοῦ προσήκοντος καιροῦ εἰς τὴν κατὰ τοῦ πεπορνευκότος κατηγορίαν ἐξενεχθεὶς καὶ αἰνιγματωδῶς αὐτὴν παρανοίξας διὰ βραχέων καὶ κατασείσας αὐτοῦ τὸ συνειδὸς ἐπείγεται πάλιν ἐπὶ τὴν μάχην τῆς σοφίας τῆς ἔξωθεν καὶ τὰ ἐγκλήματα τῶν ἐντεῦθεν πεφυσιωμένων καὶ διατεμνόντων τὴν ἐκκλησίαν· ἵνα τὸ λεῖπον προσθεὶς καὶ τὸ κεφάλαιον ἅπαν ἀπαρτίσας μετὰ ἀκριβείας, οὕτω λοιπὸν σφοδρᾷ τῇ ῥύμῃ κατὰ τοῦ πεπορνευκότος φέρεσθαι τὴν γλῶτταν ἀφῇ πρότερον ἀκροβολισάμενος πρὸς αὐτόν, δι' ὧν ἔμπροσθεν εἴρηκε. Καὶ γὰρ τὸ «Μηδεὶς ἑαυτὸν ἐξαπατάτω» πρὸς ἐκεῖνον μάλιστά ἐστιν ἀποτεινομένου καὶ προκαταλεαίνοντος αὐτὸν φόβῳ· καὶ ὁ περὶ τῆς καλάμης λόγος αὐτὸν μάλιστά ἐστιν αἰνιττομένου, καὶ τὸ λέγειν ὅτι «Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ ἐν ὑμῖν;».

Δύο γὰρ ταῦτα μάλιστα ἀπάγειν ἡμᾶς ἁμαρτίας εἴωθεν, ὅταν τὴν κειμένην τῇ ἁμαρτίᾳ κόλασιν ἐννοήσωμεν καὶ ὅταν τὴν ἡμετέραν ἀξίαν ἀναλογισώμεθα. Τῷ μὲν οὖν τὸν χόρτον εἰς μέσον παράγειν καὶ τὴν καλάμην ἐφόβησε· τῷ δὲ τὸ ἀξίωμα τῆς οἰκείας εὐγενείας εἰπεῖν ἐνέτρεψεν, ἐκείνῳ μὲν τοὺς ἀναισθητοτέρους, τούτῳ δὲ καὶ τοὺς ἐπιεικεστέρους βελτίους ποιῶν. «Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴς τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω». Ὥσπερ νεκρὸν τῷ κόσμῳ κελεύει γενέσθαι, καὶ ἡ νεκρότης αὕτη οὐδὲν παραβλάπτει, ἀλλὰ καὶ ὠφελεῖ ζωῆς αἰτία γινομένη· οὕτω καὶ μωρὸν κελεύει τῷ αἰῶνι

1. Α' Κορ. 3, 18-19.

ΛΟΓΟΣ Ι΄
Α΄ Κορ. 3,18-4,2

«Κανεὶς ἂς μὴ ἐξαπατᾷ τὸν ἑαυτόν του. Ἐὰν κάποιος νομίζῃ ὅτι εἶναι σοφὸς κατὰ τὴν κρίσιν τοῦ κόσμου, ἂς γίνῃ σοφός. Διότι ἡ σοφία τοῦ κόσμου εἶναι μωρία κατὰ τὴν κρίσιν τοῦ Θεοῦ»'.

1. Ὅπως εἶπον προηγουμένως, ἀφοῦ ἀνεφέρθη πρὶν ἀπὸ τὴν κατάλληλον στιγμὴν εἰς τὴν κατηγορίαν κατὰ τοῦ πόρνου καὶ ἀφοῦ δι᾿ ὀλίγων τὴν ἔθιξε αἰνιγματωδῶς καὶ συνετάραξε τὴν συνείδησίν του, ὁιάζεται πάλιν νὰ προχωρήσῃ εἰς τὴν μάχην κατὰ τῆς σοφίας τοῦ κόσμου καὶ εἰς τὰς κατηγορίας ἐναντίον τῶν φουσκωμένων ἀπὸ αὐτὴν καὶ διαιρούντων τὴν ἐκκλησίαν· καὶ διὰ νὰ συμπληρώσῃ ὅ,τι ἄφησε καὶ νὰ συνοψίσῃ τὸ ὅλον θέμα μὲ ἀκρίβειαν, εἰς τὴν συνέχειαν χρησιμοποιεῖ τόσον σκληρὰν γλῶσσαν κατὰ τοῦ πόρνου, ἀφοῦ προηγουμένως μέ ὅσα εἶπεν ἀνωτέρω ἔρριψε προκαταρτικὰ μόνον πυρά· διότι πράγματι τὸ «Κανεὶς ἂς μὴ ἐξαπατᾷ τὸν ἑαυτόν του», κυρίως πρὸς ἐκεῖνον ἀπευθύνεται καὶ αὐτὸν προκαταλαμβάνει μὲ φόβον· καὶ ὁ λόγος περὶ τῆς καλάμης αὐτὸν κυρίως ὑπαινίσσεται, ὅπως ἐπίσης καὶ τὸ ὅτι εἶπεν ὅτι «Δὲν γνωρίζετε ὅτι εἶσθε ναὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ μέσα σας;».

Αὐτὰ δηλαδὴ τὰ δύο συνήθως μᾶς ἀπομακρύνουν ἀπὸ τὴν ἁμαρτίαν, ὅταν σκεφθῶμεν καλῶς τὴν κόλασιν, ἡ ὁποία ἀκολουθεῖ τὴν ἁμαρτίαν, καὶ ὅταν ἀναλογισθῶμεν τὴν ἰδικήν μας ἀξίαν. Μὲ τὸ νὰ χρησιμοποιήσῃ λοιπὸν τὸ παράδειγμα τοῦ χόρτου καὶ τοῦ καλαμιοῦ προεκάλεσε φόβον· μὲ τὸ νὰ ἀναφέρῃ δὲ τὴν ἀξίαν τῆς καλῆς καταγωγῆς των τοὺς ἔκαμε νὰ ἐντραποῦν προσπαθῶν νὰ κάμῃ καλυτέρους μὲ τὸ πρῶτον μὲν μέσον τοὺς πλέον ἀναισθήτους, μὲ τὸ δὲ δεύτερον τοὺς ἐπιεικεστέρους. «Κανεὶς ἂς μὴ ἐξαπατᾷ τὸν ἑαυτόν του. Ἐὰν κάποιος νομίζῃ ὅτι εἶναι σοφὸς κατὰ τὴν κρίσιν τοῦ κόσμου αὐτοῦ, ἂς γίνῃ μωρός». Προτρέπει νὰ γίνωμεν ὡσὰν νεκροὶ διὰ τὸν κόσμον, καὶ ἡ νεκρότης αὐτὴ τίποτε δὲν βλάπτει, ἀλλ᾿ ἀντιθέτως ὠφελεῖ, διότι γίνεται αἰτία ζωῆς· ἔτσι μᾶς προτρέπει νὰ γί-

τούτῳ γενέσθαι σοφίαν ἐντεῦθεν ἡμῖν τὴν ἀληθῆ προξενῶν. Μωρὸς δὲ τῷ κόσμῳ γίνεται ὁ τὴν ἔξωθεν ἀτιμάζων σοφίαν καὶ πεπεισμένος μηδὲν αὐτῷ συντελεῖν πρὸς τὴν τῆς πίστεως κατάληψιν. Ὥσπερ οὖν ἡ πενία ἡ κατὰ Θεὸν πλούτου αἰτία καὶ ἡ ταπείνωσις ὕψους, καὶ τὸ δόξης ὑπερορᾶν δόξης αἴτιον γίνεται, οὕτω καὶ τὸ μωρὸν γενέσθαι σοφώτερον πάντων ποιεῖ.

Καὶ διὰ τί μη εἶπεν, ἀποθέσθω τὴν σοφίαν, ἀλλὰ «γενέσθω μωρός»; Ἵνα μεθ' ὑπερβολῆς ἀτιμάσῃ τὴν ἔξωθεν παίδευσιν. Οὐδὲ γὰρ ἦν ἴσον εἰπεῖν, ἀπόθου σου τὴν σοφίαν καὶ γενοῦ μωρός. Ἄλλως δὲ καὶ παιδεύει μὴ ἐπαισχύνεσθαι τῇ παρ' ἡμῖν ἰδιωτείᾳ· πάνυ γὰρ καταγελᾷ τῶν ἔξωθεν. Διόπερ οὐδὲ τὰ ὀνόματα δέδοικεν, ἐπειδὴ θαρρεῖ τῇ τῶν πραγμάτων δυνάμει. Ὥσπερ οὖν ὁ σταυρὸς δοκῶν ἐπονείδιστον εἶναι μυρίων γέγονεν αἴτιος ἀγαθῶν καὶ δόξης ὑπόθεσις ἀφάτου καὶ ῥίζα, οὕτω καὶ ἡ δοκοῦσα μωρία εἶναι σοφίας ἡμῖν αἰτία κατέστη. Καθάπερ γὰρ ὁ κακῶς τι μεμαθηκώς, ἂν μὴ τὸ πᾶν ἀπόθηται καὶ λεάνῃ τὴν ψυχὴν καὶ καθαρὰν παράσχῃ τῷ μέλλοντι γράφειν, οὐδὲν εἴσεται σαφὲς τῶν ὑγιῶν· οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν σοφίας· ἂν μὴ τὸ πᾶν ἐξέλῃς καὶ σαρώσῃς σου τὴν διάνοιαν καὶ ἐξίσῃς τῷ ἰδιώτῃ παράσχῃς σαυτὸν τῇ πίστει, οὐδὲν εἴσῃ γενναῖον ἀκριβῶς. Καὶ γὰρ οἱ παραβλέποντες, ἂν μὴ μύσαντες ἑτέροις ἑαυτοὺς παραδῶσιν, ἀλλὰ τῇ διεφθαρμένῃ τῶν ὀφθαλμῶν ὄψει τὰ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, τῶν οὐχ ὁρώντων πολλῷ πλείονα ἁμαρτήσονται. Καὶ πῶς ἂν εἴη τὴν σοφίαν ταύτην ἀποθέσθαι, φησί; Μὴ κεχρημένον αὐτῶν τοῖς δόγμασιν.

Εἶτα, ἐπειδὴ οὕτως αὐτῆς σφοδρῶς ἀποστῆναι ἐκέλευσε, καὶ τὴν αἰτίαν τίθησι λέγων· «Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν». Οὐ γὰρ μόνον οὐδὲν συντελεῖ, ἀλλὰ καὶ ἐμποδίζει. Δεῖ τοίνυν αὐτῆς ἀπο-

νωμεν καὶ μωροὶ διὰ τὴν ζωὴν αὐτήν, ὁπότε μᾶς δίδει τὴν ἀληθῆ σοφίαν. Καὶ γίνεται· μωρὸς διὰ τὸν κόσμον αὐτὸς ποὺ περιφρονεῖ τὴν σοφίαν τοῦ κόσμου καὶ εἶναι πεπεισμένος ὅτι καθόλου δὲν τὸν ὠφελεῖ διὰ τὴν ἀπόκτησιν τῆς πίστεως. Ὅπως ἀκριβῶς λοιπὸν ἡ κατὰ Θεὸν πενία εἶναι αἰτία πλούτου καὶ ἡ ταπείνωσις ὕψους καὶ ἡ περιφρόνησις τῆς δόξης γίνεται αἰτία δόξης, ἔτσι καὶ τὸ νὰ γίνῃ κάποιος μωρὸς τὸν κάνει σοφώτερον ὅλων.

Καὶ διατί δὲν εἶπεν 'ἂς ἀποβάλῃ τὴν σοφίαν', ἀλλ' εἶπεν «ἂς γίνῃ μωρός»; Διὰ νὰ δείξῃ ὑπερβολικὴν περιφρόνησιν πρὸς τὴν κοσμικὴν μόρφωσιν· διότι βεβαίως δὲν ἦτο τὸ ἴδιον νὰ εἴπῃ 'ἀπόβαλε ἀπὸ ἐπάνω σου τὴν σοφίαν' μὲ τὸ νὰ εἴπῃ «γίνε μωρός». Γενικῶς δὲ καὶ μᾶς ἀσκεῖ νὰ μὴ ἐντρεπώμεθα ὅσα φαίνονται ἁπλοϊκὰ εἰς τὴν πίστιν μας· διότι πολὺ περιγελᾷ τὰ τοῦ κόσμου. Διὰ τὸν λόγον ἀκριβῶς αὐτὸν οὔτε τὰς λέξεις φοβεῖται, ἐπειδὴ ἔχει πεποίθησιν εἰς τὴν δύναμιν τῶν πραγμάτων. Ὅπως ἀκριβῶς ὁ σταυρός· ἐνῷ ἐθεωρεῖτο ἐπονείδιστον πρᾶγμα, ἔχει γίνει αἴτιος μυρίων ἀγαθῶν καὶ πηγὴ καὶ ρίζα ἀφάτου δόξης, ἔτσι καὶ ἡ θεωρουμένη μωρία ἔγινε διὰ μᾶς αἰτία σοφίας. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ποὺ ἔχει μάθει κάτι λανθασμένα· ἂν δὲν ἀπομάθῃ τὸ πᾶν καὶ δὲν κάνῃ λείαν τὴν ψυχήν του καὶ δὲν τὴν παράσχῃ καθαρὰν εἰς ἐκεῖνον ποὺ πρόκειται νὰ γράψῃ ἐπάνω της τὴν νέαν γνῶσιν, δὲν θὰ μάθῃ τίποτε σαφὲς ἀπὸ τὰς ὀρθὰς γνώσεις· ἔτσι συμβαίνει καὶ μὲ τὴν σοφίαν τοῦ κόσμου· ἂν δὲν ἀποβάλῃς τὸ πᾶν καὶ δὲν καθαρίσῃς τὴν διάνοιάν σου καὶ δὲν παράσχῃς τὸν ἑαυτόν σου εἰς τὴν πίστιν ὡς ἁπλοϊκόν, δὲν θά μάθῃς μὲ ἀκρίβειαν τίποτε τὸ σημαντικόν. Διότι καὶ ὅσοι δὲν βλέπουν καλῶς, ἂν δέν κλείσουν τοὺς ὀφθαλμούς των καὶ δὲν παραδοθοῦν εἰς ἄλλους, ἀλλὰ ἀναθέσουν τοὺς ἑαυτούς των εἰς τὴν ἐλαττωματικὴν ὅρασιν τῶν ὀφθαλμῶν των, θὰ κάνουν πολὺ περισσότερα σφάλματα ἀπὸ τοὺς τυφλούς. Καὶ πῶς εἶναι δυνατόν, θὰ ἔλεγε κάποιος, νὰ ἀποβάλῃ κανεὶς αὐτὴν τὴν σοφίαν; Μὲ τὸ νὰ μὴ χρησιμοποιῇ τὰ δόγματά των.

Κατόπιν, ἐπειδὴ μὲ τόσην σφοδρότητα προέτρεψε νὰ ἀποβάλουν αὐτὴν τὴν σοφίαν, δίδει καὶ τὴν δικαιολογίαν λέγων· «Διότι ἡ σοφία τοῦ κόσμου αὐτοῦ εἶναι μωρία κατὰ τὴν κρίσιν τοῦ Θεοῦ»· δηλαδὴ ὄχι μόνον καθόλου δὲν ὠφελεῖ, ἀλλὰ καὶ ἐμποδίζει. Πρέπει λοιπὸν νὰ ἀπομακρυνθῶμεν ἀπὸ αὐτήν, διότι πράγματι βλά-

στῆναι ἅτε βλαπτούσης. Ὁρᾷς πῶς ἐκ περιουσίας ἤνεγκε τὰ νικητήρια ἀποδείξας ὡς οὐ μόνον ἡμᾶς οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ ἐναντιοῦται; Καὶ οὐδὲ ταῖς οἰκείαις ἀρκεῖται κατασκευαῖς, ἀλλὰ καὶ μαρτυρίαν ἐπήγαγε πάλιν λέγων· «Γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν». Ἢ σοφοὺς ἐν τῇ πανουργίᾳ ἢ δρασσόμενος ἐν τῇ πανουργία, τουτέστι τοῖς οἰκείοις ὅπλοις αὐτοὺς χειρούμενος. Ἐπειδὴ γὰρ τῇ σοφίᾳ ἐχρήσαντο εἰς τὸ μὴ δεηθῆναι τοῦ Θεοῦ, δι' αὐτῆς ταύτης ἤλεγξεν αὐτοὺς ὅτι μάλιστα δέονται Θεοῦ. Πῶς καὶ τίνι τρόπω; Ὅτι μωροὶ γενόμενοι δι' αὐτῆς εἰκότως δι' αὐτῆς ἑάλωσαν. Οἱ γὰρ νομίζοντες μὴ δεῖσθαι Θεοῦ εἰς τοσαύτην κατέστησαν χρείαν, ὡς ἁλιέων καὶ ἀγραμμάτων ἐλάττους φανῆναι, καὶ αὐτῶν τούτων δεηθῆναι λοιπόν. Διὰ τοῦτό φησιν· ἐν τῇ πανουργίᾳ αὐτῶν εἷλεν αὐτούς. Τὸ μὲν γὰρ εἰπεῖν, «Ἀπολῶ τὴν σοφίαν», πρὸς τὸ μηδὲν χρήσιμον εἰσαγαγεῖν εἴρηται· τὸ δὲ «Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν» πρὸς τὸ δεῖξαι τοῦ Θεοῦ τὴν δύναμιν.

2. Εἶτα καὶ τὸν τρόπον λέγει, καθ' ὃν εἷλεν, ἑτέραν προσθεὶς μαρτυρίαν· «Κύριος», γὰρ φησί, «γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι». Ὅταν δὲ ἡ σοφίᾳ ἡ ἄπειρος ταῦτα περὶ αὐτῶν ψηφίζηται καὶ ἀποφαίνῃ τοιούτους, ποίαν ἑτέραν ζητεῖς ἀπόδειξιν τῆς ἐσχάτης ἀνοίας αὐτῶν; Αἱ μὲν γὰρ τῶν ἀνθρώπων κρίσεις πολλαχοῦ διαπίπτουσιν, ἡ δέ τοῦ Θεοῦ ψῆφος ἄληπτος καὶ ἀδέκαστος πανταχοῦ. Στήσας τοίνυν τὸ τρόπαιον οὕτω λαμπρὸν τῆς ἄνωθεν κρίσεως καταφορικῷ λοιπὸν κέχρηται τῷ λόγῳ πρὸς τοὺς ἀρχομένους ἀποστρέψας αὐτὸν καὶ λέγων οὕτως· «Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστι». Πάλιν ἐπὶ τὸ πρότερον ἔρχεται δεικνὺς ὅτι οὐδὲ ἐπὶ τοῖς πνευματικοῖς ὀφείλουσι μέγα φρονεῖν ἅτε οὐδὲν παρ' ἑαυτῶν ἔχοντες. Ὅταν οὖν ἡ μὲν ἔξωθεν σοφία βλαβερὰ ᾖ, τὰ δὲ πνευματικὰ μὴ παρ' ὑμῶν ᾖ δεδομένα, πόθεν ἔχεις καυχᾶσθαι; Καὶ ἐπὶ μὲν τῆς ἔξω-

---

2. αὐτ. 20.
3. αὐτ. 21.

πτει. Βλέπεις πῶς ἐθριάμβευσεν, ἀποδείξας ὅτι ὄχι μόνον καθόλου δὲν μᾶς ὠφελεῖ, ἀλλὰ καὶ μᾶς ἐναντιοῦται; Καὶ δὲν ἀρκεῖται εἰς τὰ ἰδικά του ἐπιχειρήματα, ἀλλὰ προσέθεσεν ἐπίσης καὶ ἄλλην μαρτυρίαν λέγων· «Διότι εἶναι γραμμένον· Αὐτὸς ποὺ πιάνει τοὺς σοφοὺς εἰς τὴν πανουργίαν των». Ἢ σοφοὺς ἐν τῇ πανουργίᾳ των ἢ δρασσόμενος ἐν τῇ πανουργίᾳ των, δηλαδὴ ὑποτάσσων αὐτοὺς μὲ τὰ ἴδια τὰ ὅπλα των. Ἐπειδὴ δηλαδὴ ἐστηρίχθησαν εἰς τὴν σοφίαν των εἰς τὴν προσπάθειάν των νὰ μὴ ἔχουν ἀνάγκην τοῦ Θεοῦ, μὲ αὐτὴν τὴν ἰδίαν σοφίαν τοὺς ἀπέδειξεν ὅτι ἔχουν μεγάλην ἀνάγκην τοῦ Θεοῦ. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ ὅτι, ἀφοῦ ἔγιναν μωροὶ ἐξ αἰτίας αὐτῆς, κατὰ φυσικὸν λόγον κατενικήθησαν δι' αὐτῆς. Ὅσοι δηλαδὴ ἐνόμιζον ὅτι δὲν εἶχον ἀνάγκην τοῦ Θεοῦ εὑρέθησαν εἰς τόσον μεγάλην ἀνάγκην, ὥστε ἐφάνησαν κατώτεροι ἀπὸ ἁλιεῖς καὶ ἀγραμμάτους, καὶ ἐν συνεχείᾳ αὐτοὺς ἀκριβῶς ἐχρειάσθησαν. Διὰ τοῦτο λέγει ὅτι ἐν τῇ πανουργίᾳ των κατέβαλεν αὐτούς. Τὸ νὰ εἴπῃ δηλαδὴ «Θὰ ἐξαφανίσω τὴν σοφίαν τοῦ κόσμου», τὸ εἶπε διὰ νὰ δείξῃ ὅτι αὐτὴ δὲν ἔφερε τίποτε χρήσιμον· τὸ δὲ «Αὐτὸς ποὺ πιάνει τοὺς σοφοὺς εἰς τὴν πανουργίαν των» τὸ εἶπε, διὰ νὰ δείξῃ τὴν δύναμιν τοῦ Θεοῦ.

2. Ἐν συνεχείᾳ ἀναφέρων ἄλλην μαρτυρίαν προσδιορίζει καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον κατέβαλε τοὺς σοφούς, διότι λέγει· «Ὁ Κύριος γνωρίζει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἶναι μάταιοι»[2]. Ὅταν δὲ ἡ ἄπειρος σοφία ἔχῃ αὐτὴν τὴν γνώμην περὶ αὐτῶν καὶ τέτοιους τοὺς ἀποκαλύπτει, ποίαν ἄλλην ἀπόδειξιν ζητεῖς διὰ τὴν τελείαν μωρίαν των; Διότι αἱ μὲν κρίσεις τῶν ἀνθρώπων σφάλλουν εἰς πολλὰ θέματα, ἡ κρίσις ὅμως τοῦ Θεοῦ εἰς ὅλα τὰ θέματα εἶναι ἀκατάληπτος καὶ ἀδέκαστος. Ἀφοῦ λοιπὸν ἐπαρουσίασε τὴν λαμπρὰν ὑπεροχὴν τῆς θεϊκῆς κρίσεως, εἰς τὴν συνέχειαν κάμνει ἔντονον τὸν λόγον του, ἀφοῦ τὸν ἔστρεψε πάλιν πρὸς τοὺς ἀρχομένους λέγων τὰ ἑξῆς· «Ὥστε κανεὶς ἂς μὴ καυχᾶται διὰ τοὺς ἀνθρώπους· διότι ὅλα εἶναι ἰδικά σας»[3]. Πάλιν ἐπανέρχεται εἰς τὸ προηγούμενον θέμα δεικνύων ὅτι δὲν πρέπει νὰ μεγαλοφρονοῦμεν οὔτε διὰ τὰ πνευματικά, διότι πράγματι δὲν ἔχομεν τίποτε ἀπὸ τοὺς ἑαυτούς μας. Ἐφ' ὅσον λοιπὸν ἡ μὲν σοφία τοῦ κόσμου εἶναι βλαβερά, τὰ δὲ πνευματικὰ δὲν ἔχουν δοθῆ ἀπὸ ἐσᾶς, ἀπὸ ποῦ ἔχεις τὸ δικαίωμα νὰ καυχᾶσαι; Καὶ διὰ μὲν τὴν σοφίαν τοῦ

θεν σοφίας «μηδεὶς ἑαυτὸν ἐξαπατάτω» φησίν, ἐπειδὴ ἐπὶ πράγματι ἐφρόνουν βλαβερῷ· ἐνταῦθα δέ, ἐπειδὴ τὸ πρᾶγμα ὠφέλειαν ἔχει, «μηδεὶς καυχάσθω» καὶ ἡμερώτερον κέχρηται τῷ λόγῳ.

«Πάντα γὰρ ὑμῶν ἐστιν· εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ». Ἐπειδὴ γὰρ σφόδρα αὐτῶν καθήψατο, πάλιν αὐτοὺς ἀνακτᾶται. Καὶ ἀνωτέρω μὲν ἔλεγε, «Συνεργοί ἐσμεν τοῦ Θεοῦ» καὶ δι᾽ ἑτέρων δὲ πλειόνων αὐτοὺς παρεμυθήσατο· καὶ ἐνταῦθα δέ φησι, «Πάντα ὑμῶν ἐστι» καθαιρῶν τὸν τῦφον τῶν διδασκάλων καὶ δεικνὺς ὅτι οὐ μόνον οὐδὲν αὐτοῖς χαρίζονται, ἀλλ᾽ ὅτι καὶ οὗτοι ἐκείνοις χάριν ἔχειν ὀφείλουσι· διὰ γὰρ αὐτοὺς τοιοῦτοι γεγόνασιν, ἀλλὰ καὶ χάριν ἔλαβον. Ἀλλ᾽ ἐπειδὴ ἔμελλον καὶ αὐτοὶ καυχᾶσθαι, διὰ τοῦτο προεξέκοψε καὶ τοῦτο τὸ νόσημα εἰπών, «Ἑκάστῳ ὡς ὁ Θεὸς ἔδωκε» καὶ ὅτι «Ὁ Θεὸς ηὔξανεν», ἵνα μήτε ἐκεῖνοι ὡς παρέχοντες μέγα φρονῶσι μήτε οὗτοι διὰ τὸ ἀκοῦσαι πάλιν «Πάντα ὑμῶν ἐστι» πάλιν ἐπαίρωνται. Καὶ γὰρ εἰ καὶ δι᾽ ὑμᾶς, ἀλλ᾽ ὑπὸ τοῦ Θεοῦ τὸ πᾶν γεγένηται.

Σὺ δέ μοι σκόπει, πῶς μέχρι τέλους παρέμενε τὸ ἑαυτοῦ ὄνομα καὶ τὸ Πέτρου ὑποτιθείς. Τί δέ ἐστιν «εἴτε θάνατος»; Ὅτι κἂν ἀποθνήσκωσι, δι᾽ ὑμᾶς ἀποθνήσκουσι, κινδυνεύοντες ὑπρ τῆς ὑμετέρας σωτηρίας. Ὁρᾷς πῶς πάλιν τῶν μὲν μαθητῶν καθεῖλε τὸ φρόνημα, τῶν δὲ διδασκάλων ἐπῆρεν; Ὡς γὰρ παισὶν εὐγενέσι παιδαγωγοὺς ἔχουσι καὶ μέλλουσι πάντα κληρονομεῖν οὕτω διαλέγεται. Ἔστι καὶ ἑτέρως εἰπεῖν, ὅτι καὶ ὁ τοῦ Ἀδὰμ θάνατος δι᾽ ἡμᾶς, ἵνα σωφρονισθῶμεν, καὶ ὁ τοῦ Χριστοῦ, ἵνα σωθῶμεν. «Ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ». Ἑτέρως ἡμεῖς τοῦ Χριστοῦ καὶ ἑτέρως ὁ Χριστὸς τοῦ Θεοῦ καὶ ἑτέρως ἡμῶν ὁ κόσμος. Ἡμεῖς μὲν γὰρ τοῦ Χριστοῦ ὡς ἔργον, ὁ

---

1. αὐτ. 22-23.

κόσμου λέγει «κανεὶς ἂς μὴ ἐξαπατᾷ τὸν ἑαυτόν του», διότι ἐμεγαλοφρόνουν διὰ πρᾶγμα βλαβερόν· ἐδῶ ὅμως, ἐπειδὴ τὸ πρᾶγμα φέρει ὠφέλειαν, λέγει «κανεὶς ἂς μὴ καυχᾶται» καὶ ὁ λόγος του εἶναι ἠπιώτερος.

«Διότι ὅλα τὰ ἰδικά σας· εἴτε ὁ Παῦλος εἴτε ὁ Ἀπολλὼς εἴτε ὁ Κηφᾶς εἴτε ὁ κόσμος εἴτε ἡ ζωὴ εἴτε ὁ θάνατος εἴτε τὰ παρόντα, εἴτε τὰ μέλλοντα, ὅλα εἶναι ἰδικά σας, σεῖς δὲ εἴσθε τοῦ Χριστοῦ, ὁ δὲ Χριστὸς τοῦ Θεοῦ»[4]. Ἐπειδὴ δηλαδὴ εἶχεν ἐπιτεθῆ μὲ σφοδρότητα ἐναντίον των, πάλιν τοὺς τονώνει. Καὶ ἀνωτέρω μὲν ἔλεγε, «Συνεργοὶ εἴμεθα τοῦ Θεοῦ» καὶ δι' ἄλλων περισσοτέρων λόγων τοὺς ἐνεθάρρυνεν, ἐδῶ δὲ λέγει· «Ὅλα εἶναι ἰδικά σας», καταδικάζων τὴν ἔπαρσιν τῶν διδασκάλων καὶ δεικνύων ὅτι αὐτοὶ ὄχι μόνον δὲν κάμνουν κανένα χάρισμα εἰς τοὺς πιστούς, ἀλλ' ὅτι καὶ οἱ ἴδιοι ὀφείλουν νὰ χρεωστοῦν εὐγνωμοσύνην εἰς ἐκείνους· διότι χάρις εἰς αὐτοὺς ἔγιναν διδάσκαλοι καὶ ἔλαβον τὴν χάριν. Ἀλλὰ ἐπειδὴ καὶ οἱ πιστοὶ θὰ ἐκαυχῶντο, διὰ τοῦτο ἐκ τῶν προτέρων ἐξερρίζωσε καὶ τοῦτο τὸ νόσημα μὲ τὸ νὰ εἴπῃ, «Ὅπως ἔδωσεν εἰς τὸν καθένα ὁ Θεός», καὶ ὅτι, «Ὁ Θεὸς ηὔξησεν», ὥστε μήτε οἱ διδάσκαλοι νὰ μεγαλοφρονοῦν ὡς παρέχοντες, μήτε πάλιν οἱ πιστοὶ νὰ ἐπαίρωνται μὲ τὸ νὰ ἀκούσουν «Ὅλα εἶναι ἰδικά σας». Διότι πράγματι, καὶ ἂν ἀκόμη κάτι συμβαίνῃ πρὸς χάριν σας, πάντως τὸ πᾶν γίνεται ὑπὸ τοῦ Θεοῦ.

Σὺ ὅμως πρόσεξε, σὲ παρακαλῶ, πῶς ἐπέμενε μέχρι τέλους νὰ θέτῃ τὸ ἰδικόν του ὄνομα καὶ τὸ ὄνομα τοῦ Πέτρου. Καὶ τί σημαίνει «εἴτε θάνατος»; Ὅτι καὶ ἂν ἀποθνήσκουν, ἀποθνήσκουν πρὸς χάριν σας, κινδυνεύοντες διὰ τὴν σωτηρίαν σας. Βλέπεις πάλιν πῶς ἐταπείνωσε μὲν τὸ φρόνημα τῶν μαθητῶν, ὕψωσε δὲ τὸ φρόνημα τῶν διδασκάλων; Ὁμιλεῖ ἔτσι ὡσὰν ν' ἀπευθύνεται εἰς παιδιὰ μὲ εὐγενικὴν καταγωγήν, ποὺ ἔχουν παιδαγωγοὺς καὶ πρόκειται νὰ κληρονομήσουν τὰ πάντα. Ἠμποροῦμεν καὶ ἀλλιῶς νὰ τὸ εἴπωμεν, ὅτι δηλαδὴ καὶ ὁ θάνατος τοῦ Ἀδὰμ ἔγινε πρὸς χάριν μας, διὰ νὰ σωφρονισθῶμεν, ὡς ἐπίσης καὶ ὁ θάνατος τοῦ Χριστοῦ, διὰ νὰ σωθῶμεν. «Σεῖς δὲ τοῦ Χριστοῦ, ὁ δὲ Χριστὸς τοῦ Θεοῦ». Ὑπὸ ἄλλην ἔννοιαν ἡμεῖς εἴμεθα τοῦ Χριστοῦ, ὑπὸ ἄλλην ἔννοιαν ὁ Χριστὸς εἶναι τοῦ Θεοῦ καὶ ὑπὸ ἄλλην ὁ κόσμος εἶναι ἰδικός μας. Δηλαδή, ἡμεῖς μὲν εἴμεθα τοῦ Χριστοῦ ὡς ἔρ-

δὲ Χριστὸς τοῦ Θεοῦ ὡς γέννημα γνήσιον, οὐχ ὡς ἔργον, ὥσπερ οὐδὲ ὁ κόσμος ἡμῶν. Ὥστε, εἰ καὶ μία ἡ λέξις, ἀλλὰ διάφορος ἡ ἔννοια. Ἡμῶν μὲν γὰρ ὁ κόσμος ὡς δι' ἡμᾶς γεγενημένος, ὁ δὲ Χριστὸς τοῦ Θεοῦ ὡς αὐτὸν αἴτιον ἔχων κατὰ τὸ Πατέρα εἶναι· ἡμεῖς δὲ τοῦ Χριστοῦ ὡς ὑπ' αὐτοῦ κατασκευασθέντες. Εἰ δὲ ἐκεῖνοι ὑμῶν, φησί, τί τοὐναντίον ἐποιήσατε αὐτοῖς ἐπονομαζόμενοι, ἀλλ' οὐχὶ τῷ Χριστῷ καὶ τῷ Θεῷ;

«Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ». Ἐπειδὴ κατέβαλεν αὐτῶν τὸ φρόνημα, ὅρα πῶς πάλιν αὐτὸ ἀνακτᾶται λέγων, «ὡς ὑπηρέτας Χριστοῦ». Μὴ τοίνυν τὸν Δεσπότην ἀφεὶς ἀπὸ τῶν ὑπηρετῶν καλοῦ καὶ τῶν διακονουμένων. Οἰκονόμους δέ εἶπε δεικνὺς ὡς οὐχ ἅπασιν αὐτὰ χρὴ διδόναι, ἀλλ' οἷς δεῖ καὶ οἷς ἄξιον οἰκονομεῖν. «Ὁ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ». Τουτέστιν, ἵνα μὴ τὰ δεσποτικὰ σφετερίζηται, ἵνα μὴ ὡς δεσπότης ἑαυτῷ ἐκδικῇ, ἀλλ' ὡς οἰκονόμος διοικῇ· οἰκονόμου γὰρ τὸ διοικεῖν τὰ ἐγχειρισθέντα καλῶς· οὐκ αὐτοῦ λέγειν εἶναι τὰ δεσποτικά, ἀλλὰ τοὐναντίον τοῦ δεσπότου τὰ ἑαυτοῦ.

Ἕκαστος ταῦτα ἐννοῶν, καὶ ὁ λόγον ἔχων καὶ ὁ χρήματα κεκτημένος, οἷον ὅτι ἐπιστεύθη δεσποτικὰ καὶ οὐκ ἔστιν αὐτοῦ, μὴ κατεχέτω αὐτὰ παρ' ἑαυτῷ μήτε ἑαυτοῦ ἐπιψηφιζέτω, ἀλλὰ τῷ Θεῷ λογιζέσθω τῷ πάντα δεδωκότι. Θέλεις ἰδεῖν οἰκονόμους πιστούς; Ἄκουσον τί φησιν ὁ Πέτρος· «Τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;»· καὶ τῷ Κορνηλίῳ δὲ ἔλεγε, «Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι»· καὶ πρὸς τὸν Χριστὸν δέ, «Ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι». Καὶ ὁ Παῦλος δὲ εἰπὼν ὅτι «Περισσότερον

---

5. αὐτ. 4,1
6. αὐτ. 2.
7. Πρ. 3,12.
8. αὐτόθι 14,15. Πρβλ. 10,26.
9. Ματθ. 19,27.

γον, ὁ δὲ Χριστὸς τοῦ Θεοῦ ὡς γέννημα γνήσιον, ὄχι ὡς ἔργον, ὅπως ὑπὸ τὴν ἔννοιαν τοῦ ἔργου οὔτε ὁ κόσμος εἶναι ἰδικός μας. Ὥστε, ἂν καὶ μία εἶναι ἡ λέξις, ἀλλὰ ἡ ἔννοια εἶναι διάφορος. Δηλαδή, ὁ κόσμος εἶναι ἰδικός μας, διότι ἔχει γίνει δι' ἡμᾶς, ὁ δὲ Χριστὸς εἶναι τοῦ Θεοῦ, διότι αὐτὸν ἔχει αἴτιον τῆς γεννήσεώς του, ἐπειδὴ εἶναι Πατήρ του· ἡμεῖς δὲ εἴμεθα τοῦ Χριστοῦ, διότι ἐδημιουργήθημεν ὑπ' αὐτοῦ. Ἐφ' ὅσον δὲ ἐκεῖνοι εἶναι ἰδικοί σας, λέγει, διατί ἐνεργήσατε ἀντιθέτως λαμβάνοντες τὸ ὄνομά σας ἀπὸ αὐτοὺς καὶ ὄχι ἀπὸ τὸν Χριστὸν καὶ τὸν Θεόν;

«Ἔτσι ἂς μᾶς θεωρῇ ὁ κάθε ἄνθρωπος, ὡσὰν ὑπερέτας τοῦ Χριστοῦ καὶ οἰκονόμους τῶν μυστηρίων τοῦ Θεοῦ»[5]. Ἀφοῦ ἐταπείνωσε τὸ φρόνημά των, κοίταξε πῶς πάλιν τὸ ἀνακτᾷ λέγων, «ὡσὰν ὑπηρέτας τοῦ Χριστοῦ». Μὴ λοιπὸν ἀφήνων τὸν Κύριόν σου, λαμβάνῃς τὴν ὀνομασίαν ἀπὸ τοὺς ὑπηρέτας καὶ τοὺς διακονουμένους. Τοὺς ὠνόμασε δὲ οἰκονόμους, διὰ νὰ δείξῃ ὅτι τὸ ἔργον αὐτὸ δὲν πρέπει νὰ τὸ ἀναθέτῃ κανεὶς εἰς ὅλους, ἀλλὰ εἰς ὅσους πρέπει καὶ εἰς ἐκείνους ποὺ εἶναι ἄξιοι νὰ εἶναι οἰκονόμοι. «Ἐκεῖνο λοιπὸν ποὺ ζητεῖται ἀπὸ τοὺς οἰκονόμους εἶναι νὰ μείνῃ ὁ καθένας πιστός»[6]. Δηλαδὴ νὰ μὴ σφετερίζεται τὴν ἐξουσίαν τοῦ Κυρίου του καὶ νὰ μὴ προβαίνῃ εἰς τιμωρίαν διὰ προσωπικήν του ἱκανοποίησιν, ὡσὰν κύριος, ἀλλὰ νὰ διοικῇ ὡς οἰκονόμος· καὶ ἔργον τοῦ οἰκονόμου εἶναι νὰ διοικῇ καλῶς ὅσα τοῦ ἐνεπιστεύθησαν· δὲν πρέπει νὰ λέγῃ ὅτι εἶναι ἰδικά του ὅσα ἀνήκουν εἰς τὸν κύριόν του, ἀλλ' ἀντιθέτως νὰ λέγῃ ὅτι τὰ ἰδικά του ἀνήκουν εἰς τὸν κύριόν του.

Αὐτὰ ἔχων εἰς τὸν νοῦν του κάθε ἕνας, καὶ ἐκεῖνος ποὺ ἔχει τὸ χάρισμα τοῦ λόγου καὶ ἐκεῖνος ποὺ ἔχει περιουσίαν, δηλαδὴ ὅτι τοῦ ἐνεπιστεύθησαν πράγματα, τὰ ὁποῖα ἀνήκουν εἰς τὸν κύριόν του καὶ δὲν εἶναι ἰδικά του, ἂς μὴ κατέχῃ αὐτὰ διὰ τὸν ἑαυτόν του οὔτε νὰ τὰ θεωρῇ ἰδικά του, ἀλλὰ νὰ θεωρῇ ὅτι ἀνήκουν εἰς τὸν Θεόν, ὁ ὁποῖος τὰ δίδει ὅλα. Θέλεις νὰ ἴδῃς πιστοὺς οἰκονόμους; Ἄκουσε τί λέγει ὁ Πέτρος· «Διατί μᾶς βλέπετε ὡσὰν νὰ ἔχωμεν κάμει αὐτὸν νὰ περιπατῇ μὲ τὴν ἰδικήν μας δύναμιν ἢ εὐσέβειαν»[7]· καὶ εἰς τὸν Κορνήλιον ἔλεγε· «Καὶ ἐμεῖς εἴμεθα ἄνθρωποι ὁμοιοπαθεῖς μὲ ἐσᾶς»[8]· καὶ πρὸς τὸν Χριστόν· «Ἰδού, ἀφήσαμεν τὰ πάντα καὶ σὲ ἠκολουθήσαμεν».[9] Ἐξ ἄλλου καὶ ὁ Παῦλος,

αὐτῶν πάντων ἐκοπίασα», ἐπήγαγεν· «οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί». Καὶ ἀλλαχοῦ δὲ πρὸς τοὺς αὐτοὺς ἀποτεινόμενος ἔλεγε, «Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;». Οὐδὲν γὰρ ἔχεις σόν, οὐ χρήματα, οὐ λόγον, οὐ ψυχὴν αὐτήν· καὶ γὰρ αὕτη τοῦ δεσπότου.

3. Ὅταν οὖν χρεία καλῇ, καὶ ταύτην κατάθου. Εἰ δὲ φιλοζωεῖς καὶ κελευόμενος καταθεῖναι ἀντιλέγεις, οὐκέτι πιστὸς οἰκονόμου εἶ. Καὶ πῶς ἔνι Θεοῦ καλοῦντος ἀντιστῆναι; Τοῦτο γὰρ κἀγώ φημι, καὶ διὰ τοῦτο αὐτὸ μάλιστα θαυμάζω τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι ἃ δύναται καὶ ἄκοντός σου παρὰ σοῦ λαβεῖν, ταῦτα οὐ βούλεται ἄκοντος εἰσενεχθῆναι, ἵνα καὶ μισθὸν ἔχῃς. Οἷον, δύναται τὴν ψυχὴν λαβεῖν ἄκοντος, ἀλλ' ἑκόντος βούλεται, ἵνα λέγῃς κατὰ Παῦλον· «Καθ' ἡμέραν ἀποθνήσκω». Δύναταί σου τὴν δόξαν λαβεῖν ἄκοντος καὶ ποιῆσαι ταπεινόν, ἀλλὰ παρ' ἑκόντος θέλει, ἵνα ἀμοιβὴν ἔχῃς. Δύναταί σε ποιῆσαι πένητα καὶ μὴ βουλόμενον, ἀλλ' ἑκόντα σε βούλεται γενέσθαι τοιοῦτον, ἵνα σοι πλέξῃ στεφάνους.

Εἶδες Θεοῦ φιλανθρωπίαν; εἶδες νωθείαν ἡμετέραν; Ἐπ' ἀξιώματος ἐγένου μεγάλου καὶ ἀρχῆς ἐπελάβου ποτὲ ἐκκλησιαστικῆς; Μὴ μέγα φρόνει· οὐ σὺ τὴν δόξα ἐκτήσω, ἀλλ' ὁ Θεός σε ἐνέδυσεν. Ὡς ἀλλοτρίας τοίνυν φείδου μὴ καταχρώμενος αὐτῇ μηδὲ ἀποχρώμενος εἰς τὰ μὴ προσήκοντα μηδὲ φυσώμενος μηδὲ σφετεριζόμενος, ἀλλὰ πένητα σαυτὸν εἶναι νομίζων καὶ ἄδοξον. Οὐ γάρ, εἰ πορφύραν βασιλικὴν ἐνεχειρίσθης φυλάττειν, ἔδει καταχρήσασθαι τῇ στολῇ καὶ λυμήνασθαι, ἀλλὰ μετὰ πλείονος αὐτὴν τῆς ἀκριβείας τηρεῖν τῷ δεδωκότι.

Λόγον ἔλαβες; Μὴ φυσῶ μηδὲ ἀλαζονεύου· οὐ γάρ ἐστι σὸν τὸ χάρισμα. Μὴ ἀγνώμων ἔσο περὶ τὰ δεσποτικά, ἀλλὰ διάνεμε τοῖς συνδούλοις, καὶ μήτε ὡς ἐπὶ ἰδίοις ἐπαίρου τούτοις μήτε φείδου, ὥστε διανέμειν. Κἂν παῖδας

---

10. Α' Κορ. 15,10.
11. αὐτ. 4,7
12. αὐτ. 15,31.

ἀφοῦ εἶπεν ὅτι ἐκοπίασα περισσότερον ἀπὸ ὅλους αὐτούς, ὄχι ὅμως ἐγώ, ἀλλὰ ἡ χάρις ποὺ εἶναι μαζί μου»[10]. Καὶ εἰς ἄλλο σημεῖον ἀποτεινόμενος πρὸς τοὺς ἰδίους ἔλεγε· «καὶ τί ἔχεις τὸ ὁποῖον δὲν τὸ ἔλαβες;»[11]. Δηλαδὴ τίποτε δὲν ἔχεις ἰδικόν σου, οὔτε χρήματα οὔτε τὸν λόγον οὔτε τὴν ἰδίαν τὴν ψυχήν σου· διότι πράγματι αὐτὴ εἶναι τοῦ Κυρίου σου.

3. Ὅταν λοιπὸν τὸ ἀπαιτῇ ἡ ἀνάγκη, καὶ αὐτὴν θυσίασέ την. Ἐὰν ὅμως ἀγαπᾷς τὴν ζωήν σου καί, ἐνῷ σοῦ ζητεῖται νὰ τὴν θυσιάσῃς, σὺ ἀντιλέγῃς, δὲν εἶσαι πλέον πιστὸς οἰκονόμος. Καὶ πῶς εἶναι δυνατὸν νὰ ἀντισταθῇ κανείς, ὅταν ὁ Θεὸς καλῇ; Αὐτὸ ἀκριβῶς καὶ ἐγὼ ἐρωτῶ, καὶ ἀκριβῶς διὰ τοῦτο μένω κατάπληκτος ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, διότι αὐτὰ ποὺ δύναται νὰ τὰ λάβῃ ἀπὸ ἐσὲ καὶ χωρὶς τὴν θέλησίν σου, αὐτὰ δὲν θέλει νὰ τὰ ἔχῃ χωρὶς τὴν θέλησίν σου, διὰ νὰ ἔχῃς καὶ μισθόν. Ἐπὶ παραδείγματι ἠμπορεῖ νὰ λάβῃ τὴν ζωήν σου χωρὶς τὴν θέλησίν σου, ἀλλὰ τὴν θέλει μὲ τὴν θέλησίν σου, διὰ νὰ λέγῃς κατὰ τὸν Παῦλον· «Ἀποθνήσκω καθημερινῶς»[12]. Ἠμπορεῖ χωρὶς νὰ τὸ θέλῃς νὰ σοῦ ἀφαιρέσῃ τὴν δόξαν καὶ νὰ σὲ κάνῃ ταπεινόν, ἀλλὰ τὴν θέλει μὲ τὴν θέλησίν σου, διὰ νὰ ἔχῃς ἀμοιβήν. Ἠμπορεῖ νὰ σὲ κάνῃ πτωχὸν καὶ χωρὶς τὴν θέλησίν σου, ἀλλὰ θέλει νὰ γίνῃς τέτοιος μὲ τὴν θέλησίν σου, διὰ νὰ σοῦ πλέξῃ στεφάνους.

Εἶδες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; εἶδες τὴν ἰδικήν μας ραθυμίαν; Ἀπέκτησες μέγα ἀξίωμα καὶ ἀνέλαβες τέλος πάντων ἐκκλησιαστικὴν ἐξουσίαν; Μὴ μεγαλοφρονῇς· δὲν ἀπέκτησες σὺ τὴν δόξαν, ἀλλ' ὁ Θεὸς σὲ ἐνέδυσε μὲ αὐτήν. Νὰ τὴν διαχειρίζεσαι λοιπὸν μὲ περίσκεψιν ὡς ξένην καὶ νὰ μὴ κάνῃς κατάχρησιν αὐτῆς οὔτε νὰ τὴν χρησιμοποιῇς δι' ἀπρεπῆ ἔργα οὔτε νὰ ὑπερηφανεύεσαι δι' αὐτὴν μήτε νὰ τὴν σφετερίζεσαι, ἀλλὰ νὰ θεωρῇς τὸν ἑαυτόν σου πτωχὸν καὶ ἄδοξον. Διότι, ἐὰν σοῦ ἀνέθετον νὰ φυλάξῃς βασιλικὴν πορφύραν, δὲν θὰ ἔπρεπε νὰ τὴν ἰδιοποιηθῇς καὶ νὰ τὴν καταστρέψῃς, ἀλλὰ μὲ πολλὴν προσοχὴν νὰ τὴν διατηρῇς δι' ἐκεῖνον ποὺ σοῦ τὴν ἔχει δώσει.

Ἔλαβες τὸ χάρισμα τῆς εὐγλωττίας; Μὴ ὑπερηφανεύεσαι οὔτε νὰ ἀλαζονεύεσαι, διότι τὸ χάρισμα δὲν εἶναι ἰδικόν σου. Μὴ εἶσαι ἀγνώμων εἰς τὰς δωρεὰς τοῦ Κυρίου σου, ἀλλὰ μοίραζε εἰς τοὺς συνδούλους σου, καὶ οὔτε νὰ ὑπερηφανεύεσαι δι' αὐτὰ ὡς νὰ

ἔχῃς, τοῦ Θεοῦ ἔχεις. Ἂν οὕτω νομίζῃς, καὶ ἔχων εὐχαριστήσεις καὶ ἀφαιρεθεὶς οὐκ ἀλγήσεις· οἷος ἦν ὁ Ἰὼβ λέγων, «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Πάντα γὰρ τὰ τοῦ Χριστοῦ ἔχομεν· καὶ αὐτὸ τὸ εἶναι δι' αὐτοῦ ἔχομεν, καὶ τὸ ζῆν καὶ τὸ ἀναπνεῖν καὶ τὸ φῶς καὶ τὸν ἀέρα καὶ τὴν γῆν· κἂν ἀποκλείσῃ τι τούτων, ἀπωλόμεθα καὶ διεφθάρημεν· πάροικοι γάρ ἐσμεν καὶ παρεπίδημοι. Τὸ δὲ ἐμὸν καὶ τὸ σὸν τοῦτο ῥήματά ἐστι ψιλὰ μόνον, ἐπὶ δὲ πραγμάτων οὐχ ἕστηκε. Καὶ γὰρ εἰ τὴν οἰκίαν σὴν εἶναι φῄς, ῥῆμά ἐστι πράγματος ἔρημον· καὶ γὰρ ὁ ἀὴρ καὶ γῆ καὶ ὕλη τοῦ δημιουργοῦ καὶ σὺ δὲ αὐτὸς ὁ κατασκευάσας αὐτὴν καὶ τὰ ἄλλα δὲ πάντα. Εἰ δὲ ἡ χρῆσις σή, ἀλλὰ καὶ αὐτὴ ἄδηλος οὐ διὰ τὸν θάνατον μόνον, ἀλλὰ καὶ πρὸ τοῦ θάνατου διὰ τὸ τῶν πραγμάτων εὐρίπιστον.

Ταῦτ' οὖν συνεχῶς παρ' ἑαυτοῖς γράφοντες φιλοσοφήσωμεν, καὶ δύο τὰ μέγιστα κερδανοῦμεν· εὐχαριστοί τε ἐσόμεθα καὶ ἔχοντες καὶ ἀφαιρούμενοι, καὶ οὐ μὴ δουλεύσωμεν τοῖς παρατρέχουσι καὶ τοῖς οὐχ ἡμῶν. Κἂν γὰρ χρήματα λάβῃ, τὰ αὐτοῦ ἔλαβε· κἂν τιμὴν καὶ δόξαν, κἂν τὸ σῶμα, κἂν αὐτὴν τὴν ψυχήν, κἂν τὸν υἱὸν τὸν σὸν λάβῃ, οὐ τὸν σὸν ἔλαβεν υἱὸν ἀλλὰ τὸν δοῦλον τὸν ἑαυτοῦ· οὐ γὰρ σὺ αὐτὸν ἔπλασας, ἀλλ' ἐκεῖνος ἐποίησε· σὺ δὲ ὑπηρέτησας μόνον τῇ παρόδῳ, τὸ δὲ πᾶν αὐτὸς εἰργάσατο. Εὐχαριστήσωμεν τοίνυν, ὅτι κατηξιώθημεν ὑπηρετῆσαι τῷ πράγματι. Ἀλλὰ τί; ἐβούλου διαπαντὸς ἔχειν; Τοῦτο ἀγνώμονος πάλιν καὶ οὐκ εἰδότος ὅτι ἀλλότριον εἶχες καὶ οὐκ ἴδιον. Ὥσπερ οὖν οἱ ἑτοίμως ἀφιστάμενοι ἴσασιν ὅτι οὐ τὰ αὐτῶν ἔχουσιν, οὕτως οἱ ἀλγοῦντες τὰ βασιλικὰ σφετερίζονται. Εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ἑαυτῶν, πῶς ἐκεῖνοι ἡμῶν; Διπλῇ γὰρ ἐσμεν αὐτοῦ, καὶ τῷ τῆς κτίσεως καὶ τῷ τῆς πίστεως λόγῳ. Διὰ τοῦτό φη-

---

13. Ἰὼβ 1,21.
14. Βλ. σχόλιον ἀριθμ. 18 Β' Λόγου τοῦ παρόντος

ἦσαν ἰδικά σου οὔτε νὰ τὰ λυπᾶσαι νὰ τὰ μοιράζῃς. Καὶ ἂν ἔχῃς παιδιά, τὰ ἔχεις ἀπὸ τὸν Θεόν. Ἂν ἔτσι σκέπτεσαι, καὶ ὅταν τὰ ἔχῃς, θὰ εὐγνωμονῇς, καὶ ἂν σοῦ ἀφαιρεθοῦν, δὲν θὰ λυπηθῇς· τέτοιος ἦτο ὁ Ἰὼβ ποὺ ἔλεγεν· «Ὁ Κύριος τὰ ἔδωσεν, ὁ Κύριος τὰ ἀφήρεσεν»[13]. Δηλαδὴ ὅλα ὅσα ἔχομεν εἶναι τοῦ Χριστοῦ· καὶ τὴν ἰδίαν τὴν ὕπαρξίν μας τὴν ἔχομεν χάρις εἰς αὐτόν, καὶ τὴν ζωήν μας καὶ τὴν ἀναπνοήν μας καὶ τὸ φῶς καὶ τὸν ἀέρα καὶ τὴν γῆν· καὶ ἂν μᾶς ἀφαιρέσῃ κάτι ἀπὸ αὐτά, ὁπωσδήποτε θὰ χαθοῦμε καὶ θὰ καταστραφοῦμε· εἴμεθα δηλαδὴ ξένοι καὶ παρεπίδημοι. Τὸ 'αὐτὸ εἶναι ἰδικόν μου' καὶ 'αὐτὸ ἰδικόν σου' εἶναι ἁπλαῖ λέξεις μόνον, δὲν ἀνταποκρίνονται εἰς τὴν πραγματικότητα· διότι πράγματι, ἐὰν εἰπῇς ὅτι ἡ οἰκία εἶναι ἰδική σου, εἶναι λέξις χωρὶς πραγματικὸν νόημα, καθ' ὅσον μάλιστα ὁ ἀὴρ καὶ τὸ χῶμα καὶ τὰ ὑλικὰ εἶναι τοῦ δημιουργοῦ, ἐνῷ σὺ ὁ ἴδιος εἶσαι ἐκεῖνος, ὁ ὁποῖος κατεσκεύασες αὐτὴν καὶ ὅλα τὰ ἄλλα. Ἐὰν δὲ ἡ χρῆσις εἶναι ἰδική σου, ἀλλὰ καὶ αὐτὴ εἶναι ἀβεβαία ὄχι μόνον λόγῳ τοῦ θανάτου, ἀλλὰ καὶ πρὸ τοῦ θανάτου λόγῳ τῆς ἀσταθείας τῶν πραγμάτων.

Χαράσσοντες λοιπὸν αὐτὰ συνεχῶς μέσα μας ἃς φιλοσοφήσωμεν[14], καὶ ἔτσι θὰ κερδίσωμεν τὰ δύο σημαντικώτατα· καὶ θὰ εἴμεθα εὐγνώμονες εἴτε ἔχοντες εἴτε στερούμενοι καὶ ἐπὶ πλέον δὲν θὰ γίνωμεν δοῦλοι εἰς πράγματα ἐφήμερα καὶ ξένα. Καὶ ἂν ἀκόμη δηλαδὴ λάβῃ ὁ Θεὸς χρήματά σου, τὰ ἰδικά του χρήματα ἔλαβε· καὶ ἂν λάβῃ τὴν τιμὴν καὶ δόξαν σου, καὶ ἂν τὸ σῶμα σου, καὶ ἂν τὴν ἰδίαν τὴν ζωήν σου, καὶ ἂν λάβῃ τὸν υἱόν σου, δὲν ἔλαβε τὸν ἰδικόν σου υἱόν, ἀλλὰ τὸν ἰδικόν του δοῦλον, διότι δὲν τὸν ἔπλασες σύ, ἀλλὰ ἐκεῖνος τὸν ἐδημιούργησε· σὺ μόνον ὑπηρέτησες τὸν ἐρχομόν του εἰς τὴν ζωήν, τὸ πᾶν ὅμως τὸ ἔπραξεν ὁ ἴδιος ὁ Θεός. Ἂς εἴμεθα εὐγνώμονες λοιπόν, διότι ἐκρίθημεν ἄξιοι νὰ ὑπηρετήσωμεν τὸ γεγονός. Ἀλλὰ τί; ἤθελες νὰ τὸν ἔχῃς πάντοτε; αὐτὸ δείχνει ὅτι εἶσαι ἀγνώμων καὶ δὲν γνωρίζεις ὅτι εἶχες κάτι, ποὺ ἦτο ξένον καὶ ὄχι ἰδικόν σου. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνοι ποὺ ἀποχωρίζονται προμύθως γνωρίζουν ὅτι δὲν κατέχουν ἰδικά των, ἔτσι ὅσοι θλίβονται σφετερίζονται πράγματα, ποὺ ἀνήκουν εἰς τὸν βασιλέα. Ἐφ' ὅσον δηλαδὴ ἡμεῖς δὲν εἴμεθα κύριοι τοῦ ἑαυτοῦ μας, πῶς ἐκεῖνοι θὰ ἀνήκουν εἰς ἡμᾶς; Διὰ δύο βεβαίως λόγους εἴμεθα ἰδικοί του. καὶ λόγῳ τῆς δημιουργίας μας καὶ λόγῳ τῆς

σιν ὁ Δαυΐδ, «Ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστι»· καὶ ὁ Παῦλος δὲ ὅτι «Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν». Καὶ τὸν περὶ τῆς πίστεως γυμνάζων λόγον φησὶν «Οὐκ ἐστὲ ἑαυτῶν» καὶ «Τιμῆς ἠγοράσθητε». Τὰ πάντα γὰρ τοῦ Θεοῦ.

Ὅταν οὖν καλῇ καὶ βούληται λαβεῖν, μὴ κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν φύρωμεν τὸν λόγον μηδὲ νοσφιζώμεθα τὰ δεσποτικά. Ἡ ψυχή σου οὐκ ἔστι σή, καὶ πῶς τὰ χρήματά ἐστι σά; Πῶς οὖν ἀναλίσκεις εἰς οὐδὲν δέον τὰ μὴ σά; Οὐκ οἶδας ὅτι διὰ τοῦτο μέλλομεν ἐγκαλεῖσθαι κακῶς αὐτοῖς χρησάμενοι; Ἐπειδὴ δὲ οὐκ ἔστιν ἡμέτερα, ἀλλὰ τοῦ δεσπότου, εἰς τοὺς ὁμοδούλους ἐχρῆν δαπανᾶν. Τοῦτο γοῦν καὶ ὁ πλούσιος ἐκεῖνος ἐνεκαλεῖτο ὅτι μὴ ἐποίησε, καὶ οἱ μὴ θρέψαντες τὸν Κύριον. Μὴ τοίνυν λέγε ὅτι 'τῶν ἐμαυτοῦ ἀναλίσκω καὶ ἐκ τῶν ἐμαυτοῦ τρυφῶ'. Οὐκ ἀπὸ τῶν ἑαυτοῦ ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων· ἀλλοτρίων δὲ λέγω, ἐπειδὴ σὺ βούλει· ἐπεὶ σὰ βούλεται εἶναι ὁ Θεὸς τὰ ὑπὲρ τῶν ἀδελφῶν ἐγχειρισθέντα σοι. Γίνεται δὲ σὰ τὰ ἀλλότρια, ἂν εἰς ἑτέρους ἀναλώσῃς· ἂν δὲ εἰς σαυτὸν ἀναλώσῃς ἀφειδῶς, ἀλλότρια γέγονε τὰ σά. Ἐπειδὴ γὰρ ὠμῶς αὐτοῖς κέχρησαι καὶ λέγεις ὅτι τὰ ἐμὰ εἰς ἐμὴν ἀπόλαυσιν μόνον ἀναλωθῆναι δίκαιον, διὰ τοῦτο ἀλλότρια αὐτὰ λέγω. Κοινὰ γάρ ἐστι σὰ καὶ τοῦ συνδούλου, ὥσπερ ἥλιος κοινὸς καὶ ἀὴρ καὶ γῆ καὶ τὰ ἄλλα πάντα. Καὶ καθάπερ ἐπὶ τοῦ σώματος, καὶ παντὸς ἐστι τοῦ σώματος καὶ ἑνὸς ἑκάστου μέλους ἡ διακονία· ὅταν δὲ ἑνὸς μόνου γίνηται μέλους, καὶ τὴν ἰδίαν ἀπόλλυσιν ἐνέργειαν· οὕτω καὶ ἐπὶ τῶν χρημάτων συμβαίνει.

Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἡ τροφὴ τοῦ σώματος ἡ κοινῇ δεδομένη τοῖς μέλεσιν, ἐὰν εἰς ἓν ἔλθῃ μέλος, κἀκείνου λοιπὸν ἀλλοτρία γίνεται. Ὅταν γὰρ μὴ δυνηθῇ πεφθῆναι μηδὲ θρέψαι, ἀλλοτρία κἀκείνου γέγονεν

πίστεώς μας. Διὰ τοῦτο ὁ Δαυῒδ λέγει· «Ἡ ὕπαρξίς μου ἐξαρτᾶται ἀπὸ ἐσέ»[15]· καὶ ὁ Παῦλος πάλιν ὅτι «Μέσα εἰς αὐτὸν ζῶμεν καὶ κινούμεθα καὶ ὑπάρχομεν»[16]. Ἐπίσης ἀναφερόμενος εἰς τὸν λόγον περὶ τῆς πίστεως λέγει· «Δὲν ἀνήκετε εἰς τοὺς ἑαυτούς σας»· καὶ «Ἐξηγοράσθητε μὲ τίμημα»[17]. Τὰ πάντα δηλαδὴ εἶναι τοῦ Θεοῦ.

Ὅταν λοιπὸν καλῇ καὶ θέλῃ νὰ λάβῃ, ἂς μὴ ἀναστατώνωμεν τὸν νοῦν μας, ὅπως κάνουν οἱ ἀγνώμονες δοῦλοι, καὶ οὔτε νὰ σφετεριζώμεθα τὰ ὅσα ἀνήκουν εἰς τὸν κύριον. Ἡ ψυχή σου δὲν εἶναι ἰδική σου, καὶ ἑπομένως πῶς εἶναι ἰδικά σου τὰ χρήματα; Πῶς λοιπὸν καταναλίσκεις ὅσα δὲν σοῦ ἀνήκουν δι' ἀνωφελεῖς σκοπούς; Δὲν γνωρίζεις ὅτι διὰ τοῦτο θὰ κατηγορηθῶμεν, ἐφ' ὅσον τὰ ἐχρησιμοποιήσαμεν κακῶς; Ἐπειδὴ δὲ δὲν εἶναι ἰδικά μας, ἀλλὰ τοῦ Κυρίου, διὰ τοῦτο ἔπρεπε νὰ τὰ δαπανῶμεν διὰ τοὺς συνδούλους μας. Ὡς γνωστόν, καὶ ὁ πλούσιος ἐκεῖνος κατηγορεῖτο διὰ τοῦτο ὅτι δὲν ἔκανεν ἐλεημοσύνας, ὡς ἐπίσης καὶ ἐκεῖνοι ποὺ δὲν ἔθρεψαν τὸν Κύριον. Μὴ λέγῃς λοιπὸν ὅτι καταναλίσκω ἀπὸ τὰ ἰδικά μου καὶ χαίρομαι τὰ ἰδικά μου. Δὲν καταναλίσκεις ἀπὸ τὰ ἰδικά σου, ἀλλὰ ξένα· καὶ τὰ λέγω ξένα, ἐπειδὴ σὺ τὸ θέλεις· διότι ὁ Θεὸς θέλει νὰ εἶναι ἰδικά σου ὅσα σοῦ ἐνεπιστεύθη πρὸς ὄφελος τῶν ἀδελφῶν σου. Γίνονται ἰδικά σου τὰ ξένα, ἂν τὰ καταναλώσῃς διὰ τοὺς ἄλλους· ἂν ὅμως τὰ σπαταλήσῃς διὰ τὸν ἑαυτόν σου, ξένα γίνονται τὰ ἰδικά σου. Ἐπειδὴ δηλαδὴ κακῶς χρησιμοποιεῖς αὐτὰ καὶ λέγεις ὅτι 'εἶναι δίκαιον νὰ καταναλίσκω τὰ ἰδικά μου διὰ τὴν ἰδικήν μου μόνον ἀπόλαυσιν', διὰ τοῦτο τὰ λέγω ξένα· διότι εἶναι κοινὰ ἰδικά σου καὶ τοῦ συνδούλου σου, ὅπως ἀκριβῶς κοινὸς εἶναι ὁ ἥλιος καὶ ὁ ἀὴρ καὶ ἡ γῆ καὶ πάντα τὰ ἄλλα. Καὶ ὅπως συμβαίνει μὲ τὸ σῶμα, ποὺ καὶ ὅλον τὸ σῶμα ὡς σύνολον καὶ κάθε ἓν μέλος χωριστὰ διακονεῖ, ἐνῷ ὅταν ἐνεργῇ ἓν μόνον μέλος, χάνει τελικῶς καὶ τὴν ἰδικήν του ἐνέργειαν, ἔτσι συμβαίνει καὶ μὲ τὰ χρήματα.

Καὶ διὰ νὰ γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, σᾶς ἀναφέρω τὸ ἑξῆς· ἐὰν ἡ τροφή, ποὺ ἔχει δοθῆ δι' ὅλα τὰ μέλη, ἔλθῃ εἰς ἓν

Ἂν δὲ κοινὴ γένηται, κἀκείνου καὶ πάντων ἐστὶν ἰδία. Οὕτω καὶ ἐπὶ τῶν χρημάτων· ἂν σὺ μόνος ἀπολαύσῃς, καὶ σὺ ἀπώλεσας· οὐ γὰρ αὐτῶν καρποῦσαι τὸν μισθόν. Ἂν δὲ μετὰ τῶν ἄλλων κτήσῃ, τότε μᾶλλον ἔσται σὰ καὶ τότε καρπώσῃ τὴν ὠφέλειαν. Οὐχ ὁρᾷς ὅτι χεῖρες διακονοῦνται καὶ στόμα λεαίνει καὶ γαστὴρ δέχεται; μὴ λέγει ἡ γαστήρ, ἐπειδὴ ἐδεξάμην, ὀφείλω τὸ πᾶν κατέχειν;

Μὴ τοίνυν μηδὲ ἐπὶ τῶν χρημάτων τοῦτο σὺ λέγε· τοῦ γὰρ δεχομένου τὸ μεταδιδόναι. Ὥσπερ οὖν κακία γαστρὸς τὸ κατέχειν τὰ βρώματα καὶ μὴ διανέμειν — παντὶ γὰρ τῷ σώματι λυμαίνεται— οὕτω κακία τῶν πλουτούντων τὸ κατέχειν ὅπερ ἔχουσι παρ' ἑαυτοῖς· τοῦτο γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους ἀπόλλυσιν. Ὁ ὀφθαλμὸς πάλιν τὸ πᾶν δέχεται φῶς, ἀλλ' οὐ διὰ τοῦτο αὐτὸς κατέχει μόνος ἀλλ' ὁλόκληρον φωτίζει τὸ σῶμα· οὐδὲ γὰρ ἔχει φύσιν παρ' ἑαυτῷ κατέχειν, ἕως ἂν ὀφθαλμὸς ᾖ. Αἱ ῥῖνες πάλιν αἰσθάνονται εὐωδίας, ἀλλ' οὐ κατέχουσιν αὐτὴν μόναι, ἀλλ' ἐγκεφάλῳ παραπέμπουσι καὶ στόμαχον ἐν εὐωδίᾳ τιθέασι καὶ ὁλόκληρον δι' αὐτῶν ἀνακτῶνται τὸν ἄνθρωπον. Οἱ πόδες μόνοι βαδίζουσιν, ἀλλ' οὐχ ἑαυτοὺς μεταφέρουσι μόνον, ἀλλὰ καὶ ὅλον μετατιθέασι τὸ σῶμα.

Οὕτω καὶ σύ· ὅπερ ἂν ἐγχειρισθῇς, μὴ κάτεχε μόνος, ἐπεὶ τῷ παντὶ λυμαίνῃ καὶ σαυτῷ πρὸ τῶν ἄλλων. Οὐκ ἐπὶ τῶν μελῶν δὲ μόνον ἴδοι τις ἂν τοῦτο γινόμενον. Καὶ γὰρ ὁ σιδηροκόπος, εἰ βουληθείη μηδενὶ μεταδοῦναι τῆς τέχνης, καὶ ἑαυτὸν καὶ τὰς λοιπὰς ἀνατρέπει τέχνας. Ὁ σκυτοτόμος ὁμοίως, ὁ γεωργός, ὁ σιτοποιὸς καὶ ἕκαστος τῶν ἀναγκαῖον ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ μεταδοῦναι ἑτέρῳ τῶν ἀπὸ τῆς τέχνης, οὐχὶ τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ ἑαυτὸν τοῖς ἄλλοις προσαπολεῖ. Καὶ τί λέγω τοὺς πλουτοῦντας; Καὶ γὰρ οἱ πένητες, εἰ τὴν ὑμετέραν τῶν πλεονεκτούντων καὶ πλουτούντων κακίαν μετῆλθον, μέγιστα ἂν ὑμᾶς ἔβλαψαν καὶ ταχέως ἂν ὑμᾶς

δι' ὅλα τὰ μέλη, εἶναι ἰδική των καὶ ἐκείνου καὶ ὅλων τῶν μελῶν. Ἔτσι συμβαίνει καὶ μὲ τὰ χρήματα· ἂν σὺ μόνος τὰ ἀπολαύσῃς, καὶ σὺ τὰ ἔχασες, διότι δὲν καρποῦσαι τὸν μισθὸν αὐτῶν. Ἂν ὅμως τὰ κατέχῃς μαζὶ μὲ τοὺς ἄλλους, τότε περισσότερον θὰ εἶναι ἰδικά σου καὶ τότε θὰ καρπωθῇς τὴν ὠφέλειαν. Δὲν βλέπεις ὅτι τὰ χέρια προσφέρουν τὴν τροφήν, τὸ στόμα τὴν μαλακώνει καὶ ἡ κοιλία τὴν δέχεται; μήπως λέγει ἡ κοιλία 'ἐπειδὴ τὴν ἐδέχθην, πρέπει νὰ ἔχω εἰς τὴν κατοχήν μου ὅλην τὴν τροφήν';

Μὴ λοιπὸν λέγῃς τοῦτο οὔτε διὰ τὰ χρήματα, διότι ἐκεῖνος ποὺ τὰ δέχεται ὀφείλει νὰ τὰ προσφέρῃ εἰς τοὺς ἄλλους. Ὅπως ἀκριβῶς λοιπὸν εἶναι κακὸν τὸ νὰ κρατῇ ἡ κοιλία τὰς τροφὰς καὶ νὰ μὴ τὰς διανέμῃ - διότι καταστρέφει ὅλον τὸ σῶμα - ἔτσι εἶναι κακὸν οἱ πλούσιοι νὰ κρατοῦν διὰ τοὺς ἑαυτούς των ὅ,τι ἔχουν, διότι τοῦτο καταστρέφει καὶ τοὺς ἑαυτούς των καὶ τοὺς ἄλλους. Ἐπίσης ὁ ὀφθαλμὸς δέχεται ὅλον τὸ φῶς, ἀλλὰ διὰ τοῦτο δὲν τὸ κρατεῖ αὐτὸς μόνος· φωτίζει ὁλόκληρον τὸ σῶμα, διότι, ἐφ' ὅσον εἶναι ὀφθαλμός, δὲν ἔχει κἂν δικαίωμα ἐκ τῆς φύσεως νὰ κρατῇ τὸ φῶς διὰ τὸν ἑαυτόν του. Ἐπίσης ἡ μύτη αἰσθάνεται εὐωδίαν, ἀλλὰ δὲν τὴν κρατεῖ διὰ τὸν ἑαυτόν της· τὴν μεταβιβάζει εἰς τὸν ἐγκέφαλον, καθιστᾷ καὶ τὸν στόμαχον μέτοχον τῆς εὐωδίας καὶ ἔτσι ἀναζωογονεῖ ὁλόκληρον τὸν ἄνθρωπον. Τὰ πόδια βαδίζουν μόνα των, ὅμως δὲν μεταφέρουν μόνον τὸν ἑαυτόν των, ἀλλὰ μετακινοῦν καὶ ὅλον τὸ σῶμα.

Ἔτσι καὶ ἐσύ· ὅ,τι σοῦ δοθῇ μὴ τὸ κατέχῃς μόνος σου, διότι τοῦτο καταστρέφει τὸ πᾶν καὶ περισσότερον ἀπὸ τὰ ἄλλα τὸν ἑαυτόν σου. Τοῦτο δὲ εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς ὅτι δὲν γίνεται μόνον εἰς τὰ μέλη τοῦ σώματος· καθ' ὅσον καὶ ὁ σιδηρουργός, ἐὰν θελήσῃ νὰ μὴ μεταδώσῃ τὴν τέχνην του εἰς κανένα, βλάπτει καὶ τὸν ἑαυτόν του καὶ τὰς λοιπὰς τέχνας. Ὁμοίως ὁ ὑποδηματοποιός, ὁ γεωργός, ὁ ἀρτοποιὸς καὶ κάθε ἕνας ποὺ ἀσκεῖ βασικὸν ἐπάγγελμα, ἐὰν θελήσῃ νὰ μὴ μεταδώσῃ εἰς ἄλλον τὴν τέχνην του, δὲν θὰ βλάψῃ μόνον τοὺς ἄλλους, ἀλλὰ μαζὶ μὲ τοὺς ἄλλους θὰ βλάψῃ καὶ τὸν ἑαυτόν του. Καὶ διατί λέγω μόνον τοὺς πλουσίους; Ἐφ' ὅσον καὶ οἱ πτωχοί, ἐὰν εἶχον τὴν κακότητα τὴν ἰδικήν σας, τῶν πλεονεκτῶν δηλαδὴ καὶ τῶν πλουσίων, θὰ σᾶς ἔβλαπτον πάρα πολὺ καὶ σύντομα θὰ σᾶς ἔκαμναν πτωχούς, μᾶλλον δὲ καὶ θὰ σᾶς

σιν ὁ Δαυΐδ, «Ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστι»· καὶ ὁ Παῦλος δὲ ὅτι «Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν». Καὶ τὸν περὶ τῆς πίστεως γυμνάζων λόγον φησὶν «Οὐκ ἐστὲ ἑαυτῶν» καὶ «Τιμῆς ἠγοράσθητε». Τὰ πάντα γὰρ τοῦ Θεοῦ.

Ὅταν οὖν καλῇ καὶ βούληται λαβεῖν, μὴ κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν φύρωμεν τὸν λόγον μηδὲ νοσφιζώμεθα τὰ δεσποτικά. Ἡ ψυχή σου οὐκ ἔστι σή, καὶ πῶς τὰ χρήματά ἐστι σά; Πῶς οὖν ἀναλίσκεις εἰς οὐδὲν δέον τὰ μὴ σά; Οὐκ οἶδας ὅτι διὰ τοῦτο μέλλομεν ἐγκαλεῖσθαι κακῶς αὐτοῖς χρησάμενοι; Ἐπειδὴ δὲ οὐκ ἔστιν ἡμέτερα, ἀλλὰ τοῦ δεσπότου, εἰς τοὺς ὁμοδούλους ἐχρῆν δαπανᾶν. Τοῦτο γοῦν καὶ ὁ πλούσιος ἐκεῖνος ἐνεκαλεῖτο ὅτι μὴ ἐποίησε, καὶ οἱ μὴ θρέψαντες τὸν Κύριον. Μὴ τοίνυν λέγε ὅτι 'τῶν ἐμαυτοῦ ἀναλίσκω καὶ ἐκ τῶν ἐμαυτοῦ τρυφῶ'. Οὐκ ἀπὸ τῶν ἑαυτοῦ ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων· ἀλλοτρίων δὲ λέγω, ἐπειδὴ σὺ βούλει· ἐπεὶ σὰ βούλεται εἶναι ὁ Θεὸς τὰ ὑπὲρ τῶν ἀδελφῶν ἐγχειρισθέντα σοι. Γίνεται δὲ σὰ τὰ ἀλλότρια, ἂν εἰς ἑτέρους ἀναλώσῃς· ἂν δὲ εἰς σαυτὸν ἀναλώσῃς ἀφειδῶς, ἀλλότρια γέγονε τὰ σά. Ἐπειδὴ γὰρ ὠμῶς αὐτοῖς κέχρησαι καὶ λέγεις ὅτι τὰ ἐμὰ εἰς ἐμὴν ἀπόλαυσιν μόνον ἀναλωθῆναι δίκαιον, διὰ τοῦτο ἀλλότρια αὐτὰ λέγω. Κοινὰ γάρ ἐστι σὰ καὶ τοῦ συνδούλου, ὥσπερ ἥλιος κοινὸς καὶ ἀὴρ καὶ γῆ καὶ τὰ ἄλλα πάντα. Καὶ καθάπερ ἐπὶ τοῦ σώματος, καὶ παντός ἐστι τοῦ σώματος καὶ ἑνὸς ἑκάστου μέλους ἡ διακονία· ὅταν δὲ ἑνὸς μόνου γίνηται μέλους, καὶ τὴν ἰδίαν ἀπόλλυσιν ἐνέργειαν· οὕτω καὶ ἐπὶ τῶν χρημάτων συμβαίνει.

Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, ἡ τροφὴ τοῦ σώματος ἡ κοινῇ δεδομένη τοῖς μέλεσιν, ἐὰν εἰς ἓν ἔλθῃ μέλος, κἀκείνου λοιπὸν ἀλλοτρία γίνεται. Ὅταν γὰρ μὴ δυνηθῇ πεφθῆναι μηδὲ θρέψαι, ἀλλοτρία κἀκείνου γέγονεν.

15. Ψαλ. 38,8.
16. Πρ. 17,28.
17. Α' Κορ. 6, 19-20.

πίστεώς μας. Διὰ τοῦτο ὁ Δαυὶδ λέγει· «Ἡ ὕπαρξίς μου ἐξαρτᾶται ἀπὸ ἐσέ»[15]· καὶ ὁ Παῦλος πάλιν ὅτι «Μέσα εἰς αὐτὸν ζῶμεν καὶ κινούμεθα καὶ ὑπάρχομεν»[16]. Ἐπίσης ἀναφερόμενος εἰς τὸν λόγον περὶ τῆς πίστεως λέγει· «Δὲν ἀνήκετε εἰς τοὺς ἑαυτούς σας» καὶ «Ἐξηγοράσθητε μὲ τίμημα»[17]. Τὰ πάντα δηλαδὴ εἶναι τοῦ Θεοῦ.

Ὅταν λοιπὸν καλῇ καὶ θέλῃ νὰ λάβῃ, ἂς μὴ ἀναστατώνωμεν τὸν νοῦν μας, ὅπως κάνουν οἱ ἀγνώμονες δοῦλοι, καὶ οὔτε νὰ σφετεριζώμεθα τὰ ὅσα ἀνήκουν εἰς τὸν κύριον. Ἡ ψυχή σου δὲν εἶναι ἰδική σου, καὶ ἐπομένως πῶς εἶναι ἰδικά σου τὰ χρήματα; πῶς λοιπὸν καταναλίσκεις ὅσα δὲν σοῦ ἀνήκουν δι' ἀνωφελεῖς σκοπούς; Δὲν γνωρίζεις ὅτι διὰ τοῦτο θὰ κατηγορηθῶμεν, ἐφ' ὅσον τὰ ἐχρησιμοποιήσαμεν κακῶς; Ἐπειδὴ δὲ δὲν εἶναι ἰδικά μας, ἀλλὰ τοῦ Κυρίου, διὰ τοῦτο ἔπρεπε νὰ τὰ δαπανῶμεν διὰ τοὺς συνδούλους μας. Ὡς γνωστόν, καὶ ὁ πλούσιος ἐκεῖνος κατηγορεῖτο διὰ τοῦτο ὅτι δὲν ἔκανεν ἐλεημοσύνας, ὡς ἐπίσης καὶ ἐκεῖνοι ποὺ δὲν ἔθρεψαν τὸν Κύριον. Μὴ λέγῃς λοιπὸν ὅτι καταναλίσκω ἀπὸ τὰ ἰδικά μου καὶ χαίρομαι τὰ ἰδικά μου. Δὲν καταναλίσκεις ἀπὸ τὰ ἰδικά σου, ἀλλὰ ξένα· καὶ τὰ λέγω ξένα, ἐπειδὴ σὺ τὸ θέλεις· διότι ὁ Θεὸς θέλει νὰ εἶναι ἰδικά σου ὅσα σοῦ ἐνεπιστεύθη πρὸς ὄφελος τῶν ἀδελφῶν σου. Γίνονται ἰδικά σου τὰ ξένα, ἂν τὰ καταναλώσῃς διὰ τοὺς ἄλλους· ἂν ὅμως τὰ σπαταλήσῃς διὰ τὸν ἑαυτόν σου, ξένα γίνονται τὰ ἰδικά σου. Ἐπειδὴ δηλαδὴ κακῶς χρησιμοποιεῖς αὐτὰ καὶ λέγεις ὅτι 'εἶναι δίκαιον νὰ καταναλίσκω τὰ ἰδικά μου διὰ τὴν ἰδικήν μου μόνον ἀπόλαυσιν', διὰ τοῦτο τὰ λέγω ξένα· διότι εἶναι κοινὰ ἰδικά σου καὶ τοῦ συνδούλου σου, ὅπως ἀκριβῶς κοινὸς εἶναι ὁ ἥλιος καὶ ὁ ἀὴρ καὶ ἡ γῆ καὶ πάντα τὰ ἄλλα. Καὶ ὅπως συμβαίνει μὲ τὸ σῶμα, ποὺ καὶ ὅλον τὸ σῶμα ὡς σύνολον καὶ κάθε ἓν μέλος χωριστὰ διακονεῖ, ἐνῷ ὅταν ἐνεργῇ ἓν μόνον μέλος, χάνει τελικῶς καὶ τὴν ἰδικήν του ἐνέργειαν, ἔτσι συμβαίνει καὶ μὲ τὰ χρήματα.

Καὶ διὰ νὰ γίνῃ σαφέστερον αὐτὸ ποὺ λέγω, σᾶς ἀναφέρω τὸ ἑξῆς· ἐὰν ἡ τροφή, ποὺ ἔχει δοθῇ δι' ὅλα τὰ μέλη, ἔλθῃ εἰς ἓν μόνον μέλος, ἐν συνεχείᾳ γίνεται ξένη καὶ δι' ἐκεῖνο τὸ μέλος· ἐὰν δηλαδὴ δὲν καταστῇ δυνατὸν νὰ σταλῇ καὶ νὰ θρέψῃ ὅλα τὰ μέλη, γίνεται ξένη καὶ δι' ἐκεῖνο τὸ μέλος. Ἂν ὅμως γίνῃ κοινὴ

Ἂν δὲ κοινὴ γένηται, κἀκείνου καὶ πάντων ἐστὶν ἰδία. Οὕτω καὶ ἐπὶ τῶν χρημάτων· ἂν σὺ μόνος ἀπολαύσῃς, καὶ σὺ ἀπώλεσας· οὐ γὰρ αὐτῶν καρποῦσαι τὸν μισθόν. Ἂν δὲ μετὰ τῶν ἄλλων κτήσῃ, τότε μᾶλλον ἔσται σὰ καὶ τότε καρπώσῃ τὴν ὠφέλειαν. Οὐχ ὁρᾷς ὅτι χεῖρες διακονοῦνται καὶ στόμα λεαίνει καὶ γαστὴρ δέχεται; μὴ λέγει ἡ γαστήρ, ἐπειδὴ ἐδεξάμην, ὀφείλω τὸ πᾶν κατέχειν;

Μὴ τοίνυν μηδὲ ἐπὶ τῶν χρημάτων τοῦτο σὺ λέγε· τοῦ γὰρ δεχομένου τὸ μεταδιδόναι. Ὥσπερ οὖν κακία γαστρὸς τὸ κατέχειν τὰ βρώματα καὶ μὴ διανέμειν — παντὶ γὰρ τῷ σώματι λυμαίνεται— οὕτω κακία τῶν πλουτούντων τὸ κατέχειν ὅπερ ἔχουσι παρ' ἑαυτοῖς· τοῦτο γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους ἀπόλλυσιν. Ὁ ὀφθαλμὸς πάλιν τὸ πᾶν δέχεται φῶς, ἀλλ' οὐ διὰ τοῦτο αὐτὸς κατέχει μόνος ἀλλ' ὁλόκληρον φωτίζει τὸ σῶμα· οὐδὲ γὰρ ἔχει φύσιν παρ' ἑαυτῷ κατέχειν, ἕως ἂν ὀφθαλμὸς ᾖ. Αἱ ῥῖνες πάλιν αἰσθάνονται εὐωδίας, ἀλλ' οὐ κατέχουσιν αὐτὴν μόναι, ἀλλ' ἐγκεφάλῳ παραπέμπουσι καὶ στόμαχον ἐν εὐωδίᾳ τιθέασι καὶ ὁλόκληρον δι' αὐτῶν ἀνακτῶνται τὸν ἄνθρωπον. Οἱ πόδες μόνοι βαδίζουσιν, ἀλλ' οὐχ ἑαυτοὺς μεταφέρουσι μόνον, ἀλλὰ καὶ ὅλον μετατιθέασι τὸ σῶμα.

Οὕτω καὶ σύ· ὅπερ ἂν ἐγχειρισθῇς, μὴ κάτεχε μόνος, ἐπεὶ τῷ παντὶ λυμαίνῃ καὶ σαυτῷ πρὸ τῶν ἄλλων. Οὐκ ἐπὶ τῶν μελῶν δὲ μόνον ἴδοι τις ἂν τοῦτο γινόμενον. Καὶ γὰρ ὁ σιδηροκόπος, εἰ βουληθείη μηδενὶ μεταδοῦναι τῆς τέχνης, καὶ ἑαυτὸν καὶ τὰς λοιπὰς ἀνατρέπει τέχνας. Ὁ σκυτοτόμος ὁμοίως, ὁ γεωργός, ὁ σιτοποιὸς καὶ ἕκαστος τῶν ἀναγκαῖον ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ μεταδοῦναι ἑτέρῳ τῶν ἀπὸ τῆς τέχνης, οὐχὶ τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ ἑαυτὸν τοῖς ἄλλοις προσαπολεῖ. Καὶ τί λέγω τοὺς πλουτοῦντας; Καὶ γὰρ οἱ πένητες, εἰ τὴν ὑμετέραν τῶν πλεονεκτούντων καὶ πλουτούντων κακίαν μετῆλθον, μέγιστα ἂν ὑμᾶς ἔβλαψαν καὶ ταχέως ἂν ὑμᾶς

δι' ὅλα τὰ μέλη, εἶναι ἰδική των καὶ ἐκείνου καὶ ὅλων τῶν μελῶν. Ἔτσι συμβαίνει καὶ μὲ τὰ χρήματα· ἂν σὺ μόνος τὰ ἀπολαύσῃς, καὶ σὺ τὰ ἔχασες, διότι δὲν καρποῦσαι τὸν μισθὸν αὐτῶν. Ἂν ὅμως τὰ κατέχῃς μαζὶ μὲ τοὺς ἄλλους, τότε περισσότερον θὰ εἶναι ἰδικά σου καὶ τότε θὰ καρπωθῇς τὴν ὠφέλειαν. Δὲν βλέπεις ὅτι τὰ χέρια προσφέρουν τὴν τροφήν, τὸ στόμα τὴν μαλακώνει καὶ ἡ κοιλία τὴν δέχεται; μήπως λέγει ἡ κοιλία 'ἐπειδὴ τὴν ἐδέχθην, πρέπει νὰ ἔχω εἰς τὴν κατοχήν μου ὅλην τὴν τροφήν';

Μὴ λοιπὸν λέγῃς τοῦτο οὔτε διὰ τὰ χρήματα, διότι ἐκεῖνος ποὺ τὰ δέχεται ὀφείλει νὰ τὰ προσφέρῃ εἰς τοὺς ἄλλους. Ὅπως ἀκριβῶς λοιπὸν εἶναι κακὸν τὸ νὰ κρατῇ ἡ κοιλία τὰς τροφὰς καὶ νὰ μὴ τὰς διανέμῃ - διότι καταστρέφει ὅλον τὸ σῶμα - ἔτσι εἶναι κακὸν οἱ πλούσιοι νὰ κρατοῦν διὰ τοὺς ἑαυτούς των ὅ,τι ἔχουν, διότι τοῦτο καταστρέφει καὶ τοὺς ἑαυτούς των καὶ τοὺς ἄλλους. Ἐπίσης ὁ ὀφθαλμὸς δέχεται ὅλον τὸ φῶς, ἀλλὰ διὰ τοῦτο δὲν τὸ κρατεῖ αὐτὸς μόνος· φωτίζει ὁλόκληρον τὸ σῶμα, διότι, ἐφ' ὅσον εἶναι ὀφθαλμός, δὲν ἔχει κἂν δικαίωμα ἐκ τῆς φύσεως νὰ κρατῇ τὸ φῶς διὰ τὸν ἑαυτόν του. Ἐπίσης ἡ μύτη αἰσθάνεται εὐωδίαν, ἀλλὰ δὲν τὴν κρατεῖ διὰ τὸν ἑαυτόν της· τὴν μεταβιβάζει εἰς τὸν ἐγκέφαλον, καθιστᾷ καὶ τὸν στόμαχον μέτοχον τῆς εὐωδίας καὶ ἔτσι ἀναζωογονεῖ ὁλόκληρον τὸν ἄνθρωπον. Τὰ πόδια βαδίζουν μόνα των, ὅμως δὲν μεταφέρουν μόνον τὸν ἑαυτόν των, ἀλλὰ μετακινοῦν καὶ ὅλον τὸ σῶμα.

Ἔτσι καὶ ἐσύ· ὅ,τι σοῦ δοθῇ μὴ τὸ κατέχῃς μόνος σου, διότι τοῦτο καταστρέφει τὸ πᾶν καὶ περισσότερον ἀπὸ τὰ ἄλλα τὸν ἑαυτόν σου. Τοῦτο δὲ εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς ὅτι δὲν γίνεται μόνον εἰς τὰ μέλη τοῦ σώματος· καθ' ὅσον καὶ ὁ σιδηρουργός, ἐὰν θελήσῃ νὰ μὴ μεταδώσῃ τὴν τέχνην του εἰς κανένα, βλάπτει καὶ τὸν ἑαυτόν του καὶ τὰς λοιπὰς τέχνας. Ὁμοίως ὁ ὑποδηματοποιός, ὁ γεωργός, ὁ ἀρτοποιὸς καὶ κάθε ἕνας ποὺ ἀσκεῖ βασικὸν ἐπάγγελμα, ἐὰν θελήσῃ νὰ μὴ μεταδώσῃ εἰς ἄλλον τὴν τέχνην του, δὲν θὰ βλάψῃ μόνον τοὺς ἄλλους, ἀλλὰ μαζὶ μὲ τοὺς ἄλλους θὰ βλάψῃ καὶ τὸν ἑαυτόν του. Καὶ διατί λέγω μόνον τοὺς πλουσίους; Ἐφ' ὅσον καὶ οἱ πτωχοί, ἐὰν εἶχον τὴν κακότητα τὴν ἰδικήν σας, τῶν πλεονεκτῶν δηλαδὴ καὶ τῶν πλουσίων, θὰ σᾶς ἔβλαπτον πάρα πολὺ καὶ σύντομα θὰ σᾶς ἔκαμναν πτωχούς, μᾶλλον δὲ καὶ θὰ σᾶς

ἐποίησαν πένητας, μᾶλλον δὲ καὶ ἀπώλεσαν, εἰ μὴ δεομένοις τῶν ἑαυτῶν μεταδοῦναι ἠβουλήθησαν· οἷον, ὁ γηπόνος τῆς ἀπὸ τῶν χειρῶν ἐργασίας, ὁ ναύτης τῆς ἀπὸ τοῦ πλεῖν ἐμπορίας, ὁ στρατιώτης τῆς ἀριστείας τῆς ἀπὸ τῶν πολέμων.

Ὥστε, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδέσθητε καὶ τὴν ἐκείνων μιμήσασθε φιλοφροσύνην. Οὐ μεταδίδως τοῦ πλούτου οὐδενί; Οὐκοῦν μὴ μεταλάβῃς παρ' ἑτέρου μηδενός. Εἰ δὲ τοῦτο ἔσται, τὰ πάντα ἀνατραπήσεται. Πανταχοῦ γὰρ τὸ διδόναι καὶ μεταλαμβάνειν ἀρχὴ πολλῶν ἐστιν ἀγαθῶν, ἐπὶ σπερμάτων, ἐπὶ μαθητῶν, ἐπὶ τεχνῶν. Ἂν γὰρ βουληθῇ τις παρ' ἑαυτῷ κατέχειν τὴν τέχνην, καὶ ἑαυτὸν καὶ τὸν βίον ἀνέτρεψεν ἅπαντα. Καὶ ὁ γεωργὸς τὰ σπέρματα ἂν οἴκοι κατορύξας φυλάττῃ, λιμὸν ἐργάσεται χαλεπόν .Οὕτω καὶ ὁ πλούσιος· ἐὰν ἐπὶ τῶν χρημάτων τοῦτο ποιῇ, πρὸ τῶν πενήτων ἑαυτὸν ἀναιρήσει τὴν φλόγα τῆς γεέννης χαλεπωτέραν κατὰ τῆς ἑαυτοῦ σωρεύων κεφαλῆς.

Ὥσπερ οὖν οἱ διδάσκαλοι, κἂν πολλοὺς ἔχωσι τοὺς μαθητάς, ἑκάστῳ μεταδιδόασι τῆς τέχνης, οὕτω καὶ σὺ πολλοὺς κτῆσαι τοὺς εὐεργετουμένους· καὶ λεγέτωσαν ἅπαντες ὅτι τὸν δεῖνα ἀπήλλαξε πενίας καὶ τὸν δεῖνα κινδύνων· καὶ ὁ δεῖνα ἂν ἀπώλετο, εἰ μὴ μετὰ τὴν χάριν τοῦ Θεοῦ τῆς σῆς ἀπήλαυσε προστασίας· καὶ ὅτι τῷ δεῖνι τὴν νόσον ἔλυσας, ἕτερον συκοφαντίας ἀπήλλαξας, ἄλλον ξένον ὄντα συνήγαγες, ἄλλον γυμνὸν ὄντα περιέβαλες. Μυρίου πλούτου καὶ πολλῶν θησαυρῶν βελτίω τὰ ῥήματα ταῦτα· ἐπιστρέφει πάντας μᾶλλον τῶν ἱματίων τῶν χρυσῶν καὶ τῶν ἵππων καὶ τῶν ἀνδραπόδων· ἐκεῖνα μὲν γὰρ καὶ φορτικὸν ποιεῖ φανίεσθαι καὶ ὡς κοινὸν ἐχθρὸν μισεῖσθαι, ταῦτα δὲ ὡς Πατέρα κοινὸν καὶ εὐεργέτην ἀνακηρύττει· καὶ ὃ πάντων μέγιστόν ἐστιν, ἡ παρὰ τοῦ Θεοῦ εὔνοια ἁπανταχοῦ σοι τῶν πράξεων ἕπεται.

Λεγέτω τοίνυν ὁ δεῖνα ὅτι ἐμοῦ τὴν θυγατέρα συνεξέδωκεν· ἕτερος, ἐμοὶ δὲ τὸν υἱὸν εἰς ἄνδρας φανῆναι

κατέστρεφον, ἐὰν δὲν ἤθελον νὰ δώσουν ἀπὸ τὰ ἰδικά των καὶ εἰς σᾶς, ὅταν θὰ τὰ ἔχετε ἀνάγκην· ἐπὶ παραδείγματι, ἐὰν ὁ γεωργὸς δὲν σᾶς ἔδιδε τὰ ἀγαθὰ τῆς ἐργασίας τῶν χειρῶν του, ὁ ναυτικὸς τὰ ἐμπορεύματα τῶν ταξιδίων του εἰς τὰς θαλάσσας, ὁ στρατιώτης τὰ ἀνδραγαθήματά του εἰς τοὺς πολέμους.

Ὥστε, καὶ ἂν ἀκόμη τίποτε ἄλλο, τοῦτο τοὐλάχιστον νὰ ἐντραπῆτε καὶ νὰ μιμηθῆτε τὴν φιλοφροσύνην ἐκείνων. Δὲν δίδεις εἰς κανένα μέρος ἀπὸ τὸν πλοῦτον σου; Ἑπομένως ἀπὸ κανένα τίποτε δὲν θὰ λάβῃς. Ἐὰν ὅμως συμβῇ αὐτό, τὰ πάντα θὰ ἀνατραποῦν, διότι τὸ νὰ δίδῃ κανεὶς καὶ νὰ λαμβάνῃ εἶναι ἀρχὴ πολλῶν ἀγαθῶν παντοῦ, εἰς τὴν σποράν, εἰς τοὺς μαθητάς, εἰς τὰς τέχνας. Ἂν δηλαδὴ κάποιος θελήσῃ νὰ κρατῇ διὰ τὸν ἑαυτόν του τὴν τέχνην του, θὰ καταστρέψῃ καὶ τὸν ἑαυτόν του καὶ ὅλην τὴν ζωήν του. Καὶ ἂν ὁ γεωργὸς κρύψῃ εἰς τὴν γῆν κάπου εἰς τὴν οἰκίαν του τοὺς σπόρους καὶ τοὺς φυλάττῃ, θὰ προκαλέσῃ πεῖναν φοβεράν. Ἔτσι καὶ ὁ πλούσιος· ἐὰν ἐνεργῇ κατ' αὐτὸν τὸν τρόπον προκειμένου περὶ τῶν χρημάτων, πρὶν ἀπὸ τοὺς πτωχοὺς τὸν ἑαυτόν του θὰ καταστρέψῃ, ἐπισωρεύων κατὰ τῆς κεφαλῆς του φοβερωτέραν τὴν φλόγαν τῆς κολάσεως.

Ὅπως ἀκριβῶς λοιπὸν οἱ διδάσκαλοι, καὶ ἂν ἀκόμη ἔχουν πολλοὺς μαθητάς, μεταδίδουν εἰς κάθε ἕνα τὰς γνώσεις των, ἔτσι καὶ σὺ εὐεργέτησε πολλούς· καὶ ὅλοι ἂς λέγουν διὰ σὲ ὅτι 'τὸν τάδε τὸν ἀπήλλαξεν ἀπὸ τὴν πενίαν καὶ τὸν τάδε ἀπὸ κινδύνους' καὶ ὅτι ὁ τάθε θὰ εἶχε καταστραρφῆ, ἐὰν μετὰ τὴν χάριν τοῦ Θεοῦ δὲν εἶχεν ἀπολαύσει τῆς ἰδικῆς σου προστασίας· καὶ ὅτι ἐθεράπευσες τὴν νόσον τοῦ τάδε, ὅτι ἄλλον τὸν ἀπήλλαξες ἀπὸ συκοφαντίαν, ἄλλον ποὺ ἦτο ξένος τὸν περιέθαλψες, ἄλλον ποὺ ἦτο γυμνὸς τὸν ἐνέδυσες. Αὐτοὶ οἱ λόγοι εἶναι ἀνώτεροι ἀπὸ ἀμέτρητον πλοῦτον καὶ πολλοὺς θησαυρούς· συντελοῦν εἰς τὴν ἐπιστροφὴν ὅλων περισσότερον ἀπὸ τὰ χρυσᾶ ἐνδύματα καὶ τοὺς ἵππους καὶ τοὺς δούλους, διότι ἐκεῖνα μὲν κάνουν τὸν ἄνθρωπον νὰ φαίνεται ἐνοχλητικὸς καὶ νὰ μισῆται ὡς κοινὸς ἐχθρός, αὐτὰ ὅμως τὸν ἀνακηρύσσουν ὡς κοινὸν πατέρα καὶ εὐεργέτην· καὶ αὐτὸ ποὺ εἶναι τὸ σπουδαιότερον, αἱ πράξεις σου παντοῦ θὰ ἔχουν τὴν εὔνοιαν τοῦ Θεοῦ.

Ἂν λέγῃ λοιπὸν ὁ τάδε ὅτι 'Μὲ ἐβοήθησε νὰ προικίσω τὴν θυγατέρα μου'· ἄλλος δὲ ὅτι 'Μοῦ ἔκανε τὸν υἱόν μου ἄνδρα'·

παρεσκεύασε· καὶ ἄλλος, ὅτι τὴν συμφορὰν ἔλυσε· καὶ ἕτερος, ὅτι κινδύνων ἀπήλλαξε. Ταῦτα στεφάνων χρυσῶν βελτίω τὰ ῥήματα, μυρίους κήρυκας ἐν τῇ πόλει τῆς οἰκείας φιλανθρωπίας ἔχειν· αὗται αἱ φωναὶ τῆς φωνῆς τῶν κηρύκων τῶν πρὸ τῶν ἀρχόντων βαδιζόντων ἡδίους πολλῷ καὶ γλυκύτεραι, τὸν σωτῆρα, τὸν εὐεργέτην, τὸν προστάτην, τὰ τοῦ Θεοῦ καλεῖσθαι ὀνόματα, ἀλλὰ μὴ πλεονέκτην καὶ ἀλαζόνα καὶ ἀκόρεστον καὶ σμικρολόγον.

Μή, παρακαλῶ, μηδενὸς τούτων ἐπιθυμήσωμεν τῶν ῥημάτων, ἀλλὰ τῶν ἐναντίων. Εἰ γὰρ ἐπὶ γῆς ταῦτα λεγόμενα λαμπρὸν οὕτω ποιεῖ καὶ περιφανῆ, ὅταν ἐν οὐρανῷ ταῦτα γράφηται καὶ ὁ Θεὸς ταῦτα κατὰ τὴν ἡμέραν ἀνακηρύττῃ τὴν μέλλουσαν, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς περιφανείας, ὅσης τῆς λαμπρότητος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄλλος ὅτι "Ἐματαίωσε τὴν συμφοράν μου"· καὶ ἄλλος ὅτι 'Μὲ ἀπήλλαξεν ἀπὸ κινδύνους'. Αὐτοὶ οἱ λόγοι εἶναι ἀνώτεροι ἀπὸ χρυσοῦς στεφάνους, ὥστε νὰ τοὺς ἔχῃ κανεὶς ὡς ἀμετρήτους κήρυκας τῆς φιλανθρωπίας του εἰς τὴν πόλιν· αὗται αἱ φωναὶ εἶναι περισσότερον εὐχάριστοι καὶ γλυκύτεραι ἀπὸ τὴν φωνὴν τῶν κηρύκων, οἱ ὁποῖοι βαδίζουν πρὸ τῶν ἀρχόντων· εἶναι πολὺ καλύτερον νὰ ἀποκαλοῦν κάποιον σωτῆρα, εὐεργέτην, προστάτην, νὰ τοῦ ἀποδίδουν θεάρεστα ὀνόματα, καὶ ὄχι πλεονέκτην καὶ ἀλαζόνα καί ἀκόρεστον καὶ φιλάργυρον.

Σᾶς παρακαλῶ, ἂς μὴ ἐπιθυμήσωμεν κανένα ἀπὸ αὐτοὺς τοὺς λόγους, ἀλλὰ τοὺς ἀντιθέτους. Καὶ ἐφ' ὅσον, ὅταν λέγωνται αὐτὰ ἐπὶ τῆς γῆς, κάνουν τὸν ἄνθρωπον τόσον λαμπρὸν καὶ φημισμένον, ὅταν αὐτὰ γράφωνται εἰς τὸν οὐρανὸν καὶ ὁ Θεὸς τὰ διακηρύσσῃ δημοσίᾳ κατὰ τὴν μέλλουσαν ἡμέραν, σκέψου πόσην δόξαν καὶ πόσην λαμπρότητα θ' ἀπολαύσῃς· αὐτὴν εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ'
Α' Κορ. 4, 3-5

«Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με κύριός ἐστι».

Ι. Μετὰ τῶν ἄλλων κακῶν οὐκ οἶδα πῶς ἐπεισῆλθε τῇ τῶν ἀνθρώπων φύσει τὸ τῆς περιεργίας καὶ τὸ τῆς πολυπραγμοσύνης τῆς ἀκαίρου νόσημα· ὃ καὶ ὁ Χριστὸς ἐκόλασεν εἰπών, «Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε»· ὅπερ ἡδονὴν μὲν οὐδεμίαν ἔχει, καθάπερ καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων, κόλασιν δὲ μόνον καὶ τιμωρίαν. Καὶ γὰρ μυρίων αὐτοὶ γέμοντες κακῶν καὶ τὰς δοκοὺς ἐπὶ τῶν ὀμμάτων φέροντες τῶν ἁμαρτημάτων τοῦ πλησίον κάρφους οὐδὲν διαφερόντων ἀκριβεῖς γινόμεθα ἐξετασταί· ὅπερ καὶ ἐν τῇ Κορίνθῳ τότε συνέβαινεν. Ἄνδρας γὰρ εὐλαβεῖς καὶ Θεῷ φίλους διὰ τὴν ἀμαθίαν ἐκωμῴδουν καὶ ἐξέβαλλον, τοὺς δὲ μυρίων γέμοντας κακῶν ἐνέκρινον διὰ τὴν εὐγλωττίαν. Εἶτα, καθάπερ δικασταὶ προκαθήμενοι, τοιαῦτα μετὰ προπετείας ἐψηφίζοντο· ὁ δεῖνα ἄξιος, ὁ δεῖνα τοῦ δεῖνος ἀμείνων· καὶ οὗτος ἐκείνου καταδεέστερος, κἀκεῖνος τούτου βελτίων· καὶ ἀφέντες τὰ ἑαυτῶν πενθεῖν κακὰ ἑτέροις ἐγίνοντο δικασταί, καὶ ταύτῃ πολέμους ἀνῆπτον πάλιν χαλεπούς.

Ὁ Παῦλος οὖν ἀναιρῶν τοῦτο τὸ νόσημα ὅρα πῶς αὐτοὺς διορθοῦται συνετῶς. Ἐπειδὴ γὰρ εἶπεν, «Ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ» καὶ ἐδόκει πάροδον αὐτοῖς διδόναι τοῦ κρίνειν καὶ ἐξετάζειν τὸν ἑκάστου βίον, τοῦτο δὲ τὴν στάσιν ἐπέτριβεν, ἵνα μὴ τοῦτο πάθωσιν, ἀπήγαγεν αὐτοὺς τῆς τοιαύτης ἐρεσχελίας λέγων· «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ», πάλιν ἐπὶ τοῦ οἰκείου προσώπου τὸν λόγον

---

1. Α' Κορ. 4, 3-4.
2. Ματθ. 7,1.

ΛΟΓΟΣ ΙΑ
Α΄ Κορ. 4,3-5

«Δὲν μὲ πειράζει καθόλου νὰ κριθῶ ἀπὸ ἐσᾶς ἢ ἀπὸ ἀνθρώπινον δικαστήριον, ἀλλὰ οὔτε ἐγὼ κρίνω τὸν ἑαυτόν μου, διότι δὲν συναισθάνομαι τίποτε κατὰ τοῦ ἑαυτοῦ μου, ἀλλὰ οὔτε ἔτσι εἶμαι δικαιωμένος· ἐκεῖνος ποὺ μὲ κρίνει εἶναι ὁ Κύριος»[1].

1. Δὲν γνωρίζω πῶς μαζὶ μὲ τὰ ἄλλα κακὰ εἰσῆλθεν εἰς τὴν ἀνθρωπίνην φύσιν καὶ τὸ νόσημα τῆς περιεργείας καὶ τῆς ἀκαίρου πολυπραγμοσύνης· τοῦτο ὁ Χριστὸς τὸ κατεδίκασεν εἰπών· «Μὴ κρίνετε, καὶ δὲν θὰ κριθῆτε»[2]· τοῦτο, ὡς γνωστόν, δὲν προσφέρει καμμίαν εὐχαρίστησιν ὅπως καὶ τὰ λοιπὰ ἁμαρτήματα, φέρει δὲ μόνον εἰς κόλασιν καὶ τιμωρίαν. Ἐνῷ δηλαδὴ ἐμεῖς οἱ ἴδιοι εἴμεθα γεμᾶτοι ἀπὸ κακίας καὶ φέρομεν εἰς τοὺς ὀφθαλμοὺς μας τὰς δοκοὺς τῶν ἁμαρτημάτων μας, τὰ ὁποῖα καθόλου δὲν διαφέρουν ἀπὸ τὸ κάρφος τοῦ πλησίον, γινόμεθα λεπτολόγοι ἐξετασταί· αὐτὸ ἀκριβῶς συνέβαινε τότε καὶ εἰς τὴν Κόρινθον. Διεκωμῴδουν δηλαδὴ καὶ ἀπέρριπτον ἄνδρας εὐλαβεῖς καὶ φιλοθέους λόγῳ τῆς ἀμαθίας των, ἐθεώρουν δὲ ὡς ἀξίους λόγῳ τῆς εὐγλωττίας των ἀνθρώπους γεμάτους ἀπὸ μύρια κακά. Κατόπιν ὡς ἀνώτεροι δικασταὶ μὲ ἀναίδειαν ἔκρινον ὡς ἑξῆς· ὁ τάδε εἶναι ἄξιος, ὁ τάδε εἶναι ἀνώτερος ἀπὸ τὸν τάδε· καὶ αὐτὸς εἶναι κατώτερος ἐκείνου, ἐνῷ ἐκεῖνος εἶναι καλύτερος αὐτοῦ· καὶ ἀφοῦ ἔπαυσαν νὰ πενθοῦν διὰ τὰ ἰδικά των ἁμαρτήματα, ἐγίνοντο δικασταὶ ἄλλων, καὶ μὲ τὴν τακτικήν των αὐτὴν προεκάλουν συνεχῶς θλιβερὰς διχονοίας.

Ὁ Παῦλος λοιπὸν προσπαθῶν νὰ θεραπεύσῃ τοῦτο τὸ νόσημα κοίταξε μὲ πόσην σύνεσιν διορθώνει αὐτούς. Ἐπειδὴ δηλαδὴ εἶπεν, «Ἐκεῖνο ποὺ ζητεῖται ἀπὸ τοὺς οἰκονόμους εἶναι κάθε οἰκονόμος νὰ εἶναι πιστὸς» καὶ ἐπειδὴ ἐφαίνετο ὅτι τοὺς ἐπέτρεπε νὰ κρίνουν καὶ νὰ ἐξετάζουν τὸν βίον τοῦ κάθε ἑνὸς καὶ ὅτι τοῦτο παρώτρυνεν εἰς τὴν τακτικὴν αὐτήν, διὰ νὰ μὴ πάθουν τοῦτο, τοὺς ἀπεμάκρυνεν ἀπὸ τὴν μωρολογίαν τοῦ εἴδους αὐτοῦ λέγων· «Δὲν μὲ πειράζει καθόλου νά κριθῶ ἀπὸ ἐσᾶς», πάλιν φέρων τὸν λόγον εἰς

προάγων. Τί δέ ἐστιν «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας»; Ἀνάξιον ἐμαυτοῦ κρίνω, φησί, τὸ παρ' ὑμῶν κρίνεσθαι· καὶ τί λέγω παρ' ὑμῶν; καὶ τὸ παρ' οὑτινοσοῦν ἑτέρου. Ἀλλὰ μηδεὶς ἀπόνοιαν καταγινωσκέτω τοῦ Παύλου, εἰ μηδένα τῶν ἀνθρώπων ἄξιον εἶναι λέγει τοῦ φέρειν τὴν περὶ αὐτοῦ ψῆφον.

Πρῶτον μὲν γὰρ οὐ δι' ἑαυτὸν ταῦτά φησιν, ἀλλ' ἑτέρους ἐξαρπάσαι βουλόμενος τῆς παρ' ἐκείνων ἐπαχθείας. Ἔπειτα δὲ οὐδὲ μέχρι Κορινθίων τὸ πρᾶγμα ἔστησεν, ἀλλὰ καὶ ἑαυτὸν τῆς κρίσεως ταύτης ἐξέβαλε μεῖζον εἶναι τῆς αὐτοῦ γνώμης λέγων τὰ τοιαῦτα ψηφίζεσθαι· ἐπήγαγε γοῦν «οὐδὲ ἐμαυτὸν ἀνακρίνω». Πρὸς δὲ τοῖς εἰρημένοις καὶ τὴν ὑπόθεσιν ἐξετάσαι χρή, δι' ἣν ταῦτα ἐλέγετο. Οἶδε γὰρ πολλαχοῦ καὶ μεγαλοφρόνως φθέγγεσθαι· τοῦτο δὲ οὐκ ἔστι τύφου οὐδὲ ἀπονοίας ἀλλ' οἰκονομίας ἀρίστης· ἐπεὶ καὶ νῦν οὐκ αὐτὸς ἐπαιρόμενος, ἀλλ' ἑτέρους καταστέλλων ταῦτα ἔλεγε καὶ ἀξίωμα σπεύδων περιθεῖναι τοῖς ἁγίοις. Ὅτι γὰρ τῶν σφόδρα ταπεινῶν ἦν, ἄκουσον τί φησι τὴν τῶν ἐχθρῶν μαρτυρίαν εἰς μέσον περὶ τούτου φέρων· ὅτι «Ἡ μὲν παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ λόγος ἐξουθενημένος»· καὶ πάλιν· «Ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί».

Ἀλλ' ὅμως ὁ ταπεινὸς οὗτος καιροῦ καλοῦντος σκόπει ποῦ τὰ φρονήματα τῶν μαθητῶν ἐπῆρεν οὐχὶ τῦφον διδάσκων ἀλλὰ φρόνημα ὑγιὲς ἐμποιῶν· αὐτοῖς γὰρ τούτοις διαλεγόμενος ἔλεγε· «Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;» Ὥσπερ γὰρ ἀλαζονείας εἶναι χρὴ πόρρω τὸν Χριστιανόν, οὕτω καὶ κολακείας καὶ ἀγεννοῦς φρονήματος. Οὐδὲ γάρ, εἰ λέγοι τις ὅτι τὰ χρήματα οὐδὲν ἡγοῦμαι εἶναι, ἀλλὰ τὰ παρόντα ἅπαντα σκιά μοι καὶ ὄναρ καὶ παίδων ἀθύρματα, ἀλαζονείας αὐτὸν γραψόμεθα· ἐπεὶ καὶ τὸν Σολομῶντα οὕτως

3. Β' Κορ. 10,10.
4. Α' Κορ. 15,8.
5. αὐτ. 6,2.

τὸ πρόσωπόν του. Καὶ τί σημαίνει τὸ «Δὲν μὲ πειράζει καθόλου νὰ κριθῶ ἀπὸ ἐσᾶς ἢ ἀπὸ ἀνθρώπινον δικαστήριον»; Κρίνω, λέγει, ἀνάξιον τοῦ ἑαυτοῦ μου τὸ νὰ κρίνωμαι ἀπὸ ἐσᾶς· καὶ τί λέγω ἀπὸ σᾶς; ἀκόμη καὶ τὸ νὰ κρίνωμαι ἀπὸ οἱονδήποτε ἄλλον. Ἀλλὰ κανεὶς ἂς μὴ κατηγορῇ τὸν Παῦλον διὰ ἀναίδειαν ἐὰν λέγῃ ὅτι κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν εἶναι ἄξιος νὰ τὸν κρίνῃ.

Πρῶτον, διότι δὲν τὰ λέγει αὐτὰ διὰ τὸν ἑαυτόν του, ἀλλὰ διότι θέλει ἄλλους νὰ σώσῃ ἀπὸ τὴν ἐνοχλητικότητα ἐκείνων. Ἔπειτα δὲ τὸ θέμα δὲν τὸ περιώρισεν εἰς τὴν περίπτωσιν τῶν Κορινθίων, ἀλλὰ καὶ τὸν ἑαυτόν του τὸν ἐξῄρεσεν ἀπὸ τὴν κρίσιν αὐτὴν λέγων ὅτι εἶναι ὑπεράνω τῆς κριτικῆς του ἱκανότητος τὸ νὰ ἀποφαίνεται διὰ τέτοια θέματα· προσέθεσε λοιπὸν διὰ τοῦτο τὸ «οὔτε τὸν ἑαυτόν μου κρίνω». Ἐκτὸς αὐτῶν ποὺ ἐλέχθησαν πρέπει νὰ ἐξετάσωμεν καὶ τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐλέγοντο αὐτά. Ἐγνώριζε βεβαίως εἰς πολλὰς περιπτώσεις νὰ ὁμιλῇ καὶ μὲ ὑπερηφάνειαν· τοῦτο ὅμως δὲν δεικνύει ἀλαζονείαν οὔτε ἀναίδειαν, ἀλλὰ ἀρίστην αἴσθησιν οἰκονομίας· διότι καὶ τώρα τὰ ἔλεγεν αὐτὰ ὄχι ἀπὸ προσωπικὴν ἀλαζονείαν, ἀλλὰ εἰς τὴν προσπάθειάν του νὰ συγκρατήσῃ ἄλλους καὶ νὰ ἐνισχύσῃ τὴν τιμὴν πρὸς τοὺς πιστούς· διὰ τὸ ὅτι ἦτο ἀπὸ τοὺς πλέον ταπεινοὺς ἄκουσε τί λέγει ἀναφέρων τὴν γνώμην τῶν ἐχθρῶν του περὶ αὐτοῦ· «Ἡ μὲν σωματικὴ ἐμφάνισις εἶναι ἀσθενικὴ καὶ ὁ λόγος ἀδύνατος»[3]· καὶ πάλιν· «Τελευταῖον δὲ ἀπὸ ὅλους ὡσὰν σὲ ἔκτρωμα ἐνεφανίσθη καὶ εἰς ἐμένα»[4].

Ἀλλ' ὅμως ὁ ταπεινὸς αὐτός, ὅταν τὸ ἐκάλουν οἱ περιστάσεις, πρόσεξε πόσον ἀνύψωσε τὰ φρονήματα τῶν μαθητῶν χωρὶς νὰ τοὺς διδάσκῃ τὴν ἀλαζονείαν, ἀλλὰ προσπαθῶν νὰ τοὺς ἐμβάλῃ ὑγιὲς φρόνημα· διότι ὁμιλῶν πρὸς αὐτοὺς τοὺς ἰδίους ἔλεγε· «Καὶ ἂν ὁ κόσμος πρόκειται νὰ κριθῇ ἀπὸ ἐσᾶς, δὲν εἶσθε ἄξιοι νὰ κρίνετε ὑποθέσεις δευτερευούσης σημασίας;»[5]. Ὅπως δηλαδὴ ὁ Χριστιανὸς πρέπει νὰ εἶναι μακριὰ ἀπὸ τὴν ἀλαζονείαν, ἔτσι πρέπει νὰ εἶναι μακριὰ καὶ ἀπὸ τὴν κολακείαν καὶ ἀπὸ τὸ ταπεινὸν φρόνημα· διότι δὲν θὰ τὸν κατηγορήσωμεν δι' ἀλαζονείαν, ἐὰν κάποιος λέγῃ· Νομίζω ὅτι τὰ χρήματα δὲν εἶναι τίποτε, ἀλλὰ τὰ πάντα αὐτῆς τῆς ζωῆς εἶναι δι' ἐμὲ σκιὰ καὶ ὄνειρον καὶ παιγνίδια παιδιῶν'· διότι τότε θὰ κατηγορήσωμεν δι' ἀλαζονείαν καὶ τὸν Σο-

εἰς ἀλαζονείαν διαβαλοῦμεν περὶ τούτων φιλοσοφοῦντα καὶ λέγοντα «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης».

Ἀλλὰ μὴ γένοιτο τῷ τῆς ἀλαζονείας ὀνόματι τὴν φιλοσοφίαν καλεῖν. Ἄρα οὐκ ἀπόνοια τὸ καταφρονεῖν τούτων ἀλλὰ μεγαλοψυχία. Καίτοιγε βασιλεῖς καὶ ἄρχοντας καὶ δυνάστας ὁρῶμεν αὐτῶν ἀντεχομένους· ἀλλ' ὁ πτωχὸς φιλοσοφῶν πολλάκις αὐτῶν ὑπερορᾷ, καὶ οὐ διὰ τοῦτο ἀλαζόνα αὐτὸν ἀλλὰ καὶ μεγαλόφρονα εἶναι φήσομεν· ὥσπερ οὖν οὐδὲ τὸν σφόδρα ἀντεχόμενον αὐτῶν ταπεινόφρονα καὶ μέτριον ἀλλ' ἀσθενῆ καὶ μικρόψυχον καὶ ἀνελεύθερον. Καὶ γάρ, εἴ τις υἱὸς τῶν μὲν τῷ πατρὶ προσηκόντων κατεφρόνει, τὰ δὲ δουλικὰ ἐθαύμαζεν, οὐχ ὡς ταπεινόφρονα αὐτὸν ἐπῃνέσαμεν ἄν, ἀλλ' ὡς ἀγεννῆ καὶ δουλικὸν ἐκακίζομεν· ἐθαυμάσαμεν δ' ἂν καταφρονοῦντα ἐκείνων καὶ τῶν πατρικῶν πολὺν ποιούμενον λόγον. Ἀπονοίας γάρ ἐστι τὸ τῶν ὁμοδούλων ἑαυτὸν νομίζειν εἶναι βελτίω· τὸ μέντοι τὴν οὖσαν περὶ τῶν πραγμάτων ψῆφον φέρειν οὐχὶ ἀλαζονείας ἀλλὰ φιλοσοφίας ἐστί.

2. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐχ ἑαυτὸν ἐπαίρων, ἀλλ' ἑτέρους ταπεινῶν ἀνδρῶν κατεξανισταμένους καταστέλλων καὶ πείθων μετριάζειν ἔλεγεν· «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας». Ὁρᾷς πῶς κἀκείνους ἐθεράπευσεν; Ὁ γὰρ ἀκούσας ὅτι πάντων ὁμοίως καταφρονεῖ καὶ ὑπ' οὐδενὸς ἀξιοῖ κρίνεσθαι, οὐκέτι λοιπὸν ἀλγήσει ὡς μόνος αὐτὸς ἐκβεβλημένος. Εἰ γὰρ εἶπεν «ὑφ' ὑμῶν» μόνον καὶ ἐσίγησεν, ἱκανὸν αὐτοὺς τοῦτο δακεῖν ὡς καταφρονηθέντας ἦν· νυνὶ δὲ τῷ ἐπαγαγεῖν «οὐδὲ ἀνθρωπίνης ἡμέρας» παραμυθίαν ἐκόμισε τῇ πληγῇ κοινωνοὺς αὐτοῖς δοὺς τῆς καταφρονήσεως. Ἀλλὰ καὶ αὐτὸ τοῦτο θεραπεύει πάλιν εἰπών· «Ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω». Ὅρα πῶς οὐκ ἔστιν ἀπονοίας τὸ εἰρημένον· οὐδὲ γὰρ ἑαυτὸν ἀρκεῖν φησι πρὸς τὴν τοιαύτην ἀκρίβειαν. Εἶτα, ἐπειδὴ καὶ τοῦτο σφόδρα ἐπαιρομένου ἐδόκει εἶναι τὸ ῥη-

6. Ἐκκλ. 1,2.

λομῶντα, ὁ ὁποῖος φιλοσοφῶν περὶ τούτων ἔλεγεν· «Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης»[6].

Ἂς μὴ ὀνομάζωμεν λοιπὸν ἀλαζονείαν τὴν φιλοσοφικὴν ἀντιμετώπισιν τῆς ζωῆς. Ἑπομένως τὸ νὰ περιφρονῇ κανεὶς τὰ γήινα δὲν εἶναι ἀναίδεια, ἀλλὰ μεγαλεῖον ψυχῆς. Καὶ ὅμως βλέπομεν βασιλεῖς καὶ ἄρχοντας καὶ δυνάστας νὰ εἶναι προσκολλημένοι εἰς αὐτά, ἀλλ᾽ ὁ πτωχὸς φιλοσοφῶν πολλάκις τὰ περιφρονεῖ, καὶ διὰ τοῦτο δὲν θὰ εἴπωμεν ὅτι αὐτὸς εἶναι ἀλαζών, ἀλλ᾽ ἀντιθέτως μεγαλόφρων· ὅπως ἐκεῖνον ποὺ εἶναι πάρα πολὺ προσκολλημένος εἰς αὐτὰ δὲν θὰ τὸν ὀνομάσωμεν ταπεινόφρονα καὶ μετριοπαθῆ, ἀλλ᾽ ἀσθενῆ καὶ μικρόψυχον καὶ ἀνελεύθερον· διότι καὶ ἐὰν κάποιος υἱὸς κατεφρόνει μὲν ὅσα ἀνῆκον εἰς τὸν πατέρα του, ἐθαύμαζε δὲ τὰ τῶν δούλων, αὐτὸν δὲν θὰ τὸν ἐπαινούσαμεν ὡς ἄνθρωπον μὲ ταπεινὸν φρόνημα, ἀλλὰ θὰ τὸν ἐκατηγορούσαμεν ὡς εὐτελῆ καὶ δουλόφρονα, θὰ τὸν ἐθαυμάζαμεν δέ, ἐὰν κατεφρόνει ἐκεῖνα καὶ ἐνδιεφέρετο πολὺ διὰ τὰ πατρικά. Ἀναίδεια δηλαδὴ εἶναι τὸ νὰ νομίζῃ κανεὶς τὸν ἑαυτόν του καλύτερον ἀπὸ τοὺς συνδούλους του· τὸ νὰ κρίνῃ ὅμως τὰ πράγματα ὅπως πράγματι εἶναι δὲν δεικνύει ἀλαζονείαν ἀλλὰ φιλοσοφικὴν ἀντιμετώπισιν.

2. Διὰ τοῦτο καὶ ὁ Παῦλος ὄχι ἀπὸ ἰδικήν του ἀλαζονείαν, ἀλλὰ προσπαθῶν νὰ ταπεινώσῃ ἄλλους, οἱ ὁποῖοι ἐπετίθεντο κατὰ ταπεινῶν ἀνδρῶν, καὶ προσπαθῶν νὰ τοὺς πείσῃ νὰ εἶναι μετριοπαθεῖς, ἔλεγε· «Δὲν μὲ πειράζει καθόλου νὰ κριθῶ ἀπὸ ἐσᾶς ἢ ἀπὸ ἀνθρώπινον δικαστήριον». Βλέπεις πῶς ἐθεράπευσε καὶ ἐκείνους; διότι αὐτὸς ποὺ ἤκουσεν ὅτι ἐξ ἴσου καταφρονεῖ τὰ πάντα καὶ κανένα δὲν θεωρεῖ ἄξιον νὰ τὸν κρίνῃ δὲν θὰ στενοχωρῆται πλέον ὡς νὰ ἦτο μόνος αὐτὸς ποὺ ἀπερρίφθη ὡς κριτής. Ἐὰν δηλαδὴ εἶχεν εἴπει μόνον «ὑφ᾽ ὑμῶν» καὶ εἶχε σιωπήσει, τοῦτο θὰ ἦτο ἱκανὸν νὰ τοὺς θίξῃ, διότι δῆθεν κατεφρονήθησαν· τώρα ὅμως μὲ τὸ νὰ προσθέσῃ «οὔτε ἀπὸ ἀνθρώπινον δικαστήριον», ἔφερεν ἀνακούφισιν εἰς τὴν πληγὴν μὲ τὸ νὰ τοὺς προσφέρῃ συμμετόχους τῆς καταφρονήσεως. Ἀλλὰ θεραπεύει ἐπίσης καὶ αὐτὸ τὸ ἴδιον, τὸ ὁποῖον εἶπεν· «Ἀλλὰ οὔτε τὸν ἑαυτόν μου κρίνω». Κοίταξε ὅτι αὐτὸ ποὺ εἶπε δὲν δεικνύει ἀλαζονείαν· λέγει δηλαδὴ ὅτι οὔτε ὁ ἑαυτός του εἶναι ἱκανὸς διὰ τὴν ἀκριβοδικαίαν αὐτὴν κρίσιν. Ἔπειτα, ἐπειδὴ καὶ

μα, καὶ αὐτὸ διωρθώσατο εἰπών, «Ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι».

Τί οὖν; σὺ χρὴ δικάζειν ἑαυτοῖς καὶ τοῖς ἁμαρτήμασι; Καὶ σφόδρα μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ὅταν ἁμαρτάνωμεν· ἀλλὰ Παῦλος τοῦτο οὐκ εἶχεν· «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα», φησί. Ποῖον οὖν ἔμελλε κρίνειν ἁμάρτημα μηδὲν ἑαυτῷ συνειδώς; Ὁ δὲ οὐ φησὶ δεδικαιῶσθαι. Οἱ οὖν μυρίων τραυμάτων τὸ συνειδὸς ἐμπεπλησμένον ἔχοντες καὶ μηδὲν συνειδότες ἑαυτοῖς ἀγαθόν, ἀλλὰ πᾶν τοὐναντίον, τί ἂν εἴποιμεν; Καὶ τί δήποτε, εἰ μηδὲν ἑαυτῷ σύνοιδεν, οὐ δεδικαίωται; Ὅτι συνέβαινεν ἡμαρτῆσθαι μὲν αὐτῷ τινα ἁμαρτήματα, μὴ μὴν αὐτὸν εἰδέναι ταῦτα ἁμαρτήματα. Ἐντεῦθεν λογίζου πόση τῆς μελλούσης κρίσεως ἡ ἀκρίβεια. Οὐ τοίνυν ὡς ἄληπτον ἑαυτὸν νομίζων οὕτως ἀνάξιον ἑαυτοῦ εἶναι τὸ κρίνεσθαι παρ' ἐκείνων φησίν, ἀλλ' ἐπιστομίζων τοὺς ἀλόγως ταῦτα ποιοῦντας.

Ἑτέρωθι γοῦν οὐδὲ φανερῶν ὄντων τῶν ἁμαρτημάτων ἐπιτρέπει κρίνειν ἑτέροις, ἐπειδὴ ὁ καιρὸς τοῦτο ἀπῄτει. «Τί γὰρ κρίνεις τὸν ἀδελφόν σου, φησίν; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;» Οὐ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε, κρίνειν ἑτέρους, ἀλλὰ τὰ σαυτοῦ δοκιμάζειν. Τί τοίνυν τοῦ δεσπότου τὴν τάξιν ἁρπάζεις; ἐκείνου τὸ κρίνειν ἐστίν, οὐχὶ σόν. Διὸ καὶ ἐπήγαγεν· «Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ».

Τί οὖν; οὐ χρὴ τοὺς διδασκάλους τοῦτο ποιεῖν; Χρὴ μὲν ἐπὶ τῶν φανερῶν ἁμαρτημάτων καὶ ὡμολογημένων, καὶ τοῦτο μετὰ τοῦ προσήκοντος καιροῦ, καὶ τότε δὲ ἀλγοῦντας καὶ δικνομένους, οὐχ ὡς οὗτοι τότε ἐποίουν, ἀπὸ κενοδοξίας καὶ ἀπονοίας. Καὶ γὰρ καὶ ἐνταῦθα οὐ περὶ τῶν ὡμολογημένων ἁμαρτημάτων φησίν, ἀλλὰ περὶ τοῦ τὸν

---

7. Ρωμ. 14,10.
8. Α΄ Κορ. 4,5.

αὐτὸς ὁ λόγος ἐφαίνετο ὅτι δεικνύει πολὺν ἀλαζονείαν καὶ αὐτὸ τὸ διώρθωσε μὲ τὸ νὰ εἴπῃ «Ἀλλὰ ἔτσι δὲν εἶμαι δικαιωμένος».

Τί λοιπόν; δὲν πρέπει νὰ κρίνωμεν τοὺς ἑαυτούς μας καὶ τὰ ἁμαρτήματά μας; Καὶ πολὺ μάλιστα πρέπει νὰ κάνωμεν τοῦτο, ὅταν ἁμαρτάνωμεν· ἀλλὰ μὲ τὸν Παῦλον δὲν συνέβαινε τοῦτο· «Διότι δὲν συναισθάνομαι τίποτε κατὰ τοῦ ἑαυτοῦ μου», λέγει. Ποῖον λοιπὸν ἁμάρτημα θὰ ἔκρινεν, ἐφ' ὅσον τίποτε δὲν συνῃσθάνετο κατὰ τοῦ ἑαυτοῦ του; Καὶ ὅμως λέγει ὅτι δὲν εἶναι δικαιωμένος. Τί θὰ ἐλέγομεν λοιπὸν ἐμεῖς οἱ ἄνθρωποι, οἱ ὁποῖοι ἔχομεν τὴν συνείδησίν μας γεμάτην μὲ μύρια τραύματα καὶ δὲν αἰσθανόμεθα νὰ ἔχωμεν τίποτε καλόν, ἀλλὰ τὰ ἐντελῶς ἀντίθετα; Καὶ τί λοιπόν, δὲν εἶναι δικαιωμένος, ἐὰν κάποιος δὲν συναισθάνεται τίποτε κατὰ τοῦ ἑαυτοῦ του; Δὲν εἶναι δικαιωμένος, διότι θὰ συνέβαινε νὰ ἔχῃ μὲν κάνει μερικὰ ἁμαρτήματα, χωρὶς ὅμως νὰ γνωρίζῃ τὰ ἁμαρτήματα αὐτά. Ἀπὸ αὐτὸ τὸ παράδειγμα σκέψου πόση θὰ εἶναι ἡ ἀκρίβεια τῆς μελλούσης κρίσεως. Λέγει λοιπὸν ὅτι τὸ νὰ κρίνεται ἀπὸ ἐκείνους εἶναι πολὺ ἀνάξιον τοῦ ἑαυτοῦ του, ὄχι διότι ἐνόμιζε τὸν ἑαυτόν του ἄψογον, ἀλλὰ διότι ἤθελε νὰ κλείσῃ τὰ στόματα ἐκείνων ποὺ ἔκαμναν αὐτὰ ἀσυλλόγιστα.

Εἰς ἄλλην περίπτωσιν μάλιστα οὔτε καὶ ὅταν ἦσαν φανερὰ τὰ ἁμαρτήματα ἐπέτρεπε νὰ κρίνουν τοὺς ἄλλους, διότι τοῦτο ἀπῄτει ἡ περίστασις. Διότι λέγει· «Διατί λοιπὸν κρίνεις τὸν ἀδελφόν σου; Καὶ σὺ διατί περιφρονεῖς τὸν ἀδελφόν σου;»[7]· διότι δὲν ὡρίσθης νὰ κάνῃς τοῦτο, ἄνθρωπε, δηλαδὴ νὰ κρίνῃς ἄλλους, ἀλλὰ νὰ ἐξετάζῃς τὰ ἰδικά σου. Διατί λοιπὸν διασαλεύεις τὴν τάξιν τοῦ Κυρίου; ἡ κρίσις εἶναι ἔργον ἐκείνου, ὄχι ἰδικόν σου. Διὰ τοῦτο καὶ προσέθεσεν· «Ὥστε μὴ κρίνετε τίποτε πρὶν ἀπὸ τὸν ὡρισμένον καιρὸν ἕως ὅτου ἔλθῃ ὁ Κύριος, ὁ ὁποῖος θὰ φωτίσῃ ὅσα κρύπτονται εἰς τὸ σκότος καὶ θὰ φανερώσῃ τὸ περιεχόμενον τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος θὰ δοθῇ εἰς τὸν καθένα ἀπὸ τὸν Θεόν»[8].

Τί λοιπόν; δὲν πρέπει οἱ διδάσκαλοι νὰ κρίνουν; Πρέπει μὲν προκειμένου περὶ τῶν φανερῶν καὶ ὡμολογημένων ἁμαρτημάτων, καὶ τοῦτο εἰς κατάλληλον καιρὸν καὶ νὰ τὸ κάμνουν ἀπὸ θλῖψιν καὶ πόνον, ὄχι ὅπως αὐτοὶ τότε ἔκαμνον, ἀπὸ καινοδοξίαν καὶ ἀλαζονείαν· διότι πράγματι ἐδῶ δὲν ὁμιλεῖ περὶ τῶν ὡμολογημένων ἁμαρτημάτων, ἀλλὰ περὶ τῆς τάσεως νὰ θεωροῦν κάποιον ἀνώτερον

δεῖνα τοῦ δεῖνος προτιθέναι καὶ συγκρίσεις ποιεῖσθαι βίων. Ταῦτα γὰρ αὐτὸς μόνος οἶδε κρίνειν μετὰ ἀκριβείας ὁ μέλλων ἡμῶν τὰ ἀπόρρητα κρίνειν, ποῖα μὲν μείζονος, ποῖα δὲ ἐλάττονος κολάσεώς ἐστιν ἄξια καὶ τιμῆς· ἡμεῖς δὲ κατὰ τὸ παραστὰν ταῦτα πράττομεν. Εἰ γὰρ ἐν οἷς αὐτὸς ἥμαρτον, φησίν, οὐδὲν οἶδα σαφῶς, πῶς ἄξιος ἂν εἴην ὑπὲρ ἑτέρων φέρειν ψῆφον; πῶς δὲ ὁ τὰ ἐμαυτοῦ μετὰ ἀκριβείας μὴ ἐπιστάμενος τὰ ἄλλων δινήσομαι κρίνειν; Εἰ δὲ Παῦλος τοῦτο ἔπασχε, πολλῷ μᾶλλον ἡμεῖς. Καὶ γὰρ ταῦτα ἔλεγεν, οὐχ ἵνα δείξῃ ἑαυτὸν ἄληπτον, ἀλλ' ἵνα δείξῃ ὅτι, εἰ καὶ τοιοῦτος εἴη τις παρ' αὐτοῖς μηδὲν ἡμαρτηκώς, οὐδ' οὗτος ἄξιος ἂν εἴη τοὺς ἑτέρων κρίνειν βίους· καὶ ὅτι, εἰ οὗτος ὁ μηδὲν ἑαυτῷ συνειδὼς ὑπεύθυνος εἶναί φησι, πολλῷ μᾶλλον ἐκεῖνοι οἱ μυρία ἑαυτοῖς συνειδότες.

Οὕτω τοίνυν ἐπιστομίσας τοὺς τὰς τοιαύτας ποιουμένους κρίσεις ὠδίνει λοιπὸν ἀπορρήξας τὸν θυμὸν ἐπὶ τὸν πεπορνευκότα ἐλθεῖν. Καὶ καθάπερ χειμῶνος ἐπιόντος νέφη τινὰ ζοφώδη προτρέχει, εἶτα ἐπειδὰν ὁ τῶν βροντῶν πάταγος γένηται καὶ τὸν οὐρανὸν ἐργάσηται νέφος ἕν, τότε ἀθρόον ἐπὶ τὴν γῆν καταρρήγνυται ὁ ὑετός, οὕτω καὶ τότε συνέβαινε. Καὶ γὰρ ἔχων μετὰ πολλῆς ἀγανακτήσεως χρήσασθαι τῷ πεπορνευκότι, φοβεροῖς ῥήμασι καταστέλλει πρότερον τὸ φύσημα τοῦ ἀνδρός· ἐπειδὴ καὶ διπλοῦν ἁμάρτημα ἦν τὸ συμβάν, πορνεία καὶ πορνείας χεῖρον, τὸ μὴ πενθεῖν ὑπὲρ τοῦ πλημμεληθέντος. Οὐ γὰρ οὕτω τὸν ἡμαρτηκότα πενθεῖ, ὡς τὸν ἡμαρτηκότα καὶ μὴ μετανοοῦντα· «Πενθήσω γὰρ πολλούς», φησίν, «οὐχὶ τῶν προημαρτηκότων ἁπλῶς, ἀλλὰ «τῶν μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν». Ὁ γὰρ μετὰ τὸ ἁμαρτεῖν μετανοίᾳ κεχρημένος, οὐ πένθους ἀλλὰ μακαρισμῶν ἐστιν ἄξιος ἐπὶ τὸν τῶν δικαίων χορὸν μεταστάς. «Λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. Εἰ

---

9. Β΄ Κορ. 12,21.
10. Ἠσ. 43,26.

ἄλλου καὶ νὰ συγκρίνουν τοὺς βίους τῶν ἀνθρώπων. Αὐτὰ γνωρίζει νὰ τὰ κρίνῃ μέ ἀκρίβειαν μόνον ὁ ἴδιος ἐκεῖνος ποὺ θὰ κρίνῃ τὰ ἀπόρρητά μας, ποῖα μὲν ἀξίζουν μεγάλην, ποῖα δὲ μικρὰν τιμωρίαν ἢ τιμήν· ἡμεῖς ὅμως κρίνομεν τὰ πράγματα ἀπὸ αὐτὸ ποὺ βλέπομεν. Ἐφ' ὅσον, δηλαδή, λέγει, δὲν γνωρίζω μὲ σαφήνειαν τίποτε ἀπὸ τὰς ἰδικάς μου ἁμαρτίας, πῶς θὰ ἤμουν ἄξιος νὰ κρίνω ἄλλους; πῶς ἐγὼ ποὺ δὲν γνωρίζω μὲ ἀκρίβειαν τὰ ἰδικά μου θὰ ἠμπορέσω νὰ κρίνω τὰ τῶν ἄλλων; Καὶ ἐὰν ὁ Παῦλος ᾐσθάνετο ἔτσι, πολὺ περισσότερον ἡμεῖς· διότι πράγματι τὰ ἔλεγεν αὐτὰ ὄχι διὰ νὰ δείξῃ τὸν ἑαυτόν του ἄψογον, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι, καὶ ἂν ἀκόμη ὑπῆρχε μεταξύ των κάποιος ἄμεμπτος, οὔτε αὐτὸς θὰ ἦτο ἄξιος νὰ κρίνῃ τοὺς βίους ἄλλων· καὶ διὰ νὰ δείξῃ ἐπίσης ὅτι ἐφ' ὅσον αὐτὸς ποὺ δὲν συναισθάνεται τίποτε κατὰ τοῦ ἑαυτοῦ του λέγει ὅτι εἶναι ὑπεύθυνος, πολὺ περισσότερον ἐκεῖνοι ποὺ ἔχουν ἐπίγνωσιν μυρίων ἁμαρτημάτων των.

Ἀφοῦ λοιπὸν ἔτσι ἐφίμωσεν ἐκείνους ποὺ προέβαινον εἰς τέτοιας κρίσεις, ἐν συνεχείᾳ ἀφοῦ κατέπαυσε τὸν θυμόν του, στενοχωρεῖται πολὺ νὰ ἔλθῃ εἰς τὸ θέμα τοῦ πόρνου. Καὶ ὅπως ὅταν ἔρχεται κακοκαιρία, προηγοῦνται μερικὰ μαῦρα σύννεφα καὶ κατόπιν, ἀφοῦ ἀκουσθῇ ὁ πάταγος τῶν βροντῶν καὶ καλύψῃ τὸν οὐρανὸν ἕνα σύννεφον, τότε πίπτει ραγδαία βροχὴ εἰς τὴν γῆν, ἔτσι συνέβαινε καὶ τότε. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ ἀντιμετωπίσῃ τὸν πόρνον μὲ πολλὴν ἀγανάκτησιν, προηγουμένως μὲ πολὺ αὐστηροὺς λόγους καταστέλλει τὴν ὑπερηφάνειαν τοῦ ἀνδρός, διότι τὸ γεγονὸς ἦτο διπλοῦν ἁμάρτημα, πορνεία καὶ τὸ χειρότερον τῆς πορνείας, ἔλλειψις πένθους δηλαδὴ διὰ τὸ ἁμάρτημα· διότι δὲν πενθεῖ τόσον τὸν ἁμαρτωλὸν ὅσον τὸν ἁμαρτωλὸν ποὺ δὲν μετανοεῖ· διότι λέγει· «Θὰ πενθήσω πολλοὺς ὄχι ἀπὸ αὐτοὺς ποὺ ἁπλῶς ἡμάρτησαν, ἀλλὰ ἀπὸ ὅσους δὲν μετενόησαν διὰ τὴν ἀσέλγειαν καὶ τὴν ἀκαθαρσίαν τὴν ὁποίαν ἔπραξαν»[9]. Ἐκεῖνος δηλαδὴ ποὺ μετανοεῖ μετὰ τὴν ἁμαρτίαν εἶναι ἄξιος ὄχι πένθους ἀλλὰ μακαρισμῶν καὶ ἀνήκει εἰς τὴν παράταξιν τῶν δικαίων, διότι λέγει· «Λέγε σὺ πρῶτος τὰς ἀνομίας σου, διὰ νὰ δικαιωθῇς»[10]. Ἐὰν ὅμως, μετὰ τὴν ἀ-

δὲ μετὰ τὸ ἁμαρτεῖν ἀναισχυντεῖ, οὐχ οὕτως ἐπὶ τῷ πεσεῖν ἐστιν ἐλεεινός, ὡς ἐπὶ τῷ κεῖσθαι πεσών.

3. Εἰ δὲ τὸ μὴ μετανοεῖν ἐπὶ ἁμαρτήμασι χαλεπόν, τὸ καὶ πεφυσιῶσθαι ἐπὶ τοῖς ἁμαρτήμασι ποίας κολάσεώς ἐστιν ἄξιον; Εἰ γὰρ ὁ ἐπὶ τοῖς κατορθώμασιν ἐπαιρούμενος ἀκαθαρτός ἐστιν, ὁ ἐπὶ ἁμαρτήμασι τοῦτο πάσχων ποίας τεύξεται συγγνώμης; Ἐπεὶ οὖν τοιοῦτος ἦν ὁ πεπορνευκὼς καὶ τὴν ψυχὴν οὕτως ἰταμὴν καὶ δυσένδοτον εἰργάσατο διὰ τῆς ἁμαρτίας, ἀναγκαίως αὐτοῦ προκαταβάλλει τὸν τῦφον. Καὶ οὔτε πρῶτον τίθησι τὸ ἔγκλημα, ὥστε μὴ ἀπαναισχυντῆσαι αὐτὸν ὡς πρὸ τῶν ἄλλων ἐγκαλούμενον, οὔτε δὲ ὕστερον, ὥστε αὐτὸν μὴ νομίσαι πάρεργον εἶναι τὸ κατ' αὐτόν· ἀλλὰ πρότερον πολὺν αὐτῷ φόβον ἐνθεὶς ἐκ τῆς πρὸς ἑτέρους ἐπιτιμήσει προκατασείων αὐτοῦ τὴν ἀπόνοιαν. Αὐτὰ γὰρ ταῦτα τὰ ῥήματα, τὸ «Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι», καὶ τὸ «Ὁ κρίνων με Κύριός ἐστιν, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν», οὐχ ὡς ἔτυχε, κἀκείνου καὶ τῶν ἐκεῖνον μὲν συγκροτούντων, τοὺς δὲ ἁγίους ἐξουθενούντων καθάπτεται. Τί γάρ, φησίν, εἰ ἔξωθεν ἐνάρετοι φαίνονταί τινες καὶ θαυμαστοί; Οὐ τῶν ἔξωθεν κριτής ἐστιν ἐκεῖνος ὁ δικαστής, ἀλλὰ καὶ τὰ ἀπόρρητα εἰς μέσον ἄγει.

Δύο τοίνυν ἕνεκεν, μᾶλλον δὲ καὶ τριῶν, οὐκ ἔστιν ἡμῶν ἡ κρίσις ἀκριβής· ἑνὸς μέν, ὅτι, κἂν μηδὲν ὦμεν ἑαυτοῖς συνειδότες, ὅμως δεόμεθα τοῦ τὰ ἁμαρτήματα ἡμῶν ἐλέγχοντος μετὰ ἀκριβείας· ἑτέρου δέ, ὅτι τὰ πλείονα τῶν γινομένων ἡμᾶς λανθάνει καὶ κρύπτεται· καὶ τρίτου πρὸς τούτοις, ὅτι πολλὰ τῶν γενομένων παρ' ἑτέρων δοκεῖ μὲν ἡμῖν καλά, οὐκ ἀπὸ ὀρθῆς δὲ γίνεται γνώμης. Τί τοίνυν φατέ, ὅτι οὐδὲν ἡμάρτηται τῷ δεῖνι καὶ τῷ δεῖνι, καὶ ὁ δεῖνα τοῦ δεῖνος βελτίων; Τοῦτο γὰρ οὐκ ἔστιν ἀ-

μαρτίαν δὲν ἐντρέπεται, δὲν εἶναι τόσον ἐλεεινός, διότι ἔπεσεν, ὅσον διότι παραμένει εἰς τὴν πτῶσιν του.

3. Ἐὰν δὲ εἶναι θλιβερὸν πρᾶγμα ἡ ἔλλειψις μετανοίας δι' ἁμαρτήματα, ποίαν τιμωρίαν ἀξίζει τὸ νὰ ὑπερηφανεύεται κανεὶς διὰ τὰ ἁμαρτήματά του; Καὶ ἂν ἐκεῖνος ποὺ ὑπερηφανεύεται διὰ τὰ κατορθώματά του εἶναι ἀκάθαρτος, πῶς θὰ συγχωρηθῇ ἐκεῖνος ποὺ παθαίνει τοῦτο διὰ τὰ ἁμαρτήματά του; Ἐπειδὴ λοιπὸν ἦτο τέτοιος ὁ πόρνος καὶ διὰ τῆς ἁμαρτίας ἔκανε τὴν ψυχήν του τόσον ἀναίσχυντον καὶ δύσκαμπτον, ἀναγκαστικῶς ἐκ τῶν προτέρων καταβάλλει τὴν ἀλαζονείαν του. Καὶ οὔτε ἀναφέρει πρώτην τὴν κατηγορίαν, ὥστε νὰ μὴ ἀποθρασυνθῇ αὐτός, διότι δῆθεν ἐκατηγορεῖτο πρὸ τῶν ἄλλων, οὔτε ὅμως δευτέραν, ὥστε νὰ μὴ νομίσῃ αὐτὸς ὅτι εἶναι δευτερεῦον θέμα ἡ ὑπόθεσίς του· ἀλλά, ἀφοῦ προηγουμένως προεκάλεσεν εἰς αὐτὸν πολὺν φόβον μὲ τὴν παρρησίαν του πρὸς ἄλλους, τότε προχωρεῖ ἐναντίον του εἰς τὰ πλαίσια τῆς ἐπιτιμήσεώς του πρὸς τοὺς ἄλλους καταρρίπτων ἐκ τῶν προτέρων τὴν ἀλαζονείαν αὐτοῦ. Αὐτοὶ δηλαδὴ οἱ ἴδιοι οἱ λόγοι τὸ «Δὲν συναισθάνομαι τίποτε κατὰ τοῦ ἑαυτοῦ μου, ἀλλὰ οὔτε ἔτσι εἶμαι δικαιωμένος» καὶ τό, «Ὁ Κύριος εἶναι αὐτὸς ποὺ μὲ κρίνει, ὁ ὁποῖος καὶ θὰ φωτίσῃ ὅσα κρύπτονται εἰς τὸ σκότος καὶ θὰ φανερώσῃ τὸ περιεχόμενον τῶν καρδιῶν», δὲν ἀναφέρονται τυχαίως, ἀλλὰ ἀποτελοῦν ἐπίθεσιν κατ' ἐκείνου καὶ ὅσων ἐπεδοκίμαζον μὲν ἐκεῖνον, περιεφρόνουν δὲ τοὺς πιστούς. Τί ὠφελεῖ δηλαδή, λέγει, ἐὰν μερικοὶ ἐξωτερικῶς φαίνωνται ἐνάρετοι καὶ θαυμαστοί; Ἐκεῖνος ὁ δικαστὴς δὲν εἶναι κριτὴς τῶν ἐξωτερικῶν στοιχείων, ἀλλὰ ἀποκαλύπτει και τὰ ἀπόρρητα.

Διὰ δύο λοιπὸν ἢ μᾶλλον διὰ τρεῖς λόγους δὲν εἶναι δυνατὸν ἡ κρίσις μας νὰ εἶναι ἀκριβής· πρῶτον, διότι, καὶ ὅταν ἀκόμη δὲν συναισθανώμεθα τίποτε κατὰ τοῦ ἑαυτοῦ μας, καὶ ὅμως ἔχομεν ἀνάγκην ἐκείνου, ποὺ ἐλέγχει τὰ ἁμαρτήματά μας μὲ ἀκρίβειαν· δεύτερον, διότι τὰ περισσότερα ἀπὸ ὅσα συμβαίνουν διαφεύγουν τὴν προσοχήν μας καὶ παραμένουν κρυπτά· καὶ τρίτον ἐπίσης, διότι πολλὰ ἀπὸ ὅσα ἔκαναν ἄλλοι φαίνονται εἰς ἡμᾶς μὲν καλά, δὲν ἔγιναν ὅμως μὲ ὀρθὴν πρόθεσιν. Διατί λοιπὸν λέγετε ὅτι δὲν ἐκάνατε κανένα κακὸν εἰς τὸν τάδε καὶ εἰς τὸν τάδε καὶ ὅτι ὁ τάδε εἶναι καλύτερος ἀπὸ τὸν τάδε; Τοῦτο δὲν εἶναι δυνατὸν νὰ λεχθῇ

ποφήνασθαι οὐδὲ περὶ τοῦ μηδὲν ἑαυτῷ συνειδότος· ὁ γὰρ τὰ ἀπόρρητα κρίνων ἐκεῖνός ἐστιν ὁ μετὰ ἀκριβείας δικάζων. Ἰδοὺ γοῦν, οὐδὲ ἐγώ τι ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐδὲ οὕτω δεδικαίωμαι· τουτέστιν, οὐκ ἀπήλλαγμαι τῶν εὐθυνῶν οὐ δὲ τῶν ἐγκλημάτων. Οὐ γὰρ τοῦτό φησιν, ὅτι οὐκ ἐν τοῖς δικαίοις τέταγμαι, ἀλλ' ὅτι οὐκ εἰμὶ καθαρὸς ἀπὸ ἁμαρτίας. Καὶ γὰρ ἀλλαχοῦ φησιν· «Ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας», τουτέστιν ἀπήλλακται.

Πολλὰ δὲ καὶ πράττομεν ἀγαθὰ μέν, οὐκ ἀπὸ ὀρθῆς δὲ γνώμης. Καὶ γὰρ ἐπαινοῦμεν πολλοὺς οὐκ ἐκείνους ποιῆσαι λαμπροὺς βουλόμενοι, ἀλλ' ἑτέρους δι' ἐκείνων δάκνειν. Καὶ τὸ μὲν γινόμενον καλόν· ἐπαινεῖται γὰρ ὁ κατορθῶν· ἡ δὲ διάνοια διεφθαρμένη· ἀπὸ σατανικῆς γὰρ γίνεται γνώμης. Οὐ γὰρ τῷ ἀδελφῷ συγχαίρων, ἀλλὰ τὸν ἕτερον βαλεῖν ἐπιθυμῶν τοῦτο πολλάκις πεποίηκέ τις. Πάλιν, ἥμαρτέ τις ἁμαρτίαν μεγάλην· ἕτερός τις αὐτὸν ὑποσκελίσαι βουλόμενος οὐδέν φησιν εἰργάσθαι, καὶ παραμυθεῖται δῆθεν αὐτὸν ἁμαρτάνοντα ἐπὶ τὸ κοινὸν τῆς φύσεως καταφεύγων· ἀλλ' οὐ συγγνῶναι πολλάκις, ἀλλὰ ῥᾳθυμότερον ἐργάσασθαι βουλόμενος τοῦτο ποιεῖ. Πάλιν ἐπιπλήττει πολλάκις, οὐχ ὥστε ἐλέγξαι καὶ νουθετῆσαι, ἀλλ' ὥστε ἐκπομπεῦσαι καὶ ἐκτραγωδῆσαι τῷ πλησίον τὴν ἁμαρτίαν. Τὰς δὲ βουλὰς αὐτὰς ἄνθρωποι μὲν οὐκ ἴσασιν, ὁ δὲ τὰς καρδίας ἐρευνῶν ἀκριβῶς ἐπίσταται καὶ εἰς μέσον ἄξει πάντα τότε ἐκεῖνα. Διὸ καὶ ἔλεγεν, «Ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν».

Ὅταν οὖν καὶ ἐν τῷ μηδὲν ἑαυτοῖς συνειδέναι μὴ δυνώμεθα ἐγκλημάτων εἶναι καθαροί, καὶ ἐν οἷς ἀγαθόν τι πράττομεν, οὐκ ἀπὸ ὀρθῆς δὲ γνώμης πράττομεν, τιμωρίας ὦμεν ὑπεύθυνοι, ἐννόησον πόση παρὰ ἀνθρώποις ἀπάτη περὶ τὰς κρίσεις. Πάντα γὰρ ταῦτα ἀνθρώποις μὲν

11. Ρωμ. 6,7.

οὔτε δι' ἐκεῖνον, ὁ ὁποῖος δὲν συναισθάνεται τίποτε κατὰ τοῦ ἑαυτοῦ του· διότι ὁ κρίνων τὰ ἀπόρρητα ἐκεῖνος εἶναι ποὺ δικάζει μὲ ἀκρίβειαν. Ἰδοὺ λοιπόν, οὔτε ἐγὼ συναισθάνομαι κάτι κατὰ τοῦ ἑαυτοῦ μου, ἀλλὰ οὔτε ἔτσι εἶμαι δικαιωμένος· δηλαδὴ δὲν εἶμαι ἀπηλλαγμένος ἀπὸ εὐθύνας οὔτε ἀπὸ κατηγορίας. Δὲν λέγει δηλαδὴ τοῦτο, ὅτι «Δὲν κατατάσσομαι μεταξὺ τῶν δικαίων», ἀλλ' ὅτι «Δὲν εἶμαι καθαρὸς ἀπὸ ἁμαρτίας»· διότι ἀλλοῦ λέγει· «Ἐκεῖνος ποὺ ἀπέθανεν ἔχει δικαιωθῆ ἀπὸ τὴν ἁμαρτίαν»[11], δηλαδὴ ἔχει ἀπαλλαγῆ.

Ἐξ ἄλλου, ἀκόμη καὶ πράττομεν πολλὰ καλὰ ὄχι ὅμως ἀπὸ καλὴν πρόθεσιν. Ἀκόμη καὶ ἐπαινοῦμεν δηλαδὴ πολλούς, ὄχι διότι θέλομεν νὰ κάνωμεν ἐκείνους λαμπρούς, ἀλλὰ διότι θέλομεν δι' ἐκείνων νὰ θίξωμεν ἄλλους. Καὶ ἡ μὲν πρᾶξις εἶναι καλή, διότι ἐπαινεῖται αὐτὸς ποὺ κατορθώνει κάτι, ἡ πρόθεσις ὅμως εἶναι ἀνήθικος, ἐφ' ὅσον προέρχεται ἀπὸ σατανικὴν σκέψιν. Πολλάκις δηλαδὴ κάποιος κάμνει τοῦτο ὄχι διότι πράγματι χαίρεται διὰ τὸ κατόρθωμα τοῦ ἀδελφοῦ του, ἀλλὰ διότι ἐπιθυμεῖ νὰ προσβάλῃ ἄλλον. Ἐπίσης, κάποιος ἔκανε μίαν μεγάλην ἁμαρτίαν· κάποιος ἄλλος, ἐπειδὴ θέλει νὰ τὸν ὑποσκελίσῃ, τοῦ λέγει ὅτι δὲν ἔχει κάνει τίποτε, καὶ δῆθεν τὸν παρηγορεῖ διὰ τὴν ἁμαρτίαν του χρησιμοποιῶν ὡς ἐπιχείρημα τὸ κοινὸν τῆς φύσεως· ἀλλὰ πολλάκις τὸ κάνει αὐτό, ὄχι διότι θέλει νὰ ἐκφράσῃ τὴν συμπάθειάν του, ἀλλὰ διότι θέλει νὰ κάνῃ τὸν ἁμαρτήσαντα ραθυμότερον. Ἐπίσης, πολλάκις τὸν ἐπιπλήττει, ὄχι διὰ νά τὸν ἐλέγξῃ καὶ νὰ τὸν νουθετήσῃ, ἀλλὰ διὰ νὰ τὸν διαπομπεύσῃ καὶ νὰ ἀποκαλύψῃ τὴν ἁμαρτίαν εἰς τὸν πλησίον. Τὰς προθέσεις αὐτὰς οἱ μὲν ἄνθρωποι δὲν τὰς γνωρίζουν, ἐκεῖνος ὅμως ποὺ ἐρευνᾷ τὰς καρδίας τὰς γνωρίζει μέ ἀκρίβειαν καὶ θὰ ἀποκαλύψῃ τότε ὅλα ἐκεῖνα. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ὁ ὁποῖος θὰ φωτίσῃ ὅσα κρύπτονται εἰς τὸ σκότος καὶ θὰ φανερώσῃ τὸ περιεχόμενον τῶν καρδιῶν».

Ἐφ' ὅσον λοιπὸν δὲν δυνάμεθα νὰ εἴμεθα καθαροὶ ἀπὸ κατηγορίας καὶ ὅταν ἀκόμη δὲν συναισθανώμεθα τίποτε κατὰ τοῦ ἑαυτοῦ μας, ἐφ' ὅσον ἐπίσης εἴμεθα ὑπεύθυνοι τιμωρίας καὶ διὰ τὰς περιπτώσεις, κατὰ τὰς ὁποίας πράττομεν μὲν κάτι καλόν, δὲν τὸ πράττομεν ὅμως ἀπὸ καλὴν πρόθεσιν, σκέψου πόση ἀπάτη ὑπάρχει εἰς τὰς κρίσεις τῶν ἀνθρώπων. Ὅλα αὐτὰ δηλαδὴ δὲν εἶναι

οὐκ ἔστιν ἐφικτά, τῷ δὲ ἀκοιμήτῳ μόνῳ ὀφθαλμῷ κἂν ἀνθρώπους ἀπατήσωμεν, ἐκεῖνον οὐδέποτε παραλογισόμεθα. Μὴ τοίνυν λέγε, σκότος κύκλῳ μου καὶ τοῖχοι· τίς με ὁρᾷ; ὁ γὰρ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, αὐτὸς πάντα ἐπίσταται, ὅτι σκότος οὐ σκοτισθήσεται παρ' αὐτῷ. Καλῶς δέ φησιν ὁ ἁμαρτάνων, σκότος κύκλῳ μου καὶ τοῖχοι. Εἰ μὴ γὰρ σκότος ἦν ἐν τῇ διανοίᾳ, οὐκ ἂν τὸν φόβον τοῦ Θεοῦ ἐκβαλὼν μετὰ ἀδείας ἔπραττεν. Ἂν γὰρ μὴ πρότερον σκοτισθῇ τὸ ἡγεμονικόν, ἐπισελθεῖν ἡ ἁμαρτία μετὰ ἀδείας οὐ δύναται. Μὴ τοίνυν λέγε, τίς με ὁρᾷ; ἔστι γὰρ ὁ διϊκνούμενος μέχρι ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· ἀλλὰ σὺ αὐτὸν οὐχ ὁρᾷς, οὐδὲ διατέμνειν δύνασαι τὸ νέφος, ἀλλ' ὥσπερ τειχίον πάντοθεν ἔχων περικείμενον, οὕτως ἀναβλέψαι πρὸς τὸν οὐρανὸν οὐκ ἔχεις.

4. Ποίαν γὰρ βούλει πρότερον ἁμαρτίαν ἐξετάσωμεν; καὶ ὄψει οὕτω γινομένην αὐτήν. Καθάπερ γὰρ λῃσταὶ καὶ τοιχωρύχοι, ἐπειδάν τι τῶν τιμίων λαβεῖν θελήσωσι, τὸν λύχνον κατασβέσαντες τοῦτο πράττουσιν, οὕτω καὶ ἐπὶ τῶν ἁμαρτανόντων ὁ διεφθαρμένος ποιεῖ λογισμός. Καὶ γὰρ καὶ ἐν ἡμῖν ἐστι φῶς τὸ λογικὸν διόλου καιόμενον. Κἂν τὸ πνεῦμα τῆς πονηρίας σφοδρῶς ἐπελθὸν μετὰ πολλῆς τῆς ῥύμης κατασβέσῃ τὴν φλόγα ἐκείνην, ἐσκότισεν εὐθέως τὴν ψυχὴν καὶ κατηγωνίσατο καὶ πάντα ἐσύλησεν εὐθέως τὰ ἐναποκείμενα. Ὅταν γὰρ ὑπὸ ἀσελγοῦς ἐπιθυμίας ἁλῷ ἡ ψυχή, καθάπερ νέφος καὶ ἀχλὺς τοὺς τοῦ σώματος ὀφθαλμούς, οὕτω τῆς διανοίας τὸ προορατικὸν προκαταλαβοῦσα ἐκείνη, οὐδὲν ἀφίησιν ἰδεῖν περαιτέρω, οὐ κρημνόν, οὐ γέενναν, οὐ φόβον, ἀλλ' ὑπὸ τῆς ἁμαρτίας γίνεται· καὶ καθάπερ τοῖχος ἀθυρίδωτος πρὸ τῶν ὀφθαλμῶν ἐγερθεὶς οὐκ ἀφίησι τὴν ἀκτῖνα τῆς δικαιοσύνης ἐλλάμψαι τῇ διανοίᾳ τῶν λογισμῶν τῶν ἀτόπων τῆς ἐπιθυ-

---

12. Ψαλμ. 32,15 καὶ 138,12.
13. Ἡγεμονικόν: Ὅρος τῆς Στωικῆς φιλοσοφίας δηλῶν τὸν «λόγον», τὴν κυρίαν δύναμιν τῆς ἀνθρωπίνης ψυχῆς.
14. Ἑβρ. 4,12.

κατορθωτὰ μὲν ἀπὸ τοὺς ἀνθρώπους, εἶναι ὅμως διὰ τὸν μόνον ἀκοίμητον ὀφθαλμόν· καὶ ἂν ἐξαπατήσωμεν τοὺς ἀνθρώπους, ἐκεῖνον οὐδέποτε θὰ τὸν ἐξαπατήσωμεν. Μὴ λοιπόν, λέγῃς· 'Γύρω μου εἶναι σκότος καὶ τοῖχοι· ποῖος μὲ βλέπει;' διότι αὐτὸς ποὺ ἔπλασε τὰς καρδίας μας μίαν πρὸς μίαν αὐτὸς γνωρίζει τὰ πάντα, ὅτι σκότος δὲν θὰ κυριαρχήσῃ πέριξ αὐτοῦ[12]. Ὀρθῶς δὲ ὁ ἁμαρτάνων λέγει, 'Γύρω μου εἶναι σκότος καὶ τοῖχοι'· διότι, ἐὰν δὲν ὑπῆρχε σκότος εἰς τὴν διάνοιάν του, δὲν θὰ ἐνήργει χωρὶς φόβον, ἀφοῦ ἀπέβαλε τὸν φόβον τοῦ Θεοῦ. Ἂν δηλαδὴ δὲν σκοτισθῇ προηγουμένως τὸ ἡγεμονικόν[13], δὲν εἶναι δυνατὸν χωρὶς φόβον νὰ εἰσβάλῃ ἡ ἁμαρτία. Μὴ λοιπὸν λέγῃς 'ποῖος μὲ βλέπει;' διότι ὑπάρχει ἐκεῖνος ποὺ διεισδύει μέχρι τῆς ψυχῆς καὶ τοῦ πνεύματος, μέχρι τῶν κλειδώσεων τοῦ σώματος καὶ τοῦ μυελοῦ τῶν ὀστῶν[14]. Ἀλλὰ σὺ δὲν τὸν βλέπεις, οὔτε ἠμπορεῖς νὰ διαπεράσῃς τὸ νέφος, ἀλλ' ὡσὰν νὰ ἔχῃς γύρω σου ἓν τεῖχος ὑψωμένον δὲν δύνασαι νὰ ἴδῃς πρὸς τὸν οὐρανόν.

4. Ποίαν ἁμαρτίαν λοιπὸν νὰ ἐξετάσωμεν πρώτην; καὶ θὰ ἴδῃς ὅτι συμβαίνει ὡς ἑξῆς: Ὅπως ἀκριβῶς δηλαδὴ οἱ λησταὶ καὶ οἱ διαρρῆκται, ὅταν θελήσουν νὰ κλέψουν κάτι πολύτιμον, τὸ κάμνουν ἀφοῦ σβήσουν τὸ φῶς, ἔτσι ἐνεργεῖ καὶ ὁ διεφθαρμένος νοῦς εἰς τοὺς ἁμαρτάνοντας· διότι καὶ μέσα μας τὸ λογικὸν εἶναι φῶς, ποὺ καίει συνεχῶς. Καὶ ἂν τὸ πνεῦμα τῆς πονηρίας πνεύσῃ μὲ πολλὴν σφοδρότητα καὶ σβήσῃ τὴν φλόγα ἐκείνην, ἀμέσως θὰ σκοτίσῃ ὁπωσδήποτε τὴν ψυχὴν καὶ θὰ τὴν καταβάλῃ καὶ ἀμέσως θὰ διαρπάσῃ ὅλα τὰ ὑπάρχοντα. Ὅταν δηλαδὴ ἀκόλαστος ἐπιθυμία κυριεύσῃ τὴν ψυχὴν ἀφοῦ προηγουμένως καταλάβῃ τό προορατικὸν μέρος τῆς διανοίας, ὅπως νέφος καὶ ἀχλὺς καταλαμβάνει τοὺς ὀφθαλμοὺς τοῦ σώματος, δὲν τὴν ἀφήνει νὰ ἴδῃ τίποτε μακρύτερον, οὔτε κρημνὸν οὔτε κόλασιν οὔτε φόβον, ἀλλ' ἀφοῦ καταδυναστευθῇ ἀπὸ ἐκεῖνον τὸν τύραννον, ἐν συνεχείᾳ εὐκόλως καταβάλλεται ὑπὸ τῆς ἁμαρτίας· καὶ ὡς ἕνας συνεχὴς τοῖχος ὑψωμένος πρὸ τῶν ὀφθαλμῶν δὲν ἀφήνει τὴν ἀκτῖνα τῆς δικαιοσύνης εἰς τὴν διάνοιαν, διότι οἱ ἄτοποι λογισμοὶ τῆς ἐπιθυμίας τὴν περιβάλλουν ἀπὸ ὅλας τὰς

μίας πάντοθεν αὐτὴν ἐπιτειχιζόντων. Καὶ ἀπαντᾷ αὐτῷ τότε λοιπὸν ἡ πορνευομένη γυνὴ πρὸ τῶν ὀφθαλμῶν, πρὸ τῆς διανοίας, πρὸ τῶν λογισμῶν ἑστῶσα καὶ φαινομένη. Καὶ ὥσπερ οἱ πεπηρωμένοι, κἂν ἐν σταθερᾷ μεσημβρίᾳ ὑπ' αὐτὸ τοῦ οὐρανοῦ τὸ μέσον ἑστηκότες ὦσιν, οὐ παραδέχονται τὸ φῶς ἐγκεκλεισμένων αὐτοῖς τῶν ὀμμάτων, οὕτω δὴ καὶ οὗτοι, κἂν μυρία πάντοθεν αὐτοῖς ἐνηχῇ σωτήρια δόγματα, τῷ πάθει τούτῳ προκατειλημμένοι τὴν ψυχὴν πᾶσι τοῖς τοιούτοις λόγοις ἀποφράττουσι τὴν ἀκοήν. Καὶ ἴσασιν οἱ τὴν πεῖραν εἰληφότες καλῶς. Ἀλλ' ὑμᾶς μὴ γένοιτο ἀπὸ τῆς πείρας ταύτης εἰδέναι. Οὐχ αὕτη δὲ μόνον ἡ ἁμαρτία ταῦτα ποιεῖ, ἀλλὰ καὶ πᾶς ἔρως ἄτοπος.

Μεταθῶμεν γάρ, εἰ δοκεῖ, τὸν λόγον ἀπὸ τῆς πορνευομένης γυναικὸς ἐπὶ τὰ χρήματα, καὶ θεασόμεθα καὶ ἐνταῦθα πυκνὸν σκότος καὶ συνεχές. Ἐκεῖ μὲν γὰρ ἅτε μιᾶς οὔσης τῆς ἐρωμένης καὶ εἰς ἕνα τόπον ἀποκεκλεισμένης οὐχ οὕτω σφοδρὸν τὸ πάθος· ἐπὶ δὲ τῶν χρημάτων ἁπανταχοῦ φαινομένων ἐν ἀργυροκοπείοις, ἐν πανδοχείοις, ἐν χρυσοχοείοις, ἐν ταῖς τῶν πλουτούντων οἰκίαις σφοδρὸς ὁ ἔρως πνεῖ. Ὅταν γὰρ παῖδας σοβοῦντας ἐπὶ τῆς ἀγορᾶς, ἵππους χρυσοφοροῦντας, ἀνθρώπους καλλωπιζομένους πολυτελέσιν ἐσθήμασιν ἴδῃ μετ' ἐπιθυμίας ὁ νοσῶν, πολὺς ὁ σκότος καταχεῖται.

Καὶ τί δεῖ λέγειν οἰκίας καὶ ἀργυροκοπεῖα; Ἐγὼ γὰρ οἶμαι τοὺς τοιούτους, κἂν ἐπὶ τῆς γραφῆς ἴδωσι καὶ τῆς εἰκόνος τὸν πλοῦτον, σπαράττεσθαι καὶ ἀγριαίνειν καὶ λυττᾶν· ὥστε πάντοθεν αὐτοῖς τὸ σκότος συνάγεται. Κἂν γὰρ εἰς εἰκόνα βλέψωσι βασιλικήν, οὐ θαυμάζουσι τῶν λίθων τὸ κάλλος οὐδὲ τὸν χρυσὸν οὐδὲ τὸ ἁλουργὲς ἱμάτιον, ἀλλὰ τήκονται. Καὶ καθάπερ ὁ δύσερως ἐκεῖνος, κἂν εἰκόνα θεάσηται τῆς ἐρωμένης γυναικός, προσήλωται τῷ ἀψύχῳ, οὕτω καὶ οὗτος ἄψυχον ὁρῶν εἰκόνα τοῦ πλούτου τὸ αὐτὸ πάσχει μειζόνως ἅτε τυραννικωτέρῳ κατεχόμενος πάθει. Καὶ χρὴ λοιπὸν ἢ μένειν ἐπὶ τῆς οἰκίας ἢ ἐμβάλλοντα ἐπὶ τῆς ἀγορᾶς μυρίας λαβόντα πληγὰς ἀναχωρεῖν οἴκαδε· πολλὰ γὰρ τὰ λυποῦντα αὐτοῦ τοὺς ὀφθαλμούς. Καὶ

πλευρὰς μὲ τεῖχος. Καὶ τότε ἡ πόρνη γυναῖκα ἐμφανίζεται καὶ ἵσταται πρὸ τῶν ὀφθαλμῶν του, πρὸ τῆς διανοίας του, πρὸ τῶν λογισμῶν του. Καὶ ὅπως οἱ τυφλοί, καὶ ἂν ἀκόμη εὑρίσκωνται ἐν πλήρει μεσημβρίᾳ εἰς τὸ μέσον ἀκριβῶς τοῦ οὐρανοῦ, δὲν ἀντιλαμβάνονται τὸ φῶς, διότι εἶναι κλειστοὶ οἱ ὀφθαλμοί των, ἔτσι ἀκριβῶς καὶ αὐτοί, καὶ ἂν ἀκόμη ἀπὸ ὅλα τὰ μέρη ἠχοῦν εἰς αὐτοὺς σωτήρια κηρύγματα, ἐπειδὴ προηγουμένως ἡ ψυχή των κατελήφθη ἀπὸ τὸ πάθος τοῦτο, φράσσουν ἐντελῶς τὴν ἀκοήν των εἰς ὅλους τοὺς λόγους τοῦ εἴδους αὐτοῦ. Τὸ γνωρίζουν καλῶς ὅσοι ἀπέκτησαν τέτοιαν πεῖραν· ἀλλ' ἡμεῖς εἴθε νὰ μὴ τὸ γνωρίσωμεν ἀπὸ τὴν πεῖραν αὐτήν. Αὐτὰ δὲ δὲν τὰ κάμνει αὐτὴ μόνον ἡ ἁμαρτία, ἀλλὰ καὶ κάθε ἀπρεπὴς πόθος.

Ἂν θέλετε, ἂς μεταθέσωμεν τὸν λόγον ἀπὸ τὴν πόρνην γυναῖκα εἰς τὰ χρήματα, καὶ θὰ ἴδωμεν ὅτι καὶ ἐδῶ ἐπικρατεῖ πυκνὸν καὶ συνεχὲς σκότος. Δηλαδὴ ἐκεῖ μὲν τὸ πάθος δὲν εἶναι τόσον σφοδρόν, διότι εἶναι μία ἡ ἐρωμένη, καὶ περιορίζεται εἰς ἕνα τόπον· ἐπειδὴ ὅμως τὰ χρήματα φαίνονται παντοῦ εἰς τὰ ἀργυροκοπεῖα, εἰς τὰ πανδοχεῖα, εἰς τὰ χρυσοχοεῖα, εἰς τὰς οἰκίας τῶν πλουσίων, πνέει σφοδρὸς πόθος δι' αὐτά. Ὅταν δηλαδὴ ὁ νοσῶν ἴδῃ μὲ ἐπιθυμίαν παιδιὰ νὰ περιπατοῦν κομψῶς εἰς τὴν ἀγοράν, ἵππους μὲ χρυσᾶ ἐξαρτήματα, ἀνθρώπους καλλωπιζομένους μὲ πολυτελῆ ἐνδύματα, καταλαμβάνεται ἀπὸ πολὺ σκότος.

Καὶ διατί πρέπει νὰ ἀναφέρω οἰκίας καὶ ἀργυροκοπεῖα; διότι ἐγὼ νομίζω ὅτι οἱ ἄνθρωποι αὐτοί, ἂν ἴδουν τὸν πλοῦτον ἀκόμη καὶ εἰς γραφὴν καὶ εἰκόνα, σπαράσσονται καὶ ἀγριεύουν καὶ λυσσοῦν· ὥστε ἀπὸ παντοῦ τοὺς κυριεύει τὸ σκότος. Καὶ ἂν ρίψουν τὸ βλέμμα των εἰς εἰκόνα βασιλέως, δὲν θαυμάζουν τὸ κάλλος τῶν λίθων οὔτε τὸν χρυσὸν οὔτε τὴν πορφύραν, ἀλλὰ λειώνουν. Καὶ ὅπως ἐκεῖνος ποὺ κατέχεται ἀπὸ ἔρωτα μὲ μανίαν, ἂν ἴδῃ ἀκόμη καὶ εἰκόνα τῆς ἐρωμένης γυναικός, προσηλώνεται εἰς τὴν ἄψυχον εἰκόνα, ἔτσι καὶ αὐτὸς βλέπων ἄψυχον εἰκόνα τοῦ πλούτου παθαίνει τὰ ἴδια καὶ περισσότερα, διότι κατέχεται ἀπὸ τυραννικώτερον πάθος. Πρέπει ἐπομένως ἢ νὰ μένῃ εἰς τὴν οἰκίαν του ἤ, ἐφ' ὅσον πηγαίνει εἰς τὴν ἀγοράν, νὰ ἐπιστρέφῃ εἰς τὴν οἰκίαν του, ἀφοῦ πληγωθῇ πάρα πολὺ διότι εἶναι πολλὰ αὐτὰ ποὺ λυποῦν τοὺς ὀφθαλμούς του. Καὶ ὅπως ἐκεῖνος δὲν βλέπει τίποτε ἄλλο παρὰ τὴν

καθάπερ ἐκεῖνος οὐδὲν ἕτερον ἢ τὴν γυναῖκα ὁρᾷ, οὕτω καὶ οὗτος πένητας μὲν καὶ τὰ ἄλλα πάντα παρατρέχει, ἵνα μηδὲ παραμυθίαν λάβῃ, πρὸς δὲ τοὺς εὐπόρους ἐνατενίζει τοὺς ὀφθαλμοὺς πολὺ καὶ σφοδρὸν ἀπὸ τῆς ἐκείνων ὄψεως εἰς τὴν ἑαυτοῦ ψυχὴν εἰσάγων τὸ πῦρ· πῦρ γάρ ἐστι χαλεπῶς κατεσθίον τὸν ἐμπεσόντα.

Καὶ εἰ μὴ γέεννα ἠπείλητο μηδὲ κόλασις, αὐτὰ τὰ παρόντα κόλασις ἦν, τὸ διηνεκῶς βασανίζεσθαι καὶ μηδέποτε πέρας εὑρίσκειν τοῦ νοσήματος· καὶ ἤρκει καὶ ταῦτα μόνα πεῖσαι φυγεῖν τὴν ἀρρωστίαν. Ἀλλ᾽ οὐδὲν ἀνοίας χεῖρον, ἢ καὶ τοῖς ἀθυμίαν φέρουσι πράγμασι καὶ κέρδος οὐδὲν προσηλῶσθαι παρασκευάζει. Διὸ παρακαλῶ ἀρχόμενον ἐκκόπτειν τὸ πάθος. Καθάπερ γὰρ πυρετὸς παρὰ μὲν τὴν ἀρχὴν προσβαλὼν οὐ σφόδρα φλέγει τῇ δίψῃ τοὺς κάμνοντας, ἐπιδοὺς δὲ καὶ τὴν φλόγα ἐπάρας ἀνίατα διψᾶν παρασκευάζει λοιπόν· κἂν παράσχῃ τις αὐτοῖς ἐμφορηθῆναι τοῦ πόματος, οὐ σβέννυσιν, ἀλλ᾽ ἐκκαίει τὴν κάμινον· οὕτω καὶ ἐπὶ τούτου συμβαίνει τοῦ πάθους· ἂν παρὰ τὴν ἀρχὴν εἰσελαῦνον εἰς τὴν ψυχὴν τὴν ἡμετέραν μὴ κωλύσωμεν μηδὲ ἀποκλείσωμεν τὰς θύρας, εἰσελθὸν λοιπὸν ἀνίατον ἐργάζεται τοῖς δεξαμένοις τὸ νόσημα. Καὶ γὰρ καὶ τὰ καλὰ καὶ τὰ κακά, ὅταν ἐπιπλεῖον ἡμῖν ἐνδιατρίψῃ, δυνατώτερα γίνεται.

5. Καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Καὶ γὰρ φυτὸν ἄρτι μὲν ἐντεθὲν ἐπὶ τῆς γῆς, εὐκόλως ἀνασπᾶται· χρόνῳ δὲ πολλῷ ῥιζωθέν, οὐκέτι, ἀλλὰ πολλῆς δεῖται τῆς μοχλείας· καὶ οἰκοδομὴ νεοπαγὴς μὲν οὖσα περιτρέπεται εὐκόλως ὑπὸ τῶν ἐνοχλούντων· παγεῖσα δὲ καλῶς πολλὰ παρέχει τοῖς καθαιρεῖν ἐπιχειροῦσι τὰ πράγματα· καὶ θηρίον τόποις ἐμφιλοχωρῆσαν πολλῷ χρόνῳ δυσκόλως ἐλαύνεται. Τοῖς μὲν οὖν οὐδέπω κατασχεθεῖσιν ὑπὸ τοῦ πάθους παραινῶ μὴ ἁλῶναι· εὐκολώτερον γὰρ φυλάξασθαι μὴ ἐμπεσεῖν ἢ ἐμπεσόντα ἀποστῆναι· τοῖς δὲ κατασχεθεῖσι καὶ κατερραγμένοις, ἐὰν θελή-

γυναῖκα, ἔτσι καὶ αὐτὸς παραβλέπει τοὺς πτωχοὺς καὶ ὅλα τὰ ἄλλα δυσάρεστα, διὰ νὰ μὴ παρηγορηθῇ, προσηλώνει δὲ τοὺς ὀφθαλμούς του εἰς τοὺς εὐπόρους καὶ μὲ τὸ νὰ τοὺς κοιτάζῃ εἰσάγει εἰς τὴν ψυχήν του πολὺ καὶ σφοδρὸν τὸ πῦρ· διότι εἶναι πῦρ, ποὺ κατατρώγει φοβερὰ ὅποιον ἔπεσεν εἰς τὸ πάθος αὐτό.

Καὶ ἂν δὲν ὑπῆρχεν ἡ κόλασις-οὔτε ἡ τιμωρία ὡς ἀπειλαί, τιμωρία θὰ ἦσαν τὰ ἴδια τὰ παρόντα, τὸ νὰ βασανίζεται δηλαδὴ κάποιος συνεχῶς καὶ ποτὲ νὰ μὴ ἔχῃ τέλος τὸ νόσημά του· καὶ θὰ ἦσαν ἀρκετὰ καὶ μόνα αὐτὰ νὰ πείσουν τοὺς ἀνθρώπους νὰ ἀποφύγουν τὴν ἀσθένειαν. Ἀλλὰ δὲν ὑπάρχει τίποτε χειρότερον ἀπὸ τὴν μωρίαν, ἡ ὁποία κάμνει τοὺς ἀνθρώπους νὰ προσκολληθοῦν εἰς πράγματα, τὰ ὁποῖα φέρουν λύπην καὶ κανένα κέρδος. Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ ἐκριζώνεται τὸ πάθος ἀπὸ τὴν ἀρχήν. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ πυρετός, μόλις προσβάλῃ τούς ἀσθενεῖς, δὲν τοὺς φλέγει μέ ὑπερβολικὴν δίψαν, ὅταν ὅμως ἐπιμείνῃ καὶ ὑψώσῃ τὴν θερμοκρασίαν, τοὺς κάμνει νὰ διψοῦν ἀθεράπευτα· καὶ ἂν κάποιος τοὺς δώσῃ νὰ πίουν, δὲν σβήνει, ἀλλ' ἀνάπτει περισσότερον τὴν κάμινον· ἔτσι συμβαίνει καὶ μὲ τὸ πάθος αὐτό· ἂν δὲν τὸ ἐμποδίσωμεν, ὅταν διὰ πρώτην φορὰν εἰσβάλῃ εἰς τὴν ψυχήν μας, καὶ ἂν δὲν κλείσωμεν ἐντελῶς τὰς θύρας, ἀφοῦ εἰσέλθῃ, καθιστᾷ πλέον ἀνίατον τὸ νόσημα αὐτῶν ποὺ τὸ ἐδέχθησαν. Ὥστε, ὅπως εἶναι γνωστόν, καὶ τὰ καλὰ καὶ τὰ κακὰ γίνονται πολὺ δυνατά, ὅταν παραμείνουν μέσα μας πολὺν καιρόν.

5. Εἰς ὅλα τὰ ἄλλα ζητήματα θὰ ἠμποροῦσε κανεὶς νὰ ἴδῃ ὅτι συμβαίνει τοῦτο. Ἕνα φυτὸν δηλαδή, τὸ ὁποῖον μόλις ἐφυτεύθη εἰς τὴν γῆν, εὐκόλως ἐκριζώνεται· ἐὰν ὅμως ριζώσῃ εἰς τὴν γῆν ἐπὶ πολὺν χρόνον, δὲν ἐκριζώνεται πλέον εὐκόλως, ἀλλὰ χρειάζεται πολλὴν τὴν βοήθειαν μοχλῶν· καὶ μία οἰκοδομὴ μόλις ἐκτίσθη, εὐκόλως ἀνατρέπεται ἀπὸ τοὺς ἐχθρούς· ἐὰν ὅμως στερεωθῇ καλῶς δημιουργεῖ πολλὰς δυσκολίας εἰς ἐκείνους, οἱ ὁποῖοι ἐπιχειροῦν νὰ τὴν κρημνίσουν· καὶ ἂν ἕνα θηρίον παραμείνῃ εἰς κάποιους τόπους ἐπὶ πολὺν χρόνον, δυσκόλως ἐκδιώκεται. Ἐκείνους λοιπὸν οἱ ὁποῖοι δὲν κατελήφθησαν ἀκόμη ἀπὸ τὸ πάθος τοὺς συμβουλεύω νὰ μὴ κυριευθοῦν, διότι εἶναι εὐκολώτερον νὰ φυλαχθοῦν νὰ μὴ πέσουν εἰς τὸ πάθος παρά, ἀφοῦ πέσουν, νὰ ἀπομακρυνθοῦν ἀπὸ αὐτό· εἰς ἐκείνους ἐξ ἄλλου, οἱ ὁποῖοι κατελήφθησαν καὶ ἐ-

σωσιν ἐπιδοῦναι ἑαυτοὺς ἰατρῷ τῷ λόγῳ, πολλὴν ἐπαγγέλλομαι σωτηρίας ἐλπίδα τῇ τοῦ Θεοῦ χάριτι. Ἂν γὰρ τοὺς παθόντας καὶ περιπεσόντας τῷ νοσήματι καὶ ἀνεγκόντας ἐννοήσωσι, χρηστὰς ἕξουσιν ἐλπίδας ὑπὲρ τῆς τοῦ νοσήματος ἀπαλλαγῆς.

Τίς οὖν περιέπεσε τῷ νοσήματι τούτῳ, καὶ ἀπηλλάγη ῥᾳδίως; Ὁ Ζακχαῖος ἐκεῖνος. Τί γὰρ τελώνου μᾶλλον φιλοχρήματον γένοιτ' ἄν; Ἀλλ' ἀθρόον ἐγένετο φιλόσοφος, καὶ πᾶσαν ἔσβεσε τὴν πυράν. Ὁ Ματθαῖος ὁμοίως· καὶ γὰρ καὶ οὗτος τελώνης ἦν ἐν ἁρπαγῇ διηνεκεῖ ζῶν. Ἀλλὰ καὶ οὗτος ἀθρόον ἀπεδύσατο τὴν βλάβην καὶ τὸ δίψος ἔσβεσε καὶ πραγματείαν μετῆλθε πνευματικήν. Τούτους τοίνυν καὶ τοὺς κατ' αὐτοὺς ἐννοῶν μηδὲ σὺ ἀπογνῷς· ἂν γὰρ θέλῃς, δυνήσῃ ταχέως ἀνενεγκεῖν. Καὶ εἰ βούλει, κατὰ τὸν τῶν ἰατρῶν νόμον καὶ τὰ πρακτέα σοι μετὰ ἀκριβείας ὑπαγορεύσομεν.

Δεῖ τοίνυν πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνο κατορθοῦν, τὸ μὴ ἀπογινώσκειν μηδὲ ἀπελπίζειν ἑαυτῶν τὴν σωτηρίαν· μετὰ τοῦτο μὴ τὰ τῶν κατωρθωκότων παραδείγματα μόνον, ἀλλὰ καὶ τὰ τῶν ἐναπομεινάντων παθήματα ἐνορᾶν. Ὥσπερ γὰρ ἐνενοήσαμεν τὸν Ζακχαῖον καὶ τὸν Ματθαῖον, οὕτω δὴ καὶ τὸν Ἰούδαν λογίσασθαι χρὴ καὶ τὸν Γιεζῆ καὶ τὸν Ἄχαρ καὶ τὸν Ἀχαὰβ καὶ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν, ἵνα δι' ἐκείνων μὲν τὴν ἀπόγνωσιν ἐκβάλωμεν, διὰ τούτων δὲ τὴν ῥᾳθυμίαν ἐκκόψωμεν, μηδὲ ὑπτία γένηται ἡ ψυχὴ πρὸς τὴν τῶν ὑπαγορευομένων παραίνεσιν. Καὶ παιδεύσωμεν ἑαυτοὺς λέγειν ἃ τότε τῷ Πέτρῳ προσελθόντες ἔλεγον οἱ Ἰουδαῖοι, «Τί δεῖ ποιεῖν, ἵνα σωθῶμεν;» καὶ ἀκουέτωσαν ἃ χρὴ ποιεῖν.

Τί οὖν χρὴ ποιεῖν; Εἰδέναι τὴν εὐτέλειαν τῶν πραγμάτων καὶ πῶς δραπέτης οἰκέτης καὶ ἀγνώμων ἐστὶν ὁ πλοῦτος καὶ μυρίοις περιβάλλει κακοῖς τοὺς ἔχοντας καὶ τὰ τοιαῦτα αὐτοῖς συνεχῶς ἀπᾴδωμεν ῥήματα. Καὶ καθάπερ

---

15. Φιλόσοφος: Βλ. σχόλιον ἀρ. 18 Β' Λόγου τοῦ παρόντος.
16. Πρ. 2,37, πρβλ. 16,30.

ξουθενώνονται ἀπὸ τὸ πάθος, ἐὰν θελήσουν νὰ παραδώσουν τοὺς ἑαυτούς των εἰς τὴν λογικὴν ὡς εἰς ἰατρόν, τοὺς ὑπόσχομαι μεγάλην ἐλπίδα σωτηρίας μὲ τὴν χάριν τοῦ Θεοῦ. Ἂν δηλαδὴ ἔχουν εἰς τὸν νοῦν των ὅσους ἔπαθον καὶ περιέπεσον εἰς τὸ νόσημα καὶ ἐθεραπεύθησαν, θὰ ἔχουν μεγάλας ἐλπίδας διὰ τὴν ἀπαλλαγὴν των ἀπὸ τὸ νόσημα.

Ποῖος λοιπὸν περιέπεσεν εἰς τὸ νόσημα τοῦτο καὶ ἀπηλλάγη εὐκόλως; Ἐκεῖνος ὁ Ζακχαῖος. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ περισσότερον φιλοχρήματον ἀπὸ τελώνην; Ἀλλὰ διὰ μιᾶς ἔγινε φιλόσοφος[15] καὶ ἔσβησεν ὅλην τὴν πυρὰν τοῦ πάθους. Ὁμοίως ὁ Ματθαῖος καὶ αὐτός, ὡς γνωστόν, ἦτο τελώνης καὶ ἔζη μὲ συνεχῆ ἁρπάγην· ἀλλὰ καὶ αὐτὸς διὰ μιᾶς ἐγκατέλειψε τὸ βλαβερὸν πάθος καὶ ἱκανοποίησε τὴν δίψαν του καὶ ἠσχολήθη μὲ τὰ πνευματικά. Ἔχε λοιπὸν εἰς τὸν νοῦν σου αὐτοὺς καὶ τοὺς ὁμοίους των· καὶ ἂς μὴ σὲ καταλαμβάνῃ ἡ ἀπόγνωσις· διότι ἂν θέλῃς, θὰ ἠμπορέσῃς ταχέως νὰ θεραπευθῇς. Καὶ ἂν θέλῃς, κατὰ τὴν συνήθειαν τῶν ἰατρῶν θὰ σοῦ ὑποδείξωμεν μὲ ἀκρίβειαν τί πρέπει νὰ κάνῃς.

Πρέπει λοιπὸν πρὶν ἀπὸ ὅλα τὰ ἄλλα νὰ ἐπιτύχωμεν τὸ ἑξῆς, δηλαδή, νὰ μὴ μᾶς καταλαμβάνῃ ἡ ἀπόγνωσις οὔτε ἡ ἀπελπισία διὰ τὴν σωτηρίαν μας· μετὰ ἀπὸ τοῦτο, πρέπει νὰ μὴ βλέπωμεν μόνον τὰ παραδείγματα ἐκείνων ποὺ ἐπέτυχον νὰ ἀπαλλαγοῦν ἀπὸ τὸ πάθος, ἀλλὰ καὶ τὰ παθήματα ὅσων παρέμειναν εἰς αὐτό. Ὅπως δηλαδὴ ἐφέραμεν εἰς τὸν νοῦν μας τὸν Ζακχαῖον καὶ τὸν Ματθαῖον, ἔτσι ἀκριβῶς πρέπει νὰ σκεφθῶμεν καὶ τὸν Ἰούδαν καὶ τὸν Γιεζῆ καὶ τὸν Ἄχαρ καὶ τὸν Ἀχαὰβ καὶ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν, ὥστε δι' ἐκείνων μὲν νὰ ἐκβάλωμεν τὴν ἀπόγνωσιν, διὰ τούτων δὲ νὰ ἐκριζώσωμεν τὴν ραθυμίαν καὶ οὔτε νὰ ἀδιαφορήσῃ ἡ ψυχή μας εἰς τὰς παραινέσεις καὶ τὰς ὑποδείξεις. Καὶ ἂς ἀσκήσωμεν τοὺς ἑαυτούς μας νὰ λέγουν ὅσα ἔλεγον τότε οἱ Ἰουδαῖοι, ὅταν προσῆλθον εἰς τὸν Πέτρον, δηλαδὴ «Τί πρέπει νὰ κάνωμεν, διὰ νὰ σωθῶμεν;»[16], καὶ ἂς ἀκούσουν οἱ φιλοχρήματοι ὅσα πρέπει νὰ κάμουν.

Τί πρέπει λοιπὸν νὰ κάμωμεν; Νὰ γνωρίζωμεν τὴν εὐτέλειαν τῶν πραγμάτων καὶ ὅτι ὁ πλοῦτος εἶναι ἀβέβαιος καὶ ἀγνώμων ὑπηρέτης καὶ περιβάλλει μὲ μύρια κακὰ αὐτοὺς ποὺ τὸν ἔχουν· καὶ τέτοιους λόγους ἂς ἐπαναλαμβάνωμεν εἰς αὐτοὺς συνεχῶς. Καὶ ὅ-

ἰατροὶ τοὺς κάμνοντας ψυχρὸν αἰτοῦντας παραμυθοῦνται παρέχειν λέγοντες καὶ πηγὴν προφασιζόμενοι καὶ ἄγγος καὶ καιρὸν καὶ πολλὰ τοιαῦτα — ἂν γὰρ ἀθρόον ἀνανεύσωσιν, ὑπὸ τῆς μανίας αὐτοὺς ἀγριοῦσθαι παρασκευάζουσιν — οὕτω δὴ καὶ ἡμεῖς πρὸς τοὺς φιλοχρημάτους ποιῶμεν· ὅταν λέγωσιν, ὅτι πλουτῆσαι βουλόμεθα, μὴ λέγωμεν εὐθέως ὅτι κακὸν ὁ πλοῦτος, ἀλλὰ συνθώμεθα καὶ εἴπωμεν ὅτι καὶ ἡμεῖς τοῦτο βουλόμεθα, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι, ἀλλὰ πλοῦτον ἀληθῆ, ἀλλὰ τὸν ἡδονὴν ἔχοντα ἀθάνατον, ἀλλὰ τὸν σοὶ συλλεγόμενον καὶ μὴ ἑτέροις, πολλάκις δὲ καὶ ἐχθροῖς. Καὶ τοὺς περὶ φιλοσοφίας λόγους εἰς μέσον ἄγωμεν καὶ λέγωμεν ὅτι οὐ κελεύομεν μὴ πλουτεῖν, ἀλλὰ κακῶς μὴ πλουτεῖν· ἔξεστι γὰρ πλουτεῖν, ἀλλὰ χωρὶς πλεονεξίας, χωρὶς ἁρπαγῆς καὶ βίας καὶ τοῦ παρὰ πάντων ἀκούειν κακῶς. Καὶ τούτοις αὐτοὺς προλεαίνοντες τοῖς λόγοις μηδέπω περὶ γεέννης διαλεγώμεθα· οὐ γὰρ ἀνέχεται ὁ κάμνων οὐδέπω τῶν τοιούτων ῥημάτων.

Διόπερ ἀπὸ τῶν παρόντων ἅπαντας τοὺς περὶ τούτων ποιώμεθα λόγους καὶ λέγωμεν· τί βούλει ἀπὸ πλεονεξίας πλουτεῖν; ἵνα ἑτέροις μὲν τὸν χρυσὸν ἀπόκειται καὶ τὸ ἀργύριον, σοὶ δὲ ἀραὶ καὶ κατηγορίαι μυρίαι; καὶ ὁ ἀποστερηθεὶς ὑπὸ τῆς τῶν ἀναγκαίων δάκνηται χρείας καὶ ὀλοφύρηται καὶ μυρίους ἐφέλκηταί σοι κατηγόρους, καὶ τῆς ἑσπέρας καταλαβούσης περιΐῃ τὴν ἀγορὰν ἐν τοῖς στενωποῖς ἐντυγχάνων πᾶσι καὶ διαπορούμενος καὶ οὐδὲ ὑπὲρ τῆς νυκτὸς θαρρεῖν ἔχων. Πῶς γὰρ ἂν καθευδήσειε λοιπὸν ὑπὸ τῆς γαστρὸς δακνόμενος, ἀγρυπνῶν, λιμῷ πολιορκούμενος, πάγου πολλάκις ὄντος καὶ ὑετοῦ καταφερομένου; Καὶ σὺ μὲν ἐκ βαλανείου λελουμένος ἐπανέρχῃ, μαλακοῖς θαλπόμενος ἱματίοις, γεγηθὼς καὶ χαίρων καὶ ἐπὶ δεῖπνον ἕτοιμον τρέχων πολυτελές· ἐκεῖνος δὲ πανταχοῦ κατὰ τὴν ἀγορὰν ὑπὸ τοῦ κρυμοῦ καὶ τοῦ λιμοῦ συνεχῶς ἐλαυνόμενος περιέρχεται συγκεκυφὼς καὶ χεῖρας προτείνων καὶ οὐδὲ θαρρῶν ἀδεῶς τῷ ἐμπεπλησμένῳ καὶ ἀνα-

πως οἱ ἰατροὶ τοὺς ἀσθενεῖς, οἱ ὁποῖοι τοὺς ζητοῦν ψυχρὸν ὕδωρ, τοὺς πραΰνουν λέγοντες ὅτι θὰ τοὺς δώσουν καὶ προφασίζονται ὅτι δὲν ἔχουν πηγὴν καὶ σκεῦος καὶ χρόνον καὶ πολλὰ τέτοια — διότι, ἂν εὐθὺς ἐξ ἀρχῆς ἀρνηθοῦν, τοὺς κάνουν νὰ ἐξαγριώνωνται ἀπὸ τὴν μανίαν των — ἔτσι καὶ ἡμεῖς ἂς ἐνεργῶμεν πρὸς τοὺς φιλοχρημάτους· ὅταν λέγουν ὅτι θέλουν νὰ πλουτίσουν, ἂς μὴ τοὺς λέγωμεν κατ' εὐθεῖαν ὅτι ὁ πλοῦτος εἶναι κακόν, ἀλλὰ ἂς συγκρατηθῶμεν καὶ ἂς τοὺς εἴπωμεν ὅτι καὶ ἡμεῖς θέλομεν τοῦτο ἀλλὰ εἰς τὸν κατάλληλον χρόνον, πλοῦτον ἀληθινόν, ὁ ὁποῖος ἔχει ἀθάνατον τὴν ἡδονὴν καὶ ὁ ὁποῖος συγκεντρώνεται πρὸς ὄφελος σοῦ τοῦ ἰδίου καὶ ὄχι ἄλλων, πολλάκις δὲ καὶ ἐχθρῶν. Καὶ ἂς ἀρχίσωμεν νὰ ὁμιλῶμεν περὶ φιλοσοφίας καὶ ἂς λέγωμεν ὅτι δὲν προτρέπομεν νὰ μὴ πλουτίζουν, ἀλλὰ νὰ μὴ πλουτίζουν κακῶς· διότι ἐπιτρέπεται νὰ πλουτίσῃ κάποιος, ἀλλὰ χωρὶς πλεονεξίαν, χωρὶς ἁρπάγην καὶ βίαν καὶ χωρὶς δυσμενῆ σχόλια εἰς βάρος του. Καὶ πραΰνοντες αὐτοὺς μὲ τοὺς λόγους αὐτοὺς ἂς μὴ ὁμιλῶμεν ἀκόμη περὶ κολάσεως, διότι ὁ ἀσθενὴς δὲν ἀνέχεται ἀκόμη τέτοιους λόγους.

Διὰ τοῦτο εἰς τὴν συζήτησίν μας αὐτὴν ἂς ἀντλῶμεν ἐπιχειρήματα ἀπὸ τὰ παρόντα καὶ ἂς λέγωμεν· διατί θέλεις νὰ πλουτίζῃς μὲ πλεονεξίαν; διὰ νὰ καρπώνωνται ἄλλοι τὸν χρυσὸν καὶ τὸν ἄργυρον, σὲ δὲ νὰ βαρύνουν αἱ κατάραι καὶ αἱ κατηγορίαι; ὁ ἀποστερηθεὶς βασανίζεται ἀπὸ τὴν ἀνάγκην τῶν ἀπαραιτήτων διὰ τὴν συντήρησίν του καὶ θρηνεῖ καὶ κερδίζει πολλοὺς κατηγόρους, καὶ ὅταν ἔλθῃ ἡ ἑσπέρα, περιέρχεται τὴν ἀγορὰν καὶ ὅλας τὰς στενωποὺς εὑρισκόμενος εἰς πλήρη ἀνέχειαν καὶ μὴ ἔχων οὔτε τὴν νύκτα νὰ περάσῃ· διότι πῶς θὰ ἦτο δυνατὸν νὰ μένῃ ἄπρακτος, ἐφ' ὅσον ἡ κοιλία του τὸν ἐνοχλεῖ, ἀγρυπνεῖ, πεινᾷ καὶ ὑποφέρει ἀπὸ κρύο καὶ βροχήν; Καὶ σὺ ἐπιστρέφεις ἀπὸ τὸ δημόσιον λουτρὸν λουσμένος, ζεστὸς μέσα εἰς τὰ μαλακὰ ἐνδύματά σου, εὐχαριστημένος, χαρούμενος καὶ τρέχεις εἰς τὸ ἕτοιμον πολυτελὲς δεῖπνον σου· ἐκεῖνος ὅμως περιέρχεται ὅλα τὰ μέρη τῆς ἀγορᾶς βασανιζόμενος συνεχῶς ἀπὸ τὸ πολὺ ψῦχος καὶ τὴν πεῖναν, σκυμμένος ἁπλώνει τὰς χεῖρας του καὶ δὲν ἔχει οὔτε τὸ θάρρος χωρὶς φόβον νὰ ὁμιλήσῃ εἰς τὸν χορτασμένον καὶ ξεκούραστον διὰ τὴν ἀ-

πεπαυμένῳ ῥήματα προσενεγκεῖν ὑπὲρ τῆς ἀναγκαίας τροφῆς, πολλάκις δὲ καὶ ὑβρισθεὶς ἀνεχώρησεν.

Ὅταν οὖν ἀνέλθῃς οἴκαδε, ὅταν ἐπὶ τῆς εὐνῆς κατακλιθῇς, ὅταν φῶς ᾖ περὶ τὸν οἶκον λαμπρόν, ὅταν ἑτοίμη καὶ δαψιλὴς ἡ τράπεζα, τότε ἀναμνήσθητι τοῦ ταλαιπώρου καὶ ἀθλίου ἐκείνου τοῦ περιϊόντος κατὰ τοὺς κύνας ἐν τοῖς στενωποῖς καὶ τῷ σκότῳ καὶ τῷ πηλῷ, καίτοι πολλάκις ἐκεῖθεν ἐπιόντος οὐκ εἰς οἰκίαν οὐδὲ πρὸς γυναῖκα οὐδ' εἰς εὐνήν, ἀλλ' εἰς στιβάδα χόρτου, καθάπερ τῶν κυνῶν ὁρῶμεν τοὺς δι' ὅλης λυττῶντας νυκτός. Καὶ σὺ μὲν κἂν μικράν τινα σταγόνα κατενεχθεῖσαν ἀπὸ τῆς στέγης ἴδῃς, πάντα ἀνατρέπεις τὸν οἶκον οἰκέτας καλῶν, πάντα κινῶν· ἐκεῖνος δὲ ἐν ῥακίοις καὶ χόρτῳ καὶ πηλῷ κείμενος ἅπαντα ὑπομένει τὸν κρυμόν.

6. Ποῖον οὖν θηρίον τούτοις οὐκ ἂν κατακλασθείη τοῖς πράγμασι; τίς οὕτως ὠμὸς καὶ ἀπάνθρωπος, ὡς μὴ γενέσθαι τούτοις ἥμερος; Ἀλλὰ γὰρ εἰσί τινες, οἳ πρὸς τοσοῦτον ἀπηνείας ἥκασιν, ὡς καὶ λέγειν ἄξια πάσχειν αὐτούς. Δέον γὰρ ἐλεεῖν καὶ δακρύειν καὶ συνδιαλύειν τὰς συμφοράς, οἱ δὲ καὶ κατηγοροῦσιν ὠμῶς καὶ ἀπανθρώπως αὐτῶν· οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ἄξια πάσχουσιν, εἰπέ μοι; ὅτι τρέφεσθαι βούλονται καὶ μὴ λιμώττειν; Οὐχί, φησίν, ἀλλ' ὅτι ἀργοῦντες. Σὺ δὲ οὐκ ἀργῶν σπαταλᾷς; Τί δέ; οὐκ ἐργασίαν πολλάκις πάσης ἀργίας χαλεπωτέραν ἐργάζῃ ἁρπάζων καὶ βιαζόμενος καὶ πλεονεκτῶν; Βέλτιον ἦν, εἰ καὶ σὺ ἤργεις τοιαύτην ἀργίαν· τοῦ γὰρ πλεονεκτεῖν τὸ οὕτως ἀργεῖν βέλτιον. Νυνὶ δὲ καὶ ἀλλοτρίας ἐπεμβαίνεις συμφοραῖς, οὐ μόνον ἀργῶν οὐδὲ μόνον ἀργίας χαλεπωτέραν ἐργασίαν μετιών, ἀλλὰ καὶ κατηγορῶν τῶν δυσημερούντων.

Διηγώμεθα δὲ αὐτοῖς καὶ τὰς ἀλλοτρίας συμφοράς, τὰς ὀρφανίας τὰς ἀώρους, τοὺς τὸ δεσμωτήριον οἰκοῦν-

παραίτητον τροφήν του· πολλάκις μάλιστα άναχωρεΐ, άφοΰ ύβρισθή.

Όταν λοιπόν έπιστρέψης είς τήν οικίαν σου, όταν κατακλιθής είς τήν κλίνην σου, όταν φως λαμπρόν κυριαρχή είς τόν οίκον σου, όταν ή τράπεζά σου είναι έτοίμη και πλουσία, τότε θυμήσου έκεΐνον τόν ταλαίπωρον και άθλιον, ό όποιος περιφέρεται ώς οι σκύλοι είς τάς στενωπούς, είς τό σκότος και είς τήν λάσπην, άν και πολλάκις άπό έκει πηγαίνει όχι είς τήν γυναίκα του, ούτε είς τήν κλίνην, άλλά είς σωρόν χόρτου, όπως βλέπομεν τούς σκύλους έκείνους, οι όποιοι περιφέρονται λυσσασμένοι όλην τήν νύκτα. Και σύ μέν, άν ίδης μίαν μικράν σταγόνα νά πίπτη άπό τήν στέγην, άναστατώνεις όλον τόν οίκον σου καλών τούς ύπηρέτας και κινών τά πάντα, έκεΐνος όμως εύρισκόμενος μέσα είς τά έφθαρμένα ένδύματά του, είς τό χόρτον και είς τήν λάσπην ύπομένει όλον τό φοβερόν ψύχος.

6. Ποΐον θηρίον λοιπόν δέν θά ήμέρευε μέ αυτά τά πράγματα; Ποιος θά ήτο τόσον σκληρός και άπάνθρωπος, ώστε νά μή γίνη ήμερος μέ αυτά; Άλλ' όμως ύπάρχουν μερικοί, οι όποιοι έφθασαν είς τέτοιο σημείον σκληρότητος, ώστε άκόμη νά λέγουν ότι αυτοί άξίζουν αυτά πού πάσχουν. Ένώ δηλαδή πρέπει νά εύσπλαχνιζώμεθα και νά δακρύζωμεν και νά βοηθώμεν είς τήν θεραπείαν τών συμφορών, αυτοί όμως άπεναντίας τούς κατηγορούν σκληρώς και άπανθρώπως· αυτούς ευκόλως θά τούς ύπέβαλλον τήν έρώτησιν· Είπέ μου, διά ποΐον λόγον αυτοί άξίζουν αυτά πού πάσχουν; μήπως διότι θέλουν νά έχουν τροφήν και νά μή πεινούν; Όχι, λέγει, άλλά διότι δέν έργάζονται. Και σύ δέν σπαταλάς χρήματα χωρίς νά έργάζεσαι; Τί λοιπόν; πολλάκις δέν κάμνεις έργασίαν πού είναι χειροτέρα άπό κάθε άργίαν μέ τό νά άρπάζης και νά χρησιμοποιής βίαν και νά κατέχεσαι άπό πλεονεξίαν; Θά ήτο καλύτερον, άν και σύ έδείκνυες τέτοιαν φυγοπονίαν, διότι ή φυγοπονία αυτή είναι καλυτέρα άπό τήν πλεονεξίαν. Τώρα όμως έπεμβαίνεις και είς ξένας συμφοράς όχι μόνον μένων άργός ούτε μόνον άπασχολούμενος μέ έργασίαν πού είναι χειροτέρα φυγοπονίας, άλλά και κατηγορών τούς δυστυχούντας.

Άς άναφέρωμεν δέ είς αυτούς και τάς συμφοράς τών άλλων άνθρώπων, τήν πρόωρον όρφάνιαν πολλών, τούς φυλακισμένους,

τας, τοὺς ἐν δικαστηρίοις σπαραττομένους, τοὺς περὶ τὸ ζῆν δεδοικότας, τὰς χηρείας τὰς ἀδοκήτους τῶν γυναικῶν, τὰς ἀθρόους μεταβολὰς τῶν πλουτούντων, καὶ τῷ φόβῳ τούτῳ καταμαλάττωμεν αὐτῶν τὴν διάνοιαν. Ἐν γὰρ τοῖς περὶ ἑτέρων διηγήμασι πείσομεν αὐτοὺς ταῦτα δεδοικέναι πάντως καὶ περὶ ἑαυτῶν. Ὅταν γὰρ ἀκούσωσιν ὅτι ὁ τοῦ δεῖνος υἱὸς πλεονέκτου καὶ ἅρπαγος ἢ τοῦ δεῖνος ἡ γυνὴ τοῦ πολλὰ τυραννικὰ πεποιηκότος μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος μυρία ὑπέμεινε δεινὰ τῶν ἀδικηθέντων καὶ τῇ γυναικὶ καὶ τοῖς παιδίοις ἐπιόντων καὶ κοινοῦ πολέμου πάντοθεν ἠρμένου κατὰ τῆς οἰκίας τῆς ἐκείνου, κἂν πάντων ἀναισθητότερος ᾖ, καὶ αὐτὸς προσδοκῶν τὰ αὐτὰ πείσεσθαι καὶ ὑπὲρ τῶν ἑαυτοῦ δεδοικὼς μήποτε τὰ αὐτὰ ὑπομείνωσι, σωφρονέστερος ἔσται. Πολλῶν δὲ ἡμῖν τοιούτων διηγημάτων ὁ βίος ἐμπέπλησται, καὶ οὐκ ἀπορήσομεν τῆς τοιαύτης διορθώσεως. Ὅταν δὲ ταῦτα λέγωμεν, μὴ ὡς παραινοῦντες μηδὲ ὡς συμβουλεύοντες αὐτὰ λέγωμεν, ἵνα μὴ φορτικώτερος γένηται ὁ λόγος, ἀλλ' ὡς ἐν τάξει διηγήματος.

Καὶ ἐξ ἑτέρας ἀκολουθίας ἐπὶ ταύτην ἀεὶ βαδίζωμεν τὴν διάλεξιν καὶ συνεχῶς αὐτοὺς εἰς ταῦτα ἐμβάλλωμεν τὰ διηγήματα μηδὲν ἕτερον συγχωροῦντες λαλεῖν ἢ ταῦτα· πῶς ἡ τοῦ δεῖνος οἰκία λαμπρὰ καὶ περιφανὴς οὖσα κατέπεσε· πῶς ἔρημός ἐστιν, ὡς εἰς ἑτέρων ἐλθεῖν χεῖρας τὰ ἐν αὐτῇ πάντα· πόσα δικαστήρια καθ' ἑκάστην ἡμέραν ὑπὲρ ταύτης συνίστατο τῆς οὐσίας, πόσα πράγματα, πόσοι τῶν οἰκετῶν ἐκείνου, οἱ μὲν ἐπαιτοῦντες, οἱ δὲ τὸ δεσμωτήριον οἰκοῦντες ἀπέθανον. Καὶ ταῦτα πάντα ὡς ἐλεοῦντες τὸν ἀπελθόντα λέγωμεν καὶ ὡς τὰ παρόντα ἐξευτελίζοντες, ἵνα καὶ τῷ φόβῳ καὶ τῷ ἐλέῳ καταμαλάξωμεν τὴν ἀπηνῆ διάνοιαν. Καὶ ὅταν συσταλέντας ἴδωμεν τοῖς διηγήμασι τούτοις, τότε λοιπὸν αὐτοῖς καὶ τὸν περὶ τῆς γεέννης ἐπεισάγωμεν λόγον μὴ ὡς τούτους φοβοῦντες ἀλλ' ὡς ἑτέρους ἐλεοῦντες καὶ λέγωμεν· Καὶ τί χρὴ λέγειν τὰ παρόντα; οὐδὲ γὰρ μέχρι τούτων ἔστηκε τὰ ἡμέτερα, ἀλλὰ χαλεπωτέρα δέξεται κόλασις τοὺς τοιούτους

τοὺς σπαρασσομένους εἰς τὰ δικαστήρια, τοὺς φοβουμένους διὰ τὴν ζωήν των, τὰς ἀπροσδοκήτους χηρείας τῶν γυναικῶν, τὰς ὁλοσχερεῖς μεταβολὰς τῆς τύχης τῶν πλουσίων, καὶ μὲ τὸν φόβον αὐτὸν ἂς μαλακώνωμεν τὴν διάνοιαν αὐτῶν. Διότι μὲ τὸ νὰ διηγούμεθα τὰς συμφορὰς τῶν ἄλλων θὰ τοὺς πείσωμεν νὰ φοβοῦνται αὐτὰ ὁπωσδήποτε καὶ διὰ τοὺς ἑαυτούς των. Ὅταν δηλαδὴ ἀκούσουν ὅτι ὁ υἱὸς τοῦ τάδε πλεονέκτου καὶ ἅρπαγος ἢ ἡ σύζυγος τοῦ τάδε τυραννικοῦ ἀνθρώπου μετὰ τὸν θάνατον τοῦ προστάτου των ὑπέφεραν μυρίας συμφοράς, διότι οἱ ἀδικηθέντες ἐπετίθεντο κατὰ τῆς γυναικὸς καὶ τῶν παιδιῶν του καὶ ὅλοι προεκάλουν κοινὸν πόλεμον κατὰ τῆς οἰκίας ἐκείνου, ὁ πλεονέκτης καὶ ἂν ἀκόμη εἶναι ὁ πλέον ἀναίσθητος ὅλων, ἐπειδὴ καὶ ὁ ἴδιος θὰ προσδοκᾷ νὰ πάθῃ τὰ ἴδια καὶ ἐπειδὴ θὰ φοβῆται διὰ τὴν οἰκογένειάν του μήπως πάθῃ τὰ ἴδια, θὰ εἶναι σωφρωνέστερος. Ἐξ ἄλλου ὁ βίος μας εἶναι γεμᾶτος ἀπὸ τέτοια παραδείγματα, ὥστε δὲν θὰ δυσκολευθῶμεν νὰ ἐπιτύχωμεν αὐτοῦ τοῦ εἴδους τὴν διόρθωσιν. Ὅταν δὲ λέγωμεν αὐτὰ νὰ μὴ τὰ λέγωμεν ὡσὰν νὰ κάμνωμεν παραινέσεις ἢ νὰ δίδωμεν συμβουλάς, διὰ νὰ μὴ γίνῃ πολὺ ἐνοχλητικὸς ὁ λόγος μας, ἀλλ' ἁπλῶς ὡσὰν νὰ διηγούμεθα κάτι.

Ἐπίσης, ἐξ ἀφορμῆς ἄλλων θεμάτων πάντοτε ἂς καταλήγωμεν εἰς αὐτὴν τὴν συζήτησιν καὶ συνεχῶς ἂς τοὺς ἀναφέρωμεν αὐτὰ τὰ παραδείγματα καὶ νὰ μὴ θέλωμεν διὰ τίποτε ἄλλο νὰ ὁμιλῶμεν παρὰ δι' αὐτά, δηλαδὴ πῶς κατέπεσεν ἡ οἰκία τοῦ τάδε, ἐνῷ ἦτο λαμπρὰ καὶ περιφανής, πῶς εἶναι ἔρημος, ὥστε νὰ περιέλθῃ ὅλον τὸ περιεχόμενόν της εἰς χεῖρας ἄλλων, πόσα δικαστήρια ἐγίνοντο καθημερινῶς ἐξ αἰτίας αὐτῆς τῆς περιουσίας, πόσαι δυσκολίαι, πόσοι ἀπὸ τοὺς δούλους ἐκείνου ἀπέθανον ἄλλοι μὲν ἐπαιτοῦντες, ἄλλοι δὲ φυλακισμένοι. Καὶ ὅλα αὐτὰ ἂς τὰ λέγωμεν ὡς νὰ εὐσπλαχνιζώμεθα τὸν ἀποθανόντα καὶ ὡς νὰ θεωρῶμεν εὐτελῆ τὰ παρόντα, διὰ νὰ μαλακώνωμεν τὴν σκληρὰν διάνοιαν μὲ τὸν φόβον καὶ τὴν εὐσπλαχνίαν. Καὶ ὅταν τοὺς ἴδωμεν νὰ φοβοῦνται ἀπὸ αὐτὰ ποὺ τοὺς διηγούμεθα, τότε ἐν συνεχείᾳ ἂς κάμνωμεν λόγον καὶ διὰ τὴν κόλασιν ὄχι ὡσὰν νὰ φοβίζωμεν αὐτούς, ἀλλὰ ὡσὰν νὰ λυπούμεθα ἄλλους, καὶ ἔτσι ἂς ὁμιλῶμεν. Ἀλλὰ διατί πρέπει νὰ ἀναφέρωμεν τὰ παρνότα; διότι οὔτε περιορίζεται εἰς αὐτὰ ἡ τιμωρία μας, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοὺς θὰ τοὺς

καὶ ποταμὸς πυρὸς καὶ σκώληξ ἰοβόλος καὶ σκότος ἀτελεύτητον καὶ ἀθάνατοι κολάσεις.

Ἂν τούτοις αὐτοὺς κατεπᾴδωμεν τοῖς διηγήμασι, καὶ ἡμᾶς αὐτοὺς κἀκείνους διορθώσομεν καὶ τῆς ἀρωστίας ταχέως ἀπαλλάξομεν καὶ κατὰ τὴν ἡμέραν ἐκείνην ἐπαινέτην τὸν Θεὸν ἕξομεν, καθάπερ καὶ ὁ Παῦλός φησι· «Καὶ τότε ὁ ἔπαινος ἑκάστου γενήσεται ἀπὸ τοῦ Θεοῦ». Ὁ μὲν γὰρ παρὰ ἀνθρώποις καὶ διαιρεῖ, καὶ ἔστιν ὅτε οὐκ ἀπὸ ὀρθῆς πολλάκις γινόμενος διανοίας· ὁ δὲ παρὰ τοῦ Θεοῦ καὶ μένει διηνεκῶς καὶ διαλάμπει σαφῶς. Ὅταν γὰρ ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως καὶ πάθους ἐκτὸς ὢν ἐπαινῇ, τότε καὶ ἀναμφισβήτητός ἐστι τῆς ἀρετῆς ἡ ἀπόδειξις.

Ταῦτ' οὖν εἰδότες τοιαῦτα πράττωμεν ὡς παρὰ τοῦ Θεοῦ ἐπαινεῖσθαι καὶ τῶν μεγίστων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

δεχθῇ φοβερωτέρα κόλασις καὶ ποταμὸς πυρὸς καὶ δηλητηριώδεις σκώληκες καὶ ἀτελεύτητον σκότος καὶ αἰώνιοι τιμωρίαι.

Ἂν ἐπαναλαμβάνωμεν συνεχῶς εἰς αὐτοὺς τὰ παραδείγματα αὐτά, καὶ θὰ διορθώσωμεν καὶ τοὺς ἑαυτούς μας καὶ ἐκείνους καὶ θὰ τοὺς ἀπαλλάξωμεν ταχέως ἀπὸ τὴν ἀρρώστιαν καὶ κατὰ τὴν ἡμέραν ἐκείνην θὰ μᾶς ἐπαινέσῃ ὁ Θεός, ὅπως λέγει καὶ ὁ Παῦλος, «Καὶ τότε ὁ ἔπαινος θὰ δοθῇ εἰς τὸν καθένα ἀπὸ τὸν Θεὸν» διότι, ὁ μὲν ἔπαινος ποὺ προέρχεται ἀπὸ ἀνθρώπους παρέρχεται, καὶ μάλιστα πολλάκις γίνεται ὄχι ἀπὸ ἀγαθὰ κίνητρα· ὁ ἔπαινος ὅμως ποὺ προέρχεται ἀπὸ τὸν Θεὸν παραμένει συνεχῶς καὶ διαλάμπει σαφῶς. Ὅταν δηλαδὴ ἐπαινῇ ἐκεῖνος ὁ ὁποῖος γνωρίζει τὰ πάντα πρὶν νὰ γίνουν καὶ εἶναι ὑπεράνω πάθους, τότε εἶναι ἐντελῶς ἀναμφισβήτητος ἡ ἀπόδειξις τῆς ἀρετῆς.

Γνωρίζοντες λοιπὸν αὐτὰ ἂς πράττωμεν τέτοια, ὥστε νὰ ἐπαινούμεθα ἀπὸ τὸν Θεὸν καὶ νὰ ἐπιτύχωμεν τὰ μέγιστα ἀγαθά. Εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν αὐτὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΙΒ.
Α' Κορ. 4, 6—9

«Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ 'Απολλὼ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν».

1. Ἕως μὲν αὐτῷ τῶν φορτικῶν ἔδει ῥημάτων, οὐκ ἀπεκάλυψε τὴν σκηνήν, ἀλλ' ὡς αὐτὸς ὢν ὁ ταῦτα ἀκούων, οὕτω διελέγετο, ἵνα τὸ ἀξίωμα τῶν ἐγκαλουμένων προσώπων τοῖς ἐγκαλοῦσιν ἀντιπῖπτον ἀπὸ τῶν ἐγκλημάτων εἰς ὀργὴν ἐξενεχθῆναι μὴ συγχωρήσῃ. 'Επειδὴ δὲ ἀνεῖναι λοιπὸν ἔδει, τότε ἀπαμφιάσας αὐτὸ καὶ τὸ προσωπεῖον ἐπάρας ἔδειξε τὰ κρυπτόμενα πρόσωπα ἐν τῇ τοῦ Παύλου καὶ 'Απολλὼ προσηγορίᾳ. Διὸ καὶ ἔλεγε «Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ 'Απολλώ». Καὶ καθάπερ ἐπὶ τῶν καμνόντων, ὅταν λακτίζῃ τὸ παιδίον τὸ ἀρρωστοῦν καὶ ἀποστρέφηται τὰ προσφερόμενα σιτία παρὰ τῶν ἰατρῶν, τὸν πατέρα ἢ τὸν παιδαγωγὸν καλέσαντες οἱ προσεδρεύοντες παρὰ τῶν τοῦ ἰατροῦ χειρῶν λαβόντες τὰ σιτία προσάγειν κελεύουσιν, ὥστε ἐκ τοῦ φόβου τοῦ πρὸς ἐκείνους δέξασθαι καὶ ἡσυχάσαι· οὕτω καὶ Παῦλος μέλλων ὑπὲρ ἑτέρων ἐγκαλεῖν, τῶν μὲν ὡς ἀδικουμένων, τῶν δὲ ὡς πέρα τοῦ μέτρου τιμωμένων, αὐτὰ μὲν οὐκ ἔθηκε τὰ πρόσωπα, ἐπὶ δὲ τῆς ἑαυτοῦ προσηγορίας καὶ τῆς 'Απολλὼ τὸν λόγον προήγαγεν, ἵνα αἰδούμενοι τούτους δέξωνται τὴν θεραπείαν· ἐπειδὴ δὲ ἐδέξαντο, τότε λοιπὸν ἀπεκάλυψεν ὑπὲρ ὧν ταῦτα ἔλεγεν.

Ἦν δὲ ταῦτα οὐχ ὑπόκρισις, ἀλλὰ συγκατάβασις καὶ οἰκονομία. Εἰ γὰρ εἶπε φανερῶς ὅτι ὑμεῖς δὲ τοὺς ἄνδρας κρίνετε τοὺς ἁγίους καὶ θαυμαστούς, κἂν ἐδυσχέραναν καὶ ἀπεπήδησαν· νῦν δὲ εἰπὼν «'Εμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ» καὶ πάλιν «Τίς δέ ἐστι Παῦλος;

---

1. Α' Κορ. 4,6.

ΛΟΓΟΣ ΙΒ'
Α' Κορ. 4,6-9

«Αὐτὰ δέ, ἀδελφοί, τὰ ἐφήρμοσα εἰς τὸν ἑαυτόν μου καὶ εἰς τὸν Ἀπολλὼ πρὸς χάριν σας, διὰ νὰ μάθετε μὲ τὸ παράδειγμά μας νὰ μὴ φρονῆτε περισσότερον ἀπὸ ὅ,τι εἶναι γραμμένον»[1].

1. Ἕως ὅτου μὲν ἔπρεπε νὰ χρησιμοποιῇ βαρείας ἐκφράσεις, δὲν ἀπεκάλυψε τὴν σκηνήν, ἀλλὰ ὡμίλει ἔτσι ὡς νὰ ἦτο ὁ ἴδιος ποὺ τὰ ἤκουεν, ὥστε τὸ ἀξίωμα τῶν κατηγορουμένων προσώπων ἀντιτιθέμενον εἰς τοὺς κατηγόρους νὰ μὴ ἐπιτρέψῃ τὴν πρόκλησιν ὀργῆς λόγῳ τῶν κατηγοριῶν. Ἐπειδὴ ὅμως ἐν συνεχείᾳ ἔπρεπε νὰ παρουσιάσῃ τὸ θέμα, τότε, ἀφοῦ ἀπεκάλυψεν αὐτὸ καὶ ἀπέβαλε τὸ προσωπεῖον ἔδειξε τὰ κρυπτόμενα πρόσωπα χρησιμοποιῶν τὸ ὄνομα τοῦ Παύλου καὶ Ἀπολλώ. Διὰ τοῦτο καὶ ἔλεγεν· «Αὐτὰ δέ, ἀδελφοί, τὰ ἐφήρμοσα εἰς τὸν ἑαυτόν μου καὶ εἰς τὸν Ἀπολλώ». Καὶ ὅπως εἰς τὴν περίπτωσιν τῶν ἀσθενῶν, ὅταν τὸ ἄρρωστο παιδὶ κλωτσᾷ καὶ ἀποστρέφεται τὰς τροφὰς ποὺ τοῦ προσφέρουν οἱ ἰατροί, οἱ περιποιούμενοι τὸ παιδί, ἀφοῦ λάβουν ἀπὸ τὰ χέρια τοῦ ἰατροῦ τὰς τροφὰς καὶ ἀφοῦ καλέσουν τὸν πατέρα ἢ τὸν παιδαγωγόν του ζητοῦν νὰ δώσῃ τὰς τροφάς, ὥστε ἀπὸ τὸν φόβον πρὸς ἐκείνους νὰ τὰς δεχθῇ καὶ νὰ ἡσυχάσῃ, ἔτσι καὶ ὁ Παῦλος, ἐπειδὴ πρόκειται νὰ ἀπευθύνῃ κατηγορίας πρὸς ὑπεράσπισιν ἄλλων, ἐκ τῶν ὁποίων ἄλλοι μὲν ἠδικοῦντο, ἄλλοι δὲ ἐτιμῶντο πέραν τοῦ μέτρου, τὰ ἴδια μὲν πρόσωπα δὲν τὰ ἀνέφερεν, μετέφερεν ὅμως τὸν λόγον πρὸς τὸ ὄνομα τὸ ἰδικόν του καὶ τοῦ Ἀπολλώ, ὥστε νὰ δεχθοῦν τὴν θεραπείαν ἀπὸ πολὺν σεβασμὸν πρὸς αὐτούς· καὶ ἀφοῦ τὴν ἐδέχθησαν, τότε ἐν συνεχείᾳ ἀπεκάλυψε περὶ ποίων τὰ ἔλεγεν αὐτά.

Καὶ αὐτὰ δὲν ἦσαν προσποιήσεις, ἀλλὰ συγκατάβασις καὶ οἰκονομία. Ἐὰν δηλαδὴ ἔλεγεν φανερὰ ὅτι 'Σεῖς λοιπὸν κρίνετε τοὺς ἁγίους καὶ θαυμαστοὺς ἄνδρας', καὶ θὰ ἐδυσανασχέτουν καὶ θὰ ἔφευγον· τώρα ὅμως μὲ τὸ νὰ εἴπῃ, «Δὲν μὲ πειράζει καθόλου νὰ κριθῶ ἀπὸ ἐσᾶς», καὶ ἐπίσης, «Καὶ τί εἶναι ὁ Παῦλος; τί εἶναι ὁ

τίς δὲ Ἀπολλώς;» εὐπαράδεκτον τὸν λόγον ἐποίησε. Διά τοι τοῦτο ἔφησεν ὅτι «Ταῦτα εἰς ἐμαυτὸν μετεσχημάτισα, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν» δεικνὺς ὅτι, εἰ ἐπ' ἐκείνων τὸν λόγον προήγαγεν, οὐκ ἂν ἔμαθον ὅσα μαθεῖν ἔδει, οὐδ' ἂν ἐδέξαντο τὴν διόρθωσιν δυσχεραίνοντες πρὸς τὰ λεγόμενα. Νυνὶ δὲ αἰδούμενοι τοὺς περὶ Παῦλον ἤνεγκαν ῥᾳδίως τὴν ἐπιτίμησιν.

Τί δέ ἐστι τὸ «μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν»; Γέγραπται· «Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;» καί· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε». Εἰ γάρ ἐσμεν ἓν καὶ συνδεδέμεθα ἀλλήλοις, ἐπανίστασθαι ἀλλήλοις οὐ χρή. «Ὁ ταπεινῶν γὰρ ἑαυτὸν ὑψωθήσεται» φησί, καὶ «Ὁ θέλων εἶναι πρῶτος πάντων, γενέσθω πάντων διάκονος». Ταῦτά ἐστιν ἃ γέγραπται. «Ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου». Πάλιν τοὺς διδασκάλους ἀφεὶς τοῖς μαθηταῖς ἐπιτιμᾷ· ἐκεῖνοι γὰρ ἦσαν οἱ τούτους ἐπαίροντες. Καὶ ἄλλως δὲ οἱ ἄρχοντες οὐκ ἂν εὐκόλως ἐδέξαντο τὸν τοιοῦτον λόγον διὰ τὸ τῆς δόξης ἐπιθυμεῖν τῆς ἔξωμεν· καὶ γὰρ ἦσαν πεπηρωμένοι τῷ πάθει· οἱ δὲ αὐτοὶ μὴ καρπούμενοι τὴν δόξαν, ἀλλ' ἑτέροις αὐτὴν παρέχοντες καὶ εὐκολώτερον ἂν ἤνεγκαν τὴν νουθεσίαν καὶ κυριώτεροι τῶν ἀρχόντων ἦσαν πρὸς τὸ λῦσαι τὸ νόσημα.

Ἄρα καὶ τοῦτο φυσιώσεως, τὸ ὑπὲρ ἑτέρου ἐπαίρεσθαι, κἂν μὴ ἐπὶ τοῖς αὐτοῦ τις τοῦτο πάσχῃ. Ὥσπερ γὰρ ὁ ἐπὶ πλούτῳ μέγα φρονῶν ἀλλοτρίῳ ἐξ ἀπονοίας αὐτὸ ποιεῖ, οὕτω καὶ ὁ ἐπὶ τῇ δόξῃ τοῦ ἑτέρου. Καὶ καλῶς φυσίωσιν ἐκάλεσεν. Ὅταν γὰρ ἐπαναστῇ τὸ μέλος τὸ ἕν, οὐδὲν ἕτερόν ἐστιν ἢ φλεγμονὴ καὶ νόσημα· ἄλλως γὰρ οὐ γίνεται ὑψηλότερον ἕτερον ἑτέρου μέλος, ἀλλ' ἢ ὅταν οἴδημα γένηται. Οὕτω τοίνυν καὶ ἐν τῷ σώματι τῆς ἐκκλη-

2. Ματθ. 7, 2-3.
3. αὐτ. 23,12.
4. Μάρκ. 10,43-44.

᾿Απολλώς;», ἔκανε εὔκολην τὴν παραδοχὴν τοῦ λόγου του. Διὰ τοῦτο λοιπὸν εἶπεν ὅτι, «Αὐτὰ τὰ ἐφήρμοσα εἰς τὸν ἑαυτόν μου, διὰ νὰ μάθητε μὲ τὸ παράδειγμά μας νὰ μὴ φρονῆτε περισσότερον ἀπὸ ὅ,τι εἶναι γραμμένον», διὰ νὰ δείξῃ ὅτι, ἐὰν εἶχε κάνει λόγον δι᾿ ἐκείνους, δὲν θὰ εἶχον μάθει ὅσα ἔπρεπε νὰ μάθουν οὔτε θὰ εἶχον δεχθῆ νὰ διορθωθοῦν ἀπὸ δυσαρέσκειαν διὰ τὰ λεγόμενα. Τώρα ὅμως ἀπὸ σεβασμὸν πρὸς τὸν Παῦλον καὶ τοὺς συνοδούς του εὐκόλως ἠνέχθησαν τὴν ἐπιτίμησιν.

Καὶ τί σημαίνει τὸ «νὰ μὴ φρονῆτε περισσότερον ἀπὸ ὅ,τι εἶναι γραμμένον»; Εἶναι γραμμένον· «Διατί βλέπεις τὸ ἄχυρον ποὺ εἶναι εἰς τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ σου, καὶ δὲν προσέχεις τὴν δοκὸν ποὺ εἶναι εἰς τὸν ἰδικόν σου ὀφθαλμόν;» καί· «Μὴ κρίνετε, διὰ νὰ μὴ κριθῆτε»[2]. Διότι ἐὰν ἀποτελοῦμεν ἓν καὶ εἴμεθα συνδεδεμένοι μεταξύ μας, δὲν πρέπει νὰ ἐπιτιθέμεθα ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Διότι λέγει· «᾿Εκεῖνος ποὺ ταπεινώνει τὸν ἑαυτόν του θὰ ὑψωθῇ»[3], καὶ «᾿Εκεῖνος ποὺ θέλει νὰ εἶναι πρῶτος ἂς γίνῃ ὑπηρέτης ὅλων»[4]. Αὐτὰ εἶναι τὰ ὅσα ἔχουν γραφῆ. «Διὰ νὰ μὴ ὑπερηφανεύεσθε ὑπὲρ τοῦ ἑνὸς ἔναντι τοῦ ἄλλου». Πάλιν, ἀφοῦ ἄφησε τοὺς διδασκάλους, ἐπιτιμᾷ τοὺς μαθητάς, διότι ἐκεῖνοι ἦσαν ποὺ ὑπερύψωνον αὐτούς. ῎Αλλωστε οἱ ἔχοντες ἐξουσίαν δὲν θὰ ἐδέχοντο εὐκόλως τὸν λόγον αὐτὸν ἐξ αἰτίας τῆς ἐπιθυμίας των διὰ κοσμικὴν δόξαν, διότι πράγματι ἦσαν τυφλωμένοι ἀπὸ τὸ πάθος· ὅσοι ὅμως δὲν ἐκαρποῦντο οἱ ἴδιοι τὴν δόξαν, ἀλλὰ τὴν προσέφερον εἰς ἄλλους, θὰ ἠνέχοντο τὴν νουθεσίαν εὐκολώτερον καὶ θὰ ἦσαν ἀποτελεσματικώτεροι ἀπὸ τοὺς ἄρχοντας εἰς τὴν θεραπείαν τοῦ νοσήματος.

῾Επομένως καὶ τοῦτο δεικνύει ἀλαζονείαν, τὸ νὰ ὑπερηφανεύεται δηλαδὴ κανεὶς δι᾿ ἄλλον καὶ ὅταν ἀκόμη δὲν παθαίνῃ τοῦτο διὰ τὰ ἰδικά του. ῞Οπως δηλαδὴ ἐκεῖνος ποὺ ὑπερηφανεύεται διὰ ξένον πλοῦτον τὸ κάνει ἀπὸ ἀλαζονείαν, ἔτσι καὶ αὐτὸς ποὺ ὑπερηφανεύεται διὰ τὴν δόξαν τοῦ ἄλλου. Καὶ καλῶς τὴν ὠνόμασεν ἀλαζονείαν. ῞Οταν δηλαδὴ ἐπαναστατήσῃ τὸ ἓν μέλος, τὸ ἀποτέλεσμα δὲν εἶναι τίποτε ἄλλο παρὰ φλεγμονὴ καὶ νόσημα, διότι εἰς καμμίαν ἄλλην περίπτωσιν ἓν μέλος δὲν γίνεται ὑψηλότερον ἄλλου μέλους παρὰ μόνον ὅταν συμβῆ πρήξιμον. ῎Ετσι λοιπὸν καὶ εἰς τὸ σῶμα τῆς ᾿Εκκλησίας· αὐτὸς ποὺ ἔχει φλεγμονὴν καὶ ὑπερηφα-

σίας· ὁ φλεγμαίνων καὶ φυσιούμενος αὐτὸς ἂν εἴη ὁ νοσῶν· οἰδεῖ γὰρ ὑπὲρ τὴν κοινὴν συμμετρίαν· τοῦτο γάρ ἐστιν οἴδημα. Οὕτω καὶ ἐν τῷ σώματι γίνεται, ὅταν νόθος τις καὶ πονηρὸς ἐπιρρεύσῃ χυμός, ἀλλὰ μὴ ἡ εἰωθυῖα τροφή. Οὕτω καὶ ἀλαζονεία τίκτεται ἀλλοτρίων ἡμῖν ἐπεισερχομένων λογισμῶν.

Καὶ ὅρα πῶς κυρίως εἶπε «μὴ φυσιοῦσθε»· τὸ γὰρ πεφυσημένον ὄγκον ἔχει πνεύματος ἐμπεπλησμένον χυμοῦ διεφθορότος. Ταῦτα δὲ λέγει οὐ τὴν θεραπείαν ἐκκόπτων, ἀλλὰ τὴν ἐπὶ κακῷ θεραπείαν. Βούλει θεραπεύειν τὸν δεῖνα; Οὐ κωλύω, ἀλλὰ μὴ εἰς ἑτέρου λύμην. Οὐ γάρ, ἵνα κατ' ἀλλήλων συνταττώμεθα, διδάσκαλοι ἡμῖν ἐδόθησαν, ἀλλ' ἵνα πάντες ἀλλήλοις συναπτώμεθα. Καὶ γὰρ ὁ στρατηγὸς διὰ τοῦτο ἐπίκειται τῷ στρατοπέδῳ, ἵνα τοὺς κεχωρισμένους ἓν σῶμα ἐργάσηται· εἰ δὲ μέλλοι διασπᾶν τὸ στρατόπεδον, πολεμίου μᾶλλον ἢ στρατηγοῦ χώραν ἐπλήρωσε.

«Τίς γάρ σε διακρίνει; τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;». Λοιπὸν ἀφεὶς τοὺς ἀρχομένους πρὸς τοὺς ἄρχοντας τρέπεται. Ὃ δὲ λέγει, τοῦτό ἐστι· πόθεν δῆλον ὅτι ἄξιος εἶ τοῦ ἐπαινεῖσθαι; κρίσις γὰρ γέγονεν; ἐξέτασις προεχώρησε; δοκιμασία, βάσανος ἀκριβής; Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. Εἰ δὲ ἄνθρωποι ψηφίζονται, ἀλλ' οὐκ ὀρθὴ τούτων ἡ κρίσις. Θῶμεν δὲ ὅτι καὶ ἄξιος ἐπαίνων εἶ καὶ ἔχεις ὄντως τὸ χάρισμα καὶ οὐ διέφθαρται τῶν ἀνθρώπων ἡ κρίσις· οὐδὲ γὰρ οὕτως ἐχρῆν μέγα φρονεῖν. Οὐδὲν γὰρ οἴκοθεν ἔχεις, ἀλλὰ παρὰ τοῦ Θεοῦ λαβών. Τί τοίνυν ἔχειν προσποιῇ, ὅπερ οὐκ ἔχεις; Ἀλλ' ἔχεις τοῦτο σὺ καὶ ἕτεροι μετὰ σοῦ. Οὐκοῦν λαβὼν ἔχεις οὐχὶ τότε καὶ τόδε, ἀλλὰ πάντα ὅσα ἔχεις.

2. Οὐ γὰρ σὰ κατορθώματα ταῦτα, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος. Κἂν τὴν πίστιν εἴπῃς, ἀπὸ τῆς κλήσεως γέγονε· κἂν τὴν ἄφεσιν εἴπῃς τῶν ἁμαρτημάτων, κἂν τὰ χαρίσματα, κἂν τὸν διδασκαλικὸν λόγον, κἂν τὰς δυνάμεις, πάντα ἐκεῖθεν ἔλαβες. Τί τοίνυν ἔχεις, εἰπέ, ὅπερ οὐχὶ

5. Α΄ Κορ. 4,7.

νεύεται, αὐτὸς εἶναι ἀσθενής, διότι φουσκώνει καὶ καταστρέφει τὴν κανονικὴν ἀναλογίαν ὅλων τῶν μελῶν· αὐτὸ σημαίνει πρήξιμον. Τὸ ἴδιο συμβαίνει καὶ εἰς τὸ σῶμα, ὅταν εἰσαχθῇ εἰς αὐτὸ κάποιος νοθευμένος καὶ ἐπικίνδυνος χυμὸς καὶ ὄχι ἡ συνηθισμένη τροφή. Ἔτσι γεννᾶται καὶ ἡ ἀλαζονεία, διότι εἰσέρχονται μέσα μας ξένοι διαλογισμοί.

Καὶ κοίταξε πόσον ἐκυριολέκτησε λέγων, «νὰ μὴ ὑπερηφανεύεσθε», διότι τὸ φουσκωμένον ἔχει πολὺν ὄγκον ἀέρος γεμᾶτον μὲ ἐπικίνδυνον ὑγρόν. Αὐτὰ τὰ λέγει, ὄχι διότι ἀποκλείει τὴν θεραπείαν γενικῶς, ἀλλὰ τὴν θεραπείαν ποὺ ἀποβαίνει διὰ κακόν. Θέλεις νὰ θεραπεύσῃς τὸν τάδε; Δὲν σὲ ἐμποδίζω, ἀλλὰ μὴ τὸ κάνῃς πρὸς ζημίαν ἄλλου· διότι δὲν μᾶς ἐδόθησαν οἱ διδάσκαλοι διὰ νὰ φατριάζωμεν οἱ μὲν ἐναντίον τῶν δέ, ἀλλὰ διὰ νὰ εἴμεθα ὅλοι στενῶς συνδεδεμένοι· καθ' ὅσον μάλιστα ὁ στρατηγὸς διὰ τοῦτο εἶναι ὁ ἀρχηγὸς τοῦ στρατοῦ, διὰ νὰ καταστήσῃ τοὺς διῃρημένους ἓν σῶμα· ἐὰν ὅμως πρόκειται νὰ διασπᾷ τὸν στρατόν, τότε ἔχει θέσιν ἐχθροῦ μᾶλλον παρὰ στρατηγοῦ.

«Διότι ποῖος σοῦ δίδει τὴν ὑπεροχήν; τί ἔχεις ποὺ νὰ μὴ τὸ ἔλαβες;»[5]. Ἐν συνεχείᾳ, ἀφοῦ ἄφησε τοὺς ἀρχομένους, ἔρχεται πρὸς τοὺς ἄρχοντας. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς: Ἀπὸ ποῦ φαίνεται ὅτι ἀξίζεις νὰ ἐπαινῆσαι; ἔχει γίνει λοιπὸν ἡ κρίσις; ἐπροχώρησε ἡ ἐξέτασις, ἡ δοκιμασία, ὁ ἀκριβὴς ἔλεγχος (τῶν πράξεών σου) ; Δὲν θὰ ἠμποροῦσες νὰ τὸ ἰσχυρισθῇς. Ἐὰν δὲ ἄνθρωποι κρίνουν, ἡ κρίσις των δὲν εἶναι ὀρθή. Ἂς ὑποθέσωμεν ὅμως ὅτι καὶ ἐπαίνους ἀξίζεις καὶ ὅτι ἔχεις ὄντως τὸ χάρισμα καὶ ὅτι δὲν ἔσφαλεν ἡ κρίσις τῶν ἀνθρώπων· οὔτε καὶ τότε ἔπρεπε νὰ ὑπερηφανεύεσαι, διότι δὲν τὸ ἔχεις μὲ τὰς ἰδικάς σου ἱκανότητας, ἀλλὰ ἀφοῦ τὸ ἔλαβες ἀπὸ τὸν Θεόν. Διατί λοιπὸν προσποιεῖσαι ὅτι ἔχεις κάτι, τὸ ὁποῖον δὲν τὸ ἔχεις; Ἀλλὰ τοῦτο τὸ ἔχεις σὺ καὶ ἄλλοι μαζί σου. Λοιπὸν ἔχεις, ἀφοῦ ἔλαβες, ὄχι τοῦτο καὶ ἐκεῖνο, ἀλλὰ ὅλα ὅσα ἔχεις.

2. Δὲν εἶναι λοιπὸν αὐτὰ ἰδικά σου κατορθώματα, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ. Καὶ ἂν ἀναφέρῃς τὴν πίστιν, αὐτὴν τὴν ἔχεις λόγῳ τῆς κλήσεως· ἂν ἀναφέρῃς τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, ἂν τὰ χαρίσματα, ἂν τὸν διδασκαλικὸν λόγον, ἂν τὰς δυνάμεις, ὅλα τὰ ἔλαβες ἀπὸ ἐκεῖ. Εἰπέ μου λοιπόν, τί ἔχεις, τὸ ὁποῖον ἔχεις χω-

λαβὼν ἔχεις, ἀλλ' αὐτὸς ἀπὸ σαυτοῦ κατορθώσας; Οὐκ ἂν ἔχοις εἰπεῖν. Ἀλλ' ἔλαβες, καὶ διὰ τοῦτο μέγα φρονεῖς; Διὰ τοῦτο μὲν οὖν ἔδει συνεστάλθαι· οὐ γὰρ σόν ἐστι τὸ δοθέν, ἀλλὰ τοῦ δεδωκότος. Εἰ γὰρ ἔλαβες, παρ' ἐκείνου ἔλαβες· εἰ δὲ παρ' ἐκείνου ἔλαβες, οὐ σὸν ἔλαβες· εἰ δὲ οὐ σὸν ἔλαβες, τί μέγα φρονεῖς ὡς σὸν ἔχων; Διὸ καὶ ἐπήγαγεν «Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;»

Κατασκευάσας τοίνυν κατὰ συνδρομὴν τὸν λόγον δείκνυσιν ὅτι καὶ πολλῶν αὐτοῖς δεῖ, καί φησιν ὅτι μάλιστα μέν, εἰ καὶ πάντα ἐλάβετε, οὐκ ἔδει καυχᾶσθαι· οὐδὲν γὰρ ὑμέτερον· νυνὶ δὲ καὶ πολλῶν ἐστε ἔρημοι. Καὶ ἐν ἀρχῇ μὲν τοῦτο ᾐνίξατο εἰπὼν «Οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς» καὶ «Οὐδὲν ἔκρινα εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον»· ἐνταῦθα δὲ ἐντρεπτικῶς ποιεῖ λέγων, «Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε», τουτέστιν οὐδενὸς δεῖσθε λοιπόν, τέλειοι γεγένησθε, τὴν κορυφὴν αὐτὴν κατέχετε, οὐδενὸς ἐν χρείᾳ καθεστηκέναι νομίζετε, οὔτε ἀποστόλων οὔτε διδασκάλων.

«Ἤδη κεκορεσμένοι ἐστέ». Καὶ καλῶς τὸ «ἤδη» ἀπὸ τοῦ χρόνου δεικνὺς τὸ ἀπίθανον αὐτῶν καὶ τὴν ἄλογον αὐτῶν οἴησιν. Διὸ καὶ κωμῳδῶν αὐτοὺς ἔλεγεν· οὕτω ταχέως πρὸς τὸ τέλος ἐφθάσατε, ὅπερ ἀδύνατον ἦν γενέσθαι διὰ τὸν καιρόν. Τὰ γὰρ τελειότερα ἐν τῷ μέλλοντι μένει· τὸ δὲ ἀπὸ ὀλίγων κορεσθῆναι ψυχῆς ἐστιν ἀσθενοῦς· τὸ ἀπὸ ὀλίγων νομίζειν πλουτεῖν ναυτιώσης καὶ ταλαιπώρου. Ἀκόρεστον γὰρ ἡ εὐλάβεια· καὶ παιδικῆς διανοίας ἐστὶν ἀπὸ τῶν πρώτων νομίζειν τὸ πᾶν εἰληφέναι καὶ οὐδέπω οὐδὲ ἐν προοιμίοις ὄντας ὡς τοῦ τέλους ἐπειλημμένους μέγα φρονεῖν.

Εἶτα καὶ διὰ τῶν ἑξῆς ἐντρέπει μᾶλλον. Εἰπὼν γὰρ

---

6. αὐτόθι 8.

ρὶς νὰ τὸ ἔλαβες, ἀλλὰ ποὺ τὸ κατώρθωσες σὺ ὁ ἴδιος μὲ τὰς ἰδικάς σου δυνάμεις; Δὲν θὰ ἠμποροῦσες νὰ ἀπαντήσῃς. Ἀλλὰ τὰ ἔλαβες, καὶ διὰ τοῦτο ὑπερηφανεύεσαι; Διὰ τοῦτο ἀκριβῶς ἔπρεπε νὰ εἶσαι ταπεινός, διότι ὅ,τι σοῦ ἐδόθη δὲν εἶναι ἰδικόν σου, ἀλλὰ ἐκείνου ποὺ σοῦ τὸ ἔδωσεν. Ἐὰν δηλαδὴ ἔλαβες κάτι, τὸ ἔλαβες ἀπὸ ἐκεῖνον· καὶ ἂν τὸ ἔλαβες ἀπὸ ἐκεῖνον, δὲν ἔλαβες ἰδικόν σου· ἐὰν δὲ δὲν ἔλαβες ἰδικόν σου, διατί ὑπερηφανεύεσαι ὡς νὰ ἔχῃς κάτι ἰδικόν σου; Διὰ τοῦτο καὶ προσέθεσε· «Καὶ ἐὰν τὸ ἔλαβες, διατί καυχᾶσαι ὡσὰν νὰ μὴ τὸ ἔλαβες;».

Χρησιμοποιῶν λοιπὸν συνεχεῖς ἐρωτήσεις ἀποδεικνύει ὅτι αὐτοὶ χρειάζονται ἀκόμη πολλά, καὶ τονίζει ὅτι καὶ ἂν ἀκόμη εἴχετε λάβει τὰ πάντα, δὲν ἔπρεπε νὰ καυχᾶσθε, διότι τίποτε δὲν εἶναι ἰδικόν σας· τώρα ὅμως ἔχετε πολλὰς ἀκόμη ἐλλείψεις. Καὶ εἰς μὲν τὴν ἀρχὴν ὑπενίχθη τοῦτο, ὅταν εἶπεν, «Δὲν ἠμπόρεσα νὰ ὁμιλήσω εἰς ἐσᾶς ὡς εἰς πνευματικούς», καί· «Ἀπεφάσισα νὰ μὴ γνωρίζω τίποτε ἄλλο, ὅταν ἤμουν μεταξύ σας, παρὰ μόνον τὸν Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον». Τώρα ὅμως προσπαθεῖ νὰ τοὺς δημιουργήσῃ τὸ συναίσθημα τῆς ἐντροπῆς λέγων· «Τώρα πλέον εἶσθε χορτασμένοι, τώρα πλέον εἶσθε πλούσιοι»,[6] δηλαδὴ δὲν ἔχετε πλέον καμμίαν ἔλλειψιν, ἔχετε γίνει τέλειοι, κατέχετε τὴν ἰδίαν τὴν κορυφήν, δὲν ἔχετε πλέον τὴν ἀνάγκην κανενός, οὔτε ἀποστόλων οὔτε διδασκάλων.

«Τώρα πλέον εἶσθε χορτασμένοι». Καὶ καλῶς ἐχρησιμοποίησε τὸ «πλέον» δεικνύων ἀπὸ τὸν χρόνον τοῦ ρήματος τὸ ἀπίθανον τῆς καταστάσεώς των καὶ τὴν παράλογον ἀλαζονείαν των. Διὰ τοῦτο διακωμῳδῶν αὐτοὺς ἔλεγε· Τόσον γρήγορα ἐφθάσατε εἰς τὸ τέλος, πρᾶγμα τὸ ὁποῖον ἦτο ἀδύνατον νὰ συμβῇ λόγῳ τοῦ χρόνου, διότι τὰ τελειότερα μένουν διὰ τὸ μέλλον· τὸ νὰ χορτάσῃ δὲ κάποιος μὲ τὰ ὀλίγα εἶναι χαρακτηριστικὸν ἀσθενοῦς ψυχῆς· τὸ νὰ νομίζῃ ὅτι μὲ τὰ ὀλίγα γίνεται πλούσιος δεικνύει ψυχὴν ἀηδιαστικὴν καὶ ταλαίπωρον· διότι ἡ εὐλάβεια δὲν χορταίνει· καὶ εἶναι χαρακτηριστικὸν παιδικῆς διανοίας τὸ νὰ νομίζουν ὅτι μὲ τὴν ἀπόκτησιν τῶν πρώτων ἔχουν λάβει τὸ πᾶν καί, ἐνῷ ἀκόμη δὲν εὑρίσκονται οὔτε κἂν εἰς τὴν ἀρχήν, νὰ ὑπερηφανεύωνται ὅτι ἔχουν ἤδη φθάσει εἰς τὸ τέλος.

Κατόπιν καὶ διὰ τῶν ἑξῆς τοὺς ἐλέγχει περισσότερον. Ἀφοῦ

«Ἤδη κεκορεσμένοι ἐστὲ» ἐπήγαγεν· «Ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν». Πολλῆς γέμει τῆς βαρύτητος ὁ λόγος. Διὸ καὶ ἔσχατον αὐτὸν ἐπήγαγε μετὰ πολλὴν τὴν ἐπίπληξιν. Οὕτω γὰρ σεμνὴ γίνεται ἡ παραίνεσις καὶ εὐπαράδεκτος, ὅταν μετὰ τὰς κατηγορίας ἐπιφέρηται τὰ ἐντρεπτικὰ ῥήματα. Καὶ γὰρ τὴν ἀναίσχυντον ἱκανὸν τοῦτο ψυχὴν κατασχεῖν καὶ πλῆξαι μειζόνως τῆς φανερᾶς κατηγορίας καὶ διορθῶσαι τὴν ἀπὸ τῆς κατηγορίας μέλλουσαν γίνεσθαι ἀλγηδόνα τε καὶ ἀναισχυντίαν. Τὸ γὰρ δὴ θαυμαστὸν τῶν ἐντρεπτικῶν λόγων τοῦτο μάλιστά ἐστιν, ὅτι δύο κέκτηνται τἀναντία· καὶ τομὴν βαθυτέραν δίδωσι τῆς προφανοῦς διαβολῆς καὶ τὸν ἐλεγχόμενον παρασκευάζει χαλεπώτερον τεμνόμενον καρτερῆσαι μειζόνως.

«Χωρὶς ἡμῶν ἐβασιλεύσατε». Πολλὴ ἔμφασις ἐνταῦθα καὶ πρὸς τοὺς διδασκάλους καὶ πρὸς τοὺς μαθητάς. Καὶ τὸ ἀσυνείδητον δὲ αὐτῶν δείκνυται καὶ τὸ σφόδρα ἀνόητον. Ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἐν μὲν τοῖς πόνοις φησὶν εἶναι πάντα κοινὰ καὶ ἡμῖν καὶ ὑμῖν ἐν δὲ τοῖς ἐπάθλοις καὶ τοῖς στεφάνοις ὑμεῖς πρῶτοι. Ἀλλ' οὐκ ἀλγῶ ταῦτα λέγων· διὸ καὶ ἐπήγαγε «καὶ ὄφελόν γε ἐβασιλεύσατε». Εἶτα, ἵνα μὴ δόξῃ εἰρωνεία τις εἶναι, ἐπήγαγεν «ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν». Καὶ γὰρ ἄν, φησί, καὶ ἡμεῖς τούτων ἐπετύχομεν τῶν ἀγαθῶν.

Εἶδες πῶς ὁμοῦ καὶ τὴν βαρύτητα καὶ τὴν κηδεμονίαν ἐνδείκνυται καὶ τὴν φιλόσοφον γνώμην; Εἶδες πῶς καθαιρεῖ τὸν τῦφον; «Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους». Πολλὴν τὴν ἔμφασιν καὶ τὴν βαρύτητα ἐνδείκνυται πάλιν τῷ εἰπεῖν «ἡμᾶς». Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τὸ ἀξίωμα ἐπήγαγε σφόδρα αὐτῶν καθικνούμενος· «ἡμᾶς τοὺς ἀποστόλους», τοὺς τὰ μυρία ὑπομένοντας κακά, τοὺς σπείροντας τὸ κήρυγμα τῆς εὐσεβείας, τοὺς ἐπὶ τὴν φιλοσο-

---

7. Α' Κορ. 4,9.
8. Φιλοσοφία: Βλ. σχόλιον ἀρ. 18 τοῦ Β' λόγου τοῦ παρόντος.

δηλαδὴ εἶπε, «Τώρα πλέον εἶσθε χορτασμένοι», προσέθεσε· «Εἶσθε πλέον πλούσιοι, χωρὶς ἐμᾶς ἐγίνατε βασιλεῖς· καὶ εἴθε νὰ εἴχατε γίνει βασιλεῖς, διὰ νὰ εἴμεθα καὶ ἡμεῖς βασιλεῖς μαζί σας». Εἶναι πλήρης βαρύτητος ὁ λόγος, διὰ τοῦτο καὶ τὸν προσέθεσε τελευταῖον μετὰ τὴν πολλὴν ἐπίπληξιν. Ἔτσι δηλαδὴ ἡ παραίνεσις γίνεται σοβαρὰ καὶ εὔκολος ἡ ἀποδοχή της, ὅταν μετὰ τὰς κατηγορίας ἀκολουθοῦν λόγοι ποὺ φέρουν τὴν ἐντροπήν. Καὶ πράγματι, τοῦτο εἶναι ἱκανὸν νὰ συγκρατήσῃ τὴν ἀναίσχυντον ψυχὴν καὶ νὰ τὴν πλήξῃ περισσότερον ἀπὸ τὴν φανερὰν κατηγορίαν καὶ νὰ διαρθώσῃ τὸν ψυχικὸν πόνον καὶ τὴν ἀναισχυντίαν, ποὺ θὰ προεκάλει ἡ κατηγορία. Τὸ θαυμαστὸν δηλαδὴ τῶν λόγων ποὺ φέρουν τὴν ἐντροπὴν εἶναι ἀκριβῶς τοῦτο, ὅτι ἔχουν δύο ἀντίθετα πλεονεκτήματα· καὶ τομὴν κάνουν βαθυτέραν ἀπὸ τὴν φανερὰν κατηγορίαν καὶ κάνουν τὸν ἐλεγχόμενον ὅσον περισσότερον ἐλέγχεται τόσον περισσότερον νὰ ὑποφέρῃ τὸν ἔλεγχον.

«Χωρὶς ἐμᾶς ἐγίνατε βασιλεῖς». Ἐδῶ ὑπάρχει πολλὴ ἔμφασις καὶ διὰ τοὺς διδασκάλους καὶ διὰ τοὺς μαθητάς. Ἀποδεικνύεται ἡ ἀσυνειδησία καὶ ἡ μεγάλη ἀνοησία των. Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς: Εἰς μὲν τοὺς κόπους εἶναι ὅλα κοινὰ καὶ δι' ἡμᾶς καὶ διὰ σᾶς, εἰς τὰ ἔπαθλα ὅμως καὶ τοὺς στεφάνους σεῖς εἶσθε πρῶτοι· ἀλλὰ δὲν στενοχωροῦμαι καθὼς τὰ λέγω· διὰ τοῦτο καὶ προσέθεσε· «Καὶ εἴθε νὰ εἴχατε γίνει βασιλεῖς». Ἔπειτα, διὰ νὰ μὴ φανῇ ὅτι εἶναι κάποια εἰρωνεία, προσέθεσε «διὰ νὰ εἴμεθα καὶ ἡμεῖς βασιλεῖς μαζί σας», διότι καὶ ἡμεῖς τότε, λέγει, θὰ ἠμπορούσαμεν νὰ ἐπιτύχωμεν αὐτὰ τὰ ἀγαθά.

Εἶδες πῶς φανερώνει συγχρόνως καὶ τὴν σοβαρότητα καὶ τὴν πατρικὴν φροντίδα του καὶ τὸν φιλόσοφον νοῦν του; Εἶδες πῶς ἀφαιρεῖ τὴν ἀλαζονείαν; «Διότι νομίζω ὅτι ὁ Θεὸς ἐμᾶς τοὺς ἀποστόλους μᾶς ἔδειξε τελευταίους ὡς μελλοθανάτους»[7]. Δεικνύει πάλιν πολλὴν ἔμφασιν καὶ βαρύτητα μὲ τὸ νὰ εἴπῃ «ἐμᾶς». Καὶ δὲν ἠρκέσθη μόνον εἰς αὐτό, ἀλλὰ προσέθεσε καὶ τὸ ἀξίωμα, ἐλέγχων ἔτσι ἐντόνως αὐτούς· «Ἐμᾶς τοὺς ἀποστόλους», δηλαδὴ ἐμᾶς, οἱ ὁποῖοι ὑπομένομεν μύρια κακά, ποὺ σπείρομεν τὸ κήρυγμα τῆς εὐσεβείας, ποὺ σᾶς ὁδηγοῦμεν εἰς αὐτὴν τὴν φιλοσοφίαν[8]· αὐτοὺς τοὺς ἐπαρουσίασεν ὡς τελευταίους ἀνθρώπους, ὡς μελλοθανάτους, δηλαδὴ ὡς

φίαν ταύτην ὑμᾶς ἄγοντας· τούτους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, τουτέστιν ὡς καταδίκους. Ἐπειδὴ γὰρ εἶπεν «ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν», καὶ ἐχάλασε τῷ λόγῳ τὸ σφοδρόν· ἵνα μὴ αὐτοὺς ἐκλύσῃ, ἀναλαμβάνει πάλιν αὐτὸ μετὰ πλείονος βαρυθυμίας, καὶ φησι· «Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους». Ὡς γὰρ ὁρῶ, φησί, καὶ ἐξ ὧν ὑμεῖς φατε, οἱ πάντων ἀτιμότεροι καὶ οἱ κατάδικοι ἡμεῖς ἐσμεν, οἳ εἰς τὸ πάσχειν ἀεὶ κακῶς προβεβλήμεθα, ὑμεῖς δὲ ἤδη βασιλείαν καὶ τιμὰς καὶ τὰ ἔπαθλα φαντάζεσθε. Βουλόμενος δὲ εἰς πλείονα ἀτοπίαν ἀπαγαγεῖν τὸν λόγον καὶ δεῖξαι αὐτὸν ἀπίθανον μεθ' ὑπερβολῆς οὐκ εἶπεν ὅτι ἁπλῶς ἡμεῖς ἐσμεν ἔσχατοι, ἀλλ' ὁ Θεὸς ἡμᾶς ἐσχάτους ἐποίησε. Καὶ οὐκ ἠρκέσθη τῷ εἰπεῖν «ἐσχάτους», ἀλλὰ προσέθηκε καὶ «ἐπιθανατίους», ἵνα καὶ ὁ σφόδρα ἀνόητος συνίδῃ τῶν εἰρημένων τὸ ἀπίθανον καὶ ὅτι ἀλγοῦντος ἦν τὰ λεγόμενα καὶ σφόδρα αὐτοὺς ἐντρέποντος.

3. Καὶ ὅρα Παύλου σύνεσιν. Ἀφ' ὧν ἑαυτόν, ἡνίκα ἂν ᾖ καιρός, ἐπαίρει καὶ σεμνὸν δείκνυσι καὶ μέγαν ποιεῖ, ἀπὸ τούτων ἐκείνους ἐντρέπει νῦν κατάδικον ἑαυτὸν καλῶν. Τοσοῦτόν ἐστι μετὰ τοῦ προσήκοντος καιροῦ πάντα ποιεῖν. Ἐπιθανατίους γὰρ ἐνταῦθα τοὺς καταδίκους λέγει καὶ μυρίων θανάτων ἀξίους.

«Ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις». Τί ἐστι «Θέατρον ἐγενήθημεν τῷ κόσμῳ»; Οὐκ ἐν γωνίᾳ μιᾷ οὐδὲ ἐν μικρῷ τῆς οἰκουμένης μέρει ταῦτα πάσχομεν, φησίν, ἀλλὰ πανταχοῦ καὶ ἐπὶ πάντων. Τί δέ ἐστι «καὶ ἀγγέλοις»; Ἔστι μὲν ἀνθρώποις εἶναι θέατρον, μηκέτι δὲ ἀγγέλοις, ὅταν εὐτελῆ τὰ γινόμενα ᾖ· τὰ δὲ ἡμῶν παλαίσματα τοιαῦτα, ὡς καὶ τῆς ἀγγελικῆς θεωρίας ἄξια εἶναι. Ὅρα ἀφ' ὧν ἑαυτὸν ἐξευτελίζει, πῶς πάλιν μέγαν δείκνυσιν· ἀφ' ὧν δὲ ἐκεῖνοι μέγα φρονοῦσι, πῶς αὐτοὺς εὐτελεῖς ἀποφαίνει. Ἐπειδὴ γὰρ τὸ μωροὺς εἶναι τοῦ φρονίμους φαίνεσθαι καὶ τὸ ἀσθενεῖς εἶναι τοῦ ἰσχυ-

καταδίκους. Ἐπειδὴ δηλαδὴ εἶπεν «διὰ νὰ εἴμεθα καὶ ἡμεῖς βασιλεῖς μαζί σας» καὶ ἐμείωσε μὲ τὸν λόγον αὐτὸν τὴν αὐστηρότητα τοῦ ἐλέγχου, διὰ νὰ μὴ τοὺς κάνῃ νὰ χαλαρώσουν, ἐπανέρχεται πάλιν εἰς αὐτὸ μὲ περισσοτέραν πικρίαν καὶ λέγει· «Διότι νομίζω ὅτι ὁ Θεὸς ἐμᾶς τοὺς ἀποστόλους μᾶς ἔδειξε τελευταίους ὡς μελλοθανάτους». Δηλαδὴ ἀπὸ ὅ,τι βλέπω, λέγει, καὶ ἀπὸ ὅ,τι σεῖς λέγετε, οἱ πλέον περιφρονημένοι καὶ καταδικασμένοι εἴμεθα ἡμεῖς, οἱ ὁποῖοι πάντοτε εἴμεθα ἐκτεθειμένοι εἰς τὰς ταλαιπωρίας, ἐνῷ σεῖς φαντάζεσθε ἤδη βασιλείαν καὶ τιμὰς καὶ τὰ ἔπαθλα. Ἐπειδὴ δὲ ἤθελε μὲ τὸν λόγον του νὰ δείξῃ ὅτι ἡ κατάστασις εἶναι πολὺ παράλογος καὶ ὑπερβολικῶς ἀπίθανος δὲν εἶπεν ἁπλῶς ὅτι 'ἐμεῖς εἴμεθα οἱ τελευταῖοι', ἀλλὰ ὅτι «ὁ Θεὸς μᾶς ἔκαμε τελευταίους». Καὶ δὲν ἠρκέσθη εἰς τὸ νὰ εἴπῃ «τελευταίους», ἀλλὰ προσέθεσε καὶ «μελλοθανάτους», διὰ νὰ ἴδῃ καὶ ὁ πλέον ἀνόητος τὸ ἀπίθανον τῶν ὅσων ἐλέχθησαν καὶ ὅτι τὰ λεγόμενα προήρχοντο ἀπὸ ἄνθρωπον πολὺ στενοχωρημένον, ὁ ὁποῖος προσεπάθει μὲ κάθε τρόπον νὰ τοὺς κάμῃ νὰ ἐντραποῦν.

3. Καὶ κοίταξε τὴν σύνεσιν τοῦ Παύλου. Μὲ τοὺς ἰδίους λόγους, πού, ὅταν τὸ ἀπαιτῇ ἡ περίστασις, ὑψώνει τὸν ἑαυτόν του καὶ τὸν παρουσιάζει σπουδαῖον καὶ μέγαν, μὲ τοὺς λόγους αὐτοὺς τώρα ἐλέγχει ἐκείνους ὀνομάζων τὸν ἑαυτόν του κατάδικον. Ἔτσι εἶναι δυνατὸν νὰ κάμνῃ τὰ πάντα, ὅταν τὸ καλῇ ἡ περίστασις. Ἐδῶ βεβαίως ἐπιθανατίους ὀνομάζει τοὺς καταδίκους, ποὺ εἶναι ἄξιοι μυρίων θανάτων.

«Διότι ἐγίναμεν θέαμα εἰς τὸν κόσμον καὶ εἰς τοὺς ἀγγέλους καὶ εἰς τοὺς ἀνθρώπους». Τί σημαίνει «ἐγίναμεν θέαμα εἰς τὸν κόσμον»; Δὲν ὑποφέρομεν, λέγει, αὐτὰ εἰς μίαν γωνίαν οὔτε εἰς ἓν μικρὸν μέρος τῆς οἰκουμένης, ἀλλὰ παντοῦ καὶ ἐπὶ πάντων. Τί σημαίνει δὲ «καὶ εἰς τοὺς ἀγγέλους»; Εἶναι δυνατὸν νὰ εἴμεθα θέατρον διὰ τοὺς ἀνθρώπους καὶ ὄχι διὰ τοὺς ἀγγέλους, ὅταν τὰ συμβαίνοντα εἶναι εὐτελῆ· οἱ ἰδικοί μας ὅμως ἀγῶνες εἶναι τέτοιοι, ὥστε ἀξίζουν νὰ τοὺς βλέπουν καὶ οἱ ἄγγελοι. Κοίταξε πῶς, ἐνῷ ἐξευτελίζει τὸν ἑαυτόν του, πάλιν τὸν παρουσιάζει μέγαν· ἐνῷ δὲ ἐκεῖνοι ὑπερηφανεύονται, πῶς τοὺς παρουσιάζει εὐτελεῖς. Ἐπειδὴ δηλαδὴ ἐθεωρεῖτο ὅτι ἦτο εὐτελέστερον τὸ νὰ εἶναι μωροὶ ἀπὸ τὸ νὰ φαίνωνται φρόνιμοι καὶ τὸ νὰ εἶναι ἀδύνατοι ἀπὸ τὸ νὰ γίνων-

ρούς γίνεσθαι καὶ τὸ ἀτίμους εἶναι τοῦ ἐνδόξους καὶ περιφανεῖς εὐτελέστερον εἶναι ἐδόκει, καὶ τὰ μὲν ἐκείνοις μέλλει προσρίπτειν, τὰ δὲ αὐτὸς κατεδέξατο· δείκνυσιν ὅτι ταῦτα ἐκείνων ἀμείνω, εἴγε διὰ ταῦτα μὴ μόνον ἀνθρώπων, ἀλλὰ καὶ αὐτῶν τῶν ἀγγέλων τὸν δῆμον πρὸς τὴν θεωρίαν ἐπέστρεψε τὴν ἑαυτῶν. Οὐ γὰρ πρὸς ἀνθρώπους ἡμῖν ἡ πάλη μόνον, ἀλλὰ καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις. Διὰ τοῦτο καὶ μέγα θέατρον κάθηται.

«Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ». Πάλιν καὶ τοῦτο ἐντρεπτικῶς εἴρηκε δεικνὺς ὅτι πρᾶγμά ἐστιν ἀδύνατον ταῦτα συμβῆναι τὰ ἐναντία καὶ οὐκ ἔστιν ἐν τοῖς αὐτοῖς τὰ τοσοῦτον ἀλλήλων ἀπέχοντα συνελθεῖν. Πῶς γὰρ ἔνι, φησίν, ὑμᾶς μὲν φρονίμους εἶναι, ἡμᾶς δὲ μωροὺς ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν; Ἐπειδὴ γὰρ ἐτύπτοντο καὶ κατεφρονοῦντο καὶ ἠτιμάζοντο καὶ οὐδὲν εἶναι ἐνομίζοντο, ἐκεῖνοι δὲ τιμῆς ἀπήλαυον καὶ σοφοί τινες καὶ συνετοὶ παρὰ πολλοῖς ὑπωπτεύοντο, διὰ τοῦτο ταῦτά φησιν· ὅτι πῶς ἔνι τοὺς τὰ τοιαῦτα κηρύττοντας ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύεσθαι εἶναι;

«Ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί». Τουτέστιν, ἡμεῖς ἐλαυνόμεθα, διωκόμεθα, ὑμεῖς δὲ ἀδείας ἀπολαύετε καὶ θεραπείας πολλῆς. Ἀλλ' οὐκ ἀνέχεται τοῦ κηρύγματος ἡ φύσις. «Ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔνδοξοι». Ἐνταῦθα πρὸς τοὺς εὐγενεῖς ἀποτείνεται καὶ μέγα φρονοῦντας ἐπὶ τοῖς ἔξωθεν.

«Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί». Τουτέστιν, οὐ παλαιὰ διηγοῦμαι πράγματα, ἀλλ' ἅπερ καὶ ὁ παρών μοι καιρὸς μαρτυρεῖ. Τῶν γὰρ ἀνθρωπίνων ἡμῖν λόγος οὐδεὶς οὐδὲ τῆς ἔξωθεν περιφανείας, ἀλλὰ πρὸς τὸν Θεὸν ἀφορῶμεν μόνον· ὃ δὴ καὶ ἡμᾶς πράττειν πανταχοῦ ἀναγκαῖον. Οὐ γὰρ δὴ ἄγγελοι θεωροῦσι μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων ὁ ἀγωνοθέτης.

---

9. Α' Κορ. 4,10.
10. αὐτ. 11-12.

ται ἰσχυροὶ καὶ τὸ νὰ εἶναι περιφρονημένοι ἀπὸ τὸ νὰ εἶναι ἔνδοξοι καὶ φημισμένοι, καὶ ἐπειδὴ πρόκειται νὰ ἀποδώσῃ τὰ μὲν δεύτερα εἰς ἐκείνους τὰ δὲ πρῶτα τὰ ἐδέχθη διὰ τὸν ἑαυτόν του, δεικνύει ὅτι αὐτὰ εἶναι ἀνώτερα ἀπὸ ἐκεῖνα, ἐφ' ὅσον χάρις εἰς αὐτὰ ἐπέτυχε νὰ τοὺς βλέπουν ὄχι μόνον ὅλοι οἱ ἄνθρωποι ἀλλὰ καὶ τὸ σύνολον τῶν ἀγγέλων· διότι ἡ ἰδική μας πάλη δὲν εἶναι μόνον πρὸς ἀνθρώπους, ἀλλὰ καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις. Διὰ τοῦτο γίνεται καὶ μέγα θέμα.

«Ἡμεῖς θεωρούμεθα μωροὶ χάριν τοῦ Χριστοῦ, σεῖς δὲ φρόνιμοι ἐν Χριστῷ»[9]. Πάλιν καὶ τοῦτο τὸ εἶπε, διὰ νὰ προκαλέσῃ ἐντροπὴν δεικνύων ὅτι εἶναι ἀδύνατον νὰ συμβαίνουν αὐτὰ τὰ ἀντίθετα καὶ ὅτι δὲν εἶναι δυνατὸν νὰ συνέρχωνται εἰς τὸν ἴδιον τόπον ἄνθρωποι ποὺ ἀπέχουν τόσον πολὺ μεταξύ των. Πῶς δηλαδὴ εἶναι δυνατόν, λέγει, εἰς θέματα ποὺ ἀφοροῦν εἰς τὸν Χριστὸν σεῖς μὲν νὰ εἶσθε φρόνιμοι, ἡμεῖς δὲ μωροί; Ἐπειδὴ δηλαδὴ αὐτοὶ μὲν ἐδέροντο καὶ κατεφρονοῦντο καὶ ἠτιμάζοντο καὶ ἐθεωροῦντο τιποτένιοι, ἐνῷ ἐκεῖνοι ἀπήλαυον τιμῆς καὶ μερικοὶ μάλιστα ἐθεωροῦντο σοφοὶ καὶ συνετοὶ ἀπὸ πολλούς, διὰ τοῦτο τὰ λέγει αὐτά· ὅτι δηλαδὴ πῶς εἶναι δυνατὸν ἐκεῖνοι ποὺ κηρύττουν αὐτὰ νὰ θεωροῦνται ὅτι εἶναι τὰ ἀντίθετα;

«Ἐμεῖς ἀσθενικοί, σεῖς δὲ ἰσχυροί». Δηλαδή, ἡμεῖς ἐκδιωκόμεθα, καταδιωκόμεθα, σεῖς ὅμως δὲν φοβεῖσθε τίποτε καὶ σᾶς περιποιοῦνται. Ἀλλὰ τοῦτο δὲν τὸ ἀνέχεται ἡ φύσις τοῦ κηρύγματος. «Ἐμεῖς ἄσημοι σεῖς δὲ ἔνδοξοι». Ἐδῶ ἀπευθύνεται πρὸς ὅσους ἔχουν εὐγενῆ καταγωγὴν καὶ ὑπερηφανεύωνται διὰ τὰ κοσμικά.

«Ἕως αὐτὴν τὴν ὥραν καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμὸν καὶ μᾶς κακομεταχειρίζονται καὶ περιπλανώμεθα καὶ κοπιάζομεν ἐργαζόμενοι μὲ τὰ ἰδικά μας χέρια»[10]. Δηλαδὴ δὲν διηγοῦμαι παλαιά, ἀλλὰ πράγματα, διὰ τὰ ὁποῖα ἔχω μάρτυρα τὴν παροῦσαν πραγματικότητα. Διότι δὲν ὁμιλοῦμεν καθόλου διὰ τὰ ἀνθρώπινα οὔτε διὰ τὴν δόξαν τοῦ κόσμου, ἀλλὰ ἀποβλέπομεν μόνον εἰς τὸν Θεόν, καὶ αὐτὸ ἀκριβῶς εἶναι ἀνάγκη νὰ κάμνωμεν καὶ ἐμεῖς παντοῦ· καθ' ὅσον δὲν βλέπουν τοῦτο μόνον οἱ ἄγγελοι, ἀλλὰ καὶ πρὶν ἀπὸ ἐκείνους ὁ ἀγωνοθέτης.

Μὴ τοίνυν ἑτέρων δεώμεθα ἐπαινετῶν. Τοῦτο γὰρ ἐκεῖνόν ἐστιν ὑβρίσαι, ὅταν ὡς οὐκ ἀρκοῦντα πρὸς τὸ θαυμάσαι παρατρέχοντες ἐπὶ τοὺς συνδούλους σπεύδωμεν. Καθάπερ γὰρ οἱ ἐν μικρῷ θεάτρῳ ἀγωνιζόμενοι μέγα ζητοῦσιν ὡς οὐκ ἀρκοῦντος αὐτοῖς πρὸς ἐπίδειξιν ἐκείνου, οὕτω καὶ οἱ ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ ἀγωνιζόμενοι, εἶτα τὴν παρὰ ἀνθρώποις ζητοῦντες εὐφημίαν, τὴν μείζονα ἀφέντες καὶ τῆς ἐλάττονος ἐφιέμενοι μεγάλην ἑαυτοῖς ἐπισπῶνται κόλασιν.

Τοῦτο γοῦν ἄνω καὶ κάτω πάντα πεποίηκε, τοῦτο συνετάραξε τὴν οἰκουμένην ἅπασαν, ὅτι πρὸς ἀνθρώπους βλέποντες ἅπαντα πράττομεν, κἂν τοῖς ἀγαθοῖς οὐδὲν ἡγούμεθα τὸ τὸν Θεὸν ἔχειν θαυμαστήν, ἀλλ' ἐπιζητοῦμεν τὴν παρὰ τοῖς ὁμοδούλοις εὐδοκίμησιν, κἂν τοῖς ἐναντίοις πάλιν αὐτοῦ καταφρονήσαντες ἀνθρώπους δεδοίκαμεν. Καίτοιγε αὐτοὶ μεθ' ἡμῶν στήσονται ἐπὶ τοῦ βήματος ἐκείνου οὐδὲν ἡμᾶς ὠφελοῦντες· ὁ δὲ Θεός, οὗ καταφρονοῦμεν νῦν, αὐτὸς οἴσει τὴν ψῆφον ἡμῖν. Ἀλλ' ὅμως καὶ ταῦτα εἰδότες πρὸς ἀνθρώπους ἔτι κεχήναμεν, ὅπερ ἐστὶν ἁμάρτημα πρῶτον. Καὶ ἀνθρώπου μὲν ὁρῶντος, οὐκ ἄν τις ἕλοιτο πορνεύειν, ἀλλὰ κἂν μυριάκις φλέγηται τῷ κακῷ, νικᾶται τοῦ πάθους ἡ τυραννὶς ὑπὸ τῆς τῶν ἀνθρώπων αἰδοῦς· Θεοῦ δὲ ὁρῶντος, οὐχὶ μοιχεύουσιν οὐδὲ πορνεύουσι μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ χαλεπώτερα πολλοὶ τετολμήκασι καὶ τολμῶσι. Τοῦτο οὖν μόνον οὐχ ἱκανὸν μυρίους ἄνωθεν σκηπτοὺς κατενεγκεῖν; Καὶ τί λέγω μοιχείας καὶ πορνείας; Τὰ γὰρ πολλῷ τούτων ἐλάττω ἐπὶ μὲν ἀνθρώπων δεδοίκαμεν πράττοντες, Θεοῦ δὲ ὁρῶντος οὐκέτι. Διὰ δὴ τοῦτο πάντα ἐτέχθη τὰ κακά, ὅτι ἐν τοῖς ὄντως κακοῖς οὐ τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους αἰδούμεθα. Διά τοι τοῦτο καὶ τὰ ὄντως ἀγαθὰ οὐ δοκοῦντα εἶναι τοιαῦτα τοῖς πολλοῖς φεύγομεν οὐ τὴν τῶν πραγμάτων ἐξετάζοντες φύσιν, ἀλλὰ πρὸς τὴν δόξαν τῶν πολλῶν ἀποβλέποντες.

Ἂς μὴ ἐπιζητοῦμεν λοιπὸν ἄλλοι νὰ μᾶς ἐπαινοῦν, διότι, ὅταν σπεύδωμεν πρὸς τοὺς συνδούλους μας ἀποφεύγοντες ἐκεῖνον (τὸν Θεόν), διότι δῆθεν δὲν μᾶς εἶναι ἀρκετὸς ὁ ἰδικός του θαυμασμός, τοῦτο εἶναι ὡς νὰ τὸν ὑβρίζωμεν. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνοι ποὺ ἀγωνίζονται εἰς μικρὸν θέατρον ἐπιζητοῦν κάτι τὸ μεγάλο, διότι δῆθεν δὲν τοὺς ἀρκεῖ ἐκεῖνο διὰ τὴν ἐπίδειξίν των, ἔτσι καὶ ἐκεῖνοι ποὺ ἀγωνίζονται ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ ἐπιζητοῦν τοὺς ἐπαίνους τῶν ἀνθρώπων, ἀφήνουν τὸν μεγαλύτερον ἔπαινον καὶ ποθοῦν τὸν κατώτερον, καὶ ὡς ἀποτέλεσμα ἐπισύρουν μεγάλην τιμωρίαν.

Τοῦτο λοιπὸν ἀνατρέπει τὰ πάντα, τοῦτο συγκλονίζει ὅλην τὴν οἰκουμένην, ὅτι δηλαδὴ τὰ πάντα τὰ κάμνομεν ἀποβλέποντες εἰς τοὺς ἀνθρώπους καὶ θεωροῦμεν ἄνευ ἀξίας τὸ νὰ ἔχωμεν τὸν Θεὸν θαυμαστὴν εἰς τὰς ἀγαθὰς πράξεις μας, ἀλλ' ἐπιζητοῦμεν τοὺς ἐπαίνους τῶν ὁμοδούλων μας, ἐνῷ εἰς τὰς δυσκόλους στιγμάς μας καταφρονοῦμεν αὐτὸν καὶ φοβούμεθα τοὺς ἀνθρώπους. Καὶ ὅμως αὐτοὶ θὰ στηθοῦν μαζί μας ἐπὶ τοῦ βήματος ἐκείνου καὶ δὲν θὰ μᾶς προσφέρουν καμμίαν ὠφέλειαν, ἐνῷ ὁ Θεός, τὸν ὁποῖον τώρα καταφρονοῦμεν, αὐτὸς θὰ μᾶς κρίνῃ. Ἀλλ' ὅμως, ἐνῷ γνωρίζομεν αὐτά, μένομεν ἀκόμη μὲ ἀνοικτὸν τὸ στόμα πρὸ τῶν ἀνθρώπων, πρᾶγμα τὸ ὁποῖον εἶναι τὸ χειρότερον ἁμάρτημα. Καὶ ὅταν μὲν βλέπῃ κάποιος ἄνθρωπος, κανεὶς δὲν θὰ ἤθελε νὰ πορνεύσῃ, ἀλλὰ καὶ ἂν ἀκόμη φλέγεται μυριάκις ἀπὸ τὸ κακόν, ἡ τυραννία τοῦ πάθους νικᾶται ἀπὸ τὴν ἐντροπὴν πρὸς τοὺς ἀνθρώπους· ἐνῷ ὅμως βλέπει ὁ Θεός, ὄχι μόνον μοιχεύουν οὔτε μόνον πορνεύουν, ἀλλὰ πολλοὶ ἔχουν τολμήσει καὶ τολμοῦν καὶ ἄλλα πολὺ φοβερώτερα. Αὐτὸ λοιπὸν καὶ μόνον δὲν εἶναι ἀρκετὸν νὰ ἐπισύρῃ ἀπὸ τὸν οὐρανὸν μυρίους κεραυνούς; Καὶ τί λέγω διὰ μοιχείαν καὶ πορνείαν; διότι τὰ πολὺ μικρότερα ἀπὸ αὐτὰ φοβούμεθα νὰ τὰ πράττωμεν ἐνώπιον τῶν ἀνθρώπων, καθόλου ὅμως δὲν φοβούμεθα νὰ πράττωμεν ἐνώπιον τοῦ Θεοῦ. Δι' αὐτὸ ἀκριβῶς ἐδημιουργήθησαν ὅλα τὰ κακά, διότι εἰς τὰς ὄντως ἀνόμους πράξεις μας δὲν ἐντρεπόμεθα τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους. Δι' αὐτὸ ἀκριβῶς ἀποφεύγομεν τὰ ἀληθινὰ ἀγαθά, ἐπειδὴ οἱ πολλοὶ δὲν τὰ θεωροῦν τέτοια, καὶ δὲν ἐξετάζομεν τὴν φύσιν τῶν πραγμάτων, ἀλλὰ ἀποβλέπομεν εἰς τὴν γνώμην τῶν πολλῶν.

4. Καὶ ἐπὶ τῶν κακῶν τὸ αὐτὸ τοῦτο πάσχοντες πάλιν· οὐκ ὄντα οὖν τινα ἀγαθά, ἀλλὰ κακά, εἶναι δοκοῦντα τοῖς πολλοῖς ἀγαθά, ἀπὸ τῆς αὐτῆς συνηθείας διώκομεν, ὥστε ἑκατέρωθεν διαφθείρεσθαι. Τάχα πολλοῖς ἀσαφέστερον εἶναι δοκεῖ τὸ λεχθέν· οὐκοῦν ἀνάγκη αὐτὸ σαφέστερον εἰπεῖν. Ὅταν πορνεύωμεν —δεῖ γὰρ ἀπὸ τῶν εἰρημένων ἄρξασθαι —ἀνθρώπους φοβούμεθα μᾶλλον, ἢ τὸν Θεόν. Ἐπεὶ οὖν οὕτως ἑαυτοὺς ὑπεθήκαμεν ἐκείνοις καὶ δεσπότας ἡμῶν αὐτοὺς ἐποιήσαμεν, πολλὰ δὲ τοῖς δεσπόταις τούτοις καὶ ἄλλα δοκεῖ εἶναι κακὰ οὐκ ὄντα κακά, κἀκεῖνα φεύγομεν πάλιν ὁμοίως. Οἷον, τὸ ἐν πενίᾳ ζῆν πολλοῖς δοκεῖ εἶναι αἰσχρόν, καὶ φεύγομεν τὴν πενίαν, οὐκ ἐπειδή ἐστιν αἰσχρόν, οὐδὲ ἐπειδὴ τοῦτο πεπείσμεθα, ἀλλ' ἐπειδὴ τοῖς δεσπόταις ἡμῶν εἶναι δοκεῖ τοῦτο αἰσχρόν, κἀκείνους δεδοίκαμεν.

Πάλιν τὸ ἀτιμάζεσθαι καὶ εὐκαταφρόνητον εἶναι καὶ πάσης ἐκτὸς δυναστείας δοκεῖ τοῖς πολλοῖς ὁμοίως εἶναι αἰσχύνης πολλῆς καὶ εὐτελείας. Τοῦτο πάλιν φεύγομεν οὐδὲ αὐτοῦ καταγινώσκοντες, ἀλλὰ διὰ τὴν τῶν δεσποτῶν ἡμῶν ψῆφον. Πάλιν καὶ ἐκ τοῦ ἐναντίου τὴν αὐτὴν ὑπομένομεν λύμην· τὸ γὰρ πλουτεῖν ἀγαθὸν εἶναι δοκεῖ καὶ ὁ τῦφος καὶ αἱ δόξαι καὶ τὸ περίβλεπτον εἶναι· καὶ τοῦτο πάλιν διώκομεν οὐδὲ ἐνταῦθα τὴν τῶν πραγμάτων ἐπισκεψάμενοι φύσιν ὅτι καλή, ἀλλ' ἀπὸ τῆς δόξης τῶν δεσποτῶν ἡμῶν πεπεισμένοι. Δεσπότης γὰρ ἡμῶν ὁ δῆμός ἐστι καὶ ὁ πολὺς ὄχλος· δεσπότης ὠμὸς καὶ τύραννος χαλεπός. Οὐδὲ γὰρ ἐπιταγῆς αὐτῷ δεῖ πρὸς τὸ ἀκουσθῆναι παρ' ἡμῶν, ἀλλ' ἀρκεῖ μόνον ἡμᾶς εἰδέναι τί βούλεται, καὶ χωρὶς ἐπιτάγματος εἴκομεν· τοσαύτῃ εὐνοίᾳ περὶ αὐτὸν κεχρήμεθα. Καὶ ὁ μὲν Θεὸς καθ' ἑκάστην ἀπειλῶν, νουθετῶν τὴν ἡμέραν, οὐκ ἀκούεται· ὁ δὲ πολὺς ὄχλος καὶ ἄτακτος καὶ συρφετώδης οὐδὲ ἐπιταγῆς χρείαν ἔχει, ἀλλ' ἀρκεῖ μόνον δεῖξαι τίσιν ἀρέσκεται, καὶ πάντα ὑπακούομεν εὐθέως.

Καὶ πῶς ἂν τις τούτους, φησίν, ἀποφύγῃ τοὺς δεσπότας; Εἰ μεῖζον αὐτῶν φρόνημα λάβοι, εἰ τὴν τῶν πρα-

4. Τὸ ἴδιον ἐξ ἄλλου παθαίνομεν καὶ ἐπὶ τῶν κακῶν· μερικά, ἐνῷ δὲν εἶναι καλὰ ἀλλὰ κακά, ἐπειδὴ οἱ πολλοὶ τὰ θεωροῦν καλά, τὰ ἐπιδιώκομεν διὰ τὸν ἴδιον λόγον, ὥστε ἔχομεν διπλῆν ζημίαν. Ἴσως αὐτὸ ποὺ εἶπα νὰ φαίνεται εἰς πολλοὺς πολὺ σαφές· εἶναι λοιπὸν ἀνάγκη νὰ τὸ εἰπῶ σαφέστερον. Ὅταν πορνεύωμεν —διότι πρέπει νὰ ἀρχίσωμεν ἀπὸ ὅσα ἀνεφέρθησαν— φοβούμεθα τοὺς ἀνθρώπους περισσότερον παρὰ τὸν Θεόν. Ἐπειδὴ λοιπὸν τόσον πολὺ ὑπεδουλώσαμεν τοὺς ἑαυτούς μας εἰς ἐκείνους καὶ τοὺς ἐκάναμεν κυρίους μας καὶ ἐπειδὴ εἰς αὐτοὺς τοὺς κυρίους μας φαίνονται κακὰ καὶ ἄλλα ποὺ δὲν εἶναι κακά, ἀποφεύγομεν ἐπίσης καὶ ἐκεῖνα. Ἐπὶ παραδείγματι τὸ νὰ ζῇ κανεὶς πτωχὸς φαίνεται εἰς πολλοὺς ὅτι εἶναι αἰσχρόν, καὶ ἔτσι ἀποφεύγομεν τὴν πενίαν, ὄχι ἐπειδὴ εἶναι πράγματι αἰσχρόν, οὔτε ἐπειδὴ ἔχομεν πεισθῆ δι' αὐτό, ἀλλὰ ἐπειδὴ τοῦτο φαίνεται εἰς τοὺς κυρίους μας ὅτι εἶναι αἰσχρόν, καὶ φοβούμεθα ἐκείνους.

Ἐπίσης, τὸ νὰ μὴ ἀποδίδουν εἰς κάποιον τιμὴν καὶ νὰ τὸν περιφρονοῦν καὶ τὸ νὰ μὴ ἔχῃ καμμίαν δύναμιν φαίνεται εἰς τοὺς πολλοὺς ὁμοίως ὅτι εἶναι μεγάλη ἐντροπὴ καὶ εὐτέλεια. Τοῦτο ἐπίσης τὸ ἀποφεύγομεν ὄχι διότι πράγματι τὸ καταδικάζομεν, ἀλλὰ λόγῳ τῆς κρίσεως τῶν κυρίων μας. Τὸ ἀντίθετον ἐπίσης μᾶς φέρει ζημίαν· ὁ πλοῦτος δηλαδή, ἡ ἀλαζονεία, ἡ δόξα καὶ ἡ λαμπρότης θεωροῦνται ἀγαθά· ἐπιδιώκομεν λοιπὸν ἐπίσης αὐτὰ οὔτε καὶ ἐδῶ, ἐπειδὴ ἐκρίναμεν ὅτι ἐκ φύσεως τὰ πράγματα αὐτὰ εἶναι καλά, ἀλλὰ διότι ἐπείσθημεν ἀπὸ τὴν γνώμην τῶν κυρίων μας. Δηλαδὴ κύριός μας εἶναι ὁ κόσμος καὶ ὁ πολὺς ὄχλος, καὶ εἶναι ὠμὸς κύριος καὶ σκληρὸς τύραννος. Καὶ οὔτε τοῦ χρειάζεται νὰ μᾶς διατάξῃ, διὰ νὰ ὑπακούσωμεν, ἀλλὰ ἀρκεῖ μόνον νὰ γνωρίζωμεν τί θέλει, καὶ ἀμέσως ὑποκύπτομεν χωρὶς διαταγήν· τόσον πολὺ τὸν σεβόμεθα. Καὶ ὁ μὲν Θεὸς καθημερινῶς μᾶς ἀπειλεῖ, μᾶς νουθετεῖ, καὶ ὅμως δὲν εἰσακούεται, ὁ πολὺς ὅμως ὄχλος, ὁ ἄτακτος καὶ τιποτένιος δὲν χρειάζεται κἂν νὰ μᾶς διατάσσῃ, ἀλλ' ἀρκεῖ μόνον νὰ μᾶς δείξῃ ποῖα πράγματα τοῦ ἀρέσουν καὶ ἀμέσως ὑπακούομεν εἰς ὅλα.

Καὶ πῶς, θὰ ἔλεγε κάποιος, εἶναι δυνατὸν νὰ ἀποφύγῃ κανεὶς αὐτοὺς τοὺς κυρίους; Ἐὰν ἀποκτήσῃ φρόνημα ἀνώτερον ἀπὸ αὐ-

γμάτων ἐπισκέψαιτο φύσιν, εἰ καταγνοίη τῆς τῶν πολλῶν ψήφου, εἰ πρὸ τῶν ἄλλων ἁπάντων ἐν τοῖς ὄντως αἰσχροῖς παιδεύσοι ἑαυτὸν μὴ ἀνθρώπους, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν δεδοικέναι καὶ ἐν τοῖς ἀγαθοῖς πάλιν τοὺς παρ' ἐκείνου στεφάνους ζητεῖν. Οὕτω γὰρ οὐδὲ ἐν τοῖς ἄλλοις αὐτῶν ἀνεξόμεθα. Ὁ γάρ, ἡνίκα ἂν κατορθοῖ μὴ ἀξίους κρίνας ἐκείνους εἰδέναι αὐτοῦ τὰ κατορθώματα, ἀλλ' ἀρκούμενος τῇ τοῦ Θεοῦ ψήφῳ, οὐδὲ ἐν τοῖς ἐναντίοις λόγον αὐτῶν ἕξει τινά.

Καὶ πῶς αὐτὸ τοῦτο ἔσται, φησίν; Ἐννόησον τί μὲν ἄνθρωπος, τί δὲ Θεός, καὶ τίνα ἀφεὶς τίνι προσφεύγεις, καὶ ταχέως διορθώσῃ τὸ πᾶν. Ἄνθρωπος ὑπὸ τὴν αὐτὴν ἁμαρτίαν σοι κεῖται καὶ τὴν κρίσιν καὶ τὴν κόλασιν· ἄνθρωπος ματαιότητι ὡμοιώθη καὶ κρίσιν ὀρθὴν οὐκ ἔχει καὶ δεῖται τῆς ἄνωθεν διορθώσεως· ἄνθρωπος γῆ καὶ σποδός, κἂν ἐπαινέσῃ, πολλάκις ἁπλῶς ἐπαινέσεται ἢ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν· κἂν διαβάλῃ καὶ κατηγορήσῃ, πάλιν ἀπὸ τῆς αὐτῆς τοῦτο ἐργάσεται γνώμης. Ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλ' ἄληπτος ἡ ψῆφος αὐτοῦ καὶ καθαρὰ ἡ κρίσις. Καὶ χρὴ διὰ ταῦτα ἀεὶ πρὸς αὐτὸν καταφεύγειν· οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλ' ὅτι καὶ αὐτός σε ἀγαπᾷ.

Τί τοίνυν ἀφέντες ἔχειν θαυμαστὸν ἐπαινέτην πρὸς ἄνθρωπον καταφεύγομεν, τὸν οὐδέν, τὸν εἰκῇ, τὸν ἁπλῶς; Πονηρόν σε λέγειν καὶ μιαρὸν οὐκ ὄντα τοιοῦτον; Ταύτῃ μᾶλλον αὐτὸν ἐλέησον καὶ δάκρυσον, ὅτι διέφθαρται, καὶ καταφρόνησον αὐτοῦ τῆς δόξης, ὅτι πεπήρωται αὐτοῦ τὰ τῆς διανοίας ὄμματα· ἐπεὶ καὶ οἱ ἀπόστολοι ταῦτα ἤκουσαν καὶ κατεγέλων τῶν διαβαλλόντων. Ἀλλ' ἀγαθόν σε λέγει καὶ χρηστόν; Ἂν μὲν τοιοῦτος ᾖς, μηδόλως χαυνωθῇς ὑπὸ τῆς δόξης· ἂν δὲ μὴ ᾖς τοιοῦτος, πλέον καταφρόνησον καὶ χλευασίαν τὸ πρᾶγμα εἶναι νόμιζε.

Βούλει μαθεῖν τῶν πολλῶν τὰς κρίσεις, πῶς εἰσὶ διεφθαρμέναι καὶ ἄχρηστοι καὶ γέλωτος ἄξιαι, καὶ αἱ μὲν μεμηνότων καὶ ἐξεστηκότων, αἱ δὲ παίδων ὑποτιτθίων;

τούς, ἐὰν ἐξετάσῃ τὴν φύσιν τῶν πραγμάτων, ἐὰν περιφρονήσῃ τὴν γνώμην τῶν πολλῶν, ἐάν, πρὶν ἀπὸ ὅλα τὰ ἄλλα, ἀσκήσῃ τὸν ἑαυτόν του εἰς θέματα ποὺ εἶναι ὄντως αἰσχρὰ νὰ φοβῆται ὄχι τοὺς ἀνθρώπους, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμόν, εἰς θέματα δὲ ἀγαθὰ νὰ ἐπιζητῇ τοὺς στεφάνους ποὺ προέρχονται ἀπὸ ἐκεῖνον. Ἔτσι βεβαίως δὲν θὰ τοὺς ἀνεχθῶμεν οὔτε καὶ εἰς τὰ ἄλλα. Αὐτὸς δηλαδὴ πού, ὅταν κατορθώνῃ κάτι, δὲν κρίνει ἐκείνους ἀξίους νὰ γνωρίσουν τὰ κατορθώματά του, ἀλλ' ἀρκεῖται εἰς τὴν γνώμην τοῦ Θεοῦ, οὔτε καὶ εἰς ἀντιθέτους καταστάσεις θὰ λάβῃ ὑπ' ὄψιν του αὐτούς.

Καὶ πῶς θὰ γίνῃ αὐτό; θὰ ἔλεγε κάποιος. Σκέψου τί εἶναι ὁ ἄνθρωπος, τί ὁ Θεός, ποῖον ἀφήνεις, εἰς ποῖον ἀπευθύνεσαι, καὶ ταχέως θὰ διορθώσῃς τὸ πᾶν. Ὁ ἄνθρωπος ὑπόκειται εἰς τὴν ἰδίαν ἁμαρτίαν μὲ ἐσὲ καὶ εἰς τὴν ἰδίαν κρίσιν καὶ κόλασιν· ὁ ἄνθρωπος ἐξωμοιώθη μὲ τὴν ματαιότητα καὶ δὲν ἔχει ὀρθὴν κρίσιν, συνεπῶς χρειάζεται διόρθωσιν ἀπὸ τὸν Θεόν· ὁ ἄνθρωπος εἶναι χῶμα καὶ στάχτη, καὶ ἂν ἐπαινέσῃ κάποιον, τὸν ἐπαινεῖ πολλάκις ἀπὸ ἐπιπολαιότητα ἢ χαριστικῶς ἢ ἀπὸ ἀπέχθειαν· καὶ ἂν διαβάλῃ καὶ κατηγορήσῃ κάποιον, πάλιν θὰ τὸ κάνῃ κινούμενος ἀπὸ τὰ ἴδια ἐλατήρια. Ὁ Θεὸς ὅμως δὲν εἶναι τέτοιος, ἀλλ' ἡ γνώμη του εἶναι ἀκατάληπτος καὶ ἡ κρίσις του καθαρά, καὶ δι' αὐτὸ πρέπει πάντοτε πρὸς αὐτὸν νὰ καταφεύγῃς· καὶ ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ διότι αὐτὸς σὲ ἐδημιούργησε καὶ σὲ εὐσπλαγχνίζεται περισσότερον ἀπὸ ὅλους καὶ σὲ ἀγαπᾷ περισσότερον καὶ ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν σου.

Διατί λοιπὸν δὲν θέλομεν νὰ ἔχωμεν θαυμαστὸν ἐπαινέτην καὶ καταφεύγομεν εἰς ἄνθρωπον, ποὺ εἶναι τιποτένιος, μάταιος καὶ ἀδύνατος; Σὲ ἀποκαλεῖ πονηρὸν καὶ ἀχρεῖον, ἐνῷ δὲν εἶσαι τέτοιος; Διὰ τοῦτο εὐσπλαχνίσου τον περισσότερον καὶ δάκρυσε, διότι εἶναι χαμένος, καὶ περιφρόνησε τὴν γνώμην του, διότι ἔχουν τυφλωθῆ τὰ ὄμματα τῆς διανοίας του, καθ' ὅσον καὶ οἱ ἀπόστολοι τὰ ἤκουσαν αὐτὰ καὶ ὅμως ἐγέλων περιφρονητικῶς διὰ τοὺς συκοφάντας των. Ἀλλὰ σὲ λέγει ἀγαθὸν καὶ καλόν; Ἂν μὲν εἶσαι τέτοιος, καθόλου νὰ μὴ ἀποχαυνωθῇς ἀπὸ τὴν γνώμην αὐτήν· ἂν ὅμως δὲν εἶσαι τέτοιος, περιφρόνησέ την καὶ θεώρησε τὸ πρᾶγμα χλευασμόν.

Θέλεις νὰ μάθῃς πόσον ἐσφαλμέναι καὶ ἄχρηστοι καὶ ἄξιαι γέλωτος εἶναι αἱ κρίσεις τῶν πολλῶν, ποὺ ἄλλαι μὲν ἀνήκουν εἰς ἀνθρώπους μανιακοὺς καὶ παράφρονας, ἄλλαι δὲ εἰς παιδιά, ποὺ

Ἄκουσον ἄνωθεν. Ἐρῶ δέ σοι κρίσεις οὐχὶ τὰς τοῦ δήμου μόνον, ἀλλὰ καὶ τὰς τῶν δοκούντων εἶναι σοφωτάτων, τῶν ἐξ ἀρχῆς νομοθετῶν. Τίς γὰρ ἂν δόξειε παρὰ τοῖς πολλοῖς σοφώτερος εἶναι τοῦ νομισθέντος ἀξίου πόλεσι καὶ δήμοις νομοθετεῖν; Ἀλλ' ὅμως τοῖς σοφοῖς τούτοις τὸ πορνεύειν οὐδὲν εἶναι δοκεῖ πονηρὸν οὐδὲ κολάσεως ἄξιον. Οὐδεὶς γοῦν τῶν νόμων τῶν ἔξωθεν αὐτὸ ἐκόλασεν, οὐδὲ εἰς δικαστήριον εἵλκυσεν ἐντεῦθεν· ἀλλὰ κἂν ἑλκύσῃ τις ὑπὲρ τούτων, καταγελῶσιν οἱ πολλοὶ καὶ οὐκ ἀνέξεται ὁ δικάζων. Τὸ κυβεύειν πάλιν τῆς παρ' αὐτῶν τιμωρίας ἐστὶν ἐλεύθερον, καὶ οὐδεὶς ὑπὲρ τούτων δίκην ἔδωκέ ποτε παρ' ἐκείνοις. Τὸ μεθύειν καὶ γαστρίζεσθαι οὐ μόνον οὐκ ἔστιν ἔγκλημα, ἀλλὰ καὶ κατόρθωμα παρὰ πολλοῖς εἶναι νενόμισται· καὶ ἐν τοῖς στρατιωτικοῖς δείπνοις πολλὴ ἡ τοῦ πράγματος ἅμιλλα, καὶ οἱ μάλιστα σωφρονούσης διανοίας καὶ σώματος ἐρρωμένου δεόμενοι, οὗτοι μάλιστα τῇ τυραννίδι παραδέδονται τῆς μέθης καὶ τὸ σῶμα παραλύοντες καὶ τὴν ψυχὴν σκοτοῦντες· καὶ τῶν νομοθετῶν οὐδεὶς τοῦτο ἐκόλασε τὸ ἁμάρτημα.

5. Τί ταύτης τῆς μανίας χεῖρον; Τῆς οὖν εὐφημίας τῶν οὕτω διακειμένων ἀνθρώπων ἐπιθυμεῖς, καὶ οὐ κατορύττεις σαυτόν; Εἰ γὰρ καὶ πάντες σε ἐθαύμαζον οἱ τοιοῦτοι, οὐκ ἐχρῆν αἰσχύνεσθαι καὶ ἐγκαλύπτεσθαι παρ' ἀνθρώπων οὕτω διεφθαρμένων τὰς κρίσεις κροτούμενον; Πάλιν βλασφημία τοῖς νομοθέταις οὐδὲν εἶναι δοκεῖ φοβερόν· οὐδεὶς γοῦν τὸν Θεὸν βλασφημήσας εἰς δικαστήριον εἱλκύσθη καὶ δίκην δέδωκεν. Ἀλλ' ἐὰν μέντοι ἱμάτιόν τις κλέψῃ ἢ βαλλάντιον διατέμῃ, καὶ τὰς πλευρὰς διορύττεται καὶ θανάτῳ παραδίδονται πολλάκις, τὸν δὲ Θεὸν βλασφημῶν οὐκ ἐγκαλεῖται παρὰ τῶν ἔξω νομοθετῶν. Κἂν δούλην προσφθείρῃ τις γυναῖκα ἔχων, οὐδὲν εἶναι δοκεῖ τοῖς νόμοις τοῖς ἔξωθεν οὐδὲ τοῖς πολλοῖς.

ἀκόμη θηλάζουν; Ἄκουσε ἀπὸ τὴν ἀρχήν. Θὰ σοῦ ἀναφέρω δὲ κρίσεις ὄχι μόνον τοῦ λαοῦ, ἀλλὰ καὶ τὰς κρίσεις ἐκείνων ποὺ ἐθεωροῦντο σοφώτατοι, τῶν παλαιῶν δηλαδὴ νομοθετῶν. Διότι ποῖος θὰ ἦτο δυνατὸν νὰ θεωρηθῇ ἀπὸ τοὺς πολλοὺς σοφώτερος ἀπὸ ἐκεῖνον, ὁ ὁποῖος ἐθεωρήθη ἄξιος νὰ νομοθετῇ εἰς πόλεις καὶ λαούς; Ἀλλ' ὅμως αὐτοὶ οἱ σοφοὶ ἔχουν τὴν γνώμην ὅτι ἡ πορνεία δὲν εἶναι καθόλου κακὸν οὔτε ἄξιον τιμωρίας. Κανεὶς λοιπὸν ἀπὸ τοὺς νόμους τῶν ἐθνικῶν δὲν ἐτιμώρησεν αὐτὸ οὔτε βάσει αὐτοῦ τοῦ νόμου ἔγινε δίωξις εἰς δικαστήριον· ἀλλὰ καὶ ἂν κάποιος καταφύγῃ εἰς τὸ δικαστήριον δι' αὐτὰς τὰς παρεκτροπάς, ὁ κόσμος τὸν περιγελᾷ καὶ ὁ δικαστὴς δὲν θὰ τὸν ὑποφέρῃ. Ἐπίσης τὸ νὰ παίζῃ κανεὶς κύβους δὲν διώκεται ποινικῶς ἀπὸ αὐτοὺς καὶ κανεὶς ποτὲ δὲν ἐτιμωρήθη ἀπὸ ἐκείνους δι' αὐτὰ τὰ ἐλαττώματα. Ἡ μέθη καὶ ἡ πολυφαγία ὄχι μόνον δὲν ἐπισύρουν κατηγορίαν, ἀλλὰ θεωροῦνται καὶ κατόρθωμα ἀπὸ πολλοὺς καὶ μάλιστα εἰς τὰ στρατιωτικὰ δεῖπνα παρατηρεῖται πολλὴ ἅμιλλα εἰς τὸ θέμα αὐτό, ὅπου ἐκεῖνοι ποὺ πρὸ παντὸς χρειάζονται σωφρονοῦσαν διάνοιαν καὶ ἰσχυρὸν σῶμα αὐτοὶ εἶναι ποὺ κυρίως παραδίδονται εἰς τὴν τυραννίδα τῆς μέθης, καὶ παραλύει τὸ σῶμα των καὶ σκοτίζεται ἡ ψυχή των· καὶ ὅμως κανεὶς ἀπὸ τοὺς νομοθέτας δὲν ἐτιμώρησε τὸ ἁμάρτημα τοῦτο.

5. Τί εἶναι χειρότερον ἀπὸ αὐτὴν τὴν μανίαν; Ἐπιθυμεῖς λοιπὸν τὸν ἔπαινον τῶν ἀνθρώπων, ποὺ ζοῦν κατ' αὐτὸν τὸν τρόπον, καὶ δὲν πηγαίνεις νὰ κρυφθῇς μέσα εἰς τὴν γῆν; Διότι, ἂν σὲ ἐθαύμαζον ἀκόμη καὶ ὅλοι οἱ ἄνθρωποι τοῦ εἴδους αὐτοῦ, δὲν θὰ ἔπρεπε νὰ ἐντρέπεσαι καὶ νὰ καλύπτῃς τὸ πρόσωπόν σου ἀπὸ ἐντροπήν, διότι χειροκροτεῖσαι ἀπὸ ἀνθρώπους μὲ τόσον ἐσφαλμένας κρίσεις; Ἐπίσης ἡ βλασφημία θεωρεῖται ἀπὸ τοὺς νομοθέτας ὅτι δὲν εἶναι καθόλου φοβερόν· κανεὶς ἐπομένως δὲν προσήχθη εἰς δικαστήριον καὶ δὲν ἐτιμωρήθη, ἐπειδὴ ἐβλασφήμησε τὸν Θεόν. Ἀλλ' ὅμως, ἐὰν κάποιος κλέψῃ ἕνα ἔνδυμα ἢ διαρρήξῃ βαλλάντιον, καὶ ξυλοκοπεῖται καὶ πολλάκις παραδίδεται εἰς θάνατον, ἐνῷ ἐὰν βλασφημῇ τὸν Θεὸν δὲν ὑπόκειται εἰς κατηγορίαν ἐκ μέρους τῶν νομοθετῶν τοῦ κόσμου. Καὶ ἂν κάποιος διαφθείρῃ μίαν γυναῖκα δούλην του, κατὰ τοὺς νόμους τοῦ κόσμου καὶ κατὰ τὴν κρίσιν τῶν πολλῶν θεωρεῖται ὅτι δὲν ἔκανε τίποτε κακόν.

Βούλει καὶ ἕτερα πάλιν ἀκοῦσαι δεικνύντα αὐτῶν τὴν ἄνοιαν; ταῦτα μὲν γὰρ οὐ κολάζουσιν, ἕτερα δὲ καὶ νομοθετοῦσιν αὐτοί. Τίνα οὖν εἰσιν ἐκεῖνα; Θέατρα συνάγουσι, καὶ πορνῶν ἐκεῖ γυναικῶν χοροὺς εἰσάγοντες καὶ παῖδας πεπορνευμένους καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνυβρίζοντας καθίζουσι τὸν δῆμον ἄνω πάντα, οὕτω τὴν πόλιν ψυχαγωγοῦντες, οὕτω τοὺς μεγάλους ἐκείνους βασιλέας, οὓς ἀεὶ θαυμάζουσιν, ἐπὶ τροπαίοις καὶ νίκαις στεφανοῦντες. Καίτοιγε τί τῆς τιμῆς ταύτης ψυχρότερον; τί τῆς ἡδονῆς ἐκείνης ἀηδέστερον; Ἐκ τούτων οὖν ἐπαινέτας ζητεῖς τῶν ἔργων τῶν σῶν; καὶ μετὰ ὀρχηστῶν καὶ μαλακῶν καὶ μίμων καὶ πορνῶν γυναικῶν εὐφημίας ἀπολαύειν θέλεις, εἰπέ μοι; Καὶ πῶς οὐκ ἂν εἴη ταῦτα παρανοίας ἐσχάτης; Ἡδέως γὰρ ἂν αὐτοὺς ἐροίμην· δεινὸν τοὺς τῆς φύσεως ἀνατρέπεσθαι νόμους καὶ παρανόμους εἰσάγεσθαι μίξεις; Πάντως ἐροῦσιν, ὅτι δεινόν· δοκοῦσι γοῦν καὶ κολάζειν τὸ ἀνόμημα τοῦτο. Τί οὖν τοὺς ἡταιρηκότας ἐκείνους εἰσάγεις; καὶ οὐκ εἰσάγεις μόνον, ἀλλὰ καὶ τιμᾷς μυρίαις καὶ ἀφάτοις δωρεαῖς; ἀλλαχοῦ τοὺς τὰ τοιαῦτα τολμῶντας κολάζων, ἐνταῦθα δὲ καὶ ὡς εὐεργέταις κοινοῖς τῆς πόλεως καὶ χρήματα ἀναλίσκεις καὶ ἐκ τῶν δημοσίων αὐτοὺς τρέφεις δαπανημάτων.

Ἀλλ' ἄτιμοι, φησίν, εἰσί. Τί οὖν αὐτοὺς παιδοτριβεῖς; τί οὖν διὰ τῶν ἀτίμων τοὺς βασιλέας τιμᾷς; τί δὲ τὰς πόλεις ἐκτραχηλίζεις; τί δὲ εἰς αὐτοὺς τοσαῦτα δαπανᾷς; Εἰ γὰρ ἄτιμοί εἰσιν, ἀπελαύνεσθαι ἐχρῆν τοὺς ἀτίμους. Τίνος γὰρ ἕνεκεν ἀτίμους εἰργάσω; ὡς ἐπαινῶν ἢ ὡς κατεγνωκώς; Δηλονότι ὡς κατεγνωκώς. Εἶτα ὡς μὲν κατεγνωκὼς ἀτίμους ποιεῖς, ὡς δὲ ἐντίμους τρέχεις ὀψόμενος καὶ θαυμάζεις καὶ ἐπαινεῖς καὶ κροτεῖς; Τί δεῖ λέγειν τὰς μαγγανείας τὰς ἐν ταῖς ἱπποδρομίαις; τὰς ἐν ταῖς τῶν θηρίων ἁμίλλαις; πάσης γὰρ καὶ ἐκεῖνα παραπληξίας μεστά· παιδεύειν τὸν δῆμον συνεχῶς ἀνηλεῆ τινα ἔχειν καὶ ὠμὸν καὶ ἀπάνθρωπον τρόπον καὶ γυμνάζει ὁρᾶν ἀνθρώπους σπαραττομένους καὶ αἷμα καταρρέον καὶ θηρίων ὠμότητα πάντα·

Θέλεις νὰ ἀκούσῃς καὶ ἄλλα ποὺ ἀποδεικνύουν τὴν μωρίαν των; Αὐτὰ μὲν δὲν τὰ τιμωροῦν, οἱ ἴδιοι ὅμως μὲ τοὺς νόμους των θεσπίζουν ἄλλα. Ποῖα λοιπὸν εἶναι ἐκεῖνα; Ἱδρύουν θέατρα καὶ ἐκεῖ παρουσιάζοντες χοροὺς πορνῶν γυναικῶν καὶ παιδιὰ διεφθαρμένα, ποὺ προσβάλλουν τὴν φύσιν, καθίζουν εἰς τὸ θέατρον ὅλον τὸν λαὸν καὶ ἔτσι ψυχαγωγοῦν τὴν πόλιν καὶ στεφανώνουν ἔτσι διὰ τρόπαια καὶ νίκας τοὺς μεγάλους ἐκείνους βασιλεῖς, τοὺς ὁποίους πάντοτε θαυμάζουν. Καὶ ὅμως, τί εἶναι ψυχρότερον ἀπὸ αὐτὴν τὴν τιμήν; τί εἶναι ἀηδέστερον ἀπὸ ἐκείνην τὴν ἡδονήν; Μεταξὺ αὐτῶν λοιπὸν ἐπιζητεῖς ἀνθρώπους, οἱ ὁποῖοι θὰ ἐπαινέσουν τὰ ἔργα σου; καὶ θέλεις, εἰπέ μου, νὰ ἀπολαύῃς ἐπαίνων μαζὶ μὲ χορευτὰς καὶ κιναίδους καὶ μίμους καὶ πόρνας γυναῖκας; Καὶ πῶς δὲν θὰ ἦσαν αὐτὰ ἀποδείξεις τῆς χειροτέρας παραφροσύνης; Εὐχαρίστως λοιπὸν θὰ τοὺς ἠρώτων· Εἶναι φοβερὸν νὰ ἀνατρέπωνται οἱ νόμοι τῆς φύσεως καὶ νὰ εἰσάγωνται παράνομοι σχέσεις; Ὁπωσδήποτε θὰ μοῦ ἀπαντήσουν ὅτι εἶναι φοβερόν· νομίζουν βεβαίως ὅτι καὶ τὸ ἀνόμημα τοῦτο τὸ τιμωροῦν. Διατί λοιπὸν παρουσιάζεις τοὺς διεφθαρμένους ἐκείνους; καὶ ὄχι μόνον τοὺς παρουσιάζεις, ἀλλὰ καὶ τοὺς τιμᾷς μὲ μυρίας καὶ ἀπεριγράπτους δωρεάς; εἰς ἄλλας περιπτώσεις ἐκείνους ποὺ τολμοῦν τέτοια πράγματα τοὺς τιμωρεῖς, ἐδῶ (εἰς τὰ θέατρα) ὅμως καὶ χρήματα δαπανᾷς πρὸς χάριν των ὡσὰν νὰ ἦσαν κοινοὶ εὐεργέται τῆς πόλεως καὶ ἐκ τῶν δημοσίων δαπανῶν τοὺς τρέφεις.

Ἀλλά, θὰ ἔλεγε κάποιος, εἶναι ἄτιμοι. Διατί λοιπὸν ἐκπαιδεύεις αὐτούς; διατί τιμᾷς τοὺς βασιλεῖς διὰ τῶν ἀτίμων; καὶ διατί καταστρέφεις τὰς πόλεις; διατί δαπανᾷς τόσα πολλὰ χρήματα δι' αὐτούς; διότι, ἐὰν εἶναι ἄτιμοι, ἔπρεπεν οἱ ἄτιμοι νὰ ἐκδιώκωνται. Καὶ διὰ ποῖον λόγον τοὺς ἀπεκάλεσες ἀτίμους, ἐπαινῶν ἢ κατηγορῶν αὐτούς; Εἶναι φανερὸν ὅτι κατηγορῶν αὐτούς. Ἑπομένως τοὺς ἀποκαλεῖς ἀτίμους, ὅταν τοὺς κατηγορεῖς, τρέχεις ὅμως, διὰ νὰ τοὺς ἴδῃς ὡς ἐντίμους, καὶ τοὺς θαυμάζεις καὶ τοὺς ἐπαινεῖς καὶ τοὺς χειροκροτεῖς; Τί χρειάζεται νὰ ἀναφέρω τὰς μαγείας εἰς τὰς ἱπποδρομίας καὶ τὰς θηριομαχίας; διότι καὶ ἐκεῖνα εἶναι μεστὰ πάσης παραφροσύνης· κάνουν τὸν λαὸν συνεχῶς νὰ ἔχῃ χαρακτῆρα ἄσπλαχνον καὶ σκληρὸν καὶ ἀπάνθρωπον καὶ τὸν συνηθίζουν νὰ βλέπῃ τοὺς ἀνθρώπους νὰ σπαράσσωνται καὶ τὸ αἷμα νὰ τρέχῃ καὶ

συγχέουσαν. Καὶ ταῦτα πάντα οἱ σοφοὶ νομοθέται ἐξ ἀρχῆς ἐπεισήγαγον τὰ νοσήματα καὶ κροτοῦσιν αἱ πόλεις καὶ θαυμάζουσιν.

Ἀλλ', εἰ βούλει, ταῦτα ἀφέντες, ἃ φανερῶς μὲν καὶ ὡμολογημένως ἐστὶν ἄτοπα, τοῖς δὲ ἔξωθεν νομοθέταις οὐκ ἔδοξεν, ἐπὶ τὰ σεμνὰ προστάγματα ἔλθωμεν, καὶ ὄψει καὶ ταῦτα ἀπὸ τῆς τῶν πολλῶν δόξης διεφθαρμένα. Ὁ γὰρ γάμος πρᾶγμα τίμιον εἶναι δοκεῖ καὶ ἡμῖν καὶ τοῖς ἔξωθεν· καὶ ἔστι τίμιον· ἀλλὰ γάμων τελουμένων τοσαῦτα καταγέλαστα γίνεται πράγματα, ὅσα αὐτίκα ἀκούεσθε. Ὑπὸ γὰρ τῆς συνηθείας οἱ πολλοὶ κατεχόμενοι καὶ παραλογιζόμενοι οὐδὲ διαγινώσκουσιν αὐτῶν τὸ ἄτοπον, ἀλλ' ἑτέρων δέονται τῶν διδασκόντων. Καὶ γὰρ χορεῖαι καὶ κύμβαλα καὶ αὐλοὶ καὶ ῥήματα καὶ ᾄσματα αἰσχρὰ καὶ μέθαι καὶ κῶμοι καὶ πολὺς ὁ τοῦ διαβόλου τότε ἐπεισάγεται φορυτός. Καὶ οἶδα μὲν ὅτι δόξω καταγέλαστος εἶναι τούτων ἐπιλαμβανόμενος καὶ πολλὴν ὀφλήσω παρὰ τοῖς πολλοῖς ἄνοιαν τοὺς παλαιοὺς νόμους μετακινῶν· ὅπερ γὰρ ἔφθην εἰπών, πολὺς τῆς συνηθείας ὁ παραλογισμός, ἀλλ' ὅμως οὐ παύσομαι ταῦτα λέγων. Ἴσως γάρ, ἴσως, κἂν μὴ πάντες, ἀλλ' ὀλίγοι τινὲς ἡμᾶς ἀποδέξονται καὶ αἱρήσονται καταγελᾶσθαι μεθ' ἡμῶν ἢ γελᾶν ἡμᾶς μετ' ἐκείνων γέλωτα δακρύων ἄξιον καὶ πολλῆς κολάσεως καὶ τιμωρίας.

Πῶς γὰρ οὐκ ἂν εἴη τῆς ἐσχάτης καταγνώσεως ἄξιον παρθένον θαλαμευθεῖσαν διόλου καὶ μαθοῦσαν αἰδεῖσθαι ἀπὸ τῆς πρώτης ἡλικίας ἀθρόον ἀναγκάζειν ἅπασαν ἐκχεῖν τὴν αἰδῶ καὶ ἐκ προοιμίων τοῦ γάμου τὴν ἀναισχυντίαν παιδεύειν καὶ ἀσελγέσι καὶ ἀσέμνοις ἀνδράσι καὶ πόρνοις καὶ μαλακοῖς ἐν μέσον αὐτὴν προτιθέναι; Ποῖον γὰρ οὐ φυτευθήσεται τῇ νύμφῃ κακὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης; Ἀναισχυντία, ἰταμότης, ἀναίδεια, δόξης ἔρως ἀτόπου· καὶ γὰρ ἐθελήσουσι τὰς ἡμέρας δὴ πάσας τοιαύτας ἔχειν. Ἐντεῦθεν πολυτελεῖς αἱ γυναῖκες γίνονται καὶ δαπανηραί, ἐντεῦθεν ἀναιδεῖς, ἐντεῦθεν αὐταῖς τὰ μυρία κακά. Καὶ μή μοι λέγε τὴν συνήθειαν. Εἰ μὲν γὰρ πονηρόν, μηδὲ ἅπαξ

τῶν θηρίων τὴν ὠμότητα, ποὺ φέρει γενικὴν σύγχυσιν. Καὶ ὅλα αὐτὰ τὰ νοσήματα οἱ σοφοὶ νομοθέται ἐξ ἀρχῆς τὰ καθιέρωσαν καὶ αἱ πόλεις τὰ χειροκροτοῦν καὶ τὰ θαυμάζουν.

Ἀλλ' ἐὰν θέλῃς, ἀφοῦ ἀφήσωμεν αὐτά, τὰ ὁποῖα φανερῶς καὶ ὁμολογουμένως εἶναι ἀπρεπῆ, ἂς ἔλθωμεν εἰς τὰ σεμνὰ προστάγματα, καὶ θὰ ἴδῃς ὅτι καὶ αὐτὰ ἔχουν διαφθαρῆ ἀπὸ τὴν γνώμην τῶν πολλῶν. Ὁ γάμος π.χ. θεωρεῖται πολύτιμον πρᾶγμα καὶ ἀπὸ ἡμᾶς καὶ ἀπὸ τοὺς ἐθνικούς, καὶ εἶναι πολύτιμον· ἀλλά, ὅταν τελοῦνται γάμοι, γίνονται τόσον πολλὰ καταγέλαστα πράγματα, ὅσα θὰ ἀκούσητε εὐθὺς ἀμέσως. Πολλοὶ δηλαδὴ κυριευμένοι ἀπὸ τὴν συνήθειαν καὶ παραλογιζόμενοι οὔτε κἂν ἀντιλαμβάνονται τὸ ἀνάρμοστον τῆς συμπεριφορᾶς των, ἀλλὰ χρειάζονται ἄλλους νὰ τοὺς τὸ ὑποδείξουν. Συγκεκριμένως, τότε συμβαίνουν χοροὶ καὶ παίζουν κύμβαλα καὶ αὐλοὶ καὶ ἀκούονται λόγια καὶ τραγούδια αἰσχρὰ καὶ συμβαίνουν μέθαι καὶ θορυβώδεις διασκεδάσεις καὶ πολλαὶ διαβολικαὶ παρεκτροπαί. Καὶ γνωρίζω μὲν ὅτι θὰ φανῶ καταγέλαστος, ἐπειδὴ ἀναφέρω αὐτὰ καὶ θὰ θεωρηθῶ ἀπὸ πολλοὺς ἀνόητος, διότι προσπαθῶ νὰ ἀλλάξω τοὺς παλαιοὺς νόμους· ὅπως εἶπα πραηγουμένως, ὑπάρχει πολὺς παραλογισμὸς εἰς τὴν συνήθειαν, ἀλλ ὅμως δὲν θὰ παύσω νὰ τὰ λέγω αὐτά, διότι ἴσως, ἂν ὄχι ὅλοι, ὀλίγοι ἴσως θὰ μᾶς ἀκούσουν καὶ θὰ προτιμήσουν νὰ περιγελοῦν μαζί μας παρὰ νὰ μελοῦν μαζὶ μὲ ἐκείνους εἰς βάρος μας γέλωτα, ποὺ ἀξίζει διὰ δάκρυα καὶ πολλὴν κόλασιν καὶ τιμωρίαν.

Μίαν παρθένον δηλαδή, ἡ ὁποία ἔζησε συνεχῶς ἐντὸς τῆς οἰκίας της καὶ ἔμαθε ἀπὸ τὴν πρώτην της ἡλικίαν νὰ εἶναι συνεσταλμένη, τὸ νὰ τὴν ἀναγκάζουν διὰ μιᾶς νὰ ἀποβάλῃ τὴν ἐντροπὴν καὶ νὰ γίνῃ ἀναίσχυντος τὰς παραμονὰς τοῦ γάμου της καὶ τὸ νὰ τὴν θέτουν ἐνώπιον ὅλων εἰς τὸ μέσον μὲ ἀνηθίκους καὶ ἀσέμνους ἄνδρας καὶ πόρνους καὶ διεστραμμένους, αὐτὸ δὲν θὰ ἦτο ἄξιον τῆς χειροτέρας περιφρονήσεως; Ποίαν λοιπὸν κακίαν δὲν θὰ ἀποκτήσῃ ἡ νύμφη ἀπὸ τὴν ἡμέραν ἐκείνην; Ἀναισχυντία, θρασύτης, ἀναίδεια, πόθος διὰ ἀπρεπῆ δόξαν· διότι θὰ θελήσῃ ὅλαι αἱ ἡμέραι της νὰ εἶναι τέτοιαι. Δι' αὐτὸ αἱ γυναῖκες γίνονται πολυτελεῖς καὶ δαπανηραί, δι' αὐτὸ γίνονται ἀναιδεῖς, δι' αὐτὸ τὰς εὑρίσκουν τὰ μύρια κακά. Καὶ μὴ μοῦ φέρῃς ὡς δικαιολογίαν τὴν συνήθειαν. Διότι, ἐὰν μὲν εἶναι κάτι κακόν, οὔτε μίαν φορὰν νὰ μὴ

γινέσθω· εἰ δὲ ἀγαθόν, ἀεὶ γινέσθω. Εἰπὲ γάρ μοι, τὸ πορνεύειν οὐ πονηρόν; Ἆρα οὖν συγχωρήσομεν κἂν ἅπαξ τοῦτο γενέσθαι; Οὐδαμῶς. Διὰ τί; Ὅτι κἂν ἅπαξ γένηται, πονηρόν ἐστιν ὁμοίως. Ὥστε καὶ τὸ φαιδρύνεσθαι τὴν νύμφην οὕτως, εἰ μὲν ἔστι πονηρόν, μηδὲ ἅπαξ γινέσθω· εἰ δὲ οὐ πονηρόν, καὶ ἀεὶ γινέσθω.

6. Τί οὖν, φησί, διαβάλλεις τὸν γάμον, εἰπέ μοι; Μὴ γένοιτο· οὐχ οὕτω μαίνομαι· ἀλλὰ τὰ κακῶς ἐπισυρόμενα τῷ γάμῳ, τὰ ἐπιτρίμματα, τὰς ὑπογραφάς, τὴν ἄλλην περιεργίαν ἅπασαν. Καὶ γὰρ πολλοὺς ἀπὸ τῆς ἡμέρας ἐκείνης λήψεται ἐραστὰς καὶ πρὸ τοῦ μέλλοντος αὐτῇ συνοικεῖν. Ἀλλὰ πολλοὶ θαυμάσονται τὴν γυναῖκα τῆς ὥρας. Καὶ τί τοῦτο; Ἂν μὲν γὰρ σώφρων ᾖ, μόλις διαφεύξεται τὴν πονηρὰν ὑποψίαν· εἰ δὲ ἠμελημένη, ταχέως καὶ ἁλώσεται ἀφορμὴν ἀσελγείας λαβοῦσα τὴν ἡμέραν ἐκείνην. Ἀλλ' ὅμως τοσούτων ὄντων κακῶν, ὅταν μὴ ταῦτα γίνηται, ὕβριν τὸ πρᾶγμα καλοῦσιν οἱ βοσκημάτων οὐδὲν ἀμείνους καὶ δεινὸ ποιοῦνται τὸ μὴ πολλοῖς φαίνεσθαι τὴν γυναῖκα μηδὲ προκεῖσθαι θέατρον κοινὸν τοῖς ὁρῶσι. Καίτοιγε ὕβριν ἐχρῆν νομίζειν τὰ γινόμενα καὶ γέλωτα καὶ κωμῳδίαν. Ἐπεὶ καὶ νῦν οἶδα ὅτι πολλὴν ἄνοιαν ἡμῶν καταγνώσονται· ἀλλ' οἴσω τὸν γέλωτα, ὅταν τι γένηται κέρδος. Καὶ γὰρ ἂν εἴην καταγέλαστος, εἰ παραινῶν τῆς τῶν πολλῶν δόξης καταφρονεῖν αὐτὸς πρὸ τῶν ἄλλων χειρωθείην τῷ πάθει.

Ἰδὲ τὰ ἐντεῦθεν λοιπόν· οὐκ ἐν ἡμέρᾳ μόνον, ἀλλὰ καὶ ἐν ἑσπέρᾳ μεθύοντας ἄνδρας καὶ κεκαρωμένους καὶ πεπυρωμένους ὑπὸ τῆς τρυφῆς εἰς κάλλος ὄψεως ὁρᾶν παρασκευάζουσι παρθενικῆς. Καὶ οὐδὲ ἐπὶ τῆς οἰκίας, ἀλλὰ καὶ διὰ τῆς ἀγορᾶς εἰς ἐπίδειξιν ἐκπομπεύουσι μετὰ λαμπάδων αὐτὴν παραπέμποντες ἐν ἑσπέρᾳ βαθείᾳ, ὡς πᾶσιν αὐτὴν ἐπιδείκνυσθαι, δι' ὧν ποιοῦσιν οὐδὲν ἕτερον παραινοῦντες ἢ ὅτι πᾶσαν ἀποδύσασθαι χρὴ λοιπὸν τὴν αἰδῶ. Καὶ οὐδὲ μέχρι τούτων ἵστανται, ἀλλὰ μετὰ αἰ-

γίνεται· ἐὰν δὲ εἶναι ἀγαθόν, νὰ γίνεται πάντοτε. Εἰπέ μου λοιπόν· ἡ πορνεία δὲν εἶναι κακόν; Ἆρά γε θὰ τὸ συγχωρήσωμεν, ἂν τοῦτο γίνῃ μίαν φοράν; Καθόλου. Διατί; Διότι καὶ ἂν ἀκόμη γίνῃ μίαν φοράν, εἶναι ἐξ ἴσου κακόν. Ὥστε καὶ τὸ νὰ διασκεδάζῃ ἔτσι ἡ νύμφη, ἐὰν μὲν εἶναι πονηρόν, ἂς μὴ γίνεται οὔτε διὰ μίαν φοράν· ἐὰν ὅμως δὲν εἶναι πονηρόν, ἂς γίνεται καὶ πάντοτε.

6. Διατί λοιπόν, θὰ ἔλεγε κάποιος, κατηγορεῖς τὸν γάμον, εἰπέ μου; ποτὲ κάτι τέτοιο· δὲν εἶμαι τόσον παράφρων· ἀλλὰ κατηγορῶ τὰς κακὰς συνηθείας, ποὺ ἔχουν σχέσιν μὲ τὸν γάμον, τὰ ψιμύθια καὶ τὰς βαφὰς τοῦ προσώπου, ὅλα τὰ ἄλλα ἀνωφελῆ πράγματα· διότι πράγματι ἀπὸ τὴν ἡμέραν ἐκείνην (ἡ νύμφη) θὰ ἀποκτήσῃ πολλοὺς ἐραστάς, καὶ μάλιστα πρὸ τοῦ μέλλοντος συζύγου της. Πολλοὶ θὰ θαυμάσουν τὴν γυναῖκα, ἡ ὁποία πρόκειται τότε νὰ νυμφευθῇ. Τί σημαίνει τοῦτο; Ἂν μὲν εἶναι σώφρων, μὲ δυσκολίαν θὰ διαφύγῃ τὴν πονηρὰν ὑποψίαν· ἐὰν ὅμως εἶναι ἀπρόσεκτη, ταχέως θὰ ὑποκύψῃ, καὶ θὰ ἔχῃ κάνει ἐκείνην τὴν ἡμέραν τὴν ἀρχὴν τῆς ἀκολασίας της. Ἀλλ' ὅμως, ἐνῷ ὑπάρχουν τόσοι κίνδυνοι, ἐκεῖνοι ποὺ δὲν εἶναι καθόλου καλύτεροι ἀπὸ τὰ ζῶα, τὸ ὀνομάζουν ὕβριν, ὅταν δὲν γίνωνται αὐτά, καὶ τὸ θεωροῦν φοβερὸν τὸ νὰ μὴ βλέπουν πολλοὶ τὴν γυναῖκα καὶ τὸ νὰ μὴ γίνεται αὐτὴ θέατρον κοινὸν ἐνώπιον αὐτῶν, ποὺ τὴν βλέπουν. Καὶ ὅμως θὰ ἔπρεπε τὰ συμβαίνοντα ἐκεῖ νὰ τὰ θεωροῦν ὕβριν καὶ γέλωτα καὶ κωμωδίαν. Καὶ γνωρίζω ὅτι τώρα θὰ μᾶς κατηγορήσουν διὰ μωρίαν, ἀλλὰ θὰ ἀνεχθῶ νὰ μὲ περιγελάσουν, ἐφ' ὅσον προέλθῃ κάποιο κέρδος· διότι πράγματι θὰ ἤμουν καταγέλαστος, ἐάν, ἐνῷ προτρέπω τοὺς ἄλλους νὰ καταφρονοῦν τὴν γνώμην τῶν πολλῶν, ὁ ἴδιος καταληφθῶ ἀπὸ τὸ πάθος πρὸ τῶν ἄλλων.

Κοίταξε λοιπὸν τὰ ἐπακόλουθα· ὄχι μόνον κατὰ τὴν διάρκειαν τῆς ἡμέρας, ἀλλὰ καὶ κατὰ τὴν ἑσπέρα ἄνδρας μεθυσμένους, ναρκωμένους καὶ πυρπολημένους ἀπὸ τὴν φιληδονίαν τοὺς ὑποβοηθοῦν νὰ βλέπουν τὸ κάλλος τοῦ παρθενικοῦ προσώπου. Καὶ ὄχι μόνον εἰς τὴν οἰκίαν, ἀλλὰ καὶ διὰ μέσου τῆς ἀγορᾶς τὴν περιφέρουν ἐν πομπῇ καὶ τὴν ἐπιδεικνύουν καὶ τὴν συνοδεύουν μὲ λαμπάδας μέχρι ἀργὰ τὴν νύκτα, ὥστε νὰ τὴν ἴδουν ὅλοι· καὶ αὐτὰ τὰ κάμνουν χωρὶς κανένα ἄλλο σκοπὸν παρὰ διότι πρέπει νὰ ἀποβάλῃ ὅλην τὴν αἰδῶ. Καὶ δὲν σταματοῦν εἰς αὐτά, ἀλλὰ τὴν περιφέρουν μὲ αἰσχρὰ

σχρῶν ῥημάτων αὐτὴν ἄγουσι· καὶ τοῦτο νόμος ἐστὶ παρὰ τοῖς πολλοῖς. Καὶ δραπέται καὶ μαστιγίαι μυρίοι τινὲς καὶ ὀλέθριοι μετὰ ἀδείας λοιπὸν ἅπαντα φθέγγονται, ἅπερ ἂν βούλωνται, εἴς τε ἐκείνην εἴς τε τὸν ἐκείνῃ συνοικεῖν μέλλοντα· καὶ σεμνὸν μὲν οὐδέν, πάντα δὲ αἰσχρὰ καὶ ἀσχημοσύνης γέμοντα. Καλήν γε δὴ ἕξει διδασκαλίαν σωφροσύνης ἡ νύμφη τοιαῦτα μὲν ὁρῶσα, τοιαῦτα δὲ ἀκούουσα. Καὶ ἅμιλλά τίς ἐστι διαβολικὴ τῶν τὰ τοιαῦτα παραινούντων ὑπερβαλέσθαι θατέρους τῇ τῶν ὀνειδῶν καὶ τῇ τῶν αἰσχρῶν ῥημάτων φιλοτιμίᾳ, δι' ὧν καταισχύνουσι τοὺς συνιόντας· κἀκεῖνοι νικήσαντες ἀπῆλθον, ὅσοι πλείονα τὰ ὀνείδη καὶ μείζονα τὰ αἰσχρά θατέρων τῶν συνιόντων προσέρριψαν.

Καὶ οἶδα μὲν ὅτι φορτικός τίς εἰμι καὶ ἐπαχθὴς καὶ δύσκολος ὡς ἡδονήν τινα περικόπτων τοῦ βίου. Διὰ γὰρ τοῦτο πενθῶ, ὅτι τὰ ἀηδῆ ἡδονή τις εἶναι νενόμισται. Πῶς γὰρ οὐκ ἀηδές, εἰπέ μοι, τὸ ὑβρίζεσθαι καὶ λοιδορεῖσθαι, τὸ παρὰ πάντων ἀτιμάζεσθαι μετὰ τῆς νύμφης; Κἂν μὲν εἷς τις τῆς ἀγορᾶς τὴν συνοικοῦσαν εἴπῃ κακῶς, μυρία κινεῖς πράγματα καὶ ἀβίωτον εἶναι τὸν βίον νομίζεις· τῆς δὲ πόλεως παρούσης ἁπάσης ἀσχημονῶν μετὰ τῆς συνοικεῖν μελλούσης χαίρεις καὶ καλλωπίζῃ; καὶ πόσης ταῦτα μανίας; Ἀλλὰ συνήθεια τὸ πρᾶγμά ἐστι, φησί. Διὰ γὰρ τοῦτο θρηνεῖν μάλιστα ἄξιον, ὅτι ἐν συνηθείᾳ τὸ πρᾶγμα κατέκλεισεν ὁ διάβολος. Ἐπειδὴ γὰρ ὁ γάμος πρᾶγμά ἐστι σεμνὸν καὶ τὸ γένος ἡμῶν συγκροτοῦν καὶ πολλῶν αἴτιον ἀγαθῶν, δακνόμενος ὁ πονηρὸς δαίμων ἐκεῖνος καὶ εἰδὼς ὅτι κατὰ τῆς πορνείας ἐπιτετείχισται, ἑτέρως πορνείαν ἐπεισάγει πᾶσαν. Πολλαὶ γοῦν ἐν ταῖς τοιαύταις συνόδοις καὶ κατῃσχύνθησαν παρθένοι· εἰ δὲ μὴ πανταχοῦ, ἀλλ' ἀρκεῖ τῷ δαίμονι τέως ἐκεῖνα τὰ ῥήματα καὶ τὰ ᾄσματα ἐκεῖνα τὰ πονηρὰ καὶ παραδειγματίσαι τὴν νύμφην καὶ ἐκπομπεῦσαι τὸν νυμφίον διὰ τῆς ἀγορᾶς.

Εἶτα ἐπειδήπερ ἐν ἑσπέρᾳ ταῦτα γίνεται, ἵνα μηδὲ τὸ σκότος παραπέτασμα ᾖ τῶν κακῶν τούτων, ἐπεισάγονται λαμπάδες πολλαὶ οὐκ ἐῶσαι λανθάνειν τὴν ἀσχημοσύνην.

λόγια· τοῦτο εἶναι νόμος εἰς τοὺς πολλούς. Καὶ ἔτσι δραπέται καὶ ἄπειροι ἐλεεινοὶ καὶ τιποτένιοι λέγουν ἐν συνεχείᾳ χωρὶς φόβον ὅλα, ὅσα θέλουν, καὶ πρὸς ἐκείνην καὶ πρὸς τὸν μέλλοντα σύζυγόν της· ἐκεῖ τίποτε δὲν ὑπάρχει σεμνόν, ἀλλὰ ὅλα εἶναι αἰσχρὰ καὶ γεμᾶτα μὲ ἀσχημοσύνην. Θὰ λάβῃ ὁπωσδήποτε καλὸν μάθημα σωφροσύνης ἡ νύμφη, ἐφ' ὅσον βλέπει καὶ ἀκούει τέτοια! Καὶ ὑπάρχει μία ἅμιλλα διαβολικὴ μεταξὺ ἐκείνων ποὺ προτρέπουν εἰς τέτοια νὰ ὑπερβάλῃ ὁ ἕνας τὸν ἄλλον εἰς τὴν ἐπίδοσιν εἰς τὰ ἀνήθικα καὶ αἰσχρὰ λόγια, μὲ τὰ ὁποῖα κατεντροπιάζουν τοὺς μελλονύμφους· καὶ φεύγουν νικηταὶ ἐκεῖνοι, οἱ ὁποῖοι ἔρριψαν καὶ εἰς τοὺς δύο μελλονύμφους τὰ πλέον ἀνήθικα καὶ τὰ πλέον αἰσχρὰ λόγια.

Καὶ γνωρίζω μὲν ὅτι εἶμαι ἀρκετὰ φορτικὸς καὶ ἐνοχλητικὸς καὶ δύσκολος, διότι ἀπορρίπτω μίαν ἡδονὴν τοῦ βίου. Καὶ ἀκριβῶς διὰ τοῦτο πενθῶ, διότι τὰ ἀηδιαστικὰ θεωροῦνται ἡδονή. Πῶς δηλαδὴ δὲν εἶναι ἀηδιαστικόν, εἰπέ μου, τὸ νὰ ὑβρίζεσαι, νὰ περιγελᾶσαι καὶ νὰ ἀτιμάζεσαι ἀπὸ ὅλους μαζὶ μὲ τὴν νύμφην; Καὶ ἂν μὲν ἕνας τῆς ἀγορᾶς προσβάλῃ τὴν σύζυγόν σου, κινεῖς τὰ πάντα καὶ νομίζεις ὅτι ὁ βίος σου πλέον εἶναι ἀβίωτος· ὅταν ὅμως παρουσίᾳ ὅλης τῆς πόλεως ἀσχημονῇ μὲ τὴν μέλλουσαν σύζυγόν σου, χαίρεσαι καὶ καμαρώνεις; πόσην παραφροσύνην δεικνύει τοῦτο; Ἀλλὰ λέγεις ὅτι τὸ πρᾶγμα εἶναι συνήθεια. Καὶ ἀκριβῶς διὰ τοῦτο ἀξίζει πάρα πολὺ νὰ θρηνῶμεν, διότι ὁ διάβολος περιέβαλε τὸ πρᾶγμα μὲ τὸ κάλυμμα τῆς συνηθείας. Ἐπειδὴ δηλαδὴ ὁ γάμος εἶναι πρᾶγμα σεμνόν, ποὺ διαιωνίζει τὸ γένος μας καὶ εἶναι ἡ αἰτία πολλῶν ἀγαθῶν, ὁ πονηρὸς ἐκεῖνος δαίμων, ἐπειδὴ ζημιοῦται καὶ γνωρίζει ὅτι ὁ γάμος εἶναι τεῖχος ἰσχυρὸν κατὰ τῆς πορνείας, εἰσάγει ὅλην τὴν πορνείαν μὲ ἄλλον τρόπον. Ὡς γνωστόν, πολλαὶ παρθένοι εἰς τὰς τοιαύτας συγκεντρώσεις ἀκόμη καὶ ἀτιμάζονται· καὶ ἂν τοῦτο δὲν συμβαίνῃ παντοῦ, ἀρκοῦν πάντως διὰ τὸν δαίμονα ἐκεῖνα τὰ λόγια καὶ τὰ πονηρὰ ἐκεῖνα ᾄσματα ἐντὸς ὀλίγου νὰ δώσουν ὑπόδειγμα ζωῆς εἰς τὴν νύμφην καὶ νὰ διαπομπεύουν τὸν νυμφίον διὰ τῆς ἀγορᾶς.

Ἔπειτα, ἐπειδή, ὡς γνωστόν, αὐτὰ συμβαίνουν τὴν ἑσπέραν, διὰ νὰ μὴ ἐμποδίζῃ τὸ σκότος νὰ φαίνωνται αὐτὰ τὰ κακά, χρησιμοποιοῦνται πολλαὶ λαμπάδες, αἱ ὁποῖαι δὲν ἀφήνουν κρυφὴν τὴν

Τί γὰρ ὁ πολὺς ὄχλος βούλεται; τί δὲ ἡ μέθη; τί δὲ αἱ σύριγγες; οὐκ εὔδηλον ὅτι ἵνα μηδὲ οἱ ἐν ταῖς οἰκίαις ὄντες καὶ βαπτιζόμενοι ὕπνῳ βαθεῖ ταῦτα ἀγνοῶσιν, ἀλλ' ὑπὸ τῆς σύριγγος διεγειρόμενοι καὶ ἄνωθεν ἀπὸ τῶν δρυφάκτων κατακύπτοντες μάρτυρες γένωνται τῆς κωμῳδίας ἐκείνης; Τί ἄν τις εἴποι τὰς ᾠδὰς αὐτάς, αἳ πάσης γέμουσιν ἀκολασίας ἔρωτας ἀτόπους καὶ μίξεις παρανόμους καὶ οἰκιῶν ἀνατροπὰς καὶ μυρίας ἐπεισάγουσαι τραγῳδίας καὶ πολὺ τὸ τοῦ φίλου καὶ ἐρῶντος ὄνομα ἔχουσαι καὶ τὸ τῆς φίλης καὶ ἐρωμένης; Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ παρθένοι παραγίνονται τούτοις πᾶσαν ἀποδυσάμεναι τὴν αἰδῶ εἰς τὴν τῆς νυμφευομένης τιμήν, μᾶλλον δὲ ὕβριν, καὶ τὴν ἑαυτῶν προπίνουσαι σωτηρίαν καὶ μεταξὺ νέων ἀκολάστων ἀσχημονοῦσαι τοῖς ἀτάκτοις ᾄσμασι, τοῖς αἰσχροῖς ῥήμασι, τῇ σατανικῇ συμφωνίᾳ. Ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, πόθεν μοιχεῖαι; πόθεν πορνεῖαι; πόθεν διαφθοραὶ γάμων;

Ἀλλ' οὐκ εὐγενεῖς οὐδὲ εὐσχήμονες ταῦτα πράττουσι, φησί. Πῶς οὖν ἐμοῦ καταγελᾷς αὐτὸς πρὸ ἐμοῦ τὸν νόμον τοῦτον εἰδώς; Εἰ γὰρ καλὰ τὰ γινόμενα, ἔασον κἀκείνας ταῦτα ποιεῖν. Μὴ γάρ, ἐπειδὴ πενίᾳ συζῶσιν αὗται, οὐχὶ καὶ αὐταὶ παρθένοι εἰσὶ καὶ σωφροσύνης ἐπιμελεῖσθαι καὶ αὐτὰς χρή; Νῦν δὲ ὀρχεῖται παρθένος ἐν κοινῷ θεάτρῳ νέων ἀκολάστων, εἰπέ μοι, καὶ οὐ δοκεῖ σοι τῆς πόρνης εἶναι ἀτιμοτέρα; Εἰ δὲ λέγεις ὅτι θεραπαινίδες ταῦτα ἐργάζονται, οὐδὲ οὕτως ἀφίημί σε τῆς κατηγορίας· οὐδὲ γὰρ ταύταις ἐπιτετράφθαι ἐχρῆν.

7. Ἀπὸ γὰρ τούτων πάντα τίκτεται τὰ κακά, ὅτι τῆς οἰκετίας οὐδένα ποιούμεθα λόγον· ἀλλ' ἀρκεῖ εἰς καταφρόνησιν τὸ εἰπεῖν ὅτι δοῦλός ἐστι καὶ θεραπαινίδες· καίτοιγε καθ' ἑκάστην ἡμέραν ἀκούοντες ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος. Σὺ δὲ ἵππου μὲν οὐ καταφρονεῖς οὐδὲ ὄνου, ἀλλὰ πάντα ποιεῖς, ὥστε μὴ γενέσθαι

---

11. Γαλ. 3,28.

ἀσχημοσύνην. Τί θέλει λοιπὸν ὁ πολὺς ὄχλος; διατί γίνεται ἡ μέθη; καὶ διατί ἠχοῦν οἱ αὐλοί; δὲν εἶναι ὁλοφάνερον ὅτι γίνονται ὅλα αὐτά, διὰ νὰ μὴ τὸ ἀγνοοῦν ἀκόμη καὶ ἐκεῖνοι, οἱ ὁποῖοι εὑρίσκονται μέσα εἰς τὰς οἰκίας των καὶ εἶναι βυθισμένοι εἰς βαθὺν ὕπνον, ἀλλά, ἀφοῦ τοὺς ἀφυπνίσῃ ὁ αὐλὸς καὶ σκύψουν ἀπὸ ἐπάνω ἀπὸ τὸ κιγκλίδωμα τοῦ παραθύρου νὰ γίνουν μάρτυρες ἐκείνης τῆς κωμῳδίας; Πῶς θὰ ἠμποροῦσε κανεὶς νὰ ὀνομάσῃ τὰ τραγούδια αὐτά, ποὺ εἶναι γεμᾶτα μὲ πάσης φύσεως ἀκολασίαν καὶ προκαλοῦν ἀπρεπεῖς ἔρωτας, παρανόμους σχέσεις, ἀναστατώσεις οἰκιῶν καὶ μυρίας τραγῳδίας καὶ ἀναφέρουν συνεχῶς διὰ φίλον καὶ ἐρωμένον ὅπως καὶ διὰ φίλην καὶ ἐρωμένην; Καὶ τὸ χειρότερον εἶναι ὅτι εἰς αὐτὰς τὰς διασκεδάσεις, ἀφοῦ ἀποβάλουν ὅλην τὴν αἰδῶ των, εὑρίσκονται καὶ παρθένοι πρὸς τιμὴν τῆς νυμφευομένης, ἐνῷ μᾶλλον εἶναι πρὸς ὕβριν της, καὶ ἀσχημονοῦσαι μεταξὺ νέων ἀκολάστων παραδίδουν τὴν σωτηρίαν των εἰς ἀπρεπῆ ᾄσματα, εἰς αἰσχροὺς λόγους, εἰς σατανικὴν συμφωνίαν. Ἐρωτᾷς λοιπὸν ἀκόμη, εἰπέ μου, ἀπὸ ποῦ προέρχονται αἱ μοιχεῖαι; ἀπὸ ποῦ αἱ πορνεῖαι; ἀπὸ ποῦ αἱ διαλύσεις γάμων;

Ἀλλά, θὰ ἔλεγε κάποιος, αὐτὰ δὲν τὰ κάμνουν εὐγενεῖς καὶ κόσμιαι γυναῖκες. Πῶς λοιπὸν μὲ περιγελᾷς, ἐνῷ σὺ ὁ ἴδιος γνωρίζεις πρὸ ἐμοῦ τοῦτο τὸν νόμον; Ἐὰν δηλαδὴ τὰ ὅσα συμβαίνουν ἐκεῖ εἶναι καλά, ἄφησε καὶ ἐκείνας νὰ κάμνουν αὐτά. Μήπως δηλαδή, ἐπειδὴ εἶναι πτωχαί, δὲν εἶναι καὶ αὐταὶ παρθένοι καὶ δὲν πρέπει καὶ αὐταὶ νὰ φροντίζουν διὰ τὴν σωφροσύνην; Τώρα ὅμως παρθένος χορεύει ἐνώπιον ἀκολάστων νέων καὶ εἰπέ μου, δὲν νομίζεις ὅτι εἶναι ἀτιμοτέρα τῆς πόρνης; Ἐὰν δὲ λέγῃς ὅτι αὐτὰ τὰ κάμνουν ὑπηρέτριαι, οὔτε τότε σὲ ἀπαλλάσσω τῆς κατηγορίας, διότι οὔτε καὶ εἰς αὐτὰς ἔπρεπε νὰ εἶχον ἐπιτραπῆ αὐτά.

7. Ὅλα λοιπὸν τὰ κακὰ προέρχονται ἀπὸ αὐτάς, διότι δὲν φροντίζομεν καθόλου διὰ τοὺς δούλους, ἀλλὰ ἀρκεῖ νὰ εἰπῇ κάποιος ὅτι εἶναι δοῦλος καὶ ὑπηρέτριαι, διὰ νὰ ἐπισύρῃ τὴν περιφρόνησιν· καὶ ὅμως καθ' ἑκάστην ἡμέραν ἀκούομεν ὅτι ἐν Χριστῷ Ἰησοῦ δὲν ὑπάρχει δοῦλος καὶ ἐλεύθερος[11]. Σὺ δὲ τὸν μὲν ἵππον καὶ τὸν ὄνον σου δὲν τοὺς περιφρονεῖς, ἀλλὰ κάμνεις τὰ πάντα, ὥστε νὰ μὴ χαλάσουν· τοὺς δούλους ὅμως, ποὺ ἔχουν ψυχὴν ὅπως σύ, τοὺς περι-

φαύλους· δούλων δὲ τῶν ὁμοψύχων ὑπερορᾷς; Καὶ τί λέγω δούλων, ὅπου γε καὶ παίδων καὶ θυγατέρων;

Τί δὴ μετὰ ταῦτα; Ἀνάγκη λύπην εὐθέως ἐπεισιέναι πάντων ἐκείνων καθαιρουμένων· πολλάκις δὲ καὶ ζημίαν τίκτεσθαι μεγίστην ἐν τῷ πλήθει καὶ τῷ θορύβῳ πολυτίμων τινῶν ἀπολλυμένων χρυσίων. Εἶτα μετὰ τὸν γάμον, εἴποτε γένοιτο παιδίον, καὶ ἐνταῦθα πάλιν τὴν αὐτὴν ἄνοιαν ὀψόμεθα καὶ πολλὰ σύμβολα γέλωτος γέμοντα. Καὶ γάρ, ἡνίκα ἂν καλεῖσθαι τὸ παιδίον δέῃ, ἀφέντες ἀπὸ τῶν ἁγίων αὐτὸ καλεῖν, ὡς οἱ παλαιοὶ τὸ πρῶτον ἐποίουν, λύχνους ἅψαντες καὶ ὀνόματα αὐτοῖς ἐπιτιθέντες, τὸν διαρκέσαντα μέχρι πολλοῦ τοῦ παιδίου ποιοῦσιν ὁμώνυμον, ἐντεῦθεν πολὺν αὐτὸ στοχαζόμενοι βιώσεσθαι χρόνον. Εἶτα ἐπειδὰν συμβῇ πολλάκις αὐτὸ ἄωρον ὑπομεῖναι θάνατον, συμβαίνει δὲ πολλάκις, πολὺς ἕψεται παρὰ τοῦ διαβόλου γέλως, ὅτι ὡσεὶ παῖδας ἀνοήτους διέπαιξε. Τί ἂν τις εἴποι τὰ περίαπτα καὶ τοὺς κώδωνας τοὺς τῆς χειρὸς ἐξηρτημένους καὶ τὸν κόκκινον στήμονα καὶ τὰ ἄλλα τὰ πολλῆς ἀνοίας γέμοντα, δέον μηδὲν ἕτερον τῷ παιδὶ περιτιθέναι, ἀλλ' ἢ τὴν ἀπὸ τοῦ σταυροῦ φυλακήν; Νῦν δὲ οὗτος μὲν καταπεφρόνηται ὁ τὴν οἰκουμένην ἐπιστρέψας ἅπασαν καὶ χαλεπὴν δοὺς τῷ διαβόλῳ πληγὴν καὶ πᾶσαν αὐτοῦ καταστρέψας τὴν δύναμιν, κρόκη δὲ καὶ στήμων καὶ τὰ ἄλλα περιάμματα τὰ τοιαῦτα τοῦ παιδίου ἐμπιστεύονται τὴν ἀσφάλειαν. Εἴπω τί τούτου καταγελαστότερον ἕτερον;

Ἀλλὰ μηδεὶς ἀκαιρίαν ἡμῶν καταγινωσκέτω, εἰ καὶ μέχρι τούτων πρόεισιν ὁ λόγος. Ὁ γὰρ τὴν σηπεδόνα καθᾶραι βουλόμενος οὐ παραιτήσεται προτέρας τὰς ἑαυτοῦ μολῦναι χεῖρας. Τί δήποτ' οὖν τοῦτό ἐστι τὸ καταγέλαστον; Ὃ μηδὲν μὲν εἶναι δοκεῖ — διὰ γὰρ τοῦτο στένω — ἀρχὴ δέ ἐστι παραφροσύνης καὶ παρανοίας ἐσχάτης. Βόρβορον αἱ γυναῖκες ἐν τῷ βαλανείῳ λαμβάνουσαι τροφοὶ καὶ θεραπαινίδες καὶ τῷ δακτύλῳ χρίσασαι κατὰ τοῦ μετώπου τυποῦσι τοῦ παιδίου· κἂν εἴρηταί τις, τίς βούλεται ὁ βόρβορος, τί δὲ ὁ πηλός; ὀφθαλμὸν πονηρὸν ἀποστρέ-

φρονεῖς; Καὶ μάλιστα τί τοὺς λέγω δούλους, ἐνῷ ἔπρεπε νὰ τοὺς ἀποκαλέσω υἱοὺς καὶ θυγατέρας;

Μετὰ ἀπὸ αὐτὰ τί πρέπει λοιπὸν νὰ κάνωμεν; Εἶναι ἀνάγκη ἀμέσως νὰ λυπηθῶμεν καὶ ὅλα ἐκεῖνα νὰ τὰ ἐγκαταλείψωμεν· πολλάκις μάλιστα καὶ ζημιώνει κανείς, διότι χάνει πολύτιμα χρυσαφικὰ μέσα εἰς τὸ πλῆθος καὶ τὸν θόρυβον. Κατόπιν μετὰ τὸν γάμον, ἐὰν ἀποκτήσωμεν παιδί, καὶ ἐδῶ πάλιν θὰ παρατηρήσωμεν τὴν ἰδίαν μωρίαν καὶ πολλὰ σύμβολα, ποὺ εἶναι γεμᾶτα ἀπὸ γελιότητας. Καὶ πράγματι· ὅταν πρόκειται νὰ δώσουν ὄνομα εἰς τὸ παιδί, δὲν τὸ ὀνομάζουν μὲ τὸ ὄνομα τῶν ἁγίων, ὅπως ἔκαμναν κατ' ἀρχὰς οἱ παλαιοί, ἀλλά, ἀφοῦ ἀνάψουν λύχνους καὶ δώσουν ὀνόματα εἰς αὐτούς, δίδουν εἰς τὸ παιδὶ τὸ ὄνομα ἐκείνου, ποὺ διήρκεσε περισσότερον, καὶ ἔτσι νομίζουν ὅτι αὐτὸ θὰ ζήσῃ πολὺν χρόνον. Κατόπιν, ἐὰν συμβῇ πολλάκις νὰ ἀποθάνῃ αὐτὸ εἰς μικρὰν ἡλικίαν —καὶ πολλάκις συμβαίνει— πολὺ θὰ γελάσῃ ὁ διάβολος, διότι τοὺς ἐξηπάτησεν ὡσὰν ἀνόητα παιδιά. Τί νὰ ἀναφέρῃ κανεὶς δὲ τὰ φυλακτὰ καὶ τοὺς κώδωνας, ποὺ κρεμοῦν ἀπὸ τὸ χέρι καὶ τὸ κόκκινο νῆμα καὶ τὰ ἄλλα ποὺ εἶναι γεμᾶτα μὲ πολλὴν μωρίαν, ἐνῷ δὲν πρέπει νὰ θέτουν τίποτε ἄλλο γύρω ἀπὸ τὸ παιδὶ παρὰ μόνον τὸν σταυρόν, διὰ νὰ τὸ προστατεύῃ; Τώρα ὅμως περιφρονεῖται αὐτός, ὁ ὁποῖος ἐπέτυχε τὴν ἐπιστροφὴν ὅλης τῆς οἰκουμένης καὶ κατέφερε φοβερὸν πλῆγμα κατὰ τοῦ διαβόλου καὶ κατέστρεψεν ὅλην τὴν δύναμίν του, ἐνῷ ἐμπιστεύονται τὴν ἀσφάλειαν τοῦ παιδιοῦ εἰς κλωστὰς καὶ νήματα καὶ εἰς ἄλλα παρόμοια φυλακτά. Νὰ εἴπω τί ἄλλο εἶναι γελοιοδέστερον τούτου;

Ἀλλά, ἐπειδὴ ἐκάμαμεν λόγον καὶ δι' αὐτά, κανεὶς ἂς μὴ μᾶς κατηγορήσῃ ὅτι δὲν εἶναι ἡ ὥρα διὰ τέτοια θέματα. Ἐκεῖνος ποὺ θέλει νὰ καθαρίσῃ κάτι σάπιο δὲν ἀποφεύγει νὰ μὴ μολυνθοῦν πρῶτα τὰ χέρια του. Διατί λοιπὸν τοῦτο εἶναι τὸ καταγέλαστον; Καὶ αὐτὸ μὲν θεωρεῖται ὅτι δὲν εἶναι τίποτε —καὶ διὰ τοῦτο στενάζω— εἶναι ὅμως ἀρχὴ διὰ παραφροσύνην καὶ διὰ τὴν χειροτέραν μωρίαν. Αἱ γυναῖκες, τροφοὶ καὶ ὑπηρέτριαι, λαμβάνουν βοῦρκον ἀπὸ λουτρὸν καὶ μὲ τὸν δάκτυλόν των χρίουν καὶ κάμνουν σημεῖον εἰς τὸ μέτωπον τοῦ παιδιοῦ· καὶ ἂν κάποιος ἐρωτήσῃ τί χρειάζεται ὁ βοῦρκος καὶ ὁ πηλός, θὰ λάβῃ τὴν ἀπάντησιν ὅτι ἀπομακρύνει ὀ-

φει, φησί, καὶ βασκανίαν καὶ φθόνον. Βαβαὶ τῆς ἰσχύος τοῦ βορβόρου καὶ τῆς τοῦ πηλοῦ δυνάμεως, ἡλίκην ἔχει τὴν ἰσχύν· ὁλόκληρον τοῦ διαβόλου παράταξιν ἀποστρέφει.

Οὐκ ἐγκαλύψεσθε, εἰπέ μοι; οὐ συνήσετε ὀψέ ποτε τὰς παγίδας τὰς διαβολικάς, πῶς ἐκ πρώτης ἡλικίας κατὰ μικρὸν ἐπεισάγει τὰς παρ' ἑαυτοῦ μηχανὰς ὁ διάβολος; Εἰ γὰρ ὁ βόρβορος τοῦτο ποιεῖ, διὰ τί μὴ καὶ σὺ τοῦτο ποιεῖς ἐπὶ τοῦ σαυτοῦ μετώπου ἀνὴρ ὢν καὶ ἐν ἕξει γεγονὼς καὶ μᾶλλον τοῦ παιδίου τοὺς φθονοῦντας ἔχων; διὰ τί μὴ καὶ ὅλον βορβοροῖς τὸ σῶμα; Εἰ γὰρ ἐπὶ τοῦ μετώπου τοσαύτην ἔχει τὴν ἰσχύν, τίνος ἕνεκεν οὐχ ὅλον σεαυτὸν βορβόρῳ καταχρίεις; Γέλως ταῦτα καὶ κωμῳδία σατανικὴ οὐκ εἰς χλευασίαν μόνον, ἀλλὰ καὶ εἰς γέενναν καταστρέφουσα τοὺς ἀπατωμένους. Καὶ τὸ μὲν παρ' Ἕλλησι ταῦτα γίνεσθαι θαυμαστὸν οὐδέν· τὸ δὲ παρὰ τοῖς τὸν σταυρὸν προσκυνοῦσι καὶ μυστηρίων ἀπορρήτων κεκοινωνηκόσι καὶ τοσαῦτα φιλοσοφοῦσι ταύτην κρατεῖν τὴν ἀσχημοσύνην, τοῦτό ἐστι τὸ πολλῶν θρήνων ἄξιον.

Ὁ Θεός σε μύρῳ ἐτίμησε πνευματικῷ καὶ σὺ βορβόρῳ μολύνεις τὸ παιδίον; ὁ Θεός σε ἐτίμησε, σὺ δὲ σαυτὸν ἀτιμάζεις; καὶ δέον τὸν σταυρὸν ἐπιγράφειν τῷ μετώπῳ τὴν ἀσφάλειαν ἄμαχον παρέχοντα, σὺ δὲ ταῦτα ἀφεὶς ἐπὶ τὴν σατανικὴν ἄνοιαν καταπίπτεις; Εἰ δέ τισι ταῦτα μικρὰ εἶναι δοκεῖ, μανθανέτωσαν ὅτι μεγάλων ἐστὶν αἴτια κακῶν καὶ ὅτι οὐδὲ τῷ Παύλῳ τὰ μικρὰ παρορᾶν ἔδοξε. μικρότερον; Ἀλλ' ὅρα πόσην ὑπὲρ τούτου ποιεῖται σπου- Τί γάρ, εἰπέ μοι, τοῦ καλύπτεσθαι, ἄνθρωπον τὴν κεφαλὴν δὴν καὶ μεθ' ὅσης ἀπαγορεύει σφοδρότητος ἄλλα τε πολλὰ λέγων καὶ ὅτι καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. Εἰ δὲ ὁ κατακαλυπτόμενος καταισχύνει τὴν κεφαλὴν αὐτοῦ, ὁ βορβόρῳ χρίων πῶς οὐχὶ καὶ βδελυκτὸν ποιεῖ τὸ παιδίον; Πῶς γὰρ αὐτὸ προσάγεις ταῖς χερσὶ τοῦ ἱερέως, εἰπέ μοι· πῶς ἀξιοῖς ἐπὶ τοῦ μετώπου σφραγῖδα ἐπιτεθῆναι παρὰ τῆς τοῦ πρεσβυτέρου χειρός, ἔνθα τὸν βόρβορον ἐπέχρισας;

12. Α΄ Κορ. 11,4.

φθαλμὸν πονηρὸν καὶ βασκανίαν καὶ φθόνον. Πώ, πὼ ἡ δύναμις τοῦ βούρκου καὶ ἡ δύναμις τοῦ πηλοῦ, πόσον μεγάλην ἰσχὺν ἔχουν! ἀπομακρύνει ὁλόκληρον τὴν παράταξιν τοῦ διαβόλου!

Εἰπέ μου, δὲν θὰ ἐντραπῆτε, δὲν θὰ ἀντιληφθῆτε τέλος πάντων ποτὲ τὰς παγίδας τοῦ διαβόλου, πῶς ἀπὸ τὴν πρώτην ἡλικίαν ὀλίγον κατ' ὀλίγον ὁ διάβολος εἰσάγει τὰς πονηρίας του; Καὶ ἂν ὁ βοῦρκος ἐπιτυγχάνῃ αὐτό, διατί δὲν κάμνεις καὶ σὺ τοῦτο εἰς τὸ μέτωπόν σου, καθ' ὅσον μάλιστα εἶσαι ἄνδρας καὶ ἔχεις συνηθίσει καὶ σὲ φθονοῦν περισσότεροι ἀπὸ ὅσοι τὸ παιδί; διατί δὲν καλύπτεις μὲ βοῦρκον καὶ ὅλον τὸ σῶμα σου; Διότι, ἐὰν ἔχῃ τόσην δύναμιν ὁ βοῦρκος εἰς τὸ μέτωπον, διατί δὲν χρίεις ἐξ ὁλοκλήρου μὲ βοῦρκον ὅλον τὸν ἑαυτόν σου; Αὐτὰ εἶναι γέλως καὶ κωμῳδία σατανική, ποὺ ὄχι μόνον ἀξίζει χλευασμόν, ἀλλὰ καὶ ὁδηγεῖ τοὺς ἀπατωμένους εἰς τὴν κόλασιν. Καὶ τὸ νὰ κάμνουν μὲν αὐτὰ οἱ ἐθνικοὶ δὲν εἶναι καθόλου παιράξενον, τὸ νὰ διατηροῦν ὅμως αὐτὴν τὴν ἀσχημοσύνην αὐτοὶ ποὺ προσκυνοῦν τὸν σταυρὸν καὶ κοινωνοῦν τὰ ἀπόρρητα μυστήρια καὶ φιλοσοφοῦν διὰ τόσον ὑψηλὰ θέματα, τοῦτο εἶναι ἄξιον πολλῶν θρήνων.

Ὁ Θεὸς σὲ ἐτίμησε μὲ μύρον πνευματικὸν καὶ σὺ μολύνεις τὸ παιδὶ μὲ βόρβορον; ὁ Θεὸς σὲ ἐτίμησε καὶ σὺ ἀτιμάζεις τὸν ἑαυτόν σου; καὶ ἐνῷ ἔπρεπε νὰ σχηματίζῃς εἰς τὸ μέτωπον τὸν σταυρόν, ὁ ὁποῖος παρέχει ἀκατανίκητον ἀσφάλειαν, σὺ ἐγκατέλειψες αὐτὰ καὶ καταντᾷς εἰς τὴν σατανικὴν μωρίαν; Ἐὰν δὲ αὐτὰ μερικοὶ τὰ θεωροῦν μικρά, ἂς μάθουν ὅτι εἶναι αἴτια μεγάλων κακῶν καὶ ὅτι οὔτε ὁ Παῦλος ἔκρινε ὀρθὸν νὰ διαφορῇ διὰ τὰ μικρά. Εἰπέ μου· τί εἶναι μικρότερον θέμα ἀπὸ τὸ νὰ καλύπτῃ ὁ ἄνθρωπος τὴν κεφαλήν του; Ἀλλὰ κοίταξε πόσον ἐνδιαφέρον δεικνύει διὰ τὸ θέμα τοῦτο λέγων καὶ ἄλλα πολλὰ καὶ ὅτι τοῦτο καταισχύνει τὴν κεφαλήν του. Ἐφ' ὅσον δὲ αὐτὸς ποὺ κατακαλύπτει τὴν κεφαλήν του τὴν καταισχύνει[12], πῶς ἐκεῖνος ποὺ τὴν χρίει μὲ βόρβορον δὲν κάμνει σιχαμερὸν τὸ παιδί; Πῶς λοιπόν, εἰπέ μου, ὁδηγεῖς αὐτὸ εἰς τὰ χέρια τοῦ ἱερέως; πῶς ἀξιοῖς νὰ σφραγισθῇ μὲ τὸ σημεῖον τοῦ σταυροῦ ἀπὸ τὴν χεῖρα τοῦ πρεσβυτέρου ἐπὶ τοῦ μετώπου, ὅπου ἐπέχρισες τὸν βόρβορον;

Μὴ ταῦτα, μή, ἀδελφοί, ἀλλ' ἐκ πρώτης ἡλικίας πνευματικοῖς αὐτὰ περιφράττετε ὅπλοις καὶ τῇ χειρὶ παιδεύετε σφραγίζειν τὸ μέτωπον· καὶ πρὶν ἢ δυνηθῆναι τῇ χειρὶ τοῦτο ποιεῖν, αὐτοὶ ἐντυποῦτε αὐτοῖς τὸν σταυρόν. Τί ἄν τις εἴποι τὰς ἑτέρας παρατηρήσεις τὰς σατανικὰς ἐπὶ τῶν ὠδίνων καὶ τῶν τοκετῶν, ἃς αἱ μαῖαι ἐπὶ κακῷ τῆς ἑαυτῶν ἐπεισάγουσι κεφαλῆς; τὰς ἐπὶ τοῦ θανάτου καὶ τῆς καθ' ἕκαστον ἐκφορᾶς, τὰς οἰμωγάς, τοὺς κωκυτοὺς τοὺς ἀλόγους, τὴν ἐν τοῖς τάφοις ἄνοιαν, τὴν περὶ τὰ μνήματα σπουδήν, τὸν ἄκαιρον καὶ καταγέλαστον τῶν θρηνῳδῶν γυναικῶν ἑσμόν, τὰς τῶν ἡμερῶν παρατηρήσεις, τῶν εἰσόδων καὶ τῶν ἐξόδων;

Τούτων οὖν, εἰπέ μοι, τὴν δόξαν θηρᾷς; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀνοίας ἀνθρώπων οὕτω διεφθαρμένων τὰς γνώμας, καὶ πάντα ὡς ἔτυχε ποιούντων, τὴν δόξαν ἐπιζητεῖν, δέον ἐπὶ τὸν ἀκοίμητον ἀεὶ καταφεύγειν ὀφθαλμὸν καὶ πρὸς τὴν ἐκείνου ψῆφον βλέποντας πάντα ποιεῖν καὶ λέγειν; Οὗτοι μὲν γὰρ κἂν ἐπαινέσωσιν, οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσονται· ἐκεῖνος δὲ ἂν ἀποδέξηται τὰ γινόμενα, καὶ ἐνταῦθα ποιήσει λαμπροὺς καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν μεταδώσει τῶν ἀπορρήτων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μή, μὴ κάμνετε αὐτά, ἀδελφοί, ἀλλὰ ἀπὸ τὴν πρώτην ἡλικίαν νὰ περιφρουρῆτε αὐτὰ (τὰ παιδιά), μὲ ὅπλα πνευματικὰ καὶ νὰ τὰ ἐκπαιδεύετε νὰ κάμνουν μὲ τὸ χέρι τους ἐπὶ τοῦ μετώπου τὸ σημεῖον τοῦ σταυροῦ· καὶ προτοῦ δυνηθοῦν νὰ κάμνουν τοῦτο μὲ τὸ χέρι των, κάμνετε σεῖς οἱ ἴδιοι εἰς αὐτὰ τὸ σημεῖον τοῦ σταυροῦ. Τί νὰ εἴπῃ κανεὶς διὰ τὰς ἄλλας σατανικὰς παρατηρήσεις τὰς σχετικὰς μὲ τὰς ὠδίνας καὶ τοὺς τοκετούς, εἰς τὰς ὁποίας προβαίνουν αἱ μαῖαι πρὸς ζημίαν των; τί νὰ εἴπῃ κανεὶς διὰ τοὺς θρήνους, διὰ τοὺς παραλόγους κλαυθμούς, ὅταν συμβῇ θάνατος καὶ ὅταν γίνεται καθενὸς ἡ ἐκφορά, τὴν παραφροσύνην εἰς τοὺς τάφους, τὴν σπουδὴν περὶ τὰ μνήματα, τὸ ἄκαιρον καὶ καταγέλαστον πλῆθος τῶν γυναικῶν, ποὺ μοιρολογοῦν, τὰς παρατηρήσεις τῶν ἡμερῶν, πῶς ἀρχίζουν καὶ πῶς τελειώνουν;

Εἰπέ μου λοιπόν· ἐπιζητεῖς τὴν καλὴν γνώμην αὐτῶν; καὶ πῶς δὲν δεικνύει τὴν χειροτέραν μωρίαν τὸ νὰ ἐπιζητῇς τὴν καλὴν γνώμην ἀνθρώπων τόσον ἀνοήτων, ποὺ κάμνουν τὰ πάντα εἰς τὴν τύχην, ἐνῷ θὰ ἔπρεπε πάντοτε νὰ καταφεύγωμεν εἰς τὸν ἀκοίμητον ὀφθαλμὸν καὶ εἰς ὅλα τὰ θέματα νὰ ἐνεργῶμεν καὶ νὰ ὁμιλῶμεν ἀποβλέποντες εἰς ἐκείνου τὴν κρίσιν; Διότι, αὐτοὶ μὲν ἐὰν μᾶς ἐπαινέσουν, καθόλου δὲν θὰ δυνηθοῦν νὰ μᾶς ὠφελήσουν· ἐκεῖνος ὅμως, ἂν ἐπιδοκιμάσῃ τὰ ἔργα μας, θὰ μᾶς καταστήσῃ καὶ ἐδῶ λαμπροὺς καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν θὰ μᾶς κάνῃ μετόχους τῶν ἀπορρήτων ἀγαθῶν· αὐτὰ εἴθε ὅλοι ἡμεῖς νὰ τὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΓ'

Κορ. Α' 4, 10 - 16

«Ἡμεῖς μωροὶ διὰ Χριστόν», (ἀναγκαῖον γὰρ ἐντεῦθεν πάλιν τὸν λόγον ἀναλαβεῖν), «ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι».

[1] Πολλῆς βαρύτητος τὸν λόγον ἐμπλήσας, ὃ πάσης κατηγορίας μείζονα ἔχει πληγήν, καὶ εἰπὼν ὅτι «Χωρὶς ἡμῶν ἐβασιλεύσατε», καὶ ὅτι «Ἡμᾶς ὁ Θεὸς ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους», διὰ τῶν ἑξῆς δείκνυσι πῶς ἐπιθανάτιοι λέγων· «Ἡμεῖς μωροὶ καὶ ἀσθενεῖς καὶ ἄτιμοι, καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν», ἅπερ ἦν δείγματα διδασκάλων καὶ ἀποστόλων γνησίων. Ἀλλ' ἐκεῖνοι ἐπὶ τοῖς ἐναντίοις μέγα ἐφρόνουν, ἐπὶ σοφίᾳ, ἐπὶ δόξῃ, ἐπὶ πλούτῳ, ἐπὶ τῷ τιμᾶσθαι. Βουλόμενος οὖν αὐτῶν καθελεῖν τὸν τῦφον καὶ δεῖξαι ὅτι ἐπὶ τούτοις οὐ μόνον οὐ καλλωπίζεσθαι, ἀλλὰ καὶ αἰσχύνεσθαι δεῖ, πρῶτον μὲν αὐτοὺς κωμῳδεῖ λέγων· «Χωρὶς ἡμῶν ἐβασιλεύσατε». Ἐγὼ μὲν γὰρ λέγω, φησίν, ὅτι ὁ παρὼν καιρὸς οὐ τιμῆς οὐδὲ δόξης ἐστίν, ὧν ὑμεῖς ἀπολαύετε, ἀλλὰ τοῦ διώκεσθαι καὶ ὑβρίζεσθαι, ἅπερ ἡμεῖς πάσχομεν. Εἰ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τῶν ἀμοιβῶν ὁ καιρὸς οὗτος, ὡς ὁρῶ —τοῦτο δὲ εἰρωνευόμενος λέγει— ὑμεῖς μὲν οἱ μαθηταὶ καὶ ἐβασιλεύσατε λοιπόν· ἡμεῖς· δὲ οἱ διδάσκαλοι καὶ ἀπόστολοι καὶ πρὸ πάντων ὀφείλοντες λαβεῖν τὸν μισθὸν οὐ μόνον ὑμῶν ἔσχατοι γεγόναμεν, ἀλλὰ καὶ ὡς ἐπιθανάτιοι, τουτέστι κατάδικοι διόλου ἐν ἀτιμίαις καὶ κινδύνοις καὶ λιμῷ διάγομεν ὑβριζόμενοί τε ὡς μωροὶ καὶ ἐλαυνόμενοι καὶ τὰ ἀνήκεστα ὑπομένοντες.

Ταῦτα δὲ ἔλεγεν, ἵνα καὶ αὐτοὺς ἐκ τούτων ποιήσῃ συνιδεῖν ὅτι τὰ τῶν ἀποστόλων ὀφείλουσι ζηλοῦν, τοὺς

---

1. Α' Κορ. 4,10.

ΛΟΓΟΣ ΙΓ
Α΄ Κορ. 4,10-16

«Ἐμεῖς θεωρούμεθα μωροὶ χάριν τοῦ Χριστοῦ», διότι εἶναι ἀνάγκη νὰ ἀρχίσω πάλιν τὸν λόγον ἀπὸ ἐδῶ, «ἐνῶ σεῖς φρόνιμοι ἐν Χριστῷ· ἐμεῖς ἀσθενικοί, σεῖς δὲ ἰσχυροί· σεῖς ἔνδοξοι, ἐμεῖς δὲ ἄσημοι»[1].

1. Ἀφοῦ ἐγέμισε τὸν λόγον του μὲ πολλὴν βαρύτητα — πρᾶγμα τὸ ὁποῖον πλήττει περισσότερον ἀπὸ κάθε κατηγορίαν— καὶ ἀφοῦ εἶπεν ὅτι «Ἐγίνατε βασιλεῖς χωρὶς ἐμᾶς» καὶ ὅτι, «Ὁ Θεὸς μᾶς ἔδειξε τελευταίους ὡς μελλοθανάτους», εἰς τὴν συνέχειαν δεικνύει πῶς εἶναι ἐπιθανάτιοι λέγων· «Ἐμεῖς θεωρούμεθα μωροὶ καὶ ἀσθενικοὶ καὶ ἄσημοι καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμὸν καὶ μᾶς κακομεταχειρίζονται καὶ περιπλανώμεθα καὶ κοπιάζομεν ἐργαζόμενοι μὲ τὰ ἰδικά μας χέρια», τὰ ὁποῖα ἦσαν, ὡς γνωστόν, ἀποδείξεις γνησίων διδασκάλων καὶ ἀποστόλων. Ἀλλ' ἐκεῖνοι ὑπερηφανεύοντο διὰ τὰ ἀντίθετα, διὰ σοφίαν, διὰ δόξαν, διὰ πλοῦτον, διὰ τιμάς. Ἐπειδὴ λοιπὸν ἤθελε νὰ ἀφαιρέσῃ τὴν ἀλαζονείαν των καὶ νὰ τοὺς δείξῃ ὅτι δι' αὐτὰ ὄχι μόνον δὲν πρέπει νὰ καυχῶνται, ἀλλὰ καὶ νὰ ἐντρέπωνται, κατὰ πρῶτον μὲν τοὺς διακωμωδεῖ λέγων, «Ἐγίνατε βασιλεῖς χωρὶς ἐμᾶς». Δηλαδή, ἐγὼ μὲν ὑποστηρίζω, λέγει, ὅτι ὁ παρὼν καιρὸς δὲν εἶναι διὰ τιμὴν καὶ δόξαν, τῶν ὁποίων σεῖς ἀπολαύετε, ἀλλὰ διὰ διώξεις καὶ ὕβρεις, τὰς ὁποίας ἡμεῖς πάσχομεν. Ἐὰν ὅμως δὲν εἶναι ἔτσι τὰ πράγματα, ἀλλ' αὐτὸς εἶναι ὁ καιρὸς τῶν ἀμοιβῶν, ὅπως βλέπω —καὶ τοῦτο τὸ λέγει εἰρωνευόμενος— σεῖς μὲν εἶσθε οἱ μαθηταὶ καὶ ὅμως εἶσθε ἤδη βασιλεῖς, ἡμεῖς δὲ οἱ διδάσκαλοι καὶ ἀπόστολοι, ποὺ πρὸ πάντων ἔπρεπε νὰ λάβωμεν τὸν μισθόν, ὄχι μόνον ἔχομεν γίνει οἱ ἔσχατοι ἀπὸ σᾶς, ἀλλὰ ζῶμεν καὶ ὡς μελλοθάνατοι, δηλαδὴ ὡς κατάδικοι συνεχῶς μὲ ἀτιμώσεις καὶ κινδύνους καὶ πεῖναν καὶ ὑβριζόμενοι ὡς μωροὶ καὶ ἐκδιωκόμενοι καὶ ὑπομένοντες τὰ πάνδεινα.

Αὐτὰ δὲ τὰ ἔλεγε, διὰ νὰ κάνῃ καὶ αὐτοὺς νὰ κατανοήσουν μὲ αὐτὰ ὅτι ὀφείλουν νὰ ποθοῦν μὲ ζῆλον τὰ τῶν ἀποστόλων, δη-

κινδύνους καὶ τὰς ὕβρεις, οὐ τὰς τιμὰς καὶ τὰς δόξας· οὐ γὰρ ἐκεῖνα, ἀλλὰ ταῦτα ἀπαιτεῖ τὸ κήρυγμα. Ἀλλ' οὕτω μὲν ἐξ εὐθείας οὐ λέγει, ὥστε μὴ φορτικὸς αὐτοῖς φανῆναι· ὡς δὲ αὐτῷ πρέπον ἦν, οὕτω μεταχειρίζει τὴν ἐπίπληξιν ταύτην. Εἰ γὰρ ἐξ εὐθείας εἰσήγαγε τὸν λόγον, οὕτως ἂν εἶπε· πλανᾶσθε καὶ ἀπατᾶσθε καὶ πολὺ τῆς ἀποστολικῆς νομοθεσίας ἀφεστήκατε· τὸν γὰρ ἀπόστολον καὶ διάκονον τοῦ Χριστοῦ μωρὸν εἶναι δοκεῖν χρὴ καὶ ἐν θλίψει καὶ ἐν ἀδοξίᾳ διάγειν, ὅπερ ἐσμὲν ἡμεῖς· ὑμεῖς δὲ ἐν τοῖς ἐναντίοις. Ἀλλ' οὕτως ἂν μᾶλλον καὶ προσέστη τὰ λεγόμενα αὐτοῖς ὡς ἐγκώμια τῶν ἀποστόλων ἔχοντα, καὶ ἐκείνους ἂν θρασυτέρους εἰργάσατο ὡς διαβαλλομένους ἐπὶ ῥᾳθυμίᾳ καὶ κενοδοξίᾳ καὶ τῷ τρυφᾶν. Διὰ τοῦτο τοῦτον μὲν τὸν τρόπον οὐ μεθοδεύει τὰ εἰρημένα, ἑτέρως δέ, πληκτικώτερον μέν, ἀνεπαχθέστερον δέ. Διὸ καὶ οὕτω προάγει τὸν λόγον κατ' εἰρωνείαν λέγων «Ὑμεῖς δὲ ἰσχυροὶ καὶ ἔνδοξοι». Ὡς, εἰ μὴ τῇ εἰρωνείᾳ ἐκέχρητο, οὕτως ἂν εἶπεν· οὐ δυνατὸν τὸν μὲν μωρὸν νομίζεσθαι, τὸν δὲ φρόνιμον, καὶ τὸν μὲν ἰσχυρόν, τὸν δὲ ἀσθενῆ, τοῦ κηρύγματος ἀπαιτοῦντος θάτερα. Εἰ μὲν γὰρ ἐξῆν τοὺς μὲν τοῦτο εἶναι, τοὺς δὲ ἐκεῖνο, ἴσως εἶχέ τινα λόγον τὰ παρ' ὑμῶν λεγόμενα· νυνὶ δὲ οὐκ ἔνι, οὐ φρόνιμον εἶναι δοκεῖν, οὐκ ἔνδοξον, οὐκ ἀπηλλάχθαι κινδύνων. Εἰ δὲ μή, ἀνάγκη ὑμᾶς ἡμῶν προτετιμῆσθαι παρὰ τῷ Θεῷ, ὑμᾶς τοὺς μαθητὰς τῶν διδασκάλων καὶ μυρία παθόντων. Εἰ δὲ οὐδὲ τοῦτό τις ἂν εἴποι, λείπεται τὰ ἡμέτερα ὑμᾶς διώκειν.

2. Καὶ μή μέ τις, φησίν, οἰέσθω τὰ παρελθόντα λέγειν μόνον· «Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν». Ὁρᾷς ὅτι πάντα τὸν βίον τοιοῦτον εἶναι δεῖ τῶν Χριστιανῶν, οὐ μίαν ἡμέραν καὶ δευτέραν; Οὐδὲ γάρ, ἂν ἀθλῇ τις, τὴν μίαν μόνην νικήσας πάλιν στεφανοῦται καταπεσών. «Καὶ πεινῶμεν» πρὸς τοὺς τρυφῶντας· «καὶ κολαφιζόμεθα» πρὸς τοὺς πεφυσιωμένους· «καὶ

---

2. αὐτ. 11.

λαδὴ τοὺς κινδύνους καὶ τὰς ὕβρεις, ὄχι τὰς τιμὰς καὶ τὰς δόξας, διότι τὸ κήρυγμα αὐτὰ ἀπαιτεῖ καὶ ὄχι ἐκεῖνα. Ἀλλὰ δὲν τὸ λέγει ἔτσι ἀπ' εὐθείας, ὥστε νὰ μὴ φανῇ εἰς αὐτοὺς φορτικός, ἀλλὰ κάμνει τὴν ἐπίπληξιν αὐτὴν ἔτσι, ὅπως ἔπρεπε εἰς τὴν περίπτωσιν. Ἐὰν δηλαδὴ ἀπροκαλύπτως ὡμίλει, θὰ ἔλεγε ὡς ἑξῆς: Ἱλανᾶσθε καὶ ἀπατᾶσθε καὶ ἔχετε πολὺ ἀπομακρυνθῇ ἀπὸ τὴν ἀποστολικὴν νομοθεσίαν· διότι ὁ ἀπόστολος καὶ διάκονος τοῦ Χριστοῦ πρέπει νὰ φαίνεται ὅτι εἶναι ἀνόητος καὶ νὰ ζῇ εἰς θλῖψιν καὶ περιφρόνησιν, κατάστασις εἰς τὴν ὁποίαν εὑρισκόμεθα ἡμεῖς· εἰς σᾶς ὅμως συμβαίνουν τὰ ἀντίθετα'. Ἀλλὰ ἔτσι τὰ λεγόμενα θὰ ἐφαίνοντο εἰς αὐτοὺς ὅτι εἶναι ἐγκώμια τῶν ἀποστόλων καὶ ἐκείνους θὰ τοὺς ἔκαμνον θρασυτέρους, διότι δῆθεν θὰ ἐσυκοφαντοῦντο διὰ ραθυμίαν καὶ ματαιοδοξίαν καὶ τρυφηλότητα. Διὰ τοῦτο δὲν ἀκολουθεῖ μὲν αὐτὸν τὸν τρόπον εἰς ὅσα εἶπεν, ἀλλὰ ἄλλον ἐντονώτερον μέν, ἀλλὰ ὀλιγώτερον ἐνοχλητικόν. Διὰ τὸν λόγον αὐτὸν ὁμιλεῖ μὲ εἰρωνείαν λέγων· «Σεῖς δὲ θεωρεῖσθε ἰσχυροὶ καὶ ἔνδοξοι». Ἐνῷ, ἐὰν δὲν ἐχρησιμοποίει εἰρωνείαν, θὰ ἠμποροῦσε νὰ τοὺς εἰπῇ τὰ ἑξῆς· 'Δὲν εἶναι δυνατὸν ἄλλος μὲν νὰ θεωρῆται ἀνόητος, ἄλλος δὲ φρόνιμος, ἄλλος μὲν ἰσχυρός, ἄλλος δὲ ἀσθενής, τὴν στιγμὴν ποὺ τὸ κήρυγμα ἀπαιτεῖ ἄλλα. Δηλαδή, ἐὰν ἐπετρέπετο ἄλλοι μὲν νὰ εἶναι τοῦτο, ἄλλοι δὲ ἐκεῖνο, ἴσως θὰ εἶχον κάποιαν δικαίωσιν τὰ λεγόμενα ἀπὸ σᾶς· τώρα ὅμως δὲν ἐπιτρέπεται νὰ φαίνεται κανεὶς ὅτι εἶναι φρόνιμος, ἔνδοξος καὶ ὅτι ἔχει ἀπαλλαγῇ ἀπὸ κινδύνους. Εἰ δ' ἄλλως, εἶναι ἑπόμενον ὅτι ὁ Θεὸς ἔχει προτιμήσει σᾶς ἀπὸ ἡμᾶς, σᾶς τοὺς μαθητὰς ἀπὸ ἡμᾶς τοὺς διδασκάλους ποὺ μύρια ὑπεφέραμεν. Καὶ ἂν κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ εἰπῇ τοῦτο, ἀπομένει σεῖς νὰ ἀκολουθῆτε ἐπιμόνως τὴν ἰδικήν μας ζωήν'.

2. Καὶ ἃς μὴ φαντασθῇ κανείς, λέγει, ὅτι ἀναφέρομαι μόνον εἰς πράγματα τοῦ παρελθόντος· «Ἕως αὐτὴν τὴν ὥραν καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμόν»[2]. Βλέπεις ὅτι τέτοιος πρέπει νὰ εἶναι ὅλος ὁ βίος τῶν Χριστιανῶν, καὶ ὄχι μίαν ἢ δύο μόνον ἡμέρας; διότι οὔτε, ἂν εἶναι κάποιος ἀθλητής, στεφανοῦται, ἂν κερδήσῃ μίαν μόνην νίκην καὶ κατόπιν ἡττηθῇ. «Καὶ πεινῶμεν» κατ' ἀντίθεσιν πρὸς τοὺς ζῶντας τρυφηλὴν ζωήν· «καὶ μᾶς κακομεταχειρίζονται» κατ' ἀντίθεσιν πρὸς τοὺς ἀλαζόνας· «καὶ

ἀστατοῦμεν»· ἐλαυνόμεθα γάρ, φησί· «καὶ γυμνητεύομεν» πρὸς τοὺς πλουτοῦντας· «καὶ κοπιῶμεν» ἤδη πρὸς τοὺς ψευδαποστόλους τοὺς οὔτε ἐργάζεσθαι οὔτε κινδυνεύειν ἀνεχομένους, ἀλλὰ καρπουμένους αὐτούς.

Ἀλλ' οὐχ ἡμεῖς οὕτω, φησίν, ἀλλὰ μετὰ τῶν ἔξωθεν κινδύνων καὶ ἑαυτοὺς κατατείνομεν τῇ διηνεκεῖ ἐργασίᾳ. Καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ ἔχοι τις ἂν εἰπεῖν ὅτι δυσχεραίνομεν ἐπὶ τούτοις· τοῖς γὰρ ἐναντίοις τοὺς ποιοῦντας ἀμειβόμεθα. Τὸ γὰρ μέγα τοῦτό ἐστιν, οὐ τὸ κακῶς παθεῖν — τοῦτο γὰρ πάντων κοινὸν — ἀλλὰ τὸ πάσχοντας μὴ ἀλύειν μηδὲ δυσχεραίνειν. Ἡμεῖς δὲ οὐ μόνον οὐ δυσχεραίνομεν, ἀλλὰ καὶ ἀγαλλόμεθα. Καὶ τούτου τεκμήριον τὸ τοὺς ποιοῦντας κακῶς τοῖς ἐναντίοις ἀμείβεσθαι. Ὅτι δὲ τοῦτο ἐποίουν, ἄκουσον τῶν ἑξῆς· «Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν» τουτέστι μωροὶ διὰ Χριστόν. Ὁ γὰρ κακῶς παθὼν καὶ μήτε ἀμυνόμενος μήτε ἀλγῶν μωρὸς εἶναι δοκεῖ παρὰ τοῖς ἔξωθεν καὶ ἄτιμος καὶ ἀσθενής. Καὶ ἵνα μὴ φορτικώτερον τὸν λόγον ἐργάσηται εἰς τὴν ἐκείνων πόλιν τὰ πάθη περιστήσας, τί φησί; Περικαθάρματα οὐ τῆς πόλεως ὑμῶν, ἀλλὰ τοῦ κόσμου ἐγενήθημεν· καὶ πάλιν «πάντων περίψημα»· οὐχ ὑμῶν μόνον ἀλλὰ πάντων.

Ὥσπερ οὖν ὅταν περὶ τῆς τοῦ Χριστοῦ διαλέγηται κηδεμονίας, τὴν γῆν, τὸν οὐρανόν, τὴν πᾶσαν κτίσιν ἀφεὶς τὸν σταυρὸν ἐν μέσῳ τίθησιν, οὕτω καὶ ὅταν πρὸς ἑαυτὸν ἐπισπάσασθαι βουληθῇ, τὰ σημεῖα παραδραμὼν τὰ πάθη λέγει τὰ δι' αὐτούς. Οὕτω καὶ ἡμῖν ἔθος, ὅταν ἀδικώμεθα παρά τινων καὶ καταφρονώμεθα, ἅπερ ὑπὲρ αὐτῶν ἐπάθομεν, ταῦτα φέρειν εἰς μέσον. «Πάντων περίψημα ἕως ἄρτι». Εὔτονον· τὴν πληγὴν ἔδωκε πρὸς τῷ τέλει. Πάντων δὲ οὐ τῶν διωκόντων, φησίν, ἀλλὰ τῶν δι' οὓς ταῦτα πάσχομεν·

---

3. αὐτ. 12-13.

περιπλανώμεθα», διότι ἐκδιωκόμεθα, λέγει· «καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμὸν» κατ' ἀντίθεσιν πρὸς τοὺς πλουτοῦντας «καὶ κοπιάζομεν» κατ' ἀντίθεσιν πλέον πρὸς τοὺς ψευδαποστόλους, ποὺ δὲν ἀνέχονται οὔτε νὰ ἐργάζωνται οὔτε νὰ κινδυνεύουν, ἀλλὰ οἱ ἴδιοι νὰ καρποῦνται.

Ὅμως ἡμεῖς, λέγει, δὲν εἴμεθα τέτοιοι, ἀλλὰ μαζὶ μὲ τοὺς ἔξωθεν κινδύνους καὶ οἱ ἴδιοι μὲ τὴν συνεχῆ ἐργασίαν θέτομεν εἰς ἐνέργειαν τοὺς ἑαυτούς μας. Καὶ τὸ σπουδαιότερον εἶναι ὅτι κανεὶς δὲν θὰ ἠμποροῦσε νὰ ἰσχυρισθῇ ὅτι δυσανασχετοῦμεν δι' αὐτά, διότι ἀνταμείβομεν μὲ τὰ ἀντίθετα ἐκείνους ποὺ μᾶς κάμνουν αὐτά. Μέγα δηλαδὴ εἶναι τοῦτο, ὄχι ἡ κακοπάθεια — διότι αὐτὴ εἶναι κοινὴ μοῖρα ὅλων—, ἀλλὰ τὸ νὰ μὴ ἀναστατωνώμεθα οὔτε νὰ δυσανασχετῶμεν, ὅταν πάσχωμεν. Ἐμεῖς ὅμως ὄχι μόνον δὲν δυσανασχετοῦμεν, ἀλλὰ καὶ εὐφραινόμεθα, καὶ ἀπόδειξις τούτου εἶναι τὸ ὅτι ἐκείνους ποὺ μᾶς βλάπτουν τοὺς ἀμείβομεν μὲ εὐεργεσίας. Καὶ ὅτι τοῦτο ἔκαμνον ἄκουσε τὰ ἑπόμενα· «Ὅταν μᾶς ὑβρίζουν ἐμεῖς εὐλογοῦμεν, ὅταν μᾶς διώκουν, δεικνύομεν ἀνοχήν, ὅταν μᾶς δυσφημοῦν, ὁμιλοῦμεν μὲ πραότητα· ἐγίναμεν ὡσὰν σκουπίδια τοῦ κόσμου»[3]· δηλαδὴ μωροὶ διὰ τὸν Χριστόν· διότι ἐκεῖνος ποὺ βλάπτεται καὶ ὅμως οὔτε ἐκδικεῖται οὔτε θλίβεται φαίνεται εἰς τοὺς ἐκτὸς τῆς πίστεως ὅτι εἶναι ἀνόητος καὶ περιφρονημένος καὶ ἀδύνατος. Καὶ διὰ νὰ μὴ κάνῃ τὸν λόγον του ἐνοχλητικώτερον μὲ τὸ νὰ περιορίσῃ τὰ πάθη εἰς τὴν πόλιν ἐκείνων, τί λέγει; Ἐγίναμεν περικαθάρματα ὄχι τῆς πόλεώς σας, ἀλλὰ τοῦ κόσμου· καὶ πάλιν· «Ἐγίναμεν ὡς ἀκαθαρσία, ὅλων»· ὄχι μόνον ἰδική σας, ἀλλὰ πάντων.

Ὅπως ἀκριβῶς λοιπόν, ὅταν ὁμιλῇ περὶ τῆς προνοίας τοῦ Χριστοῦ, ἀφοῦ ἀφήσῃ τὴν γῆν, τὸν οὐρανόν, ὅλην τὴν κτίσιν, φέρει τὸν σταυρὸν ὡς ἀπόδειξιν, ἔτσι καὶ ὅταν θελήσῃ νὰ ἐπισύρῃ τὴν προσοχὴν εἰς τὸν ἑαυτόν του, ἀποσιωπᾷ τὰ σημεῖα καὶ ἀναφέρει τὰ ὅσα ἔπαθε πρὸς χάριν αὐτῶν. Ἔτσι καὶ ἡμεῖς, ὅταν ἀδικώμεθα ἀπὸ κάποιους καὶ καταφρονώμεθα, συνηθίζομεν νὰ ἀναφέρωμεν ὅσα ἐπάθαμεν πρὸς χάριν των. «Ἐγίναμεν ὡς ἀκαθαρσία ὅλων ἕως τώρα». Ἔδωσε δυνατὸν κτύπημα εἰς τὸ τέλος. Πάντων δέ, λέγει, ὄχι τῶν διωκόντων, ἀλλ' αὐτῶν, ἐξ αἰτίας τῶν ὁποίων πάσχομεν αὐτά· δηλαδὴ χρεωστῶ πολλὴν εὐγνωμοσύνην εἰς αὐτούς.

τουτέστι, χάριν ἔχω πολλὴν αὐτοῖς. Βαρυθυμοῦντος τὸ ῥῆμα, οὐκ ἀλγοῦντος αὐτοῦ, ἀλλ' ἐκείνους πλῆξαι βουλομένου. Ὁ γὰρ μυρία ἔχων ἐγκαλεῖν καὶ ἀσπάζεται. Διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει πράως ἡμᾶς φέρειν τὰς ὕβρεις, ἵνα καὶ αὐτοὶ φιλοσοφῶμεν, κἀκείνους μᾶλλον ἐντρέπωμεν· οὐ γὰρ οὕτως ὑβρίζων, ὡς σιγῶν τις, τοῦτο ἐργάζεται.

3. Εἶτα, ἐπειδὴ εἶδεν ἀφόρητον τὴν πληγήν, ταχέως αὐτὴν ἐθεράπευσεν εἰπών· «Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ». Οὐχ ὡς καταισχύνων γὰρ ὑμᾶς ταῦτα λέγω, φησίν. Ὅπερ ἐποίησε διὰ τῶν ῥημάτων, τοῦτό φησιν οὐ πεποιηκέναι· μᾶλλον δὲ πεποιηκέναι μέν φησιν, οὐ μὴν διανοίᾳ πονηρᾷ καὶ μισούσῃ· ἐπεὶ καὶ ἀρίστη αὕτη ἡ θεραπεία, εἰπόντα τὸν λόγον προσθεῖναι τὴν ἀπὸ τῆς διανοίας ἀπολογίαν. Μὴ εἰπεῖν μὲν γὰρ οὐκ ἐνῆν, ἐπεὶ ἔμειναν ἂν ἀδιόρθωτοι, εἰπόντα δὲ ἀφεῖναι πάλιν τὴν πληγὴν ἀνίατον, χαλεπόν· διόπερ μετὰ βαρύτητος ἀπολογεῖται. Τοῦτο γὰρ οὐ μόνον οὐκ ἐξαιρεῖ τὴν τομήν, ἀλλὰ καὶ ἐνδοτέρω ποιεῖ καταδῦναι τῆς πληγῆς τὴν ἀλγηδόνα παραμυθούμενον ἅπασαν· ὁ γὰρ ἀκούσας ὅτι οὐκ ὀνειδίζων, ἀλλ' ἀγαπῶν ταῦτα λέγει, μᾶλλον καταδέχεται τὴν διόρθωσιν.

Πολλὴ δὲ καὶ ἐνταῦθα ἡ βαρύτης καὶ ἡ ἐντροπή. Οὐ γὰρ εἶπεν, ὡς διδάσκαλος οὐδὲ ὡς ἀπόστολος οὐδὲ ὡς μαθητὰς ἔχων, ὅπερ τῆς ἀξίας ἦν, ἀλλ' «ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ»· καὶ οὐχ ἁπλῶς τέκνα, ἀλλὰ ποθούμενα. Σύγγνωτέ μοι, φησί· καὶ εἴ τι φορτικὸν εἴρηται, ἐξ ἀγάπης ταῦτα γίνεται. Καὶ οὐκ εἶπεν, ἐπιτιμῶ, ἀλλὰ «νουθετῶ». Τίς δὲ οὐκ ἂν ἀνάσχοιτο πατρὸς ἀλγοῦντος καὶ τὰ δέοντα συμβουλεύοντος; Διὰ τοῦτο οὐ πρότερον εἶπε τοῦτο, ἀλλ' ὅτε τὴν πληγὴν ἔδωκε. Τί οὖν, ἀφειδοῦσιν ἡμῶν οἱ ἄλλοι διδάσκαλοι; φησίν. Οὐ τοῦτο λέγω, ἀλλ' οὐχ οὕτω φείδονται. Ἀλλὰ τοῦτο μὲν συντόμως οὐκ εἶπε, διὰ δὲ τῶν

---

4. Φιλοσοφία: Βλ. σχόλ. 18 τοῦ Β' λόγου τοῦ παρόντος.
5. Α' Κορ. 4,14.

Τὰ λεγόμενα δεικνύουν ἄνθρωπον ποὺ βαρυθυμεῖ, ὅμως δὲν θλίβεται ὁ ἴδιος, ἀλλὰ ποὺ θέλει ἐκείνους νὰ πλήξῃ. Αὐτὸς δηλαδὴ ἔχει μυρίους λόγους νὰ τοὺς κατηγορήσῃ, καὶ ὅμως τοὺς ἀσπάζεται. Διὰ τοῦτο καὶ ὁ Χριστὸς παραγγέλλει νὰ ὑπομένωμεν τὰς ὕβρεις μὲ πραότητα, διὰ νὰ ζῶμεν καὶ ἡμεῖς οἱ ἴδιοι μὲ φιλοσοφίαν[4] καὶ διὰ νὰ κάμωμεν ἐκείνους νὰ ἐντραποῦν περισσότερον· διότι τοῦτο τὸ ἐπιτυγχάνει κανεὶς ὄχι μόσον μὲ ὕβρεις ὅσον μὲ τὴν σιωπήν.

3. Ἔπειτα, ἐπειδὴ εἶδεν ὅτι ἡ πληγὴ ἦτο ἀφόρητος, ταχέως τὴν ἐθεράπευσε μὲ τὸ νὰ εἴπῃ· «Τὰ γράφω αὐτὰ ὄχι διὰ νὰ σᾶς προκαλέσω ἐντροπήν, ἀλλὰ σᾶς συμβουλεύω ὡς τέκνα μου ἀγαπητά»[5]. Δηλαδή, δὲν τὰ λέγω αὐτά, λέγει, διὰ νὰ σᾶς ἐντροπιάσω. Αὐτὸ ποὺ ἔκανε διὰ τῶν λόγων ἰσχυρίζεται ὅτι δὲν τὸ ἔχει κάνει, μᾶλλον δὲ λέγει ὅτι τὸ ἔχει κάνει μέν, ἀλλ' ὅμως ὄχι μὲ πονηρὰν διάθεσιν καὶ μῖσος· διότι εἶναι ἀρίστη ἡ θεραπεία αὐτή, δηλαδή, ἀφοῦ εἴπῃ κανεὶς ὅ,τι θέλει, νὰ προσθέσῃ τὴν δικαιολόγησιν τῆς σκέψεώς του. Διότι, τὸ νὰ μὴ ὁμιλήσῃ δὲν ἦτο δυνατόν, ἐπειδὴ θὰ παρέμεναν ἀδιόρθωτοι, τὸ νὰ ὁμιλήσῃ ὅμως καὶ νὰ ἀφήσῃ πάλιν ἀνίατον τὴν πληγὴν θὰ ἦτο φοβερόν· διὰ τοῦτο ἀπολογεῖται μὲ σοβαρότητα. Καὶ τοῦτο ὄχι μόνον δὲν ματαιώνει τὴν τομήν, ἀλλὰ τὴν κάμνει νὰ πάῃ βαθύτερα εἰς τὴν πληγήν, καθὼς μετριάζει ὅλον τὸν πόνον· διότι ἐκεῖνος ποὺ ἤκουσεν ὅτι τὰ λέγει αὐτὰ ὄχι ἀπὸ διάθεσιν χλευασμοῦ ἀλλὰ ἀπὸ ἀγάπην, δέχεται περισσότερον τὴν διόρθωσιν.

Καὶ ἐδῶ ἐπίσης ὑπάρχει πολλὴ σοβαρότης καὶ ἐντροπή. Δηλαδὴ δὲν εἶπεν ὡς διδάσκαλος οὔτε ὡς ἀπόστολος οὔτε ὡς μαθητὰς ποὺ τοὺς εἶχε —πρᾶγμα τὸ ὁποῖον τὸ ἤξιζεν—, ἀλλὰ «σᾶς συμβουλεύω ὡς τέκνα μου ἀγαπητά»· καὶ δὲν τοὺς ὠνόμασεν ἁπλῶς τέκνα, ἀλλὰ ποθητὰ τέκνα. «Συγχωρέσατέ με, τοὺς λέγει, καὶ ἂν ἔχω εἴπει κάτι βαρύ, τὸ εἶπα ἀπὸ ἀγάπην. Καὶ δὲν εἶπε 'σᾶς ἐπικρίνω', ἀλλὰ «σᾶς συμβουλεύω». Καὶ ποῖος δὲν θὰ ἐδέχετο νὰ ἀκούσῃ ἕνα πατέρα ποὺ στενοχωρεῖται καὶ συμβουλεύει τὰ πρέποντα; Διὰ τοῦτο δὲν εἶπε τοῦτο προηγουμένως, ἀλλ' ἀφοῦ τοὺς ἐπέπληξε. Τί λοιπόν; θὰ ἔλεγε κάποιος· δὲν ἐνδιαφέρονται δι' ἐμᾶς οἱ ἄλλοι διδάσκαλοι; Δὲν ἐννοῶ τοῦτο, ἀλλὰ δὲν ἐνδιαφέρονται τόσον πολύ. Ἀλλὰ τοῦτο μὲν δὲν τὸ εἶπεν ἀμέσως, τὸ ὑπεδη-

ἐπιτηδευμάτων καὶ τῶν ὀνομάτων αὐτὸ ἐνέφηνε τὸν παιδαγωγὸν καὶ τὸν πατέρα θείς.

«Ἐὰν γάρ», φησί, «πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας». Οὐ τὸ ἀξίωμα ἐμφαίνει ἐνταῦθα, ἀλλὰ τῆς ἀγάπης τὴν ὑπερβολήν. Καὶ οὐδὲ ἐκείνους ἔπληξε τὸ «ἐν Χριστῷ» προσθείς, ἀλλὰ καὶ παρεμυθήσατο αὐτοὺς οὐχὶ κόλακας, ἀλλὰ παιδαγωγοὺς εἰπὼν τοὺς σπουδάζοντας καὶ ἀνεχομένους τῶν πόνων· καὶ τὴν ἑαυτοῦ κηδεμονίαν ἐπεδείξατο. Καὶ οὐκ εἶπεν, ἀλλ' οὐ πολλοὺς διδασκάλους, ἀλλ' οὐ πατέρας. Οὕτως οὐκ ἀξίωμα θεῖναι ἐβούλετο οὐδὲ ὅτι πλείονα παρ' αὐτοῦ ὠφέληντο διδάξαι· ἀλλὰ συγχωρήσας ἐκείνοις τὰ πολλὰ περὶ αὐτοὺς πεπονηκέναι — τοιοῦτον γὰρ ὁ παιδαγωγός — τὴν τῆς ἀγάπης ὑπερβολὴν ἑαυτῷ ταμιεύεται· τοιοῦτον γὰρ ὁ πατήρ. Καὶ οὐ λέγει μόνον ὅτι οὐδεὶς ὑμᾶς οὕτω φιλεῖ, ὅπερ ἀνεύθυνον ἦν, ἀλλὰ καὶ πρᾶγμα γεγονὸς εἰς μέσον ἄγει. Ποῖον δὴ τοῦτο; «Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα».

«Ἐν Χριστῷ Ἰησοῦ»· οὐκ ἐμαυτῷ τοῦτο λογίζομαι. Πάλιν τοὺς ἑαυτοῖς ἐπιφημίζοντας τὴν διδασκαλίαν πλήττει. «Ὑμεῖς γάρ ἐστε, φησίν, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς». Καὶ πάλιν «ἐγὼ ἐφύτευσα», καὶ ἐνταῦθα «ἐγὼ ἐγέννησα». Οὐκ εἶπε, κατήγγειλα τὸν λόγον, ἀλλ' «ἐγὼ ἐγέννησα» τοῖς τῆς φύσεως ὀνόμασι κεχρημένος. Ἓν γὰρ ἐσπούδαζε, τὴν ἀγάπην ἐπιδείξασθαι, ἣν περὶ αὐτοὺς εἶχεν. Ἐκεῖνοι μὲν γὰρ παρ' ἐμοῦ δεξάμενοι ἐνήγαγον ὑμᾶς· τὸ δὲ εἶναι πιστούς, δι' ἐμοῦ γέγονεν. Ἐπειδὴ γὰρ εἶπεν «ὡς τέκνα», ἵνα μὴ κολακείας εἶναι νομίσῃς τὸ ῥῆμα, παρίστησι καὶ τὸ πρᾶγμα. «Παρακαλῶ ὑμᾶς, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ». Βαβαί, πόση τοῦ διδασκάλου ἡ παρρησία· πῶς ἀπηκριβωμένη ἡ εἰκών, ὅταν καὶ ἑτέροις ἐπὶ τοῦτο παρακαλῇ. Οὐκ ἐπαίρων δὲ ἑαυτὸν τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς εὔκολον οὖσαν τὴν ἀρετήν.

Μὴ γάρ μοι εἴπῃς ὅτε οὐ δύναμαί σε μιμήσασθαι· σὺ

---

6. αὐτ. 15. 7. αὐτ. 9,2.
8. αὐτ. 4,16, πρβλ. καὶ Α' Κορ. 11,1.

λωσεν ὅμως μὲ τὴν ἰδιότητα καὶ τὸ ὄνομα μὲ τὸ νὰ χρησιμοποιήση τὰς λέξεις «παιδαγωγόν» καὶ «πατέρα».

«Διότι», λέγει, «καὶ ἂν ἀκόμη ἔχητε πολλοὺς παιδαγωγοὺς ἐν Χριστῷ, πάντως δὲν ἔχετε πολλοὺς πατέρας»[6]. Ἐδῶ δὲν ὑποδηλώνει τὸ ἀξίωμα, ἀλλὰ τὸ ὑπερβολικὸν μέγεθος τῆς ἀγάπης. Καὶ μὲ τὸ νὰ προσθέσῃ τὸ «ἐν Χριστῷ» δὲν ἔθιξε ἐκείνους, ἀλλὰ καὶ ἐνεθάρρυνεν αὐτοὺς μὲ τὸ νὰ ὀνομάσῃ ὄχι κόλακας, ἀλλὰ παιδαγωγοὺς ἐκείνους, οἱ ὁποῖοι εἰργάζοντο μὲ προθυμίαν καὶ ἀνελάμβανον τοὺς κόπους· συγχρόνως ὑπεδήλωσε καὶ τὴν ἰδικήν του φροντίδα. Καὶ δὲν εἶπεν 'ἀλλ' ὅμως δὲν ἔχετε πολλοὺς διδασκάλους', ἀλλ' εἶπεν «δὲν ἔχετε πολλοὺς πατέρας». Ἔτσι δὲν ἤθελε νὰ ἀναφέρῃ τὸ ἀξίωμά του οὔτε νὰ ὑπενθυμίσῃ ὅτι ἀπὸ αὐτὸν εἶχον ὠφεληθῆ περισσότερον, ἀλλά, ἀφοῦ συνσνεχώρησεν ἐκείνους διὰ τὸ ὅτι πολὺ εἶχε κοπιάσει πρὸς χάριν των —διότι τέτοιος πρέπει νὰ εἶναι ὁ παιδαγωγός— κρατεῖ διὰ τὸν ἑαυτόν του τὴν ὑπερβολικὴν ἀγάπην· διότι τέτοιος πρέπει νὰ εἶναι ὁ πατέρας. Καὶ δὲν λέγει ὅτι 'κανεὶς δὲν σᾶς ἀγαπᾷ τόσον πολύ', πρᾶγμα τὸ ὁποῖον θὰ ἦτο ἀνεύθυνον, ἀλλ' ἀναφέρει κάποιο συγκεκριμένον γεγονός. Ποῖον λοιπὸν εἶναι τοῦτο; «Διότι ἐγὼ σᾶς ἐγέννησα ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου».

«Ἐν Χριστῷ Ἰησοῦ»· δὲν τὸ θεωρῶ ἔργον ἰδικόν μου. Πάλιν πλήττει ἐκείνους, οἱ ὁποῖοι ἀπέδιδον εἰς τὸν ἑαυτόν των τὴν ἐπιτυχίαν τῆς διδασκαλίας. «Διότι σεῖς εἴσθε ἡ σφραγὶς τῆς ἀποστολῆς μου»[7]. Καὶ πάλιν «ἐγὼ σᾶς ἐφύτευσα», καὶ ἐδῶ «ἐγὼ σᾶς ἐγέννησα». Δὲν εἶπεν 'ἐκήρυξα τὸ Εὐαγγέλιον εἰς σᾶς', ἀλλ' «ἐγὼ σᾶς ἐγέννησα», χρησιμοποιῶν ὅρους τῆς φύσεως. Δηλαδή, δι' ἓν ἐφρόντιζε συνεχῶς, νὰ δείξῃ τὴν ἀγάπην, τὴν ὁποίαν ἔτρεφε δι' αὐτούς. Δηλαδή, ἐκεῖνοι μέν, ἀφοῦ σᾶς παρέλαβον ἀπὸ ἐμένα ἐσυνέχισα τὴν καθοδήγησιν· δηλαδὴ εἶπεν «ὡς τέκνα», διὰ νὰ μὴ νομίσῃς ὅτι τὸ εἶπε, διὰ νὰ τοὺς κολακεύσῃ, ἀναφέρει καὶ τὴν αἰτίαν. «Σᾶς παρακαλῶ, νὰ γίνετε μιμηταί μου, ὅπως ἐγὼ ἔγινα μιμητὴς τοῦ Χριστοῦ»[8]. Πώ, πώ, πόση εἶναι ἡ παρρησία τοῦ διδασκάλου· πόσον σαφὴς εἶναι ἡ εἰκών, ἐφ' ὅσον καὶ ἄλλους παρακαλεῖ δι' αὐτό! Καὶ δὲν τὸ κάμνει αὐτὸ ἀπὸ ὑπερηφάνειαν, ἀλλὰ δεικνύει ὅτι εἶναι εὔκολος ἡ ἀρετή.

Μὴ μοῦ εἴπῃς λοιπὸν ὅτι, Δὲν δύναμαι νὰ σὲ μιμηθῶ, διότι

διδάσκαλος εἶ καὶ μέγας. Οὐ γάρ ἐστι τοσοῦτον τὸ μέσον ἐμοῦ πρὸς ὑμᾶς, ὅσον τοῦ Χριστοῦ πρὸς ἐμέ· ἀλλ' ὅμως ἐμιμησάμην ἐκεῖνον ἐγώ. Ὅταν μὲν οὖν Ἐφεσίοις γράφῃ, οὐ τίθησι μέσον ἑαυτόν, ἀλλ' εὐθὺς αὐτοὺς ἐκεῖ πάντας ἀπάγει. «Γίνεσθε μιμηταὶ τοῦ Θεοῦ» λέγων· ἐνταῦθα δέ, ἐπειδὴ πρὸς ἀσθενεῖς ἦν ὁ λόγος αὐτῷ, ἑαυτὸν παρενέβαλε. Καὶ ἄλλως δέ, δείκνυσιν ὅτι ἔνι καὶ οὕτω τὸν Χριστὸν μιμήσασθαι. Ὁ γὰρ τὴν σφραγῖδα μιμησάμενος τὴν ἀπηκριβωμένην τὸ ἀρχέτυπον ἐμιμήσατο.

4. Ἴδωμεν οὖν πῶς αὐτὸς ἐμιμήσατο τὸν Χριστόν. Ἡ γὰρ μίμησις αὕτη οὐ χρόνων δεῖται καὶ τέχνης, ἀλλὰ προαιρέσεως μόνης. Εἰς ζωγράφου μὲν γὰρ εἰσελθόντες οὐ δυνησόμεθα μιμήσασθαι τὴν εἰκόνα, κἂν μυριάκις ἴδωμεν· τοῦτον δὲ καὶ ἐξ ἀκροάσεως μόνης ἔνι μιμήσασθαι. Οὐκοῦν βούλεσθε τὸν πίνακα εἰς μέσον ἀγαγόντες, ὑπογράψωμεν ἐφ' ὑμῶν τὴν πολιτείαν Παύλου; Προκείσθω τοίνυν ὁ πίναξ πολὺ λαμπρότερος ὢν τῶν βασιλικῶν εἰκόνων. Τὸ γὰρ ὑποκείμενον οὐ σανίδες κεκολλημέναι οὐδὲ σινδόνες ἐπικείμεναι, ἀλλ' ἔργον Θεοῦ τὸ ὑποκείμενον· ψυχὴ γάρ ἐστι καὶ σῶμα. Ψυχὴ Θεοῦ ἔργον, οὐκ ἀνθρώπων, καὶ σῶμα πάλιν ὁμοίως. Ἐκροτήσατε ἐνταῦθα; Ἀλλ' οὐκ ἐνταῦθα τῶν κρότων ὁ καιρός, ἀλλ' ἐπὶ τῶν ἑξῆς καὶ τοῦ κροτῆσαι καὶ τοῦ ζηλῶσαι. Τέως γὰρ ἡ ὕλη ὑπόκειται κοινὴ πρὸς ἅπαντας οὖσα. Ψυχὴ γὰρ ψυχῆς οὐδὲν διαφέρει, καθὸ ψυχή, ἀλλ' ἡ προαίρεσις δείκνυσι τὴν διαφοράν. Ὥσπερ γὰρ σῶμα σώματος, καθό ἐστι σῶμα, οὐδὲν διενήνοχεν, ἀλλ' ὅμοιόν ἐστι καὶ τὸ τοῦ Παύλου καὶ τὸ τῶν πολλῶν, οἱ δὲ κίνδυνοι φαιδρότερον ἐργάζονται τοῦτο ἐκείνου· οὕτω δὴ καὶ ἐπὶ ψυχῆς.

Ὑποκείσθω τοίνυν ὁ πίναξ ἡμῖν, ἡ ψυχὴ ἡ Παύλου. Οὗτος ὁ πίναξ ἔκειτο πρώην ἠσβολωμένος, ἀραχνίων γέμων· οὐδὲν γὰρ βλασφημίας χεῖρον. Ἐπειδὴ δὲ ἦλθεν ὁ πάντα μετασκευάζων καὶ εἶδεν οὐ παρὰ ῥᾳθυμίαν καὶ βλα-

9. Ἐφ. 5,1.

σὺ εἶσαι διδάσκαλος καὶ μέγας. Ἡ ἀπόστασις μεταξύ μας δὲν εἶναι τόσον μεγάλη ὅσον μεταξὺ Χριστοῦ καὶ ἐμοῦ· καὶ ὅμως ἐγὼ ἐμιμήθην ἐκεῖνον. Ὅταν μὲν γράφῃ πρὸς τοὺς Ἐφεσίους, δὲν θέτει τὸν ἑαυτόν του εἰς τὸ μέσον, ἀλλὰ κατ' εὐθεῖαν ὅλους αὐτοὺς τοὺς ὁδηγεῖ ἐκεῖ λέγων· «Νὰ γίνεσθε μιμηταὶ τοῦ Θεοῦ»[9]· ἐδῶ ὅμως, ἐπειδὴ ἀπηυθύνετο πρὸς ἀδυνάτους εἰς τὴν πίστιν, παρενέβαλε τὸν ἑαυτόν του. Ἀλλὰ πάντως δεικνύει ὅτι καὶ ἔτσι εἶναι δυνατὸν νὰ μιμηθοῦν τὸν Χριστόν, διότι ἐκεῖνος ποὺ ἐμιμήθη τὴν ἀκριβῆ σφραγῖδα ἐμιμήθη τὸ πρωτότυπον.

4. Ἂς ἴδωμεν λοιπὸν πῶς ἐμιμήθη τὸν Χριστόν· διότι ἡ μίμησις αὐτὴ δὲν χρειάζεται χρόνους καὶ τέχνην, ἀλλὰ μόνον διάθεσιν. Ἐὰν δηλαδὴ εἰσέλθωμεν εἰς ἐργαστήριον ζωγράφου, δὲν θὰ ἠμπαρέσωμεν νὰ μιμηθῶμεν τὴν εἰκόνα, ἀκόμη καὶ ἂν τὴν ἴδωμεν μυριάκις· τοῦτον ὅμως δυνάμεθα νὰ τὸν μιμηθῶμεν καὶ μόνον ἐξ ἀκροάσεως. Θέλετε λοιπὸν νὰ φέρωμεν τὸν πίνακα εἰς τὸ μέσον καὶ νὰ σχεδιάσωμεν ἐπάνω σας τὴν πολιτείαν τοῦ Παύλου; Ἂς τεθῇ λοιπὸν ἐμπρὸς ὁ πίναξ ποὺ εἶναι πολὺ λαμπρότερος ἀπὸ τὰς βασιλικὰς εἰκόνας. Αὐτὸ λοιπὸν ποὺ εὑρίσκεται ἐμπρός μας δὲν εἶναι σανίδες κολλημέναι οὔτε ὕφασμα τοποθετημένον ἐπάνω εἰς αὐτάς, ἀλλὰ τοῦτο ἐδῶ ἐμπρός μας εἶναι ἔργον Θεοῦ, διότι εἶναι ψυχὴ καὶ σῶμα. Ἡ ψυχὴ εἶναι ἔργον τοῦ Θεοῦ, ὄχι ἀνθρώπων, ὅπως ἐπίσης καὶ τὸ σῶμα. Ἐχειροκροτήσατε εἰς τὸ σημεῖον τοῦτο; Ὅμως δὲν εἶναι ἐδῶ καιρὸς διὰ χειροκροτήματα, ἀλλὰ χρειάζεται νὰ χειροκροτήσετε καὶ νὰ ποθήσετε μὲ ζῆλον τὰ ἑξῆς: Κατὰ πρῶτον, ἡ ὕλη εἶναι κατωτέρα, ἐφ' ὅσον εἶναι κοινὴ εἰς ὅλους. Μία ψυχὴ δηλαδὴ δὲν διαφέρει καθόλου ἀπὸ ἄλλην ψυχήν, ἐπειδὴ εἶναι καὶ αὐτὴ ψυχή, ἀλλὰ ἡ διάθεσις δεικνύει τὴν διαφοράν. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνα σῶμα δὲν διαφέρει ἀπὸ ἄλλο σῶμα —διότι καὶ αὐτὸ εἶναι σῶμα— ἀλλὰ εἶναι ὅμοιον τὸ σῶμα καὶ τοῦ Παύλου καὶ τῶν πολλῶν ἀνθρώπων, καὶ μάλιστα οἱ κίνδυνοι κάμνουν τοῦτο λαμπρότερον ἀπὸ ἐκεῖνο, ἔτσι συμβαίνει καὶ μὲ τὴν ψυχήν.

Ἂς τεθῇ λοιπὸν ἐνώπιον μας ὁ πίναξ, ἡ ψυχὴ τοῦ Παύλου. Αὐτὸς ὁ πίναξ προηγουμένως ἦτο μαυρισμένος, γεμᾶτος μὲ ἀράχνας, διότι δὲν ὑπάρχει τίποτε χειρότερον ἀπὸ τὴν βλασφημίαν. Ὅταν ὅμως ἦλθεν ἐκεῖνος ποὺ μεταμορφώνει τὰ πάντα καὶ εἶδεν

κείαν οὕτω διαγραφέντα, ἀλλὰ παρὰ ἀπειρίαν καὶ τὸ μὴ ἔχειν τὰ ἄνθη τῆς εὐσεβείας — ζῆλον μὲν γὰρ εἶχε, τὰ δὲ χρώματα οὐ παρῆν· οὐ γὰρ κατ' ἐπίγνωσιν τὸν ζῆλον εἶχε —δίδωσιν αὐτῷ τῆς ἀληθείας τὸ ἄνθος, τουτέστι τὴν χάριν, καὶ ἀθρόον βασιλικὴν ἀπέδειξε τὴν εἰκόνα. Λαβὼν γὰρ τὰ χρώματα καὶ μαθὼν ἅπερ ἠγνόει, οὐκ ἀνέμεινε χρόνον, ἀλλ' εὐθέως ἐφάνη τεχνίτης ἄριστος. Καὶ πρῶτον δείκνυσι τὴν κεφαλὴν βασιλικὴν τὸν Χριστὸν κηρύττων· εἶτα καὶ τὸ λοιπὸν σῶμα τὸ τῆς πολιτείας τῆς ἀκριβοῦς. Οἱ μὲν οὖν ζωγράφοι κατακλείσαντες ἑαυτοὺς μετὰ πολλῆς τῆς ἡσυχίας καὶ ἀκριβείας ἅπαντα πράττουσιν οὐδενὶ τὰς θύρας παρανοίγοντες· οὗτος δὲ ἐν μέσῳ τῆς οἰκουμένης τὸν πίνακα προθεὶς πάντων ἐναντιουμένων, θορυβούντων, ταραττόντων, οὕτως εἰργάζετο τὴν βασιλικὴν ταύτην εἰκόνα καὶ οὐκ ἐκωλύετο. Διὸ καὶ ἔλεγε· «Θέατρον ἐγενήθημεν τῷ κόσμῳ» ἐν μέσῳ γῆς καὶ θαλάσσης καὶ τοῦ οὐρανοῦ καὶ τῆς οἰκουμένης ἁπάσης καὶ τοῦ κόσμου τοῦ τε αἰσθητοῦ τοῦ τε νοητοῦ τὴν εἰκόνα ζωγραφῶν.

Βούλεσθε καὶ τὰ λοιπὰ μέρη ταύτης ἰδεῖν, τὰ ἀπὸ τῆς κεφαλῆς κάτω; ἢ βούλεσθε κάτωθεν τὸν λόγον ἀναγάγωμεν; Θέα τοίνυν ἀνδριάντα χρυσοῦν, μᾶλλον δὲ καὶ τούτου τιμιώτερον, καὶ οἷον ἐν οὐρανῷ ἑστάναι εἰκός, οὐ μολύβδῳ προσδεδεμένον, οὐδὲ ἑνὶ ἐνιδρυμένον χωρίῳ, ἀλλ' ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ τρέχοντα καὶ εἰς Ἱσπανίαν ἀπιόντα καὶ πανταχοῦ τῆς οἰκουμένης καθάπερ ὑπόπτερον φερόμενον. Τί γὰρ τῶν ποδῶν τούτων ὡραιότερον γένοιτ' ἄν, τῶν ἅπασαν ἐπελθόντων τὴν ὑφ' ἡλίῳ κειμένην γῆν; Ταύτην τὴν ὡραιότητα καὶ ὁ προφήτης ἄνωθεν κηρύττει λέγων· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην». Εἶδες πῶς καλοὶ οἱ πόδες;

Θέλεις καὶ τὸ στῆθος ἰδεῖν; Δεῦρό σοι δείξω καὶ τοῦ-

---

10. Ὁ Λουκᾶς εἰς τὰς Πράξεις τῶν Ἀποστόλων τερματίζει τὴν διήγησίν του περὶ τοῦ Παύλου μὲ τὴν ἄφιξιν τοῦ Ἀποστόλου εἰς τὴν Ρώμην καὶ τὴν ἐκεῖ φυλάκισίν του. Ἡ Παράδοσις ὅμως τῆς Ἐκκλησίας μὲ ἀρχαιότερον μάρτυρα τὸν Κλήμεντα Ρώμης (2ος αἰ. μ.Χ.) γνωρίζει καὶ τετάρτην περιοδείαν τοῦ Ἀποστόλου Παύλου, κατὰ τὴν ὁποίαν ἔφθασεν ἕως τὴν Ἱσπανίαν πραγματοποιήσας ἔτσι παλαιὰν πρόθεσίν του (Ρωμ. 15,28)· αὐτὴν τὴν

ὅτι ὁ Παῦλος διεμορφώθη ἔτσι ὄχι ἀπὸ ραθυμίαν καὶ μωρίαν, ἀλλὰ ἀπὸ ἀπειρίαν καὶ ἀπὸ ἔλλειψιν ἀνθέων τῆς εὐσεβείας —διότι εἶχε μὲν ζῆλον, ἀλλὰ τὰ ἄνθη δὲν εἶχον χρώματα, ἐφ' ὅσον ὁ ζῆλος του δὲν ἦτο κατ' ἐπίγνωσιν— τοῦ δίδει τὸ ἄνθος τῆς ἀληθείας, δηλαδὴ τὴν χάριν, καὶ ἀμέσως ἔχαμε βασιλικὴν τὴν εἰκόνα. Ἀφοῦ δηλαδὴ ἔλαβε τὰ χρώματα καὶ ἀφοῦ ἔμαθεν ὅσα ἠγνόει, δὲν ἔχασε χρόνον, ἀλλ' ἀμέσως ἀπεδείχθη τεχνίτης ἄριστος. Καὶ κατὰ πρῶτον μὲ τὸ νὰ κηρύττῃ τὸν Χριστὸν δεικνύει ὅτι ἡ κεφαλή του εἶναι βασιλική· ἔπειτα ὅτι καὶ τὸ ὑπόλοιπον σῶμα ἀνήκει εἰς τὴν ἀκριβῆ πολιτείαν. Λοιπόν, οἱ μὲν ζωγράφοι, ἀφοῦ κλεισθοῦν καλῶς μέσα εἰς τὴν οἰκίαν των μὲ πολλὴν ἡσυχίαν καὶ ἀκρίβειαν ἐγράζονται ὅλον τὸ ἔργον χωρὶς νὰ ἀνοίγουν εἰς κανένα τὰς θύρας· αὐτὸς ὅμως, ἀφοῦ ἐτοποθέτησε τὸν πίνακα εἰς τὸ μέσον τῆς οἰκουμένης καὶ ἐνῷ ὅλοι ἠναντιοῦντο, ἐθορύβουν, προεκάλουν ταραχήν, ἐζωγράφιζεν ἔτσι αὐτὴν τὴν βασιλικὴν εἰκόνα χωρὶς κανένα ἐμπόδιον. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐγίναμεν θέαμα εἰς τὸν κόσμον» εἰς τὸ μέσον τῆς γῆς καὶ τῆς θαλάσσης καὶ τοῦ οὐρανοῦ καὶ ὅλης τῆς οἰκουμένης καὶ τοῦ κόσμου καὶ τοῦ αἰσθητοῦ καὶ τοῦ νοητοῦ, καθὼς ἐζωγράφιζε τὴν εἰκόνα.

Θέλετε νὰ ἴδητε καὶ τὰ ὑπόλοιπα μέρη αὐτῆς κάτω ἀπὸ τὴν κεφαλήν; ἢ θέλετε νὰ ἀρχίσωμεν ἀπὸ κάτω πρὸς τὰ ἐπάνω; Κοιτάξατε λοιπὸν μὲ θαυμασμὸν ἕνα χρυσοῦν ἀνδριάντα, μᾶλλον δὲ πολυτιμώτερον καὶ ἀπὸ αὐτόν, ποὺ θὰ ἔπρεπε νὰ εἶχε στηθῆ εἰς τὸν οὐρανόν, καὶ ὅμως δὲν εἶναι δεμένος μὲ μόλυβδον οὔτε τοποθετημένος εἰς ἕνα τόπον, ἀλλὰ τρέχει ἀπὸ τὴν Ἰερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ καὶ εἰς τὴν Ἱσπανίαν[10] πηγαίνει καὶ εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης ἔρχεται ὡς νὰ ἔχῃ πτερά. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ὡραιότερον ἀπὸ αὐτὰ τὰ πόδια, τὰ ὁποῖα ἐβάδισαν εἰς ὅλην τὴν γῆν, ποὺ εὑρίσκεται κάτω ἀπὸ τὸν ἥλιον; Αὐτὴν τὴν ὡραιότητα διακηρύττει ἀπὸ τὴν παλαιὰν ἐποχὴν καὶ ὁ προφήτης λέγων· «Πόσον ὡραῖα εἶναι τὰ πόδια αὐτῶν ποὺ εὐαγγελίζονται εἰρήνην»[11]. Εἶδες διατί εἶναι καλὰ τὰ πόδια;

Θέλεις νὰ ἴδῃς καὶ τὸ στῆθος; Ἔλα ἐδῶ νὰ σοῦ δείξω καὶ

παράδοσιν φαίνεται ὅτι δέχεται ἐδῶ καὶ ὁ Ἱερὸς Χρυσόστομος.

11. Ἡσ. 52,7.

το, καὶ πολλῷ λαμπρότερον ὄψει τῶν ποδῶν τούτων τῶν ὡραίων καὶ αὐτῶν τῶν τοῦ παλαιοῦ νομοθέτου στέρνων. Μωϋσῆς μὲν πλάκας ἐβάσταζε λιθίνας, οὗτος δὲ αὐτὸν ἔνδοθεν εἶχε τὸν Χριστόν, αὐτὴν τὴν βασιλικὴν ἔφερεν εἰκόνα. Καὶ τοῦ ἱλαστηρίου διὰ τοῦτο καὶ τῶν Χερουβὶμ σεμνότερος ἦν. Οὐ γὰρ τοιαύτη ἐφέρετο ἐκεῖθεν φωνή, οἵα ἐντεῦθεν, ἀλλ' ἐκεῖθεν μὲν τὰ πλείονα περὶ αἰσθητῶν διελέγετο, ἀπὸ δὲ τῆς Παύλου γλώττης περὶ τῶν ὑπὲρ τοὺς οὐρανοὺς πραγμάτων· καὶ ἀπὸ μὲν τοῦ ἱλαστηρίου Ἰουδαίοις ἐχρημάτιζε μόνοις, ἐντεῦθεν δὲ τῇ οἰκουμένῃ πάσῃ· κἀκεῖ μὲν δι' ἀψύχων, ἐνταῦθα δὲ διὰ ψυχῆς ἐναρέτου.

Τοῦτο καὶ οὐρανοῦ λαμπρότερον ἦν τὸ ἱλαστήριον οὐ ποικιλίᾳ ἄστρων καταλαμπόμενον οὐδὲ ἀκτῖσιν ἡλιακαῖς, ἀλλ' αὐτὸν τὸν ἥλιον τῆς δικαιοσύνης ἔχον ἐκεῖθεν ἀφιέντα τὰς ἀκτῖνας. Καὶ τοῦτον μὲν τὸν οὐρανὸν νέφος ὑποδραμόν ποτε σκυθρωπότερον ἐργάζεται, τὸ δὲ στῆθος ἐκεῖνο οὐδεὶς ὑπέδραμέ ποτε χειμὼν τοιοῦτος· μᾶλλον δὲ ὑπέδραμον μὲν πολλοὶ πολλάκις χειμῶνες, τὸ δὲ φῶς οὐκ ἐπεσκότισαν, ἀλλ' ἐν μέσῳ τῷ πειρασμῷ καὶ τοῖς κινδύνοις τὸ φῶς ἀπέλαμπε τοῦτο. Διὸ καὶ αὐτὸς ἅλυσιν περικείμενος ἐβόα· «Ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται». Οὕτως ἀεὶ διὰ τῆς γλώττης ἐκείνης ἠφίει τὰς ἀκτῖνας, καὶ οὐ φόβος, οὐ κίνδυνος τὸ στῆθος ἐκεῖνο σκυθρωπὸν ἐποίει. Τάχα παρελαύνειν δοκεῖ τὸ στῆθος τοὺς πόδας, ἀλλὰ κἀκεῖνοι ὡς πόδες καλοί, καὶ τοῦτο ὡς στῆθος.

Βούλει καὶ γαστέρα ἰδεῖν ὡραίαν; Ἄκουσον τί φησι περὶ αὐτῆς. «Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα». «Καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ», «Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασι». Τί ταύτης τῆς γαστρὸς γένοιτ' ἂν ὡραιότερον τῆς οὕτω πεπαιδευμένης ἠρεμεῖν καὶ σωφρο-

---

12. Ἱλαστήριον (ἐπίθεμα): Τὸ κάλυμμα τῆς Κιβωτοῦ εἰς τὰ Ἅγια τῶν Ἁγίων (Ἐξ. 25,16 καὶ Λευϊτ. 16,2). 13. Β' Τιμ. 2,9. 14. Α' Κορ. 8,13. 15. Ρωμ. 14,21. 16. Α' Κορ. 6,13.

τοῦτο, καὶ θὰ ἴδῃς ὅτι εἶναι πολὺ λαμπρότερον ἀπὸ τοὺς ὡραίους αὐτοὺς πόδας καὶ ἀπὸ τὸ ἴδιν τὸ στῆθος τοῦ παλαιοῦ νομοθέτου. Ὁ Μωϋσῆς μὲν ἐβάσταζε λιθίνας πλάκας, αὐτὸς ὅμως εἶχε μέσα του τὸν ἴδιον τὸν Χριστόν, εἶχε τὴν ἰδίαν τὴν εἰκόνα τοῦ βασιλέως καὶ διὰ τοῦτο ἦτο σεβαστότερος καὶ ἀπὸ τὸ Ἱλαστήριον[12] καὶ ἀπὸ τὰ Χερουβίμ· διότι ἀπὸ ἐκεῖ δὲν προήρχετο τέτοια φωνὴ ὅπως ἀπὸ ἐδῶ, ἀλλ' ἡ μὲν φωνὴ ἐκείνων ὡμίλει κυρίως περὶ αἰσθητῶν πραγμάτων, ἡ γλῶσσα ὅμως τοῦ Παύλου ὡμίλει διὰ τὰ οὐράνια πράγματα· καὶ ἡ μὲν φωνὴ ποὺ προήρχετο ἀπὸ τὸ Ἱλαστήριον ἐδίδασκε τοὺς Ἰουδαίους μόνον, ἡ φωνὴ ὅμως τοῦ Παύλου ἐκήρυττεν εἰς ὅλην τὴν οἰκουμένην· ἐκείνη μὲν ἡ φωνὴ ὡμίλει μὲ ἄψυχα μέσα, αὐτὴ ἐδῶ ὅμως ἡ φωνὴ ὡμίλει μὲ ἐνάρετον ψυχήν.

Τοῦτο τὸ ἱλαστήριον ἦτο λαμπρότερον καὶ ἀπὸ τὸν οὐρανόν, ὄχι διότι ἤστραπτεν ἀπὸ τὴν ποικιλίαν τῶν ἄστρων οὔτε ἀπὸ τὰς ἡλιακὰς ἀκτῖνας, ἀλλὰ διότι εἶχε τὸν ἴδιον τὸν ἥλιον τῆς δικαιοσύνης ποὺ ἐξέπεμπεν ἀπὸ ἐκεῖ τὰς ἀκτῖνας. Καὶ τοῦτον μὲν τὸν οὐρανόν, ἐάν ποτε καλύψῃ ἕνα σύννεφον, τὸν κάμνει σκυθρωπότερον, ἐκεῖνο ὅμως τὸ στῆθος καμμία τέτοια κακοκαιρία ποτὲ δὲν κατέλαβε· μᾶλλον ὅμως πολλάκις πολλοὶ χειμῶνες τὸ ἔπληξαν, τὸ φῶς ὅμως δὲν τὸ ἐπεσκότισαν, ἀλλὰ μέσα εἰς τὸν πειρασμὸν καὶ τοὺς κινδύνους τοῦτο τὸ φῶς ἔλαμπεν ἀκτινοβόλον. Διὰ τοῦτο καὶ ἐνῷ ὁ ἴδιος ἦτο δεμένος μὲ ἁλυσίδας ἐφώναζεν· «Ὁ λόγος τοῦ Θεοῦ δὲν εἶναι δεμένος»[13]. Ἔτσι πάντοτε μὲ ἐκείνην τὴν γλῶσσαν ἐξέπεμπε τὰς ἀκτῖνας καὶ οὔτε φόβος οὔτε κίνδυνος ἔκαμνε σκυθρωπὸν τὸ στῆθος ἐκεῖνο. Ἴσως φαίνεται ὅτι τὸ στῆθος εἶναι ἀνώτερον ἀπὸ τοὺς πόδας, ἀλλὰ καὶ ἐκεῖνοι ὡς πόδες εἶναι καλοὶ καὶ τοῦτο ὡς στῆθος εἶναι καλόν.

Θέλεις νὰ ἴδῃς καὶ κοιλίαν ὡραίαν; Ἄκουσε τί λέγει περὶ αὐτῆς. «Ἐὰν τὸ φαγητόν μου σκανδαλίζῃ τὸν ἀδελφόν μου, δὲν θὰ φάγω ποτὲ κρέας[14]. «Εἶναι καλὸν νὰ μὴ φάγῃς κρέας οὔτε νὰ πίῃς οἶνον οὔτε νὰ κάμῃς κάτι τὸ ὁποῖον νὰ ἔχῃ ὡς ἀποτέλεσμα νὰ σκοντάψῃ ὁ ἀδελφός σου ἢ νὰ σκανδαλίζεται ἢ νὰ ἐξασθενήσῃ ἡ πίστις του»[15]. «Τὰ φαγητὰ εἶναι διὰ τὴν κοιλίαν καὶ ἡ κοιλία διὰ τὰ φαγητά»[16]. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ὡραιότερον ἀπὸ αὐτὴν τὴν κοιλίαν, ἡ ὁποία εἶχεν ἀσκηθῆ νὰ παραμένῃ ἤρεμος, εἶχε διδαχθῆ ὅλην τὴν σωφροσύνην καὶ ἡ ὁποία ἐγνώριζε καὶ νὰ πεινᾷ

σύνην πᾶσαν δεδιδαγμένης καὶ εἰδυίας καὶ πεινῆν καὶ λιμώττειν καὶ διψῆν; Καθάπερ γὰρ ἵππος εὔτακτος χρυσῆν ἡνίαν λαβών, οὕτω καὶ αὕτη εὔρυθμα ἐβάδιζε τῆς φύσεως τὴν ἀνάγκην νικήσασα· ὁ γὰρ Χριστὸς ἐβάδιζεν ἐν αὐτῇ. Ταύτης δὲ οὕτω σωφρονούσης εὔδηλον ὅτι καὶ ἡ ἄλλη πᾶσα κακία ἐλύετο.

5. Βούλει καὶ χεῖρας ἰδεῖν τὰς νῦν; ἢ βούλει τὴν προτέραν αὐτῶν πρότερον κακίαν θεάσασθαι; Εἰσερχμόενος οὗτος εἰς τὰς οἰκίας ἔσυρε πρώην ἄνδρας καὶ γυναῖκας, οὐχὶ ἀνδρὸς χεῖρας, ἀλλὰ θηρίου τινὸς ἔχων χαλεποῦ. Ἐπειδὴ δὲ τὰ χρώματα τῆς ἀληθείας ἔλαβε καὶ τὴν πνευματικὴν ἐμπειρίαν, οὐκέτι ἀνδρὸς ἐγένοντο αἱ χεῖρες αὗται, ἀλλὰ πνευματικαί, καθ' ἑκάστην ἡμέραν δεσμούμεναι ἁλύσεσι· καὶ ἔπληξαν μὲν οὐδένα ποτέ, ἐπλήγησαν δὲ μυριάκις. Ἠιδέσθη ποτὲ καὶ ἔχεις ταύτας τὰς χεῖρας· οὐ γὰρ ἦσαν ἀνθρώπου χεῖρες λοιπόν· διὰ τοῦτο οὐδὲ καθήψατο αὐτῶν.

Βούλει καὶ τὰ νῶτα ἰδεῖν τοῖς λοιποῖς ἐοικότα μέλεσιν; Ἄκουσον τί φησι καὶ περὶ αὐτῶν. «Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων, τρὶς ἐρραπίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα». Ἀλλ' ἵνα μὴ καὶ ἡμεῖς εἰς βυθὸν ἄπειρον ἐμπεσόντες πολλὰ περιενεχθῶμεν καθ' ἕκαστον αὐτοῦ τῶν μελῶν ἐπιόντες, δεῦρο ἀποστάντες τοῦ σώματος ἕτερον κάλλος ἴδωμεν τὸ ἀπὸ τῶν ἱματίων, ὃ καὶ δαίμονες ᾐδέσθησαν διὸ καὶ αὐτοὶ ἔφευγον, καὶ νοσήματα ἐδραπέτευε. Καὶ ὅπουπερ ἂν ἐφάνη Παῦλος, πάντα ὑπεχώρει καὶ ὑπεξίστατο καθάπερ τοῦ τῆς οἰκουμένης ἀριστέως παραγενομένου. Καὶ ὥσπερ οἱ πολλὰς λαβόντες ἐν πολέμῳ πληγάς, κἂν ὅπλον ἴδωσι τοῦ πλήξαντος αὐτούς, πεφρίκασιν· οὕτω δὴ καὶ οἱ δαίμονες· σιμικίνθια μόνον ὁρῶντες ἐξίσταντο.

Ποῦ νῦν εἰσιν οἱ πλουτοῦντες καὶ μέγα φρονοῦντες ἐπὶ χρήμασι; ποῦ οἱ τὰ ἀξιώματα ἑαυτῶν ἀριθμοῦντες καὶ τὰ ἱμάτια τὰ πολυτελῆ; Πρὸς ταῦτα παραβάλλοντες ἑαυτοὺς πηλὸν ὄψονται καὶ βόρβορον τὰ ἑαυτῶν ἅπαντα. Καὶ

17. Β' Κορ. 11,24-25.

καὶ νὰ λιμώττῃ καὶ νὰ διψᾷ; Ὅπως ἀκριβῶς δηλαδὴ βαδίζει ἕνας πειθαρχημένος ἵππος, ἂν τοῦ θέσουν χρυσᾶ ἡνία, ἔτσι καὶ αὐτὴ ἡ κοιλία ἐλειτούργει εὔρυθμα, ἀφοῦ ἐνίκησε τὴν ἀνάγκην ποὺ ὑπαγορεύει ἡ φύσις, διότι ὁ Χριστὸς ἐβάδιζε μέσα εἰς αὐτήν. Καὶ ἐφ' ὅσον αὐτὴ εἶχε τόσην σωφροσύνην, ἦτο ὁλοφάνερον ὅτι κατενικῶντο καὶ ὅλα τὰ ἄλλα μειονεκτήματα.

5. Θέλεις νὰ ἴδῃς καὶ τὰ χέρια ὅπως εἶναι τώρα; ἢ θέλεις κατ' ἀρχὴν νὰ θαυμάσῃς τὰ κακὰ ἔργα αὐτῶν τῶν χεριῶν κατὰ τὸ παρελθόν; Αὐτὸς εἰσερχόμενος εἰς τὰς οἰκίας κατὰ τὸ παρελθὸν ἔσυρεν ἄνδρας καὶ γυναῖκας, διότι εἶχε χέρια, ὄχι ἀνθρώπου, ἀλλὰ κάποιου ἀγρίου θηρίου. Ὅταν ὅμως ἔλαβε τὰ χρώματα τῆς ἀληθείας καὶ τὴν πνευματικὴν ἐμπειρίαν, τὰ χέρια αὐτὰ πλέον δὲν ἦσαν ἀνθρώπου, ἀλλὰ πνευματικὰ χέρια ποὺ καθημερινῶς ἦσαν δεμένα μὲ ἁλυσίδας· καὶ δὲν ἔπληξαν μὲν κανένα, ἐπλήγησαν ὅμως μυριάκις. Ἀκόμη καὶ ἔχιδνα ἐσεβάσθη κάποτε αὐτὰ τὰ χέρια, διότι δὲν ἦσαν πλέον χέρια ἀνθρώπου· διὰ τοῦτο οὔτε τὰ ἤγγισε.

Θέλεις νὰ ἴδῃς καὶ τὰ νῶτα ποὺ ὁμοιάζουν μὲ τὰ λοιπὰ μέλη; Ἄκουσε τί λέγει καὶ περὶ αὐτῶν: «Πέντε φορὲς ἐμαστιγώθην ἀπὸ τοὺς Ἰουδαίους μὲ σαράντα κτυπήματα κάθε φοράν, τρεῖς φορὲς ἐρραπίσθην, μίαν φορὰν ἐλιθοβολήθην, τρεῖς φορὲς ἐναυάγησα, ἐπὶ ἓν εἰκοσιτετράωρον παρέμεινα εἰς τὸ πέλαγος»[17]. Ἀλλὰ διὰ νὰ μὴ πέσωμεν καὶ ἡμεῖς εἰς βυθὸν ἄπειρον καὶ πάθωμεν πολλά, ἐνῷ ἐξετάζομεν ἓν πρὸς ἓν τὰ μέλη του, ἐμπρός, ἀφοῦ ἀφήσωμεν τὸ σῶμα, ἃς ἴδωμεν ἄλλο κάλλος, τὸ κάλλος τῶν ἐνδυμάτων του, τὸ ὁποῖον ἀκόμη καὶ οἱ δαίμονες τὸ ἐσεβάσθησαν· διὰ τοῦτο καὶ αὐτοὶ οἱ ἴδιοι ἔφευγον μακριά, καὶ νοσήματα ἐθεραπεύοντο. Καὶ ὅπου τυχὸν ἐνεφανίζετο ὁ Παῦλος, τὰ πάντα ὑπεχώρουν καὶ ἐτρέποντο εἰς φυγὴν ὡσὰν νὰ διήρχετο πλησίον των ὁ ἄριστος τῆς οἰκουμένης. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐδέχθησαν πολλὰς πληγὰς εἰς πόλεμον αἰσθάνονται φρίκην, ὅταν ἰδοῦν καὶ τὸ ὅπλον μόνον ἐκείνου ποὺ τοὺς ἐπλήγωσεν, ἔτσι ἀκριβῶς καὶ οἱ δαίμονες· ἂν ἔβλεπον καὶ μόνον τὴν ζώνην του ἀπεμακρύνοντο.

Ποῦ εἶναι τώρα οἱ πλούσιοι, ποὺ ὑπερηφανεύοντο διὰ τὰ χρήματά των; ποῦ εἶναι οἱ ἀριθμοῦντες τὰ ἀξιώματα καὶ τὰ πολυτελῆ ἐνδύματά των; Ἂν συγκρίνουν τοὺς ἑαυτούς των μὲ αὐτά, θὰ ἴδουν ὅτι ὅλα τὰ ἰδικά των εἶναι πηλὸς καὶ βοῦρκος. Καὶ διατί ἀ-

τί λέγω ἱμάτια καὶ χρυσία; Εἰ γάρ μοι τῆς οἰκουμένης ἔδωκέ τις κρατῆσαι πάσης, τὸν ὄνυχα Παύλου μόνον πάσης ἂν τῆς βασιλείας ἐκείνης ἰσχυρότερον εἶναι ἐνόμισα, πάσης τροφῆς τὴν πενίαν, πάσης δόξης τὴν ἀδοξίαν, παντὸς πλούτου τὴν γύμνωσιν, πάσης ἀδείας τὸν κολαφισμὸν τῆς ἱερᾶς ἐκείνης κεφαλῆς, παντός διαδήματος τοὺς λίθους οὓς ἐδέξατο.

Τοῦτον ποθήσωμεν τὸν στέφανον, ἀγαπητοί· καὶ εἰ μὴ διωγμός ἐστι, τέως παρασκευάσωμεν ἑαυτούς. Οὐδὲ γὰρ οὗτος ἀπὸ διωγμῶν μόνον ἦν λαμπρὸς ὁ ἀνήρ· καὶ γὰρ ἔλεγεν, «Ὑπωπιάζω μου τὸ σῶμα»· τοῦτο δὲ καὶ χωρὶς διωγμοῦ δυνατὸν κατορθοῦν. Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι παρῄνει εἰς ἐπιθυμίας. Καὶ πάλιν, «Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα». Εἰς ταῦτα γὰρ διωγμῶν οὐ χρεία. Καὶ τοὺς εὐπόρους δὲ ἐσωφρόνιζε λέγων· «Οἱ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμόν». Ἐὰν οὖν καὶ ἡμεῖς οὕτως ἑαυτοὺς ἀσκήσωμεν, εἰς τὸν ἀγῶνα εἰσελθόντες στεφανωθησόμεθα, καὶ διωγμοῦ μὴ παρόντος πολλὰ ὑπὲρ αὐτῶν ληψόμεθα τὰ βραβεῖα· ἐὰν δὲ λιπαίνωμεν τὸ σῶμα καὶ χοίρων ζῶμεν βίον, καὶ ἐν εἰρήνῃ πολλὰ ἁμαρτησόμεθα καὶ αἰσχύνην οἴσομεν.

Οὐχ ὁρᾷς πρὸς τίνας ἡμῖν ἡ πάλη; Πρὸς τὰς ἀσωμάτους δυνάμεις. Πῶς οὖν σάρκες ὄντες τούτων περιεσόμεθα; Εἰ γὰρ πρὸς ἀνθρώπους τις παλαίων δεῖται σωφρόνως ἑστιᾶσθαι, πολλῷ μᾶλλον πρὸς δαίμονας. Ὅταν δὲ μετὰ τῆς πολυσαρκίας καὶ τῷ πλούτῳ ὦμεν προσδεδεμένοι, πόθεν κρατήσομεν τῶν ἀντιπάλων; Δεσμὸς γάρ ἐστιν ὁ πλοῦτος, δεσμὸς χαλεπὸς τοῖς οὐκ εἰδόσιν αὐτῷ κεχρῆσθαι, τύραννος ὠμὸς καὶ ἀπάνθρωπος ἐπὶ λύμῃ τῶν δουλευόντων πάντα ἐπιτάττων. Ἀλλ' ἐὰν θέλωμεν, τὴν πικρὰν ταύτην τυραννίδα ἀπὸ τοῦ θρόνου καταστρέψομεν, καὶ ἡμῖν εἴκειν ποιήσομεν, ἀλλ' οὐκ ἐπιτάττειν. Πῶς οὖν

---

18. Α' Κορ. 9,27 πρβλ. Ῥωμ. 8,13-14.
19. Α' Τιμ. 6,8.
20. αὐτ. 9.

ναφέρω τὰ ἐνδύματα καὶ τὰ χρυσᾶ κοσμήματα, διότι, ἂν κάποιος μοῦ ἔδιδε τὴν ἐξουσίαν ὅλης τῆς οἰκουμένης, θὰ ἐθεώρουν τὸ νύχι καὶ μόνον τοῦ Παύλου ἰσχυρότερον ἐκείνης τῆς βασιλικῆς ἐξουσίας, τὴν πενίαν του ἰσχυροτέραν πάσης τρυφῆς, τὴν ἀδοξίαν του ἰσχυροτέραν πάσης δόξης, τὴν γύμνωσίν του ἰσχυροτέραν παντὸς πλούτου, τὸ ράπισμα τῆς ἱερᾶς ἐκείνης κεφαλῆς ἰσχυρότερον πάσης ἀφοβίας, τοὺς λίθους τοὺς ὁποίους ἐδέχθη ἰσχυροτέρους παντὸς διαδήματος.

Αὐτὸν τὸν στέφανον, ἀγαπητοί μου, ἂς ποθήσωμεν, καὶ ἂν δὲν συμβαίνῃ τώρα διωγμός, ἂς προετοιμάσωμεν ἐν τῷ μεταξὺ τοὺς ἑαυτούς μας· διότι αὐτὸς δὲν ἀνεδείχθη λαμπρὸς ἄνδρας μόνον ἀπὸ τοὺς διωγμούς, καθ' ὅσον μάλιστα ἔλεγε· «Σκληραγωγῶ τὸ σῶμα μου»[18]· τοῦτο δὲ εἶναι δυνατὸν νὰ κατορθωθῇ καὶ χωρὶς διωγμόν. Προέτρεπεν ἐπίσης νὰ μὴ φροντίζωμεν διὰ τὴν σάρκα ἔτσι ὥστε νὰ τῆς αὐξάνωμεν τὰς ἐπιθυμίας. Καὶ πάλιν ἔλεγεν· «Ἐὰν ἔχωμεν τροφὰς καὶ σκεπάσματα, θὰ ἀρκούμεθα εἰς αὐτά»[19]. Δι' αὐτὰ δηλαδὴ δὲν ἀπαιτοῦνται διωγμοί. Καὶ τοὺς ἀπόρους ἐπίσης προσεπάθει νὰ τοὺς σωφρονίσῃ λέγων· «Ἐκεῖνοι ποὺ θέλουν νὰ πλουτίσουν πίπτουν εἰς πειρασμόν»[20]. Ἐὰν λοιπὸν καὶ ἡμεῖς ἀσκήσωμεν ἔτσι τοὺς ἑαυτούς μας, ἀφοῦ εἰσέλθωμεν εἰς τὸν ἀγῶνα, θὰ στεφανωθῶμεν, καί, ἐνῷ δὲν εἶναι περίοδος διωγμοῦ, θὰ λάβωμεν πολλὰ βραβεῖα διὰ τοὺς ἑαυτούς μας· ἐὰν ὅμως λιπαίνωμεν τὸ σῶμα καὶ ζῶμεν βίον χοίρων, ἀκόμη καὶ εἰς περίοδον εἰρήνης θὰ ἁμαρτήσωμεν εἰς πολλὰ καὶ θὰ καταισχυνθῶμεν.

Δὲν βλέπεις ἐναντίον ποίων εἶναι πάλη μας; Ἐναντίον τῶν ἀσωμάτων δυνάμεων. Πῶς λοιπὸν θὰ νικήσωμεν αὐτάς, ἐνῷ εἴμεθα σάρκες; διότι ἐφ' ὅσον πρέπει νὰ τρώγῃ μὲ σωφροσύνην κάποιος, ἐὰν παλαίῃ μὲ ἀνθρώπους, πολὺ περισσσότερον, ὅταν παλαίῃ μὲ δαίμονας. Ὅταν ὅμως ἐκτὸς τῆς πολυσαρκίας εἴμεθα προσδεδεμένοι καὶ εἰς τὸν πλοῦτον, πῶς θὰ νικήσσωμεν τοὺς ἀντιπάλους; διότι ὁ πλοῦτος εἶναι δεσμά, δεσμὰ βαρέα δι' ὅσους δὲν γνωρίζουν νὰ τὸν χρησιμοποιοῦν καλῶς, τύραννος ὠμὸς καὶ ἀπάνθρωπος, τοῦ ὁποίου ὅλα τὰ προστάγματα καταλήγουν εἰς τὴν καταστροφὴν τῶν δούλων του. Ἀλλ' ἐὰν θέλωμεν, θὰ ρίψωμεν ἀπὸ τὸν θρόνον του τὸν πικρὸν αὐτὸν τύραννον καὶ θὰ τὸν κάμωμεν νὰ ὑπακούῃ εἰς ἡμᾶς καὶ ὄχι νὰ μᾶς διατάσσῃ. Πῶς λοιπὸν θὰ γίνῃ

τοῦτο ἔσται; Ὅταν εἰς πάντας τὸν πλοῦτον διανέμωμεν. Ἕως μὲν γὰρ ἂν μόνος ᾖ πρὸς μόνους, καθάπερ ληστής τις ἐν ἐρημίᾳ, πάντα ἐργάζεται τὰ κακά· ὅταν δὲ εἰς μέσον αὐτὸν ἀγάγωμεν, οὐκέτι ἡμῶν κρατήσει πάντοθεν αὐτὸν πάντων δεσμούντων.

6. Καὶ ταῦτα λέγω, οὐκ ἐπειδὴ ἁμαρτία τὰ χρήματα· τοῖς πτωχοῖς μὴ διανέμειν αὐτὰ ἁμαρτία καὶ μὴ καλῶς αὐτοῖς κεχρῆσθαι. Οὐδὲν γὰρ ὁ Θεὸς κακὸν ἐποίησεν, ἀλλὰ πάντα καλὰ λίαν· ὥστε καὶ τὰ χρήματα καλά, ἀλλ' ἐὰν μὴ κρατῇ τῶν κεκτημένων, ἐὰν τὰς πενίαν τῶν πλησίον λύῃ. Οὐδὲ γὰρ φῶς ἐκεῖνο καλὸν τὸ μὴ ἀφανίζον σκότος, ἀλλὰ καὶ ἐπιτεῖνον· οὐδὲ πλοῦτον ἂν εἴποιμι τοῦτον τὸν οὐ λύοντα πενίαν, ἀλλ' αὔξοντα πενίαν. Ὁ γὰρ πλουτῶν οὐ ζητεῖ παρ' ἑτέρων λαμβάνειν, ἀλλ' ἑτέροις ἐπικουρεῖν· ὁ δὲ παρ' ἑτέρων ζητῶν λαβεῖν, οὐκέτι πλουτεῖ, ἀλλ' αὐτός ἐστιν ὁ πένης. Ὥστε οὐ τὰ χρήματα κακόν, ἀλλ' ἡ πενιχρὰ διάνοια ἡ τὸν πλοῦτον εἰς πενίαν ἄγουσα. Οὗτοι τῶν διὰ τῶν στενωπῶν ἐπαιτούντων ἀθλιώτεροι, τῶν πήραν ἐχόντων καὶ λελωβημένων τὰ σώματα, τῶν ῥάκια περιβεβλημένων οἱ ἐν τοῖς σηρικοῖς καὶ λαμπροῖς ἱματίοις· οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς τῶν κατὰ τὰ ἄμφοδα βαδιζόντων καὶ εἰς τὰς αὐλὰς εἰσιόντων καὶ κάτωθεν βοώντων καὶ ἐπαιτούντων ἐλεεινότεροι. Οὗτοι μὲν γὰρ τὸν Θεὸν ἀνυμνοῦσι καὶ ἐλέου φθέγγονται ῥήματα καὶ φιλοσοφίας πολλῆς· διὸ καὶ ἐλεοῦμεν αὐτοὺς καὶ χεῖρα ὀρέγομεν καὶ οὐδέποτε ἐγκαλοῦμεν. Οἱ δὲ πλουτοῦντες κακῶς ὠμότητος καὶ ἀπανθρωπίας, ἁρπαγῆς, σατανικῆς ἐπιθυμίας ἐρεύγονται λόγους· διὸ καὶ παρὰ πᾶσίν εἰσι μισητοὶ καὶ καταγέλαστοι.

Σκόπει δέ. Τί παρὰ πᾶσιν ἀνθρώποις αἰσχρὸν εἶναι δοκεῖ, τὸ παρὰ τῶν πλουτούντων αἰτεῖν ἢ τὸ παρὰ τῶν ἀπόρων; Παντί που δῆλον ὅτι παρὰ τῶν ἀπόρων. Τοῦτο τοίνυν οἱ πλουτοῦντες ποιοῦσιν· οὐ γὰρ ἂν τολμήσαιεν

τοῦτο; Ὅταν μοιράσωμεν τὸν πλοῦτον εἰς ὅλους. Διότι, ἐφ' ὅσον εἶναι μόνος εἰς μεμονωμένους ἀνθρώπους, μηχανεύεται ὅλα τὰ κακά, ὅπως ἕνας ληστής, ποὺ εὑρίσκεται εἰς ἐρημικὸν τόπον· ὅταν ὅμως τὸν φέρωμεν εἰς τὸ μέσον τῶν ἀνθρώπων, δὲν θὰ μᾶς νικᾷ πλέον, διότι ὅλοι ἀπὸ παντοῦ θὰ τὸν κρατοῦν δέσμιον.

6. Καὶ τὰ λέγω αὐτά, ὄχι ἐπειδὴ εἶναι ἁμαρτία τὰ χρήματα· ἁμαρτία εἶναι τὸ νὰ μὴ διανέμῃ κανεὶς αὐτὰ εἰς τοὺς πτωχοὺς καὶ τὸ νὰ μὴ κάνῃ καλὴν χρῆσιν αὐτῶν. Ὁ Θεὸς δηλαδὴ δὲν ἔκανε τίποτε κακόν, ἀλλὰ ὅλα τὰ ἔκαμε πολὺ καλά· ἑπομένως καὶ τὰ χρήματα εἶναι καλά, ἀλλ' ἐὰν δὲν κυβερνοῦν τοὺς κατόχους των, ἐὰν ἐξαφανίζουν τὴν πενίαν τῶν πλησίον. Δὲν εἶναι δηλαδὴ φῶς καλὸν ἐκεῖνο ποὺ δὲν ἐξαφανίζει τὸ σκότος, ἀλλὰ καὶ τὸ ἐπιτείνει, καὶ οὔτε θὰ ἠμποροῦσα νὰ ὀνομάσω πλοῦτον αὐτὸν ποὺ δὲν ἐξαφανίζει τὴν πενίαν, ἀλλὰ τὴν αὐξάνει· διότι ὁ ἀληθῶς πλούσιος δὲν ζητεῖ νὰ λαμβάνῃ ἀπὸ ἄλλους, ἀλλὰ νὰ βοηθῇ ἄλλους· ἐκεῖνος δὲ ποὺ ἐπιζητεῖ νὰ λαμβάνῃ ἀπὸ ἄλλους, δὲν εἶναι πλέον πλούσιος, ἀλλ' ὁ ἴδιος εἶναι ὁ πτωχός. Ὥστε δὲν εἶναι κακὸν τὰ χρήματα, ἀλλὰ ἡ πενιχρὰ διάνοια, ἡ ὁποία ὁδηγεῖ τὸν πλοῦτον εἰς πενίαν. Αὐτοῦ τοῦ εἴδους οἱ ἄνθρωποι, ποὺ εἶναι μέσα εἰς τὰ μεταξωτὰ καὶ λαμπρὰ ἐνδύματα, εἶναι ἀθλιώτεροι καὶ ἀπὸ τοὺς ἐπαίτας τῶν στενωπῶν, οἱ ὁποῖοι ἔχουν ἕνα σάκκον καὶ σώματα ἀκρωτηριασμένα καὶ περιβεβλημένα ράκη· αὐτοὶ ποὺ περιπατοῦν μὲ μεγαλοπρέπειαν εἰς τὴν ἀγορὰν εἶναι δυστυχέστεροι ἀπὸ τοὺς ἐπαίτας ἐκείνους, οἱ ὁποῖοι βαδίζουν εἰς τὰς συνοικίας, εἰσέρχονται εἰς τὰς αὐλὰς τῶν οἰκιῶν, φωνάζουν ἀπὸ κάτω καὶ ἐπαιτοῦν· διότι αὐτοὶ μὲν ἀνυμνοῦν τὸν Θεὸν καὶ λέγουν λόγια εὐσπλαγχνίας καὶ φιλοσοφίας πολλῆς, διὰ τοῦτο καὶ τοὺς εὐσπλαχνιζόμεθα καὶ τοὺς δίδομεν ἐλεημοσύνην καὶ οὐδέποτε τοὺς κατηγοροῦμεν. Ἐκεῖνοι ὅμως ποὺ πλουτίζουν κακῶς ἐκστομίζουν λόγους ὠμότητος καὶ ἀπανθρωπίας, ἁρπαγῆς καὶ σατανικῆς ἐπιθυμίας, καὶ διὰ τοῦτο εἶναι ἀπὸ ὅλους μισητοὶ καὶ καταγέλαστοι.

Πρόσεξε δὲ τὸ ἑξῆς: Τί θεωροῦν ὅλοι οἱ ἄνθρωποι ὅτι εἶναι αἰσχρόν, τὸ νὰ ζητῇ κανεὶς νὰ λάβῃ ἀπὸ τοὺς πλουσίους ἢ ἀπὸ τοὺς ἀπόρους; Νομίζω ὅτι εἰς πάντα εἶναι φανερὸν ὅτι ἀπὸ τοὺς ἀπόρους. Τοῦτο λοιπὸν κάμνουν οἱ πλούσιοι, διότι δὲν θὰ ἐτόλμων

τοῖς πλουσιωτέροις προσελθεῖν· οἱ δὲ ἐπαιτοῦντες παρὰ τῶν εὐπόρων. Οὐ γὰρ τὸν ἐπαίτην ὁ ἐπαίτης αἰτήσει, ἀλλὰ τὸν εὔπορον· ὁ δὲ πλούσιος τὸν πένητα σπαράττει. Πάλιν τί σεμνότερον, εἰπέ μοι, παρὰ ἑκόντων λαβεῖν καὶ χάριν ἐχόντων ἢ τοὺς οὐ θέλοντας ἀναγκάζειν καὶ ἐνοχλεῖν; Εὔδηλον ὅτι τοὺς μὴ βουλομένους μὴ ἐνοχλεῖν. Ἀλλὰ καὶ τοῦτο οἱ πλουτοῦντες ποιοῦσιν. Οἱ μὲν γὰρ πένητες παρ' ἑκόντων λαμβάνουσι καὶ χάριν εἰδόντων, οἱ δὲ πλουτοῦντες παρὰ ἀκόντων καὶ μὴ βουλομένων, ὃ μείζονός ἐστι πενίας ἀπόδειξις. Εἰ γὰρ οὐδὲ ἐπ' ἄριστον ἕλοιτό τις ἀπελθεῖν, εἰ μὴ χάριν ὁ καλῶν εἰδείη τῷ καλουμένῳ, πῶς χρήματα λαβεῖν μετ' ἀνάγκης καλόν; Τοὺς κύνας οὐ διὰ τοῦτο ἀποστρεφόμεθα καὶ φεύγομεν τοὺς ὑλακτοῦντας, ὅτι τῇ πολλῇ προσεδρείᾳ ἡμᾶς ἐκβιάζονται;

Τοῦτο καὶ οἱ πλούσιοι ποιοῦσιν. Ἀλλὰ τὸν φόβον προσεῖναι τῇ δόσει σεμνότερον. Τοῦτο μὲν οὖν πάντων αἰσχρότερον· ὁ γὰρ πάντα κινῶν ὑπὲρ τοῦ λαβεῖν, τίνος οὐκ ἂν εἴη καταγελαστότερος; Καὶ γὰρ τοὺς κύνας πολλάκις φοβηθέντες προηκάμεθα ἅπερ κατείχομεν. Τί πάλιν αἰσχρότερον, εἰπέ μοι, ῥάκια περιβεβλημένον αἰτεῖν ἢ σηρικὰ φοροῦντα; Ὅταν μὲν γὰρ πλουτῶν τις γέροντας θεραπεύῃ πένητας, ὥστε τὰ ἐκείνων λαβεῖν, καὶ ταῦτα παίδων ὄντων, τίνος ἔσται συγγνώμης ἄξιος; Εἰ δὲ βούλεσθε, καὶ τὰ ῥήματα αὐτὰ ἐξετάσωμεν, τίνα μὲν οἱ πλουτοῦντες ἐπαινοῦντες λέγουσι, τίνα δὲ οἱ πένητες.

Τί οὖν ὁ πένης φησίν; Ὅτι ὁ διδοὺς ἐλεημοσύνην οὐ μετριάσει ποτέ, ὅτι ἀπὸ τῶν τοῦ Θεοῦ δίδωσιν, ὅτι ὁ Θεὸς φιλάνθρωπος καὶ μείζονα ἀντιδίδωσιν· ἅπερ ἅπαντα φιλοσοφίας ἐστὶ ῥήματα καὶ παραινέσεως καὶ συμβουλῆς· ἀξιοῖ σε γὰρ πρὸς τὸν δεσπότην ἰδεῖν καὶ τὸν φόβον ἐξαιρεῖ σου τῆς μελλούσης πενίας· καὶ πολλὴν ἄν τις ἴδοι διδασκαλίαν ἐν τοῖς τῶν ἐπαιτούντων ῥήμασι. Τὰ δὲ τῶν

21. Φιλοσοφία: Βλ. σχολ. 18 τοῦ Β' λόγου τοῦ παρόντος.

νὰ προσέλθουν εἰς τοὺς πλουσιωτέρους, ἐνῷ οἱ ἐπαῖται ζητοῦν ἐλεημοσύνην ἀπὸ τοὺς εὐπόρους· διότι ὁ ἐπαίτης δὲν θὰ ζητήσῃ ἀπὸ τὸν ἐπαίτην, ἀλλὰ ἀπὸ τὸν εὔπορον, ἐνῷ ὁ πλούσιος κατασπαράσσει τὸν πτωχόν. Εἰπέ μου ἐπίσης, τί εἶναι ἀξιοπρεπέστερον, τὸ νὰ λάβῃ κανεὶς κάτι ἀπὸ ἀνθρώπους μὲ τὴν θέλησίν των, ποὺ χρεωστοῦν εὐγνωμοσύνην ἢ τὸ νὰ ἀναγκάζῃ καὶ νὰ ἐνοχλῇ ἀνθρώπους, οἱ ὁποῖοι δὲν θέλουν νὰ τοῦ δώσουν; Ἀλλὰ καὶ τοῦτο τὸ κάμνουν οἱ πλούσιοι. Οἱ μὲν πτωχοὶ δηλαδὴ λαμβάνουν ἀπὸ ἀνθρώπους, οἱ ὁποῖοι θέλουν νὰ προσφέρουν καὶ οἱ ὁποῖοι χρεωστοῦν εὐγνωμοσύνην, ἐνῷ οἱ πλούσιοι λαμβάνουν ἀπὸ ἀνθρώπους ποὺ δὲν θέλουν καὶ εἶναι πρόθυμοι νὰ δώσουν, πρᾶγμα τὸ ὁποῖον εἶναι ἀπόδειξις μεγαλυτέρας πενίας. Ἐφ' ὅσον δηλαδὴ οὔτε εἰς πρόγευμα θὰ ἤθελε κανεὶς νὰ πάῃ, ἐὰν ὁ καλῶν δὲν ᾐσθάνετο οἰκειότητα πρὸς τὸν καλούμενον, πῶς εἶναι καλὸν νὰ λάβῃ κανεὶς χρήματα ἐκβιαστικῶς; Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον δὲν ἀποστρεφόμεθα τοὺς σκύλους καὶ δὲν ἀποφεύγομεν ἐκείνους ποὺ γαυγίζουν, διότι μὲ τὴν πολλὴν ἐπιμονήν των νὰ μένουν πλησίον μας μᾶς ἐκβιάζουν;

Αὐτὸ τὸ κάμνουν καὶ οἱ πλούσιοι. Ἀλλ' εἶναι ἀξιοπρεπέστερον ἡ προσφορὰ νὰ συνυπάρχῃ μὲ φόβον. Τοῦτο ὅμως ποὺ συμβαίνει εἶναι τὸ αἰσχρότερον ὅλων· διότι αὐτὸς ποὺ κάμνει τὰ πάντα, διὰ νὰ λάβῃ κάτι, δὲν θὰ εἶναι ὁ γελοιοδέστερος ὅλων; καὶ πράγματι, πολλάκις ἀπὸ φόβον πρὸς τοὺς σκύλους ἐγκατελείψαμεν ὅτι εἴχομεν μαζί μας. Εἰπέ μου ἐπίσης, τί εἶναι αἰσχρότερον, νὰ ζητῇ νὰ λάβῃ κάποιος περιβεβλημένος ράκη ἢ φορῶν μεταξωτὰ ἐνδύματα; Ὅταν δηλαδὴ κάποιος πλούσιος περιποιῆται πτωχούς γέροντας, διὰ νὰ λάβῃ τὴν περιουσίαν των, ἐνῷ ἐκεῖνοι ἔχουν ἰδικά των παιδιά, εἶναι ἄξιος καμμίας συγγνώμης; Καὶ ἂν θέλετε, ἂς ἐξετάσωμεν καὶ τὰ ἴδια τὰ λόγια, τί λέγουν οἱ πλούσιοι, ὅταν ἐπαιτοῦν, καὶ τί λέγουν οἱ πτωχοί.

Τί λέγει λοιπὸν ὁ πτωχός; Λέγει ὅτι ἐκεῖνος ποὺ δίδει ἐλεημοσύνην ποτὲ δὲν θὰ στερηθῇ ὅτι δίδει ἀπὸ αὐτὰ ποὺ τοῦ ἐχάρισεν ὁ Θεός, ὅτι ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ ὅτι θὰ τοῦ ἀνταποδώσῃ περισσότερα· καὶ ὅλα αὐτὰ εἶναι λόγια φιλοσοφίας[21] καὶ παραινέσεως καὶ συμβουλῆς, διότι σὲ βοηθεῖ νὰ ἰδῇς πρὸς τὸν Κύριον καὶ σοῦ ἀφαιρεῖ τὸν φόβον τῆς μελλούσης πενίας· ἐπομένως εἶναι δυνατὸν κανεὶς νὰ ἰδῇ πολλὴν διδασκαλίαν εἰς τὰ λόγια τῶν

πλουτούντων, ὁποῖα; Χοίρων καὶ κυνῶν καὶ λύκων καὶ τῶν ἄλλων θηρίων. Οἱ μὲν γὰρ αὐτῶν περὶ τραπεζῶν καὶ ὄψων καὶ καρυκευμάτων καὶ οἴνου παντοδαποῦ καὶ μύρων καὶ ἱματίων καὶ τῆς ἄλλης διαπαντὸς διαλέγονται ἀσωτίας, οἱ δὲ περὶ τόκων καὶ δανεισμάτων καὶ γραμματεῖα πλάττοντες καὶ χρεῶν ὄγκον ἀφόρητον ἐπαιωροῦντες, ὡς ἐκ πατέρων ἢ πάππων ἀρχὴν εἰληφότα, τοῦ μὲν τὴν οἰκίαν, τοῦ δὲ τὸν ἀγρόν, τοῦ δὲ ἀνδράποδον ἀφαιροῦνται καὶ τὰ ὄντα ἅπαντα.

Τί ἂν τις εἴποι τὰς διαθήκας τὰς ἀντὶ μέλανος αἵματι γεγραμμένας; Ἢ γὰρ κίνδυνον ἀφόρητον περιστήσαντες ἢ μικραῖς τισι καταγοητεύσαντες ὑποσχέσεσιν, οὓς ἂν ἴδωσιν ὀλίγα τινὰ κεκτημένους, ἔπεισαν τοὺς μὲν προσήκοντας ἅπαντας καὶ πενίᾳ πολλάκις ἀπολλυμένοις παραδραμεῖν, αὐτοὺς δὲ ἀντ' ἐκείνων ἐγγράψαι. Ταῦτ' οὖν ποίων θηρίων οὐκ ἀποκρύπτει μανίαν καὶἀγριότητα;

Διό,παρακαλῶ, πάντα τὸν τοιοῦτον πλοῦτον φύγωμεν, τὸν αἰσχρὸν καὶ φόνων γέμοντα, καὶ κτησώμεθα τὸν πνευματικὸν καὶ τοὺς ἐν τοῖς οὐρανοῖς θησαυροὺς ἐπιζητήσωμεν. Οἱ γὰρ τούτους ἔχοντες, ἐκεῖνοι οἱ πλούσιοι, ἐκεῖνοι οἱ εὔποροι, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ πάντων ἀπολαύοντες. Ὁ γὰρ βουλόμενος πένεσθαι κατὰ τὸν τοῦ Θεοῦ λόγον, τὰς πάντων οἰκίας ἀνεῳγμένας ἔχει. Τῷ γὰρ οὐδὲν κεκτημένῳ διὰ τὸν Θεόν, ἕκαστος ἂν εἰσενέγκοι τὰ ἑαυτοῦ· ὁ δὲ μικρὰ μετὰ ἀδικίας βουλόμενος ἔχειν τὰς ἁπάντων ἀπέκλεισε θύρας.

Ἵνα τοίνυν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀγαθῶν ἐπιτύχωμεν, ἑλώμεθα τὸν πλοῦτον τὸν ἀκίνητον, τὴν ἀθάνατον εὐπορίαν· ἧς γένοιτο πάντας ἡμᾶς Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐπαιτούντων. Τί εἴδους δὲ εἶναι τὰ λόγια τῶν πλουσίων; εἶναι λόγια χοίρων καὶ σκύλων καὶ λύκων καὶ τῶν ἄλλων θηρίων. Δηλαδή, ἄλλοι μὲν ἀπὸ αὐτοὺς συνεχῶς συζητοῦν περὶ τραπεζῶν καὶ τροφῶν καὶ καρυκευμάτων καὶ οἴνου πάσης προελεύσεως καὶ περὶ μύρων καὶ ἱματίων καὶ τῆς ἄλλης ἀσωτίας, ἄλλοι δὲ συζητοῦν περὶ τόκων καὶ δανεισμάτων καὶ ἐπινοοῦν τὴν ὕπαρξιν βιβλίων λογαριασμῶν καὶ ἀναφέρουν ἀφόρητον ὄγκον χρεῶν, τὰ ὁποῖα ἐκληρονόμησαν ἀπὸ τοὺς πατέρας ἢ πάππους των, καὶ ἔτσι ἀφαιροῦν ἀπὸ ἄλλον μὲν τὴν οἰκίαν του, ἀπὸ ἄλλον τὸν ἀγρόν του, ἀπὸ ἄλλον τὸν δοῦλον του καὶ ὅλα τὰ ὑπάρχοντά του.

Τί νὰ ἀναφέρῃ κανεὶς τὰς διαθήκας, αἱ ὁποῖαι ἔχουν γραφῆ μὲ μαῦρο αἷμα; Ἀφοῦ δηλαδὴ παρουσιάσουν ὅτι διατρέχουν ἀφόρητον κίνδυνον ἢ ἀφοῦ καταγοητεύσουν μὲ μερικὰς μικρὰς ὑποσχέσεις, ὅσους ἰδοῦν νὰ ἔχουν μικρὰν περιουσίαν συνήθως τοὺς πείθουν νὰ ἀδιαφορήσουν μὲν δι' ὅλους τοὺς συγγενεῖς των, ποὺ πολλάκις ὑποφέρουν ἀπὸ πενίαν, καὶ ἀντ' ἐκείνων νὰ κληροδοτήσουν εἰς αὐτοὺς τὴν περιουσίαν των. Αὐτὰ λοιπὸν ποίων θηρίων μανίαν καὶ ἀγριότητα δὲν κρύπτουν;

Διὰ τοῦτο, σᾶς παρακαλῶ, ἂς ἀποφύγωμεν κάθε πλοῦτον αὐτοῦ τοῦ εἴδους, ποὺ εἶναι αἰσχρὸς καὶ γεμᾶτος ἀπὸ φόνους, καὶ ἂς ἀποκτήσωμεν τὸν πνευματικὸν πλοῦτον καὶ ἂς ἐπιζητήσωμεν τοὺς θησαυροὺς τῶν οὐρανῶν· διότι ἐκεῖνοι ποὺ ἔχουν αὐτούς, ἐκεῖνοι εἶναι οἱ πλούσιοι, ἐκεῖνοι εἶναι οἱ εὔποροι ποὺ ἀπολαύουν ὅλων τῶν ἀγαθῶν καὶ τῆς ἐπιγείου καὶ τῆς αἰωνίου ζωῆς. Ἐκεῖνος δηλαδὴ ποὺ θέλει νὰ εἶναι πτωχὸς κατὰ τὸν λόγον τοῦ Θεοῦ εὑρίσκει ἀνοικτὰς τὰς οἰκίας ὅλων· διότι εἰς ἐκεῖνον, ὁ ὁποῖος δὲν ἔχει τίποτε χάριν τοῦ Θεοῦ, ὁ καθένας εἶναι δυνατὸν νὰ προσφέρῃ τὰ ὑπάρχοντά του· δι' ἐκεῖνον ὅμως ὁ ὁποῖος θέλει νὰ ἔχῃ μὲ ἀδικίαν ἔστω καὶ ὀλίγα, συνήθως κλείονται αἱ θύραι ὅλων.

Διὰ ν' ἀποκτήσωμεν λοιπὸν καὶ τὰ ἐπίγεια καὶ τὰ οὐράνια ἀγαθά, ἂς προτιμήσωμεν τὸν σταθερὸν πλοῦτον, τὴν ἀθάνατον εὐπορίαν· αὐτὴν τὴν εὐπορίαν εἴθε ὅλοι ἡμεῖς νὰ τὴν ἀποκτήσωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΔ.
Α' Κορ. 4, 17-21

«Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ Ἰησοῦ».

1. Σκόπει μοι κἀντεῦθεν τὴν γενναίαν ψυχήν, τὴν πυρὸς θερμοτέραν καὶ γοργοτέραν. Ἐβούλετο μὲν γὰρ αὐτὸς παραγενέσθαι μάλιστα νοσοῦσιν οὕτω καὶ στασιάζουσι Κορινθίοις. Καὶ γὰρ ᾔδει σαφῶς ἡλίκα τε ὠφέλει τοὺς μαθητὰς ἡ παρουσία αὐτοῦ καὶ ἡλίκα ἔβλαπτεν ἡ ἀπουσία. Καὶ τὸ μὲν ἐδήλωσεν ἐν τῇ πρὸς Φιλιππησίους εἰπών· «Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε»· τὸ δὲ δείκνυσιν ἐν τῇ ἐπιστολῇ ταύτῃ λέγων· «Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες· ἐλεύσομαι δέ». Ἠπείγετο μὲν οὖν καὶ ἐπεθύμει παραγενέσθαι αὐτός· ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἐνῆν, τῇ ἐπαγγελίᾳ τῆς παρουσίας αὐτοὺς διορθοῦται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῇ τοῦ μαθητοῦ ἀποστολῇ.

«Διὰ τοῦτο», γάρ φησίν, «ἔπεμψα ὑμῖν Τιμόθεον». Διὰ τοῦτο· ποῖον; Ἐπειδὴ ὡς παίδων κήδομαι καὶ ὡς γεγεννηκώς. Καὶ μετὰ τῆς συστάσεως τοῦ προσώπου ἡ ἀποστολή· «Ὅς ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ». Τοῦτο δὲ εἶπε τήν τε αὐτοῦ ἀγάπην ἐμφαίνων κἀκείνους παρασκευάζων αἰδεσίμως αὐτὸν ἰδεῖν. Καὶ οὐχ ἁπλῶς «πιστόν», ἀλλ' «ἐν Κυρίῳ», τουτέστιν ἐν τοῖς κατὰ Κύριον πράγμασιν. Εἰ δὲ τὸ ἐν τοῖς βιωτικοῖς εἶναί τινα πιστὸν ἐγκώμιον, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. Εἰ τοίνυν ἀγαπητὸν αὐτοῦ τέκνον, ἐννόησον πόση τοῦ Παύ-

---

1. Α' Κορ. 4,17.
2. Φιλ. 2,12.

ΛΟΓΟΣ ΙΔ΄
Α΄ Κορ. 4,17-21

«Διὰ τοῦτο σᾶς ἔστειλα τὸν Τιμόθεον, ὁ ὁποῖος εἶναι ἀγαπητὸν καὶ πιστὸν τέκνον μου ἐν Κυρίῳ καὶ ὁποῖος θὰ σᾶς ἐπενθυμίσῃ τὰς διδασκαλίας ἐν Χριστῷ Ἰησοῦ»[1].

1. Πρόσεξε, σὲ παρακαλῶ, καὶ ἐδῶ τὴν γενναίαν ψυχήν, ποὺ εἶναι θερμοτέρα καὶ ταχυτέρα ἀπὸ τὸ πῦρ. Ἤθελε δηλαδὴ ὁ ἴδιος νὰ πάῃ εἰς τοὺς Κορινθίους, οἱ ὁποῖοι ἔπασχον ἀπὸ τόσον σοβαρὰν νόσον καὶ ἐφατρίαζον, διότι πράγματι ἐγνώριζε σαφῶς πόσον ὠφέλει τοὺς μαθητὰς ἡ παρουσία του καὶ πόσον ἔβλαπτεν ἡ ἀπουσία του. Καὶ τὸ μὲν πρῶτον τὸ ἔδειξεν εἰς τὴν ἐπιστολήν του πρὸς Φιλιππησίους μὲ τὸ νὰ εἴπῃ· «Ὄχι μόνον ὅταν ἤμουν παρὼν ἀλλὰ πολὺ περισσότερον τώρα ποὺ εἶμαι ἀπὼν μὲ φόβον καὶ τρόμον νὰ ἐργάζεσθε διὰ τὴν σωτηρίαν σας»[2]· τὸ δὲ δεύτερον τὸ δεικνύει εἰς αὐτὴν τὴν ἐπιστολήν του λέγων· «Μερικοὶ ὅμως ὑπερηφανεύθησαν ὡς νὰ μὴ ἐπρόκειτο νὰ ἔλθω πρὸς ἐσᾶς· ἀλλ' ὅμως θὰ ἔλθω». Ἐβιάζετο λοιπὸν καὶ ἐπεθύμει νὰ πάῃ ὁ ἴδιος· ἐπειδὴ ὅμως τοῦτο δὲν ἦτο τότε δυνατόν, προσπαθεῖ νὰ τοὺς διορθώσῃ μὲ τὴν ὑπόσχεσιν τῆς παρουσίας του· καὶ ὄχι μόνον μὲ τοῦτο, ἀλλὰ καὶ μὲ τὴν ἀποστολὴν τοῦ μαθητοῦ.

«Διὰ τοῦτο ἔστειλα τὸν Τιμόθεον πρὸς ἐσᾶς». Διὰ τοῦτο· ποῖον; Ἐπειδὴ ἐνδιαφέρομαι διὰ σᾶς ὡς παιδιά μου καὶ ἐπειδὴ σᾶς ἔχω γεννήσει. Ἀποστέλλει τὸν μαθητὴν καὶ συγχρόνως κάμνει τὴν σύστασιν τοῦ προσώπου· «Ὁ ὁποῖος εἶναι ἀγαπητὸν καὶ πιστὸν τέκνον μου ἐν Κυρίῳ». Τοῦτο δὲ τὸ εἶπε φανερώνων ἔτσι καὶ τὴν ἀγάπην του καὶ προετοιμάζων ἐκείνους νὰ ἴδουν αὐτὸν μὲ σεβασμόν. Καὶ ὄχι ἁπλῶς «πιστόν», ἀλλ' «ἐν Κυρίῳ», δηλαδὴ ἄνθρωπον ποὺ ἀνήκει εἰς τὸν Κύριον. Ἐὰν δὲ εἶναι ἐγκώμιον τὸ νὰ εἶναι κανεὶς πιστὸς εἰς θέματα τῆς καθημερινῆς ζωῆς, πολὺ περισσότερον εἶναι ἐγκώμιον, ἐὰν εἶναι κανεὶς πιστὸς εἰς τὰ πνευματικὰ θέματα. Ἐὰν λοιπὸν εἶναι ὁ Τιμόθεος ἀγαπητὸν τέκνον του, ἐννόησε πόση εἶναι ἡ ἀγάπη τοῦ Παύλου, ἐφ' ὅσον ἐπροτίμησε νὰ ἀποχωρισθῇ ἀπὸ

λου ἡ ἀγάπη, ὅτι εἵλετο αὐτοῦ χωρισθῆναι διὰ Κορινθίους. Εἰ δὲ καὶ πιστόν, ἀλήπτως διακονήσει τοῖς πράγμασιν.

«Ὃς ὑμᾶς ἀναμνήσει». Οὐκ εἶπε διδάξει», ἵνα μὴ δυσανασχετῶσιν ὡς παρ' αὐτοῦ μανθάνοντες. Διὰ τοῦτο καὶ πρὸς τῷ τέλει φησί· «Τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται καθὼς καὶ ἐγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ». Οὐδεὶς γὰρ ἦν ἐν ἀποστόλοις φθόνος, ἀλλὰ πρὸς ἓν ἑώρων, τῆς Ἐκκλησίας τὴν οἰκοδομήν· καὶ εἰ ἐλάττων ἦν ὁ ἐργαζόμενος, συνεκρότουν αὐτὸν μετὰ σπουδῆς ἁπάσης. Διὰ τοῦτο οὐδὲ ἠρκέσθη τῷ εἰπεῖν «ἀναμνήσει», ἀλλ' ἐπὶ πλέον ὑποτέμνεσθαι βουλόμενος αὐτῶν τὸν φθόνον — καὶ γὰρ ἦν νέος ὁ Τιμόθεος — διὸ ἐπήγαγε «τὰς ὁδούς μου». Οὐ τὰς αὐτοῦ, ἀλλὰ τὰς ἐμᾶς, τουτέστι, τὰς οἰκονομίας, τοὺς κινδύνους, τὰ ἔθη, τοὺς νόμους, τοὺς θεσμούς, τοὺς κανόνας τοὺς ἀποστολικούς, τὰ ἄλλα πάντα. Ἐπειδὴ γὰρ εἶπε «Γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν», καὶ ταῦτα, φησί, πάντα ὑμᾶς ἀναμνήσει καὶ τοὺς νόμους τοὺς τοῦ Χριστοῦ, ὥστε τὰς αἱρέσεις ἀνελεῖν. Εἶτα ἀνωτέρω τὸν λόγον ἀναγαγὼν ἐπήγαγε· «τὰς ἐν Χριστῷ» πάντα, ὡς εἴωθεν, ἐνατιθεὶς τῷ δεσπότῃ καὶ τὸ ἀξιόπιστον τῶν ἑξῆς ἐντεῦθεν κατασκευάζων. Διὸ καὶ ἐπάγει· «Καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω». Οὐδὲν πρὸς ὑμᾶς καινὸν εἶπον· ταῦτά μοι συνίσασι καὶ αἱ λοιπαὶ ἐκκλησίαι πᾶσαι. Ὁδοὺς δὲ αὐτὰς ἐν Χριστῷ φησι δεικνὺς ὅτι οὐδὲν ἔχουσιν ἀνθρώπινον καὶ ὅτι μετὰ τῆς ἐκεῖθεν βοηθείας τὰ πάντα κατορθοῖ.

2. Εἰπὼν δὲ ταῦτα καὶ θεραπεύσας ἐκείνους καὶ μέλλων ἐμβάλλειν εἰς τὴν κατηγορίαν τοῦ πεπορνευκότος πάλιν θυμοῦ γέμοντας λόγους ἀφίησιν οὐκ αὐτὸς ταῦτα πάσχων, ἀλλ' ἐκείνους διορθούμενος. Καὶ τὸν πεπορνευκότα ἀφεὶς τοῖς ἄλλοις διαλέγεται οὐκ ἀξιῶν ἐκεῖνον οὐδὲ τῶν παρ' αὐτοῦ λόγων· ὅπερ ἐπὶ τῶν οἰκετῶν τῶν σφόδρα προσκεκρουκότων ποιοῦμεν. Καὶ ἐπειδὴ εἶπεν ὅτι Τιμόθεον πέμπω, ἵνα μὴ τούτῳ ῥᾳθυμότεροι γένωνται, ὅρα τί

---

3. Α' Κορ. 16,10.

αὐτὸν πρὸς χάριν τῶν Κορινθίων. Ἐὰν δὲ εἶναι καὶ πιστὸν τέκνον, θὰ διακονήσῃ εἰς τὴν κρίσιμον κατάστασιν κατὰ τρόπον ἄψογον.

«Ὁ ὁποῖος θὰ σᾶς ὑπενθυμίσῃ». Δὲν εἶπε, «θὰ σᾶς διδάξῃ», διὰ νὰ μὴ δυσανασχετήσουν, ἐπειδὴ θὰ ἐδιδάσκοντο ἀπὸ αὐτόν. Διὰ τοῦτο καὶ πρὸς τὸ τέλος λέγει· «Διότι ἐργάζεται τὸ ἔργον τοῦ Κυρίου καθὼς καὶ ἐγώ· κανεὶς λοιπὸν νὰ μὴ τὸν περιφρονήσῃ»[3]. Δὲν ὑπῆρχε δηλαδὴ κανεὶς φθόνος μεταξὺ τῶν Ἀποστόλων, ἀλλ' ἀπέβλεπον εἰς ἕν, τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας· καὶ ἂν ὁ ἐργαζόμενος ἦτο κατώτερος τῶν ἀπαιτήσεων τοῦ ἔργου, τὸν κατήρτιζον μὲ ὅλην τὴν φροντίδα. Διὰ τοῦτο οὔτε ἠρκέσθη εἰς τὸ νὰ εἴπῃ «θὰ σᾶς ὑπενθυμίσῃ», ἀλλ' ἐπειδὴ ἤθελε νὰ περιστείλῃ ἀκόμη περισσότερον τὸν φθόνον αὐτῶν —διότι πράγματι ὁ Τιμόθεος ἦτο νέος— διὰ τοῦτο προσέθεσε «τὰς ὁδούς μου». Ὄχι τὰς ὁδοὺς αὐτοῦ (τοῦ Τιμοθέου), ἀλλὰ τὰς ἰδικάς μου, δηλαδὴ τὰς φροντίδας, τοὺς κινδύνους, τὰ τοπικὰ ἔθιμα, τοὺς νόμους, τοὺς θεσμούς, τοὺς ἀποστολικοὺς κανόνας, ὅλα τὰ ἄλλα. Ἀφοῦ δηλαδὴ εἶπεν, «Ἔχομεν ἐλλείψεις εἰς ρουχισμὸν καὶ μᾶς κακομεταχειρίζονται καὶ περιπλανώμεθα», καὶ ὅλα αὐτά, λέγει, θὰ σᾶς τὰ ὑπενθυμίσῃ, ὡς ἐπίσης καὶ τοὺς νόμους τοῦ Χριστοῦ, ὥστε νὰ ἐξουδετερώσετε τὰς αἱρέσεις. Κατόπιν, ἀφοῦ ἔκανε λόγον διὰ τὰ ἀνωτέρω, προσέθεσε «τὰς ἐν Χριστῷ», ἀναφέρων, ὅπως ἐσυνήθιζε, τὰ πάντα εἰς τὸν Κύριον καὶ προετοιμάζων τὸ ἀξιόπιστον τῶν ὅσων θὰ εἰπῇ ἐν συνεχείᾳ. Διὰ τοῦτο καὶ προσθέτει· «Ὅπως διδάσκω παντοῦ εἰς κάθε ἐκκλησίαν». Δὲν σᾶς εἶπα τίποτε νέον· αὐτὰ πιστεύουν ἀπὸ ἐμὲ καὶ ὅλαι αἱ λοιπαὶ ἐκκλησίαι. Ὀνομάζει δὲ αὐτὰ ὁδοὺς ἐν Χριστῷ δεικνύων ὅτι δὲν ἔχουν τίποτε τὸ ἀνθρώπινον καὶ ὅτι τὰ πάντα τὰ κατορθώνει μὲ τὴν βοήθειαν ἀπὸ ἐκεῖ.

2. Ἀφοῦ λοιπὸν εἶπεν αὐτὰ καὶ ἀφοῦ ἐθεράπευσεν ἐκείνους, ἐπειδὴ πρόκειται νὰ προχωρήσῃ εἰς κατηγορίαν κατὰ τοῦ πόρνου, πάλιν ἐκστομίζει λόγους γεμάτους ἀπὸ θυμὸν χωρὶς ὁ ἴδιος νὰ κατέχεται ἀπὸ τὸ πάθος τοῦ θυμοῦ, ἀλλὰ προσπαθῶν νὰ διορθώσῃ ἐκείνους. Καὶ ἀφοῦ ἄφησε τὸν πόρνον, ὁμιλεῖ μὲ τοὺς ἄλλους, διότι ἐκεῖνον δὲν τὸν ἔκρινεν ἄξιον οὔτε τῶν λόγων τῶν ἰδικῶν του, πρᾶγμα τὸ ὁποῖον κάμνομεν εἰς τοὺς ὑπηρέτας ποὺ μᾶς ἔχουν βλάψει πολύ. Καὶ ἀφοῦ εἶπεν, «ἀποστέλλω τὸν Τιμόθεον», διὰ νὰ μὴ γίνουν ἀπὸ αὐτὸ ραθυμότεροι, κοίταξε τί λέγει· «Μερικοὶ ὅμως ὑπερ-

φησιν· «Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες». Ἐνταῦθα γὰρ κἀκείνων καθάπερ καὶ ἑτέρων τινῶν κατασείων αὐτῶν τὸ φρόνημα. Φιλαρχίας γὰρ τὸ ἔγκλημα, τῇ ἐρημίᾳ τοῦ διδασκάλου εἰς ἀπόνοιαν κεχρῆσθαι. Ὅταν μὲν οὖν πρὸς τοὺς πολλοὺς διαλέγηται, σκόπει πῶς ἐντρεπτικῶς αὐτὸ ποιεῖ· ὅταν δὲ πρὸς τοὺς αἰτίους, καταφορικώτερον. Ἐκείνοις μὲν γὰρ λέγει «Πάντων περίψημα» καὶ θεραπεύων αὐτούς φησιν «Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα», τούτοις δὲ «Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες», δεικνὺς ὅτι παιδικῆς διανοίας ἡ ἀπόνοια· καὶ γὰρ οἱ παῖδες τῇ ἀπουσίᾳ τοῦ διδασκάλου ῥᾳθυμότεροι γίνονται. Τουτό τε οὖν ἐνδείκνυται, καὶ ὅτι ἀρκεῖ πρὸς διόρθωσιν ἡ παρουσία.

Καθάπερ γὰρ λέοντος παρουσία ἅπαντα ποιεῖ κατεπτηχέναι τὰ ζῶα, οὕτω καὶ ἡ Παύλου τοὺς διαφθείραντας τὴν Ἐκκλησίαν. Διὸ καὶ ἐπάγει· «Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ». Ἀλλὰ τὸ μὲν τοῦτο εἰπεῖν μόνον ἐδόκει ἀπειλῆς εἶναι· τὸ δὲ καὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν καὶ αὐτὸν ἐπαγγείλασθαι, κἀκείνους ἀπαιτεῖν, τοῦτο ἦν μεγαλόφρονος διανοίας. Διόπερ καὶ προσέθηκε τοῦτο εἰπών· «Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν». Οὐδὲ γὰρ ἀπὸ κατορθωμάτων οἰκείων, ἀλλ' ἀπὸ τῆς τοῦ διδασκάλου ἀπουσίας ἡ ἀπόνοια ἦν· ὅπερ καὶ αὐτὸ γνώμης ἦν καταφρονητικῆς. Διὰ τοῦτο εἰπὼν «Ἔπεμψα Τιμόθεον» οὐκ εὐθέως εἶπεν, ἐλεύσομαι, ἀλλὰ πρότερον αὐτῶν κατηγορήσας ὅτι ἐφυσιώθησαν, τότε φησὶν «ἐλεύσομαι». Εἰ μὲν γὰρ πρὸ τῆς κατηγορίας αὐτὸ τέθεικεν, ἀπολογία μᾶλλον ἐγένετο αὐτοῦ ὡς οὐκ ἀπολειφθέντος, καὶ οὐκ ἀπειλή, καὶ οὐδὲ οὕτως πιστὸς ὁ λόγος ἦν· νυνὶ δὲ μετὰ τὴν κατηγορίαν θεὶς καὶ ἀξιόπιστον αὐτὸν καὶ φοβερὸν ἐποίησε. Καὶ ὅρα αὐτοῦ τὸ βέβαιον καὶ ἀσφαλές· οὐ γὰρ ἁπλῶς εἶπεν, ἐλεύσομαι, ἀλλ' «ἐὰν ὁ Κύριος θελήσῃ», καὶ οὐ τίθησι χρόνον ὡρισμένον. Ἐπειδὴ γὰρ συνέβαινεν αὐτὸν βραδέως

4. αὐτ. 4,18.
5. αὐτ. 19.

ηφανεύθησαν ὡσὰν νὰ μὴ ἐπρόκειτο νὰ ἔλθω πρὸς ἐσᾶς»[4]. Ἐδῶ δηλαδὴ κατηγορεῖ καὶ ἐκείνους καὶ μερικοὺς ἄλλους κατασείων τὸ φρόνημα αὐτῶν. Τὸ ἁμάρτημα δηλαδὴ ἦτο ἡ φιλαρχία, ποὺ ἐξεμεταλλεύθη τὴν ἀπουσίαν τοῦ διδασκάλου καὶ ἔφθασεν εἰς ὑπεροψίαν. Ὅταν μὲν ἀπευθύνηται πρὸς τοὺς πολλούς, πρόσεξε πόσον προσπαθεῖ νὰ προκαλέσῃ τὴν ἐντροπήν· ὅταν ὅμως ἀπευθύνηται πρὸς τοὺς αἰτίους, χρησιμοποιεῖ ὕφος πολὺ δριμύ. Δηλαδὴ εἰς ἐκείνους μὲν λέγει, «Ἐγίναμεν ὡς ἀκαθαρσία ὅλων», καὶ θεραπεύων αὐτοὺς λέγει· «Τὰ γράφω αὐτὰ ὄχι διὰ νὰ σᾶς προκαλέσω ἐντροπήν»· εἰς αὐτοὺς δέ· «Μερικοὶ ὑπερηφανεύθησαν ὡς νὰ μὴ ἐπρόκειτο νὰ ἔλθω πρὸς ἐσᾶς», δεικνύων ὅτι ἡ ἀλαζονεία εἶναι ἔνδειξις παιδικῆς διανοίας, διότι τὰ παιδιὰ γίνονται ραθυμότερα ἀπὸ τὴν ἀπουσίαν τοῦ διδασκάλου. Τοῦτο λοιπὸν δεικνύει, καὶ ὅτι ἡ παρουσία ἀρκεῖ διὰ τὴν διόρθωσιν.

Ὅπως ἀκριβῶς λοιπὸν ἡ παρουσία λέοντος κάμνει ὅλα τὰ ζῶα νὰ ζαρώνουν ἀπὸ φόβον, ἔτσι καὶ ἡ παρουσία τοῦ Παύλου ἔκαμνε ἐκείνους ποὺ κατέστρεφον τὴν Ἐκκλησίαν. Διὰ τοῦτο καὶ προσθέτει· «Θὰ ἔλθω ὅμως πρὸς ἐσᾶς ταχέως, ἐὰν ὁ Κύριος τὸ θελήσῃ»[5]. Ἀλλὰ τὸ νὰ εἰπῇ μὲν τοῦτο μόνον, θὰ ἐθεωρεῖτο ὅτι ἦτο ἀπειλή· τὸ νὰ ὑποσχεθῇ ὅμως ὁ ἴδιος τὴν ἀπόδειξιν διὰ τῶν ἔργων, τὴν ὁποίαν καὶ ἐκεῖνοι νὰ ἀπαιτοῦν, τοῦτο εἶναι χαρακτηριστικὸν μεγαλόφρονος διανοίας. Διὰ τοῦτο καὶ προσέθεσε τοῦτο· «Καὶ θὰ γνωρίσω ὄχι τοὺς λόγους τῶν ὑπερηφάνων ἀλλὰ τὴν δύναμίν των». Ἡ ἀλαζονεία δηλαδὴ δὲν ὠφείλετο εἰς τὰ ἰδικά των κατορθώματα, ἀλλὰ εἰς τὴν ἀπουσίαν τοῦ διδασκάλου, πρᾶγμα τὸ ὁποῖον ἐπίσης ἐδείκνυεν ὑπεροπτικὴν διάνοιαν. Διὰ τοῦτο, ἀφοῦ εἶπεν, «Ἔστειλα τὸν Τιμόθεον», δὲν εἶπεν εὐθέως, θὰ ἔλθω, ἀλλ' ἀφοῦ προηγουμένως τοὺς ἐκατηγόρησεν ὅτι ἐγέμισαν ἀπὸ οἴησιν, τότε τοὺς λέγει «θὰ ἔλθω». Ἐὰν δηλαδὴ εἶχεν εἰπεῖ τοῦτο πρὸ τῆς κατηγορίας, θὰ ἦτο μᾶλλον ὡς ἀπολογία αὐτοῦ, ὅτι δῆθεν δὲν ὑπῆρξε κατώτερος, καὶ δὲν θὰ ἦτο ὡς ἀπειλή, καὶ οὔτε ὁ λόγος του θὰ ἦτο τόσον ἀξιόπιστος· τώρα ὅμως μὲ τὸ νὰ τὸ εἰπῇ μετὰ τὴν κατηγορίαν ἔκανε τὸν λόγον του καὶ ἀξιόπιστον καὶ φοβερόν. Κοίταξε ἐπίσης τὴν βεβαιότητα καὶ τὴν ἀσφάλειαν αὐτοῦ· δὲν εἶπε δηλαδὴ ἁπλῶς, θὰ ἔλθω, ἀλλ' «ἐὰν ὁ Κύριος τὸ θελήσῃ», καὶ δὲν θέτει ὡρισμένον χρόνον. Ἐπειδὴ δηλαδὴ δὲν ἐπρόκειτο νὰ πάῃ

παραγενέσθαι, τῇ ἀδηλίᾳ βούλεται αὐτοὺς ἐναγωνίους ποιῆσαι. Καὶ ἵνα μὴ διὰ τοῦτο πάλιν ἀναπέσωσι, προσέθηκε «ταχέως».

«Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν». Οὐκ εἶπεν ὅτι γνώσομαι τὴν σοφίαν, οὐδὲ τὰ σημεῖα, ἀλλὰ τί; «Οὐ τὸν λόγον»· κἀκεῖνο τῷ ὀνόματι καταφέρων καὶ τοῦτο ἐπαίρων. Καὶ τέως πρὸς τοὺς ἄλλους ἀποτείνεται τοὺς συγκροτοῦντας τὸν πεπορνευκότα. Εἰ γὰρ πρὸς ἐκεῖνον ἔλεγεν, οὐκ ἂν εἶπε τὴν δύναμιν, ἀλλὰ τὰ ἔργα, ἅπερ ἦν αὐτῷ διεφθαρμένα. Καὶ διὰ τί οὐ ζητεῖς τὸν λόγον; Οὐκ ἐπειδὴ ἀπορῶ λόγου, ἀλλ' ἐπειδὴ ἐν δυνάμει τὰ ἡμέτερα. Καθάπερ οὖν ἐν πολέμῳ οὐ τῶν πολλὰ φθεγγομένων τὸ κατορθοῦν, ἀλλὰ τῶν πολλὰ ἐργαζομένων, οὕτω δὴ καὶ ἐνταῦθα οὐ τῶν λαλούντων, ἀλλὰ τῶν ποιούντων ἡ νίκη. Μέγα φρονεῖς ἐπὶ εὐγλωττίᾳ, φησίν. Ἀλλ' εἰ μὲν ῥητόρων ὁ ἀγὼν καὶ ὁ καιρός, καλῶς ἐντεῦθεν ἐφρόνεις· εἰ δὲ ἀποστόλων ἀλήθειαν καταγγελλόντων καὶ σημείοις ταύτην βεβαιούντων, τί πεφύσησαι ἐπὶ πράγματι περιττῷ καὶ οὐδὲν ὄντι, οὐδὲ εἰς τὰ παρόντα τι συντελέσαι δυναμένῳ; Τί γὰρ λόγων ἐπίδειξις δύναιτ' ἂν πρὸς τὸ νεκρὸν ἀναστῆσαι ἢ δαίμονας ἐλάσαι ἢ ἄλλην τινὰ τοιαύτην ἐργάσασθαι θαυματουργίαν;

Τούτων δὲ χρεία νῦν καὶ διὰ τούτων τὰ ἡμέτερα συνίσταται. Διὸ καὶ ἐπήγαγεν· «Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει». Διὰ σημείων, φησίν, οὐ δι' εὐγλωττίας ἐκρατήσαμεν, καὶ τοῦ θείαν εἶναι τὴν διδασκαλίαν ἡμῶν καὶ βασιλείαν καταγγέλλειν οὐρανῶν μεγίστην ἀπόδειξιν παρεχόμενοι τὰ σημεῖα, ἅπερ ποιοῦμεν τῇ δυνάμει τοῦ Πνεύματος. Εἰ τοίνυν μεγάλοι τινὲς εἶναι βούλονται οἱ πεφυσιωμένοι νῦν, ἐπειδὰν παραγένωμαι, δειξάτωσαν, εἴ τινα δύναμιν τοιαύτην ἔχουσι· καὶ μή μοι ῥημάτων προβαλλέσθωσαν κόμπους· οὐδὲν γὰρ ἐκείνη πρὸς ἡμᾶς ἡ τέχνη.

---

6. αὐτ. 20.

συντόμως, μὲ τὸ νὰ μὴ προσδιορίζῃ τὸν χρόνον τῆς ἐπισκέψεώς του θέλει νὰ τοὺς ἐμβάλῃ εἰς ἀγωνίαν. Καὶ διὰ νὰ μὴ ἀποθαρρυνθοῦν πάλιν διὰ τοῦτο, προσέθεσε τὸ «ταχέως».

«Καὶ θὰ γνωρίσω ὄχι τοὺς λόγους τῶν ὑπερηφάνων ἀλλὰ τὴν δύναμίν των». Δὲν εἶπεν ὅτι, θὰ γνωρίσω τὴν σοφίαν των, οὔτε τὰ σημεῖα, ἀλλὰ τί; «Ὄχι τοὺς λόγους των», καὶ μὲ τὴν λέξιν ποὺ χρησιμοποιεῖ ὑποτιμᾷ μὲν ἐκεῖνο, ἐνῷ ἐξαίρει τοῦτο. Καὶ κατὰ πρῶτον ἀποτείνεται πρὸς τοὺς ἄλλους ποὺ ὑπέθαλπον τὸν πόρνον· διότι, ἐὰν ἀπετείνετο πρὸς ἐκεῖνον, δὲν θὰ ἀνέφερε τὴν δύναμιν, ἀλλὰ τὰ ἔργα του, τὰ ὁποῖα ἦσαν αἰσχρά. Καὶ διατί δὲν ζητεῖς τὸν λόγον; Ὄχι διότι στεροῦμαι τῆς δυνάμεως τοῦ λόγου, ἀλλ' ἐπειδὴ ἡ πίστις μας εἶναι δύναμις. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὸν πόλεμον ἡ νίκη εἶναι ἔργον ὄχι αὐτῶν ποὺ λέγουν πολλά, ἀλλ' αὐτῶν ποὺ πράττουν πολλά, ἔτσι ἀκριβῶς καὶ ἐδῶ ἡ νίκη ὀφείλεται ὄχι εἰς ἐκείνους ποὺ ὁμιλοῦν, ἀλλ' εἰς ἐκείνους ποὺ δροῦν. Ὑπερηφανεύεσαι διὰ τὴν εὐγλωττίαν σου, θὰ ἔλεγε κάποιος. Ἀλλ' ἐὰν μὲν ὁ καιρὸς ἦτο δι' ἀγῶνα ρητόρων, δικαίως ὑπερηφανεύεσαι διὰ τὴν εὐγλωττίαν· ἐφ' ὅσον ὅμως πρόκειται δι' Ἀποστόλους ποὺ κηρύττουν τὴν ἀλήθειαν καὶ βεβαιώνουν αὐτὴν μὲ σημεῖα, διατί εἶσαι γεμᾶτος μὲ ἀλαζονείαν διὰ πρᾶγμα περιττὸν καὶ τιποτένιον, ποὺ δὲν ἠμπορεῖ οὔτε εἰς τὴν παροῦσαν ζωὴν νὰ φέρῃ κάποιο ὄφελος; Ἡ ἐπίδειξις δηλαδὴ λόγων ποίαν δύναμιν θὰ εἶχε νὰ ἀναστήσῃ νεκρόν, νὰ ἐκδιώξῃ δαίμονας ἢ νὰ κάνῃ κάποιαν ἄλλην τέτοιαν θαυματουργίαν;

Αὐτὰ χρειάζονται τώρα καὶ μὲ αὐτὰ ἡ πίστις μας μένει καθαρά. Διὰ τοῦτο καὶ προσέθεσε· «Διότι ἡ βασιλεία τοῦ Θεοῦ δὲν εἶναι ζήτημα εὐγλωττίας, ἀλλὰ δυνάμεως»[6]. Ὑπερισχύσαμεν, λέγει, διὰ τῶν θαυμάτων, ὄχι διὰ τῆς εὐγλωττίας, καὶ διότι τὰ θαύματα, τὰ ὁποῖα κάμνομεν μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος, τὰ παρουσιάζομεν ὡς μεγίστην ἀπόδειξιν τοῦ ὅτι ἡ διδασκαλία μας εἶναι θεία καὶ ὅτι κηρύττομεν τὴν βασιλείαν τῶν οὐρανῶν. Ἐὰν λοιπὸν θέλουν νὰ εἶναι κάπως σπουδαῖοι αὐτοὶ ποὺ τώρα εἶναι γεμᾶτοι ἀπὸ ἀλαζονείαν, ὅταν θὰ ἔλθω, ἂς δείξουν ἂν ἔχουν κάποιαν τέτοιαν δύναμιν· καὶ ἂς μὴ μοῦ προβάλλουν λόγους ἀλαζονικούς, διότι ἐκείνη ἡ τέχνη δὲν εἶναι τίποτε δι' ἡμᾶς.

3. «Τί θέλετε; ἐν ράβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;». Πολὺ καὶ τὸ φοβερὸν ἔχει καὶ τὸ προσηνὲς ὁ λόγος οὗτος. Τὸ μὲν γὰρ εἰπεῖν ὅτι γνώσομαι, ἔτι ὑπεσταλμένου ἦν· τὸ δὲ εἰπεῖν «Τί θέλετε; ἐν ράβδῳ ἔλθω πρὸς ὑμᾶς;» ἐπὶ τὸν διδασκαλικὸν λοιπὸν ἀναβαίνοντος θρόνον, κἀκεῖθεν αὐτοῖς διαλεγομένου καὶ τὴν ἐξουσίαν ἀναλαβόντος πᾶσαν. Τί ἐστιν «ἐν ράβδῳ»; Ἐν κολάσει, ἐν τιμωρίᾳ· τουτέστιν, ἀνελῶ, πηρώσω· ὅπερ ἐπὶ τῆς Σαπφείρας ὁ Πέτρος ἐποίησεν· ὅπερ αὐτὸς ἐπὶ Ἐλύμα τοῦ μάγου. Οὐκέτι γὰρ λοιπὸν ὡς παρεξετάζων ἐκείνοις ἑαυτὸν λέγει, ἀλλ' αὐθεντικῶς. Καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τὸ αὐτὸ τοῦτο φαίνεται λέγων, ὅταν λέγῃ· «Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ». «Ἐν ράβδῳ ἔλθω ἢ ἐν ἀγάπῃ;». Τὸ γὰρ ἐν ράβδῳ ἐλθεῖν οὐκ ἦν ἀγάπης; Ἀγάπης μὲν ἦν, ἀλλ' ἐπειδὴ σφόδρα ἀγαπῶν ἀναδύεται πρὸς τιμωρίαν, διὰ τοῦτο οὕτω φησίν. Ὅτε μὲν οὖν περὶ τιμωρίας ἔλεγεν, οὐκ εἶπε «πνεύματί τε πραότητος» ἀλλὰ «ράβδῳ». Καίτοι κἀκεῖνο πνεύματι ἐγίνετο· ἔστι γὰρ πνεῦμα πραότητος καὶ πνεῦμα αὐστηρότητος· ἀλλ' οὐ βούλεται οὕτως αὐτὸ καλεῖν, ἀλλ' ἀπὸ τῶν χρηστοτέρων.

Διὰ τοῦτο καὶ ὁ Θεὸς καίτοιγε τιμωρούμενος, ὅτι μὲν ἐλεήμων ἐστὶ καὶ μακρόθυμος καὶ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, πολλαχοῦ λέγεται· ὅτι δὲ κολαστικός, ἅπαξ που καὶ δεύτερον καὶ σπανιάκις, καὶ ταῦτα τῆς αἰτίας κατεπειγούσης. Καὶ σκόπει σοφίαν Παύλου. Τὴν ἐξουσίαν αὐτὸς ἔχων καὶ τούτου κἀκείνου ἑτέρους ποιεῖ κυρίους λέγων, «Τί θέλετε;» ἐν ὑμῖν τὸ πρᾶγμα κεῖται. Καὶ γὰρ ἡμεῖς ἐσμεν καὶ τούτου κἀκείνου κύριοι, καὶ τοῦ εἰς γέενναν ἐμπεσεῖν καὶ τοῦ βασιλείας ἐπιτυχεῖν· ἐπειδὴ ὁ Θεὸς οὕτως ἠθέλησεν. «Ἰδοὺ γάρ», φησί, «πῦρ καὶ ὕδωρ· οὗ ἐὰν θέλῃς, ἐκτενεῖς τὴν χεῖρά σου»· καὶ «Ἐὰν θέλητε καὶ

---

7. αὐτ. 21.
8. Β' Κορ. 13,3.
9. Σοφ. Σειρ. 15,16.

3. «Τί θέλετε; νὰ ἔλθω πρὸς ἐσᾶς μὲ ράβδον ἢ μὲ ἀγάπην καὶ πνεῦμα πραότητος;»[7]. Ὁ λόγος αὐτὸς καὶ φόβον προκαλεῖ καὶ φιλόφρονα αἰσθήματα δεικνύει. Τὸ νὰ εἰπῇ δηλαδή, ὅτι θὰ γνωρίσω, ἐδείκνυεν ἄνθρωπον, ὁ ὁποῖος ἀκόμη ἦτο συγκρατημένος· τὸ νὰ εἰπῇ ὅμως «Τί θέλετε; νὰ ἔλθω πρὸς ἐσᾶς μὲ ράβδον;» δεικνύει ἄνθρωπον, ὁ ὁποῖος ἀνεβαίνει πλέον εἰς τὴν διδασκαλικὴν ἕδραν καὶ τοὺς ὁμιλεῖ ἀπὸ ἐκεῖ, καὶ ὁ ὁποῖος ἀνέλαβεν ὅλην τὴν ἐξουσίαν. Τί σημαίνει «μὲ ράβδον»; Μὲ κολασμόν, μὲ τιμωρίαν· δηλαδή, θὰ σᾶς ἀφανίσω, θὰ σᾶς πληγώσω· πρᾶγμα ποὺ ἔκανεν ὁ Πέτρος εἰς τὴν Σαπφείραν· καὶ ἀκριβῶς τὸ ἴδιο ἔκανεν ὁ ἴδιος εἰς τὸν Ἐλύμα τὸν μάγον. Δηλαδή, δὲν ὁμιλεῖ πλέον ὡς νὰ ἔθετε τὸν ἑαυτόν του εἰς ἴσην θέσιν μὲ ἐκείνους, ἀλλ' ὡς αὐθέντης. Καὶ εἰς τὴν δευτέραν ἐπιστολὴν φαίνεται ὅτι τὸ ἴδιον ἀκριβῶς λέγει μὲ τὰ λόγια· «Ἐπειδὴ ζητεῖτε ἀπόδειξιν διὰ τὸν Χριστόν, ὁ ὁποῖος λαλεῖ δι' ἐμοῦ»[8]. «Νὰ ἔλθω μὲ ράβδον ἢ μὲ ἀγάπην;». Δηλαδὴ τὸ νὰ ἔλθῃ μὲ ράβδον δὲν θὰ ἐδείκνυεν ἀγάπην; Θὰ ἐδείκνυε μὲν ἀγάπην, ἀλλ' ἐπειδή, ἐνῷ ἀγαπᾷ πάρα πολύ, εὑρίσκεται εἰς τὴν ἀνάγκην νὰ τιμωρήσῃ, διὰ τοῦτο ὁμιλεῖ ἔτσι. Ὅταν μὲν ὡμίλει περὶ τιμωρίας, δὲν εἶπε «καὶ μὲ πνεῦμα πραότητος» ἀλλὰ «μὲ ράβδον». Καὶ ὅμως καὶ ἐκεῖνο ἐγένετο μὲ τὸ ἅγιον Πνεῦμα· διότι ὑπάρχει πνεῦμα πραότητος καὶ πνεῦμα αὐστηρότητος, ἀλλὰ δὲν θέλει νὰ ὀνομάσῃ αὐτὸ ἔτσι, ἀλλὰ μὲ τὰς ἐπιεικεστέρας λέξεις.

Διὰ τοῦτο καὶ ὁ Θεός, ἂν καὶ τιμωρεῖ, ἀναφέρεται εἰς πολλὰ σημεῖα ὅτι εἶναι ἐλεήμων καὶ μακρόθυμος καὶ πλούσιος εἰς ἔλεος καὶ εὐσπλαχνίαν, μίαν δὲ μόνον ἢ δύο φορὰς ἢ σπανίως —καὶ τότε, διότι εἶναι κατεπείγουσα ἀνάγκη— ἀναφέρεται ὡς τιμωρός. Καὶ πρόσεξε τὴν σοφίαν τοῦ Παύλου. Ἐνῷ ὁ ἴδιος κατέχει τὴν ἐξουσίαν, καὶ τοῦτο καὶ ἐκεῖνο τὸ ἀφήνει εἰς τὴν ἐκλογὴν ἄλλων λέγων, «Τί θέλετε;»· δηλαδὴ ἡ ἐκλογὴ ἐπαφίεται εἰς τὴν κρίσιν σας· διότι πράγματι ἀπὸ ἡμᾶς ἐξαρτᾶται καὶ τοῦτο καὶ ἐκεῖνο, δηλαδὴ καὶ τὸ νὰ πέσωμεν εἰς τὴν κόλασιν καὶ τὸ νὰ ἐπιτύχωμεν εἰς τὴν βασιλείαν, διότι ὁ Θεὸς ἔτσι ἠθέλησε· διότι λέγει· «Ἰδοὺ πῦρ καὶ ὕδωρ· ἅπλωσε τὸ χέρι σου καὶ πάρε ὅ,τι θέλεις»[9]. «Ἐὰν

εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μάχαιρα ὑμᾶς κατέδεται».

4. Ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι θέλω. Καὶ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ θέλειν· ἀλλ' οὐκ ἀρκεῖ μοι τὸ θέλειν. Καὶ μὴν ἀρκεῖ, ἐάν, ὡς χρή, θέλῃς καὶ τὰ τοῦ θέλοντος ποιῇς· νυνὶ δὲ οὐ σφόδρα θέλεις. Καὶ τοῦτο ἐπὶ τῶν ἄλλων γυμνάσωμεν, εἰ δοκεῖ. Εἰπὲ γάρ μοι, ὁ βουλόμενος γυναῖκα ἀγαγέσθαι ἀρκεῖται τῷ θέλειν; Οὐδαμῶς, ἀλλὰ καὶ προμνηστρίας ἐπιζητεῖ καὶ φίλους ἀξιοῖ συναγρυπνῆσαι καὶ χρήματα συνάγει. Πάλιν ὁ ἔμπορος οὐκ οἴκοι καθήμενος ἀρκεῖται τῷ θελῆσαι, ἀλλὰ καὶ πλοῖον μισθοῦται καὶ ναύτας καὶ κωπηλάτας καταλέγει καὶ ἀργύριον δανείζεται καὶ χώραν περιεργάζεται καὶ ὠνίων τιμάς. Πῶς οὖν οὐκ ἄτοπον εἰς μὲν τὰ τῆς γῆς τοσαύτην σπουδὴν ἐπιδείκνυσθαι, τὸν δὲ οὐρανὸν ἐμπορεύεσθαι μέλλοντας τῷ θέλειν ἀρκεῖσθαι μόνον; μᾶλλον δὲ μηδὲ τοῦτο μετὰ τῆς προσηκούσης ἐπιδείκνυσθαι σπουδῆς; Ὁ γὰρ θέλων, ὡς δεῖ, καὶ τῶν πραγμάτων ἅπτεται τῶν ἐπὶ τοῦτο ἀγόντων, ὃ θέλει. Καὶ γὰρ ἐπειδὰν τὸ πεινῆσαι καταναγκάζῃ τραφῆναι, οὐ περιμένεις αὐτόματα τὰ σιτία πρὸς σὲ ἐλθεῖν, ἀλλὰ πάντα ποιεῖς ὑπὲρ τοῦ τὴν τροφὴν συναγαγεῖν· καὶ ἐπὶ τοῦ διψῆν καὶ ἐπὶ τοῦ ῥιγοῦν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁμοίως ἐνεργὸς εἶ καὶ παρατεταγμένος πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν.

Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς βασιλείας ποίει, καὶ πάντως αὐτῆς ἐπιτεύξῃ. Διὰ τοῦτο γάρ σε αὐτεξούσιον ἐποίησεν ὁ Θεός, ἵνα μὴ ὕστερον ἐγκαλῇς τῷ Θεῷ ὡς ἀνάγκῃ δεθείς. Σὺ δὲ ὑπὲρ ὧν τιμῆς ἀπέλαυσας, ὑπὲρ τούτων ἀγανακτεῖς. Καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων· διὰ τί γάρ με κύριον ἐποίησεν ἀρετῆς; Ἀλλὰ πῶς ἔδει; κοιμώμενον καὶ νυστάζοντα καὶ τῆς κακίας ἐφιέμενον καὶ τρυφῶντα καὶ

10. Ἡσ. 1,19-20.

θέλητε καὶ ὑπακούητε εἰς ἐμέ, θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς· ἐὰν ὅμως δὲν θέλητε, θὰ σᾶς ἀφανίσῃ μάχαιρα»[10].

4. Ἀλλ' ἴσως εἰπῇ κάποιος ὅτι, «θέλω». Καὶ κανεὶς δὲν εἶναι τόσον ἀνόητος, ὥστε νὰ μὴ θέλῃ· ἀλλὰ δὲν ἀρκεῖ κατὰ τὴν γνώμην μου ἡ θέλησις. Ἀρκεῖ ὅμως, ἐὰν θέλῃς, ὅ,τι πρέπει νὰ θέλῃς καὶ ἂν αἱ πράξεις σου δεικνύουν ἄνθρωπον ποὺ θέλει· τώρα ὅμως δὲν θέλεις ἔντονα. Καί, ἂν θέλετε, ἂς ἐπαληθεύσωμεν τοῦτο ἐπὶ ἄλλων πραγμάτων. Εἰπέ μου λοιπόν, ἐκεῖνος ποὺ θέλει νὰ νυμφευθῇ γυναῖκα ἀρκεῖται εἰς τὸ νὰ θέλῃ τοῦτο; Καθόλου, ἀλλὰ καὶ προξενήτριαν ἐπιζητεῖ καὶ ἀπὸ τοὺς φίλους του ἀξιοῖ νὰ ἐνδιαφερθοῦν νυχθημερὸν διὰ τὸ θέμα του καὶ χρήματα συγκεντρώνει. Ὁ ἔμπορος ἐπίσης δὲν κάθεται εἰς τὴν οἰκίαν του ἀρκούμενος εἰς τὴν θέλησίν του (νὰ κερδίσῃ), ἀλλὰ καὶ πλοῖον μισθώνει καὶ ναύτας καὶ κωπηλάτας συγκεντρώνει καὶ χρήματα δανείζεται καὶ τὴν χώραν περιέρχεται καὶ ἐξετάζει τὰς τιμὰς τῶν ἐμπορευμάτων. Πῶς λοιπὸν δὲν εἶναι παράξενον διὰ μὲν τὰ γήινα νὰ δεικνύωμεν τόσην σπουδήν, ἐνῷ, ὅταν πρόκειται νὰ κερδίσωμεν τὸν οὐρανόν, νὰ ἀρκούμεθα μόνον εἰς τὸ νὰ θέλωμεν τοῦτο; μᾶλλον δὲ οὔτε εἰς τοῦτο δεικνύομεν τὴν ἀπαιτουμένην σπουδήν; Ἐκεῖνος δηλαδὴ ποὺ θέλει, ὅπως πρέπει, προβαίνει καὶ εἰς τὰς ἐνεργείας, αἱ ὁποῖαι ὁδηγοῦν ἐκεῖ ποὺ θέλει. Καθ' ὅσον ὅταν ἡ πεῖνα σὲ καταναγκάζῃ νὰ τραφῇς, δὲν περιμένεις τὰ τρόφιμα μόνα των νὰ ἔλθουν πρὸς σέ, ἀλλὰ κάμνεις τὰ πάντα, διὰ νὰ συγκεντρώσῃς τὴν τροφήν· καὶ εἰς τὴν δίψαν καὶ εἰς τὸ ρῖγος καὶ εἰς ὅλα τὰ ἄλλα ἐξ ἴσου εἶσαι δραστήριος καὶ ἕτοιμος διὰ τὴν φροντίδα τοῦ σώματος.

Τοῦτο λοιπὸν κάμνε καὶ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ὁπωσδήποτε θὰ τὴν ἐπιτύχῃς· διότι διὰ τοῦτο ὁ Θεὸς σὲ ἔκανεν αὐτεξούσιον, διὰ νὰ μὴ κατηγορῇς κατόπιν τὸν Θεὸν ὅτι δῆθεν σὲ ἐξηνάγκασε. Σὺ ὅμως ἀγανακτεῖς δι' αὐτά, τὰ ὁποῖα σοῦ ἔκαμε τὴν τιμὴν ποὺ σοῦ τὰ ἔδωσε. Καὶ πράγματι, ἤκουσα πολλοὺς νὰ λέγουν· Διατί λοιπὸν δὲν μὲ ἔκαμεν ὁ Θεὸς κύριον τῆς ἀρετῆς; Ἀλλὰ πῶς ἔπρεπε; νὰ σὲ φέρῃ εἰς τὸν οὐρανόν, ἐνῷ κοιμᾶσαι καὶ νυστάζεις καὶ ἐπιθυμεῖς τὴν κακίαν καὶ ζῇς τρυφυλὴν ζωὴν καὶ τρώγεις

γαστριζόμενον ἐπὶ τὸν οὐρανὸν ἀναγαγεῖν; Ἀλλ' οὐκ ἂν ἀπέστης κακίας. Εἰ γὰρ νῦν, ἀπειλῆς κειμένης, οὐδὲ οὕτως ἀφίστασαι τῆς πονηρίας· εἰ καὶ τὸν οὐρανόν σοι προσέθηκεν ἔπαθλον, πότε ἂν ἐπαύσω γινόμενος ῥᾳθυμότερος καὶ χείρων πολλῷ; Οὐδὲ γὰρ ἐκεῖνο ἕξεις, εἰπεῖν ὅτι ἔδειξε μὲν τὰ ἀγαθά, οὐκ ἐβοήθησε δέ· καὶ γὰρ πολλὴν ὑπισχνεῖταί σοι τὴν συμμαχίαν.

Ἀλλ' ἡ μὲν ἀρετή, φησίν, ἐπαχθὴς καὶ φορτική, τῇ δὲ κακίᾳ ἡδονὴ συγκέκραται πολλή, καὶ ἡ μέν ἐστι πλατεῖα εὐρύχωρος, ἡ δὲ στενὴ καὶ τεθλιμμένη. Ἆρα διόλου, εἰπέ μοι, ἢ ἀπὸ τῆς ἀρχῆς ἀμφότεραι τοιαῦται; Καὶ γὰρ καὶ ἄκων ὑπὲρ τῆς ἀρετῆς λέγεις ταῦτα ἃ λέγεις· οὕτως ἰσχυρὸν ἡ ἀλήθεια. Καὶ γὰρ εἰ δύο ἦσαν ὁδοί, ἡ μὲν ἐπὶ κάμινον, ἡ δὲ στενὴ ἡ ἐπὶ τὸν παράδεισον, ποίαν ἂν εἵλου μᾶλλον ὁδόν; Κἂν γὰρ νῦν φιλονεικῶν ἀντείπῃς, ἀλλὰ τοῖς σφόδρα ὡμολογημένοις, κἂν σφόδρα ἀναισχυντῇς, ἀντειπεῖν οὐ δυνήσῃ.

Ὅτι μὲν γὰρ αὕτη μᾶλλόν ἐστιν αἱρετὴ ἡ τὴν ἀρχὴν ἔχουσα χαλεπήν, ἀλλὰ μὴ τὸ τέλος, ἀπὸ τῶν ἐν χερσὶ ὑμᾶς διδάξαι πειράσομαι. Καί, εἰ βούλεσθε, τὰς τέχνας μεταχειρίσωμεν πρῶτον· αὗται γὰρ τὴν μὲν ἀρχὴν πόνου γέμουσαν ἔχουσι, τὸ δὲ τέλος ἐπικερδές. Ἀλλ' οὐδείς, φησίν, ἥψατο τέχνης μὴ τὸν ἀναγκάζοντα ἔχων. Ἐπειδὰν γὰρ ᾖ κύριος ἑαυτοῦ, φησίν, ὁ νέος μᾶλλον αἱρήσεται τρυφᾶν ἐν ἀρχῇ καὶ πρὸς τῷ τέλει μυρία παθεῖν κακὰ ἢ ταλαιπωρεῖσθαι ἐν παροιμίοις καὶ καρποῦσθαι μετὰ ταῦτα ἐκ τῶν πόνων ἐκείνων. Οὐκοῦν τὸ τὰ τοιαῦτα αἱρεῖσθαι ὀρφανικῆς ἐστι διανοίας καὶ παιδικῆς ῥᾳθυμίας· τὸ δὲ τὰ ἐναντία, συνέσεως καὶ ἀνδρείας.

ὑπερβολικῶς; Ἀλλὰ τότε δὲν θὰ ἀπέφευγες τὴν κακίαν. Ἐφ' ὅσον δηλαδὴ τώρα ποὺ ὑπάρχει ἀπειλὴ οὔτε ἔτσι ἀπομακρύνεσαι ἀπὸ τὴν πονηρίαν, ἐὰν καὶ τὸν οὐρανὸν σοῦ προσέθετεν ὡς ἔπαθλον, πότε θὰ ἔπαυες νὰ γίνεσαι ραθυμότερος καὶ χειρότερος; Ἀλλ' οὔτε καὶ ἐκεῖνο θὰ ἔχῃς νὰ προβάλῃς ὡς δικαιολογίαν, ὅτι δηλαδὴ ἔδειξε μὲν τὰ ἀγαθά, ἀλλὰ δὲν σ' ἐβοήθησε, διότι σοῦ ὑπόσχεται πολλὴν τὴν βοήθειαν.

Ἀλλά, θὰ ἔλεγε κάποιος, ἡ μὲν ἀρετὴ εἶναι ἐπαχθὴς καὶ φορτική, ἐνῷ πολλὴ ἡδονὴ εἶναι ἀναμεμειγμένη μὲ τὴν κακίαν, καὶ ἡ μὲν ὁδὸς τῆς κακίας εἶναι πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ ὁδὸς τῆς ἀρετῆς εἶναι στενὴ καὶ τεθλιμμένη. Εἰπέ μου, ἆρά γε αἱ δύο ὁδοὶ δὲν ἦσαν καθόλου τέτοιαι ἢ ἦσαν τέτοιαι καὶ αἱ δύο ἀπὸ τὴν ἀρχήν; διότι τὰ ὅσα λέγεις ὑπὲρ τῆς ἀρετῆς τὰ λέγεις χωρὶς νὰ τὸ θέλῃς· εἶναι τόσον ἰσχυρὰ ἡ ἀλήθεια. Ἐὰν δηλαδὴ ἦσαν δύο αἱ ὁδοί, καὶ ἡ μὲν μία ἔφερεν εἰς κάμινον, ἡ δὲ ἄλλη εἰς τὸν παράδεισον, καὶ ἐκείνη μὲν ποὺ θὰ ἔφερεν εἰς τὴν κάμινον ἦτο πλατεῖα, ἡ ἄλλη δὲ ποὺ θὰ ἔφερεν εἰς τὸν παράδεισον ἦτο στενή, ποίαν ὁδὸν θὰ ἐπροτίμας; Καὶ ἂν τώρα ἀπὸ διάθεσιν ἀντιλογίας τὸ ἀρνηθῇς, θὰ ἀρνηθῇς πράγματα ποὺ ὅλοι τὰ ὁμολογοῦν, ἀλλὰ καὶ ἂν ἀκόμη εἶσαι ἐντελῶς ἀναίσχυντος, δὲν θὰ ἠμπορέσῃς νὰ τὸ ἀρνηθῇς.

Ὅτι προτιμᾶται μᾶλλον ἐκείνη ἡ ὁδὸς ποὺ ἔχει τὴν ἀρχήν της δύσκολον καὶ ὄχι τὸ τέλος θὰ προσπαθήσω νὰ σᾶς τὸ παρουσιάσω μὲ παραδείγματα ἀπὸ τὴν καθημερινὴν πραγματικότητα. Καί, ἂν θέλετε, κατὰ πρῶτον ἂς χρησιμοποιήσωμεν τὰς τέχνας· αὐτῶν δηλαδὴ ἡ μὲν ἀρχὴ εἶναι γεμάτη μὲ κόπον, τὸ τέλος ὅμως φέρει κέρδη. Ἀλλά, θὰ ἔλεγε κάποιος, κανεὶς δὲν ἠσχολήθη μὲ μίαν τέχνην χωρὶς νὰ ὑπάρχῃ κάποιος, ποὺ τὸν ἠνάγκασε νὰ ἀσχοληθῇ. Ἐὰν δηλαδή, λέγει, ὁ νέος εἶναι κύριος τοῦ ἑαυτοῦ του, θὰ προτιμήσῃ μᾶλλον εἰς τὴν ἀρχὴν νὰ ζῇ τρυφηλὴν ζωὴν καὶ πρὸς τὸ τέλος νὰ πάθῃ μύρια κακὰ παρὰ νὰ ταλαιπωρῆται εἰς τὴν ἀρχὴν τῆς ζωῆς του καὶ κατόπιν νὰ χαρῇ τοὺς καρποὺς τῶν κόπων του. Τὸ νὰ ἐκδηλώσῃ λοιπὸν κανεὶς τέτοιαν προτίμησιν δεικνύει περιωρισμένην διάνοιαν καὶ παιδικὴν ραθυμίαν, ἐνῷ τὸ νὰ προτιμήσῃ τὰ ἀντίθετα δεικνύει σύνεσιν καὶ ἀνδρείαν.

Οὕτω τοίνυν καὶ ἡμεῖς, εἰ μὴ ἦμεν παῖδες τὸν νοῦν, οὐκ ἂν ἐκείνῳ τῷ ὀρφανῷ καὶ ἀνοήτῳ, ἀλλὰ τῷ πατέρα ἔχοντι ἐξωμοιώθημεν ἄν. Δεῖ τοίνυν τὴν παιδικὴν ἐκβαλεῖν διάνοιαν, ἀλλὰ μὴ τὰ πράγματα αἰτιᾶσθαι· καὶ τὸν ἡνίοχον ἐπιστῆσαι τῇ συνειδήσει, ὃς οὐκ ἐάσει γαστρίζεσθαι, ἀλλὰ τρέχειν καὶ ἀγωνίζεσθαι. Πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν παῖδας μετὰ ταλαιπωρίας ἄγειν τὴν ἀρχὴν ἐπὶ πράγματα προοίμια μὲν ἔχοντα ἐπίμοχθα, τὸ δὲ τέλος χρηστόν, ἡμᾶς δὲ αὐτοὺς ἀπεναντίας περὶ τῶν πνευματικῶν διακεῖσθαι πραγμάτων; Καίτοιγε οὐδὲ ἐπὶ τῶν βιωτικῶν πάντως δῆλον ὅτι χρηστὸν ἔσται τὸ τέλος· καὶ γὰρ ἄωρος θάνατος καὶ πενία καὶ συκοφαντία καὶ μεταβολὴ πραγμάτων καὶ πολλὰ ἕτερα τοιαῦτα μετὰ τοὺς πολλοὺς πόνους τῶν καρπῶν ἀποστερηθῆναι ἐποίησε. Κἂν ἐπιτύχωσι δὲ οἱ μετιόντες, οὐδὲν μέγα καρπώσονται· τῷ γὰρ παρόντι βίῳ πάντα συγκαταλύεται ἐκεῖνα.

Ἐνταῦθα δὲ οὐδὲ ὑπὲρ τοιούτων τρέχομεν ψυχρῶν καὶ ἐπικήρων οὔτε δεδοίκαμεν ὑπὲρ τοῦ τέλους, ἀλλὰ καὶ μείζων καὶ ἀσφαλεστέρα ἡ ἐλπὶς μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Τίς οὖν ἔσται συγγνώμη, τίς δὲ ἀπολογία μὴ βουλομένοις ἀποδύεσθαι πρὸς τοὺς ὑπὲρ ἀρετῆς πόνους; Ἀλλ' ἐρωτῶσιν ἔτι, διὰ τί στενὴ ἡ ὁδός; Καὶ εἰς μὲν βασίλεια τὰ ἐπίγεια τῶν πόρνων καὶ τῶν μεθυόντων καὶ τῶν λάγνων οὐκ ἀξιοῖς εἰσιέναι τινά, εἰς δὲ τὸν οὐρανὸν αὐτὸν μετὰ ἀδείας καὶ τρυφῆς καὶ μέθης καὶ πλεονεξίας καὶ κακίας ἁπάσης τοὺς ἀνθρώπους εἰσάγεσθαι ἀξιοῖς; Καὶ ποῦ ταῦτα συγγνώμης ἄξια;

5. Ἀλλ' οὐ τοῦτο, φησί, λέγω, ἀλλὰ διὰ τί μὴ εὐρύχωρος ἦν ἡ ἀρετή; Καὶ μήν, ἐὰν θέλωμεν, καὶ σφόδρα ἐστὶν εὔκολος. Τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τὸ διορύξαι τοῖχον καὶ λαβόντα τὰ ἑτέρων ὕστερον εἰς δεσμωτήριον ἐμπεσεῖν ἢ τοῖς οὖσιν ἀρκούμενον παντὸς ἀπηλλάχθαι φόβου; Καίτοιγε οὐ τὸ πᾶν εἶπον. Τί γὰρ εὐκολώτερον, εἰπέ

Ἔτσι λοιπὸν καὶ ἡμεῖς, ἐὰν δὲν εἴμεθα εἰς τὸν νοῦν παιδιά, δὲν θὰ ὁμοιάσωμεν ἐκεῖνον τὸν ὀρφανὸν καὶ ἀνόητον, ἀλλὰ ἐκεῖνον ποὺ ἔχει πατέρα (ὁ ὁποῖος τὸν συμβουλεύει τὰ πρέποντα). Πρέπει λοιπὸν νὰ ἀποβάλωμεν τὴν παιδικὴν διάνοιαν καὶ ὄχι νὰ κατηγοροῦμεν τὴν πραγματικότητα· πρέπει ἐπίσης νὰ τοποθετήσωμεν εἰς τὴν συνείδησίν μας ἡνίοχον, ὁ ὁποῖος δὲν θὰ μᾶς ἀφήσῃ νὰ τρώγωμεν ὑπερβολικῶς, ἀλλὰ νὰ τρέχωμεν καὶ νὰ ἀγωνιζώμεθα· διότι πῶς δὲν θὰ ἦτο παράξενον τὰ μὲν παιδιὰ μὲ ταλαιπωρίας νὰ τὰ καθοδηγοῦμεν εἰς πράγματα ποὺ ἡ ἀρχή των ἔχει κόπους καὶ τὸ τέλος των εἶναι καλόν, ἡμεῖς ὅμως οἱ ἴδιοι νὰ φερώμεθα ἀντιθέτως εἰς τὰ πνευματικὰ θέματα; Καὶ ὅμως οὔτε καὶ εἰς τὰ βιωτικὰ ζητήματα εἶναι ἐντελῶς φανερὸν ὅτι τὸ τέλος θὰ εἶναι καλόν, διότι πράγματι πρόωρος θάνατος καὶ πενία καὶ συκοφαντία καὶ μεταβολὴ τῶν πραγμάτων καὶ ἄλλα πολλὰ τέτοια συντελοῦν συνήθως ὥστε μετὰ τοὺς πολλοὺς κόπους νὰ ἀποστερηθοῦν οἱ ἄνθρωποι τῶν καρπῶν. Καὶ ἂν πάλιν ἐπιτύχουν οἱ ἐπιδιώκοντες αὐτά, δὲν θὰ κερδίσουν τίποτε σπουδαῖον, διότι μαζὶ μὲ τὴν παροῦσαν ζωὴν καταστρέφονται καὶ ὅλα ἐκεῖνα.

Ἐμεῖς ὅμως οὔτε ἐπιδιώκομεν τέτοια ψυχρὰ καὶ πρόσκαιρα οὔτε φοβούμεθα διὰ τὸ τέλος μας, ἀλλὰ τρέφομεν καὶ μεγαλυτέραν καὶ ἀσφαλεστέραν ἐλπίδα διὰ μετὰ τὴν ἀποδημίαν μας ἀπὸ τὸν κόσμον αὐτόν. Ποία συγγνώμη καὶ ποία ἀπολογία θὰ ὑπάρξῃ εἰς αὐτοὺς ποὺ δὲν θέλουν νὰ ἀποδυθοῦν εἰς τοὺς κόπους διὰ τὴν ἀρετήν; Ἀλλ' ἀκόμη ἐρωτοῦν, διατί εἶναι στενὴ ἡ ὁδός; Καὶ εἰς μὲν τὰ ἐπίγεια βασίλεια τῶν πόρνων καὶ τῶν μεθύσων καὶ τῶν λάγνων κρίνεις ὅτι δὲν εἶναι ἀξιοπρεπὲς νὰ εἰσέρχεται κανείς, εἰς τὸν ἴδιον τὸν οὐρανὸν ὅμως ἔχεις τὴν ἀξίωσιν νὰ εἰσάγωνται οἱ ἄνθρωποι μὲ τὴν ἀφοβίαν των καὶ τὴν τρυφηλήν των ζωὴν καὶ τὴν μέθην καὶ τὴν πλεονεξίαν καὶ μὲ ὅλην τὴν κακίαν των; Καὶ ποῦ εἶναι αὐτὰ ἄξια συγγνώμης;

5. Ἀλλά, θὰ ἔλεγε κάποιος, δὲν λέγω τοῦτο, ἀλλὰ διατί δὲν ἦτο εὔκολος ἡ ἀρετή; Ἀλλ' ὅμως, ἐὰν θέλωμεν, εἶναι καὶ πολὺ εὔκολος μάλιστα. Εἰπέ μου δηλαδή, τί εἶναι εὐκολώτερον, τὸ νὰ διαρρήξῃ κάποιος ἕνα τοῖχον καὶ ἀφοῦ λάβῃ τὰ ὑπάρχοντα τῶν ἄλλων νὰ ριφθῇ εἰς δεσμωτήριον ἢ νὰ ἀρκῆται εἰς ὅσα ἔχει καὶ νὰ εἶναι ἀπηλλαγμένος ἀπὸ κάθε φόβον; Καὶ ὅμως δὲν εἶπα τὸ πᾶν. Εἰπέ

μοι, τὰ πάντων ὑφελόμενον καὶ ὀλίγον ἐντρυφήσαντα χρόνον στρεβλοῦσθαι καὶ μαστίζεσθαι ἀθάνατα ἢ ἐν πενίᾳ ζήσαντα δικαίᾳ βραχὺν καιρὸν διηνεκῶς τρυφᾶν ὕστερον; Μήπω γὰρ τί λυσιτελέστερον ἐξετάσωμεν, ἀλλὰ τέως τί εὐκολώτερον. Τί δὲ ἥδιον, ὄναρ ἰδεῖν χρηστὸν καὶ ἐν ἀληθείᾳ κολάζεσθαι ἢ χαλεπὸν ὄναρ ἰδόντα ἐν ἀληθείᾳ τρυφᾶν; Οὐκ εὔδηλον ὅτι τοῦτο; Πῶς οὖν, εἰπέ μοι, τραχεῖαν καλεῖς τὴν ἀρετήν; Τραχεῖα γάρ ἐστι πρὸς τὴν ὀλιγωρίαν ἐξεταζομένη τὴν ἡμετέραν· ἐπεὶ ὅτι γε ῥᾳδία καὶ εὔκολος, ἄκουσον τί φησιν ὁ Χριστός· «Ὁ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν». Εἰ δὲ οὐκ αἰσθάνῃ τῆς κουφότητος, ὅτι προθυμίαν ἐρρωμένην οὐκ ἔχεις. Ὥσπερ γὰρ ταύτης οὔσης καὶ τὰ βαρέα κοῦφα, οὕτως οὐκ οὔσης καὶ τὰ κοῦφα βαρέα.

Τί γάρ, εἰπέ μοι, τῆς τοῦ μάννα τραπέζης ἥδιον καὶ ἀπονώτερον; Ἀλλ' ἐδυσχέραινον Ἰουδαῖοι τοιαύτης ἀπολαύοντες τρυφῆς. Τί λιμοῦ πικρότερον καὶ τῶν ἄλλων τῶν ἐπιμόχθων, ὧν ὑπέμεινε Παῦλος; Ἀλλ' ἐσκίρτα, καὶ ἔχαιρε καὶ ἔλεγε, «Νῦν χαίρω ἐν τοῖς παθήμασί μου». Τί οὖν τὸ αἴτιον; Ἡ τῆς γνώμης διαφορά. Ἂν τοίνυν ταύτην, οἵαν εἶναι χρή, κατασκευάσῃς, ὄψει τὴν εὐκολίαν τῆς ἀρετῆς. Τί οὖν; ἀπὸ τῆς γνώμης τῶν μετιόντων τοιαύτη γίνεται; φησίν. Οὐκ ἀπὸ τῆς γνώμης μόνον, ἀλλὰ καὶ φύσει τοιαύτη τίς ἐστι.

Καὶ γάρ, εἰ μὲν διόλου ἐπίπονος ἦν ἐκείνη καὶ αὕτη διόλου τὸ ἐναντίον, εἰκότως ἄν τις τῶν ἀναπεπτωκότων εἶπε ταύτην εὐκολωτέραν ἐκείνης· εἰ δὲ ἀρχὴν ἔχουσιν ἡ μὲν χαλεπήν, ἡ δὲ ἡδεῖαν, τὰ δὲ τέλη πάλιν ἀπεναντίας αὐταῖς — ἄπειρα δὲ τὰ τέλη — τῆς μὲν τὸ ἡδύ, τῆς δὲ τὸ βαρύ, ποίαν, εἰπέ μοι, εὐκολώτερον ἑλέσθαι; Τί οὖν οὐχ αἱροῦνται πολλοὶ τὸ εὔκολον; Ὅτι οἱ μὲν ἀπιστοῦσιν,

---

11. Ματθ. 11,30.
12. Κολ. 1,24.

μου λοιπὸν τί εἶναι εὐκολώτερον, ἀφοῦ ἀφαιρέσῃ κάποιος τὰ ὑπάρχοντα ὅλων καὶ ζήσῃ ἀνέτως ἐπ' ὀλίγον χρόνον, νὰ βασανίζεται καὶ νὰ μαστιγώνεται αἰωνίως ἤ, ἀφοῦ ζήσῃ εἰς ἔντιμον πενίαν ἐπ' ὀλίγον χρόνον, νὰ ζῇ κατόπιν συνεχῶς μὲ ἄνεσιν; Δηλαδή, ἂς μὴ ἐξετάσωμεν ἀκόμη τί εἶναι ὠφελιμώτερον, ἀλλὰ προηγουμένως ἂς ἐξετάσωμεν τί εἶναι εὐκολώτερον. Τί εἶναι δὲ περισσότερον εὐχάριστον, τὸ νὰ ἴδῃ κάποιος ἕνα καλὸν ὄνειρον καὶ εἰς τὴν πραγματικότητα νὰ τιμωρῆται ἢ τὸ νὰ ἴδῃ ἕνα κακὸν ὄνειρον, ῷ εἰς τὴν πραγματικότητα ζῇ ἀνέτως; Δὲν εἶναι ὁλοφάνερον ὅτι ὅτο τὸ δεύτερον εἶναι περισσότερον εὐχάριστον; Πῶς λοιπόν, εἰμου, καλεῖς τὴν ἀρετὴν δύσκολον; Εἶναι βεβαίως δύσκολος, ἐὰν ηφθῇ ὑπ' ὄψιν ἡ ἰδική μας ὀλιγωρία· διότι διὰ τὸ ὅτι βεβαίως εἶναι πολὺ εὔκολος, ἄκουσε τί λέγει ὁ Χριστός· «Ὁ ζυγός μου εἶναι ἁπαλὸς καὶ τὸ φορτίον μου ἐλαφρόν»[11]. Ἐὰν ὅμως δὲν αἰσθάνεσαι τὴν ἐλαφρότητα, εἶναι διότι δὲν ἔχεις ἰσχυρὰν προθυμίαν. Ὅπως ἀκριβῶς δηλαδή, ὅταν ὑπάρχῃ αὐτή, καὶ τὰ βαρέα γίνονται ἐλαφρά, ἔτσι, ὅταν δὲν ὑπάρχῃ, καὶ τὰ ἐλαφρότερα γίνονται βαρέα.

Εἰπέ μου, τί ὑπῆρχε λοιπὸν γλυκύτερον καὶ ἀκοπώτερον ἀπὸ τὴν τράπεζαν μὲ τὸ μάννα; Καὶ ὅμως οἱ Ἰουδαῖοι ἐδυσανασχέτουν, ἐνῷ ἀπήλαυον τέτοιας τροφῆς. Τί ἦτο πικρότερον ἀπὸ τὴν πεῖναν καὶ ὅλους τοὺς ἄλλους κόπους, τοὺς ὁποίους ὑπέμεινεν ὁ Παῦλος; Καὶ ὅμως ἐσκίρτα καὶ ἔχαιρε καὶ ἔλεγε· «Τώρα χαίρομαι δι' ὅσα ὑποφέρω»[12]. Ποία ἦτο λοιπὸν ἡ αἰτία; Ἡ διαφορὰ εἰς τὸν τρόπον σκέψεως. Ἂν λοιπὸν συνηθίσῃς νὰ σκέπτεσαι ὅπως πρέπει, θὰ ἴδῃς τὴν εὐκολίαν τῆς ἀρετῆς. Τί λοιπόν; θὰ ἔλεγε κάποιος· γίνεται εὔκολη ἀπὸ τὸν τρόπον σκέψεως αὐτῶν ποὺ τὴν ἀσκοῦν; Ὄχι μόνον ἀπὸ τὸν τρόπον σκέψεως, ἀλλὰ καὶ ἀπὸ τὴν φύσιν της εἶναι τέτοια.

Καὶ πράγματι· ἐὰν μὲν ἡ ἀρετὴ ἦτο συνεχῶς ἐπίπονος καὶ ἡ ἡδονὴ συνεχῶς τὸ ἀντίθετον, εὐλόγως θὰ ἔλεγε κάποιος ἀποθαρρυμένος ὅτι αὐτὴ εἶναι εὐκολωτέρα ἐκείνης· ἐφ' ὅσον ὅμως ἔχουν ἀρχὴν ἐκείνη μὲν δύσκολον, αὐτὴ δὲ γλυκεῖαν, τὰ τέλη ὅμως εἶναι ἀντίθετα —καὶ εἶναι αἰώνια τὰ τέλη— δηλαδὴ τῆς μὲν ἀρετῆς τὸ τέλος εἶναι γλυκύ, τῆς δὲ προσκαίρου ἡδονῆς εἶναι φοβερόν, εἰπέ μου, ποίαν εἶναι εὐκολώτερον νὰ προτιμήσῃ κανείς; Διατί λοιπὸν οἱ περισσότεροι δὲν προτιμοῦν τὸ εὔκολον; Ἄλλοι μὲν ἀπὸ ἀπι-

οἱ δὲ καὶ πιστεύοντες διεφθαρμένην τὴν γνώμην ἔχουσι καὶ ἕλοιντο τὴν πρόσκαιρον ἡδονὴν ἀντὶ τῆς αἰωνίας. Οὐκοῦν τοῦτο εὔκολον; Οὐκ εὔκολον, ἀλλ' ἀσθενοῦς ψυχῆς τοῦτο. Καὶ καθάπερ οἱ πυρέττοντες, οὐκ ἐπειδὴ ἥδιον τὸ πρὸς βραχὺ τρυφᾶν τοῦ διόλου καίεσθαι, διὰ τοῦτο ψυχροποσίας ἐρῶσιν, ἀλλ' ἐπειδὴ κατασχεῖν οὐκ ἀνέχονται τῆς ἐπιθυμίας τῆς ἀτόπου· οὕτω καὶ οὗτοι· ὡς εἴγε ἐπὶ τὴν κόλασίν τις αὐτοὺς ἔφερεν ὁμοῦ μετὰ τῆς ἡδονῆς, οὐκ ἂν ποτε ταύτην εἵλοντο.

6. Εἶδες πῶς οὐκ εὔκολον ἡ κακία; Εἰ δὲ βούλει, καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων ἐξετάσωμεν τὸ αὐτὸ τοῦτο πάλιν. Τί γὰρ ἥδιον, εἰπέ μοι, καὶ εὐκολώτερον; Ἀλλὰ μὴ πάλιν ἀπὸ τῆς ἐπιθυμίας τῶν πολλῶν τὰ πράγματα κρίνωμεν· οὐδὲ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων ψηφίζεσθαι χρή. Οὐδὲ γάρ, ἂν μυρίους μοι δείξῃς πυρέττοντας καὶ τὰ ἐναντία τῇ ὑγείᾳ ζητοῦντας καὶ αἱρουμένους μετὰ ταῦτα κολάζεσθαι, ἀποδέξομαι τὴν αἵρεσιν ταύτην. Τί τοίνυν εὐκολώτερον, εἰπέ μοι, ἐφίεσθαι πολλῶν χρημάτων ἢ μείζονα εἶναι τῆς ἐπιθυμίας ταύτης; Ἐμοὶ μὲν γὰρ τοῦτο δοκεῖ· εἰ δὲ αὐτὸς ἀπιστεῖς, ἐπ' αὐτὰ τὰ πράγματα τὸν λόγον ἀγάγωμεν. Καὶ ἔστω ὁ μὲν πολλῶν ἐφιέμενος, ὁ δὲ μηδενός· τί τοίνυν κρεῖττον, εἰπέ μοι, καὶ τί σεμνότερον;

Ἀλλὰ τοῦτο μὲν παρείσθω· τοῦτο γὰρ ὡμολόγηται, ὅτι οὗτος ἐκείνου σεμνότερος, καὶ οὐδὲν περὶ τούτου ζητοῦμεν νῦν· ἀλλὰ τίς εὐκολώτερον ζῇ βίον καὶ ἡδίω; Ὁ μὲν γὰρ φιλάργυρος οὐδὲ τῶν ὄντων ἀπολαύσεται· ὃ γὰρ φιλεῖ, οὐκ ἂν ἕλοιτο δαπανῆσαι, ἀλλ' ἡδέως ἑαυτὸν ἂν κατακόψειε καὶ τὰς σάρκας πρόοιτο ἢ τὸ χρυσίον· ὁ δὲ καταφρονῶν χρημάτων τοῦτο τέως ἐκέρδανε, τὸ τῶν ὄντων ἀπολαύειν ἁπλῶς καὶ μετὰ ἀδείας πολλῆς καὶ ἑαυτὸν προτιθέναι ἐκείνων. Τί οὖν ἥδιον, μετὰ ἀδείας ἀπολαύειν τῶν ὄντων ἢ ὑπὸ δεσπότῃ ζῶντα τῷ πλούτῳ μηδενὸς τολ-

στίαν, ἄλλοι δέ, ἂν πιστεύουν, ἔχουν λανθασμένον τρόπον σκέψεως καὶ προτιμοῦν τὴν πρόσκαιρον ἡδονὴν ἀντὶ τῆς αἰωνίας. Τοῦτο λοιπὸν εἶναι εὔκολον; Δὲν εἶναι εὔκολον, ἀλλὰ εἶναι ἔνδειξις ἀσθενοῦς ψυχῆς. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κατέχονται ἀπὸ πυρετὸν ποθοῦν νὰ πίουν ψυχρὸν ὕδωρ, ὄχι διότι τὸ νὰ αἰσθανθοῦν ἐπ' ὀλίγον ἀνακούφισιν εἶναι περισσότερον εὐχάριστον ἀπὸ τὸ νὰ καίγωνται συνεχῶς, ἀλλ' ἐπειδὴ δὲν ἀντέχουν νὰ συγκρατήσουν τὴν φοβερὰν ἐπιθυμίαν των· ἔτσι καὶ αὐτοί· ἐὰν βεβαίως κάποιος συγχρόνως μὲ τὴν ἡδονὴν τοὺς ἔφερεν εἰς τὴν κόλασιν, ποτὲ δὲν θὰ προετίμων. τὴν ἡδονήν.

6. Εἶδες ὅτι δὲν εἶναι εὔκολη ἡ κακία; Καὶ ἂν θέλῃς, ἂς ἐξετάσωμεν πάλιν αὐτὸ τὸ ἴδιον εἰς τὰ ἴδια τὰ πράγματα. Εἰπέ μου λοιπόν, τί εἶναι γλυκύτερόν καὶ εὐκολώτερον; Ἀλλ' ὅμως ἂς μὴ κρίνωμεν τὰ πράγματα ἀπὸ τὴν ἐπιθυμίαν τῶν πολλῶν, διότι πρέπει νὰ ἀποφασίζωμεν κατὰ τὴν κρίσιν ὄχι τῶν ἀσθενῶν ἀλλὰ τῶν ὑγιῶν ἀνθρώπων. Ἂν δηλαδὴ μοῦ δείξῃς μυρίους ποὺ ὑποφέρουν ἀπὸ πυρετὸν καὶ ζητοῦν πράγματα ποὺ βλάπτουν τὴν ὑγείαν των καὶ προτιμοῦν νὰ τὰ ἀποκτήσουν καὶ ἂς πεθάνουν, δὲν θὰ παραδεχθῶ ὅτι προτιμοῦν κάτι τέτοιο. Τί λοιπόν, εἰπέ μου, εἶναι εὐκολώτερον νὰ ἐπιθυμῇ κανεὶς πολλὰ χρήματα ἢ νὰ κατανικήσῃ αὐτὴν τὴν ἐπιθυμίαν; Εἰς ἐμὲ τοὐλάχιστον φαίνεται εὐκολώτερον τοῦτο τὸ δεύτερον, καὶ ἂν δὲν πιστεύῃς ὁ ἴδιος, ἂς φέρωμεν τὸν λόγον εἰς τὰ ἴδια τὰ πράγματα. Ἔστω ὅτι ἕνας μὲν ἐπιθυμεῖ πολλά, ἕνας ἄλλος δὲ δὲν ἐπιθυμεῖ τίποτε· εἰπέ μου λοιπόν, ποῖος εἶναι ἀνώτερος καὶ σεμνότερος;

Ἀλλὰ τοῦτο μὲν ἂς τὸ ἀφήσωμεν, διότι ὅλοι τὸ ὁμολογοῦν ὅτι αὐτὸς ὁ δεύτερος εἶναι σεμνότερος ἀπὸ ἐκεῖνον τὸν πρῶτον, καὶ δὲν συζητοῦμεν καθόλου περὶ αὐτοῦ· ἀλλὰ ποῖος ζῇ εὐκολώτερον καὶ γλυκύτερον βίον; Ὁ μὲν φιλάργυρος δηλαδὴ δὲν χαίρεται οὔτε τὰ ὅσα ἔχει, διότι αὐτὸ ποὺ ἀγαπᾷ, δὲν θὰ ἤθελε νὰ τὸ δαπανήσῃ, ἀλλὰ εὐχαρίστως θὰ κατέκοπτε τὸν ἑαυτόν του καὶ θὰ ἔρριπτε κάτω τὰς σάρκας του παρὰ τὸ χρυσάφι του· αὐτὸς ὅμως ποὺ καταφρονεῖ τὰ χρήματα, κατὰ πρῶτον κερδίζει τοῦτο, τὸ νὰ χαίρεται μὲ ἁπλότητα καὶ χωρὶς κανένα φόβον τὰ ὅσα ἔχει καὶ τὸ νὰ θεωρῇ τὸν ἑαυτόν του ἀνώτερον ἐκείνων. Τί εἶναι λοιπὸν γλυκύτερον, τὸ νὰ χαίρεται κανεὶς τὰ ὅσα ἔχει χωρὶς φόβον ἢ ζῶν κάτω ἀπὸ τὸν

μᾶν ἅπτεσθαι τῶν ἑαυτοῦ; Ὅμοιον γάρ εἶναί μοι δοκεῖ, ὥσπερ ἄν, εἴ τινες ἄνδρες δύο γυναῖκας ἔχοντες καὶ σφόδρα αὐτῶν ἐρῶντες μὴ ὁμοίως αὐταῖς χρῷντο, ἀλλὰ τῷ μὲν ἐξῇ καὶ ἅπτεσθαι καὶ ὁμιλεῖν τῇ γυναικί, ἐκείνῳ δὲ μηδὲ ἐγγὺς γενέσθαι.

Εἴπω καὶ ἕτερον τοῦ μὲν τὴν ἡδονήν, τοῦ δὲ τὴν ἀθυμίαν ἐνδεικνύμενος; Ὁ φιλάργυρος οὐδέποτε στήσεται τῆς ἐπιθυμίας ταύτης, οὐ τῷ μὴ δύνασθαι τὰ πάντων λαβεῖν μόνον, ἀλλὰ καὶ τῷ, ὅσα ἂν περιβάληται, μηδὲν ἡγεῖσθαι ἔχειν· ὁ δὲ χρημάτων καταφρονῶν περιττὰ πάντα ἡγήσεται καὶ οὐ κολάσει τὴν ψυχὴν ἀπεράντοις ἐπιθυμίαις. Οὐδὲν γὰρ οὕτως εἰς κολάσεως λόγον ἐστίν, ὡς ἐπιθυμία ἀπολαύσεως ἐστερημένη, ὃ μάλιστα καὶ τὴν διεστραμμένην δείκνυσι γνώμην. Σκόπει δέ· ὁ ἐπιθυμῶν χρημάτων καὶ κτησάμενος πλείονα ὡς οὐδὲν ἔχων διάκειται ὁ τοιοῦτος. Ἆρα τῆς νόσου ταύτης πολυπλοκώτερόν τι γένοιτ' ἄν; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ ἔχων οὐκ ἔχειν δοκεῖ αὐτά, ἃ κατέχει, καὶ ὡς οὐκ ἔχων κόπτεται· κἂν τὰ πάντων λάβῃ, μᾶλλον ἀνιᾶται· κἂν ἑκατὸν τάλαντα κτήσηται, ὅτι μὴ χίλια ἔλαβεν, ἀλγεῖ· κἂν χίλια λάβῃ, ὅτι μὴ μυρία, δάκνεται· κἂν μυρία λάβῃ, ὅτι μὴ δεκάκις τοσαῦτα ἔλαβε, κατακόπτεται· καὶ ἡ πλείων κτῆσις αὐτῷ προσθήκη γίνεται πενίας· οὕτω γὰρ ἂν λά-

ζυγὸν τοῦ πλούτου νὰ μὴ τολμᾷ νὰ ἐγγίσῃ τίποτε ἀπὸ τὰ ὑπάρχοντά του; Νομίζω ὅτι τὸ πρᾶγμα ὁμοιάζει μὲ τὸ νὰ ἔχουν κάποιοι ἄνδρες δύο γυναῖκας καί, ἐνῷ τὰς ποθοῦν πάρα πολύ, δὲν ἔχουν τὴν ἰδίαν ἐλευθερίαν πρὸς αὐτάς, ἀλλὰ εἰς τὸν μὲν ἕνα ἐπιτρέπεται καὶ νὰ ἐγγίζῃ καὶ νὰ ἔχῃ σχέσεις μὲ τὴν γυναῖκα του, εἰς τὸν ἄλλον δὲ ἀπαγορεύεται ἀκόμη καὶ νὰ πλησιάσῃ (τὴν ἰδικήν του γυναῖκα).

Νὰ εἴπω καὶ ἄλλα, διὰ νὰ δείξω ὅτι ὁ μὲν ἕνας χαίρεται πολύ, ὁ δὲ ἄλλος στενοχωρεῖται; Ὁ φιλάργυρος οὐδέποτε θὰ παύσῃ νὰ ἐπιθυμῇ χρήματα, ὄχι μόνον διότι δὲν ἠμπορεῖ νὰ λάβῃ τὰ χρήματα ὅλων, ἀλλὰ καὶ διότι μὲ ὅσα καὶ ἂν ἔχῃ, νομίζει ὅτι δὲν ἔχει τίποτε· ἐκεῖνος ὅμως ποὺ καταφρονεῖ τὰ χρήματα, ὅλα θὰ τὰ θεωρῇ περιττὰ καὶ δὲν θὰ βασανίζῃ τὴν ψυχήν του μὲ ἀπεράντους ἐπιθυμίας· διότι τίποτε δὲν βασανίζει τόσον πολύ, ὅσον μία ἐπιθυμία, ποὺ παραμένει ἀνικανοποίητος καὶ ἡ ὁποία ἀποδεικνύει τὴν διεστραμμένην διάνοιαν. Πρόσεξε δὲ τὸ ἑξῆς: Ἐκεῖνος ποὺ κατέχεται ἀπὸ τὴν ἐπιθυμίαν τῶν χρημάτων, καὶ ἂν ἀκόμη ἀποκτήσῃ περισσότερα ἀπὸ ὅσα ἐπεθύμει, ἐπειδὴ εἶναι φιλάργυρος, αἰσθάνεται ὡς νὰ μὴ ἔχῃ τίποτε. Ἑπομένως τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πολυπλοκώτερον ἀπὸ τὴν νόσον αὐτήν; Καὶ δὲν εἶναι τοῦτο μόνον τὸ φοβερόν, ἀλλὰ καὶ ὅτι, ἐνῷ ἔχει, νομίζει ὅτι δὲν ἔχει αὐτά, ποὺ κατέχει, καὶ ὀδύρεται ὡσὰν ἄνθρωπος ποὺ δὲν ἔχει· καὶ ἂν λάβῃ τὴν περιουσίαν ὅλων, θλίβεται περισσότερον· καὶ ἂν ἀποκτήσῃ ἑκατὸν τάλαντα, στενονοχωρεῖται, διότι δὲν ἔλαβε χίλια· καὶ ἂν λάβῃ χίλια, ὑποφέρει, διότι δὲν ἔλαβε μύρια· καὶ ἂν λάβῃ μύρια, ὀδύρεται πολύ, διότι δὲν ἔλαβε τὰ δεκαπλάσια αὐτῶν· καὶ ὅσα πε-

βῃ πλείονα, τοσούτῳ μᾶλλον γίνεται πένης· ὁ γὰρ πλειόνων ἐπιθυμῶν μᾶλλον πένης ἐστίν.

Ὅταν μὲν οὖν ἑκατὸν ἔχῃ τάλαντα, οὐ σφόδρα πτωχεύει· χιλίων γὰρ ἐπιθυμεῖ· ὅταν χίλια λάβῃ, τότε μᾶλλον γίνεται πένης· οὐκέτι γὰρ χιλίων ὡς πρότερον, ἀλλὰ μυρίων αὐτὸν ἐν χρείᾳ φησὶν εἶναι. Εἰ δὲ τὸ ἐπιθυμεῖν καὶ μὴ ἐπιτυγχάνειν ἡδονὴν εἶναι λέγοις, ἀγνοεῖν μοι σφόδρα δοκεῖς τῆς ἡδονῆς τὴν φύσιν. Ὅτι γὰρ οὐχ ἡδονή, ἀλλὰ κόλασις τὸ τοιοῦτον, ἐφ' ἕτερον αὐτὸ πάλιν ἀγαγόντες ἐξετάσωμεν. Ὅταν διψῶμεν, οὐ διὰ τοῦτο ἡδόμεθα πίνοντες, ὅτι τὸ δίψος παύομεν, καὶ διὰ τοῦτο ἡδονὴ τὸ πίνειν, ὅτι μεγάλης ἡμᾶς ἀπαλλάττει βασάνου, τῆς ἐπιθυμίας λέγω τοῦ πιεῖν; Παντί που δῆλον. Εἰ δὲ μέλλοιμεν ἐν ἐπιθυμίᾳ ἀεὶ διατρίβειν τοιαύτῃ, οὐδὲν ἔλαττον ἕξομεν τοῦ πλουσίου τοῦ ἐπὶ τοῦ Λαζάρου εἰς κολάσεως λόγον· ἐπεὶ καὶ ἐκείνῳ κόλασις τοῦτο ἦν, τὸ ἐπιθυμοῦντα σφοδρῶς σταγόνος μικρᾶς μὴ ἔχειν τὸν ταύτην παρέχοντα.

Ὅπερ καὶ οἱ φιλάργυροι πάσχειν μοι δοκοῦσι διηνεκῶς, καὶ κατ' ἐκεῖνον εἶναι τὸν ἀξιοῦντα ταύτης ἀπολαῦσαι καὶ μὴ ἐπιτυγχάνοντα· μᾶλλον γὰρ αὐτῶν ἡ ψυχὴ τῆς ἐκείνου καίεται. Καὶ καλῶς τις εἶπεν ὑδερικούς τινας εἶναι τοὺς φιλαργύρους· καθάπερ γὰρ ἐκεῖνοι πολὺ φέροντες ὕδωρ ἐν τῷ σώματι μᾶλλον ἐκκαίονται, οὕτω καὶ οἱ φιλάργυροι πολλὰ περιφέροντες χρήματα πλειόνων ἐπιθυμοῦσι. Τὸ δὲ αἴτιον, οὔτε ἐκεῖνοι ἐν τοῖς προσήκουσι τόποις τὸ ὕδωρ ἔχουσιν οὐδὲ οὗτοι ἐν τοῖς προσήκουσι λογισμοῖς τὴν ἐπιθυμίαν.

Φεύγωμεν οὖν τὴν ξένην ταύτην καὶ καινὴν νόσον, φεύγωμεν τὴν ῥίζαν τῶν κακῶν, φεύγωμεν τὴν παροῦσαν γέενναν· γέεννα γὰρ ἡ τούτων ἐπιθυμία. Ἀνάπτυξον γοῦν τὴν ψυχὴν ἑκάστου, καὶ τοῦ καταφρονοῦντος χρημάτων καὶ τοῦ μὴ καταφρονοῦντος, καὶ ὄψει ὅτι ὁ μὲν τοῖς μαινομένοις ἔοικεν οὐδὲν οὔτε ἰδεῖν οὔτε ἀκοῦσαι βουλόμενος,

ρισσότερα ἀποκτᾷ, τόσον περισσότερον πτωχὸς γίνεται, διότι ὅσα περισσότερα λάβῃ, τόσον περισσότερα ἐπιθυμεῖ.

Ὅταν λοιπὸν ἔχῃ ἑκατὸν τάλαντα, δὲν εἶναι πολὺ πτωχός, διότι ἐπιθυμεῖ χίλια· ὅταν λάβῃ χίλια, τότε γίνεται περισσότερον πτωχός, διότι λέγει ὅτι δὲν ἔχει πλέον ἀνάγκην χιλίων, ὅπως προηγουμένως, ἀλλὰ μυρίων. Ἐὰν δὲ τὸ νὰ ἐπιθυμῇς κάτι καὶ νὰ μὴ τὸ ἐπιτυγχάνῃς τὸ λέγῃς ὅτι εἶναι ἡδονή, νομίζω ὅτι ἀγνοεῖς πλήρως τὴν φύσιν τῆς ἡδονῆς. Ὅτι δηλαδὴ ἡ κατάστασις αὐτὴ δὲν εἶναι ἡδονὴ ἀλλὰ κόλασις, ἂς ἐξετάσωμεν αὐτὸ πάλιν, ἀφοῦ φέρωμεν ἄλλο παράδειγμα. Ὅταν διψῶμεν, δὲν εὐχαριστούμεθα ποὺ πίνομεν διὰ τοῦτον τὸν λόγον, διότι δηλαδὴ παύει ἡ δίψα μας, καὶ διὰ τοῦτο τὸ νὰ πίνῃ κανεὶς δὲν εἶναι ἡδονή, διότι μᾶς ἀπαλλάσσει ἀπὸ μεγάλο βάσανον, δηλαδὴ ἀπὸ τὴν ἐπιθυμίαν νὰ πίωμεν; Νομίζω ὅτι εἶναι ὁλοφάνερον. Ἐὰν πρόκειται δὲ νὰ ζῶμεν πάντοτε ὑποδουλωμένοι εἰς τέτοιαν ἐπιθυμίαν, θὰ τιμωρηθῶμεν καὶ ἡμεῖς ὅπως ὁ πλούσιος τῆς παραβολῆς τοῦ Λαζάρου· διότι καὶ δι᾽ ἐκεῖνον ἦτο κόλασις τοῦτο, τὸ ὅτι, ἐνῷ ἐπεθύμει σφοδρῶς μικρὰν σταγόνα ὕδατος, δὲν εἶχε κάποιον νὰ τοῦ τὴν προσφέρῃ.

Αὐτὸ ἀκριβῶς νομίζω ὅτι συνεχῶς παθαίνουν οἱ φιλάργυροι καὶ ὁμοιάζουν ἐκεῖνον ποὺ ἤθελε νὰ ἀπολαύσῃ αὐτῆς τῆς σταγόνος καὶ ὅμως δὲν τὸ ἐπετύγχανε· μάλιστα δὲ ἡ ψυχὴ αὐτῶν καίεται περισσότερον ἀπὸ τὴν ψυχὴν ἐκείνου. Ὀρθῶς δὲ κάποιος εἶπεν ὅτι οἱ φιλάργυροι εἶναι ὡσὰν ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ ὑδρωπικίαν· ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνοι, ὅταν ἔχουν πολὺ ὕδωρ εἰς τὸ σῶμα των, περισσότερον καίονται, ἔτσι καὶ οἱ φιλάργυροι, ὅταν ἔχουν πολλὰ χρήματα, ἐπιθυμοῦν περισσότερα. Καὶ ἡ αἰτία εἶναι ὅτι οὔτε ἐκεῖνοι ἔχουν τὸ ὕδωρ εἰς τὰ κατάλληλα σημεῖα τοῦ σώματος οὔτε αὐτοὶ ἔχουν τὴν ἐπιθυμίαν εἰς τοὺς καταλλήλους λογισμούς.

Ἂς ἀποφεύγωμεν λοιπὸν τὴν παράξενην αὐτὴν καὶ νέαν νόσον, ἂς ἀποφεύγωμεν τὴν ρίζαν τῶν κακῶν, ἂς ἀποφεύγωμεν τὴν κόλασιν εἰς τὴν παροῦσαν ζωήν· διότι εἶναι κόλασις ἡ ἐπιθυμία αὐτῶν. Ἄνοιξε λοιπὸν τὴν ψυχὴν καὶ τῶν δύο, καὶ ἐκείνου ποὺ καταφρονεῖ τὰ χρήματα καὶ ἐκείνου ποὺ δὲν τὰ καταφρονεῖ, καὶ θὰ ἰδῇς ὅτι ὁ μὲν δεύτερος ὁμοιάζει μὲ τοὺς μανιακούς, ποὺ δὲν θέλει οὔτε νὰ ἰδῇ οὔτε νὰ ἀκούσῃ τίποτε, ὁ δὲ πρῶτος ὁμοιάζει μὲ λι-

ὁ δὲ λιμένι προσέοικε κυμάτων ἀπηλλαγμένῳ καὶ πάντων ἐστὶ φίλος, ὥσπερ ἐκεῖνος ἐχθρός. Ἄν τε γὰρ λάβῃ τις, οὐκ ἐλύπησεν, ἄν τε δῷ πάλιν τις αὐτῷ, οὐκ ἐφύσησεν, ἀλλὰ τίς ἐστιν ἐλευθερία παρ' αὐτῷ πᾶσαν ἄδειαν ἔχουσα. Καὶ ὁ μὲν πάντας καὶ κολακεύειν καὶ ὑποκρίνεσθαι ἀναγκάζεται, οὗτος δὲ οὐδένα. Εἰ τοίνυν καὶ πένης ἐστὶν ὁ φιλάργυρος καὶ δειλὸς καὶ εἴρων καὶ ὑποκριτὴς καὶ φόβων γέμει καὶ τιμωρίας πολλῆς καὶ κολάσεως, ὁ δὲ καταφρονῶν χρημάτων τῶν ἐναντίων ἀπολαύει πάντων, οὐκ εὔδηλον ὅτι ἡδίων ἡ ἀρετή; Καὶ τοῖς λοιποῖς δὲ ἂν ἐπεξήλθομεν κακοῖς, δι' ὧν δείκνυται ὅτι οὐδέν ἐστι κακὸν ἡδονὴν ἔχον, εἰ μὴ πολλὰ ἡμῖν ἔμπροσθεν εἴρητο.

Ταῦτ' οὖν εἰδότες ἑλώμεθα τὴν ἀρετήν, ἵνα καὶ τῆς ἐνταῦθα ἡδονῆς ἀπολαύσωμεν καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

μένα, πού εἶναι ἀπηλλαγμένος ἀπὸ κύματα, καὶ εἶναι φίλος ὅλων, ὅπως ἐκεῖνος εἶναι ἐχθρὸς ὅλων. Ἂν δηλαδὴ κάποιος λάβῃ κάτι, δὲν λυπεῖται, καὶ ἂν πάλιν κάποιος τοῦ δώσῃ κάτι, δὲν ὑπερηφανεύεται, ἀλλὰ ἔχει κάποιαν ἐλευθερίαν, πού τοῦ δίδει πλήρη ἀφοβίαν. Καὶ ὁ μὲν φιλάργυρος ἀναγκάζεται ὅλους καὶ νὰ τοὺς κολακεύῃ καὶ νὰ ὑποκρίνεται, αὐτὸς δὲ κανένα δὲν κολακεύει. Ἐφ' ὅσον λοιπὸν ὁ φιλάργυρος εἶναι καὶ πτωχὸς καὶ δειλὸς καὶ εἴρων καὶ ὑποκριτὴς καὶ γεμᾶτος ἀπὸ φόβους καὶ ὑφίσταται πολλὴν τιμωρίαν καὶ κολασμόν, ἐκεῖνος δὲ πού καταφρονεῖ τὰ χρήματα ἀπολαύει ὅλων τῶν ἀντιθέτων, δὲν εἶναι ὁλοφάνερον ὅτι ἡ ἀρετὴ εἶναι γλυκυτέρα; Ἐὰν δὲ δὲν εἶχον ἤδη εἴπει πολλὰ προηγουμένως, θὰ ἠμπορούσαμεν νὰ ἐξετάσωμεν καὶ τὰ λοιπὰ πάθη, διὰ τῶν ὁποίων ἀποδεικνύεται ὅτι δὲν ὑπάρχει κανένα πάθος, πού νὰ ἔχῃ ἡδονήν.

Γνωρίζοντες λοιπὸν αὐτὰ ἂς προτιμήσωμεν τὴν ἀρετήν, διὰ νὰ ἀπολαύσωμεν καὶ τῆς ἐπιγείου ἡδονῆς καὶ διὰ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ αἰώνιος δόξα. Ἀμήν.

ΛΟΓΟΣ ΙΕ.
Α΄ Κορ. 5,1-8

«Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας».

1. Ὅτε μὲν περὶ τοῦ διεσπάσθαι αὐτοὺς διελέγετο, οὐκ εὐθέως καταφορικῶς ἐχρήσατο τῷ λόγῳ, ἀλλὰ προσηνέστερον πρότερον, καὶ ὕστερον εἰς κατηγορίαν ἐτελεύτησεν οὕτως εἰπών· «Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν». Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ᾽ εὐθέως πληκτικῶς καὶ κοινοῖ ὡς οἷόν τε τὸ ὄνειδος τοῦ ἐγκλήματος. Οὐ γὰρ εἶπε, διὰ τί ὁ δεῖνα ἐπόρνευσεν; ἀλλὰ καὶ «Ἀκούεται ἐν ὑμῖν πορνεία», ἵνα μὴ ὡς ἀλλότριοι πάντη τῆς κατηγορίας ὄντες ῥαθυμήσωσιν, ἀλλ᾽ ὡς τοῦ κοινοῦ πληγέντος καὶ τῆς ἐκκλησίας διαβληθείσης, οὕτω γένωνται ἐναγώνιοι. Οὐδεὶς γὰρ ἐρεῖ, φησίν, ὅτι ὁ δεῖνα ἐπόρνευσεν, ἀλλ᾽ ὅτι ἐν τῇ Κορινθίων ἐκκλησίᾳ γέγονε τὸ ἁμάρτημα. Καὶ οὐκ εἶπε, τολμᾶται πορνεία, ἀλλὰ «ἀκούεται, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται». Καὶ γὰρ ἀεὶ ἀπὸ τῶν ἐθνικῶν ὀνειδίζει τοὺς πιστούς· καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν· «Ἕκαστος τοῦ ἑαυτοῦ σκεῦος κτάσθω ἐν ἁγιασμῷ, μὴ ἐν πάθει ἐπιθυμίας καθὼς καὶ τὰ λοιπὰ ἔθνη»· καὶ Κολασσαεῦσι καὶ Ἐφεσίοις «Μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ». Εἰ δὲ τὸ τὰ αὐτὰ αὐτοὺς ἁμαρτάνειν ἀσύγγνωστον, τὸ καὶ ὑπερβαίνειν τοὺς ἐθνικοὺς ποῦ θήσομεν, εἰπέ μοι; Παρὰ γὰρ ἐκείνοις, φησίν, οὐ μόνον οὐ τολμᾶταί τι τοιοῦτον, ἀλλ᾽ οὐδὲ ὀνομάζεται.

---

1. Α΄ Κορ. 5,1-2.
2. Α΄ Θεσσ. 4,4-5.
3. Ἐφ. 4,17 πρβλ. Κολοσ. 1,10 καὶ 2,6.

ΛΟΓΟΣ ΙΕ'
Α' Κορ. 5, 1-8

«Ἀκούεται γενικῶς ὅτι ὑπάρχει μεταξύ σας πορνεία, καὶ μάλιστα τέτοια πορνεία, ποὺ δὲν ὑπάρχει οὔτε μεταξὺ τῶν ἐθνικῶν, ὥστε κάποιος νὰ ἔχῃ γυναῖκα, τὴν γυναῖκα τοῦ πατρός του. Καὶ ὅμως σεῖς εἴσθε φουσκωμένοι ἀπὸ ὑπερηφάνειαν καὶ δὲν ἐπενθήσατε μᾶλλον, διὰ νὰ ἐκδιωχθῇ ἀπὸ τὴν ἐκκλησίαν σας ἐκεῖνος ποὺ ἔκαμε αὐτὴν τὴν πρᾶξιν»[1].

1. Ὅταν ὡμίλει πρὸς αὐτοὺς περὶ τῶν ἐρίδων, δὲν ἐχρησιμοποίησε κατ' εὐθεῖαν λόγον ἔντονον, ἀλλὰ εἰς τὴν ἀρχὴν ὡμίλησε μὲ πολλὴν πραότητα καὶ κατόπιν ἐτελείωσε μὲ τὴν κατηγορίαν εἰπὼν τὰ ἑξῆς· «Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν». Ἐδῶ ὅμως δὲν ἐνεργεῖ ἔτσι, ἀλλὰ κατ' εὐθεῖαν πλήττει καί, ὅσον τοῦ εἶναι δυνατόν, τονίζει τὴν συμμετοχὴν ὅλων εἰς τὸ ὄνειδος τοῦ ἐγκλήματος· διότι δὲν εἶπε 'Διατί ὁ τάδε διέπραξε πορνείαν;', ἀλλὰ «Ἀκούεται ὅτι ὑπάρχει μεταξύ σας πορνεία», διὰ νὰ μὴ ραθυμήσουν ὡς ἐντελῶς ἀμέτοχοι εἰς τὴν κατηγορίαν, ἀλλὰ διὰ νὰ καταληφθοῦν ἀπὸ ἀγωνίαν, διότι ἐπλήγη κάτι τὸ κοινὸν καὶ διεβλήθη ἡ Ἐκκλησία των. Κανεὶς δηλαδὴ δὲν θὰ εἴπῃ, λέγει, ὅτι ὁ τάδε διέπραξε πορνείαν, ἀλλ' ὅτι εἰς τὴν Ἐκκλησίαν τῶν Κορινθίων συνέβη τὸ ἁμάρτημα.

Καὶ δὲν εἶπεν 'ἀποτολμᾶται πορνεία', ἀλλὰ «ἀκούεται τέτοια ποὺ δὲν ὑπάρχει οὔτε μεταξὺ τῶν ἐθνικῶν». Καὶ πράγματι· πάντοτε ἀπὸ τὴν σύγκρισιν μὲ τοὺς ἐθνικοὺς κατακρίνει τοὺς πιστούς. Γράφων π.χ. εἰς τοὺς Θεσσαλονικεῖς ἔλεγε· «Κάθε ἕνας νὰ χρησιμοποιῇ τὸ σῶμα του μὲ ἁγιασμόν, ὄχι διὰ πάθη ἐπιθυμίας, ὅπως καὶ οἱ ἐθνικοί»[2]· καὶ εἰς τοὺς Κολασσαεῖς καὶ Ἐφεσίους ἔλεγε· «Νὰ μὴ ζῆτε πλέον ὅπως ζοῦν καὶ οἱ ἐθνικοί»[3]. Ἐὰν δὲ εἶναι ἀσυγχώρητον τὸ νὰ πράττουν οἱ πιστοὶ τὰς ἰδίας ἁμαρτίας μὲ τοὺς ἐθνικούς, εἰπέ μου, τὸ νὰ ὑπερβαίνουν μάλιστα τοὺς ἐθνικοὺς εἰς ἁμαρτίας ποῦ νὰ τὸ κατατάξωμεν; Ἐκεῖνοι δηλαδή, λέγει, ὄχι μόνον δὲν τολμοῦν νὰ κάμουν κάτι τέτοιο, ἀλλὰ οὔτε κἂν ἀναφέρουν.

Εἶδες ποῦ τὸ ἔγκλημα ἐπῆρεν; Ὅταν γὰρ τοιούτους φαίνωνται εὑρίσκοντες ἀσελγείας τρόπους, οὓς οὐ μόνον οὐ τολμῶσιν, ἀλλ' οὐδὲ ἴσασιν οἱ ἄπιστοι, ἄφατος τῆς ἁμαρτίας ἡ ὑπερβολή. Καὶ τὸ «ἐν ὑμῖν» δὲ ἐμφατικῶς εἴρηται, τουτέστιν ἐν ὑμῖν τοῖς πιστοῖς, τοῖς τοσούντων ἀπολελαυκόσι μυστηρίων, τοῖς ἀπορρήτων κεκοινωνηκόσι, τοῖς ἐπὶ τὸν οὐρανὸν κληθεῖσιν. Ὁρᾷς πόσης βαρυθυμίας ὁ λόγος γέμει; πόσου θυμοῦ κατὰ πάντων; Εἰ γὰρ μὴ πολλῆς ὀργῆς ἐπέπληστο, μηδὲ πρὸς πάντας ἀπετείνετο, οὕτως ἂν εἶπεν· ἐπειδὴ ἤκουσα ὅτι ὁ δεῖνα ἐπόρνευσε, κολάσατε αὐτόν· νῦν δὲ οὐχ οὕτως, ἀλλὰ πρὸς πάντας ἀποδύεται. Καὶ γάρ, οἱ μὲν προλαβόντες ἔγραψαν, ἀλλὰ καὶ συνεσκίασαν τὸ σφάλμα, τούτου χάριν σφοδρότερον κέχρηται τῷ λόγῳ. «Ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν».

Διὰ τί μὴ εἶπεν, ὥστε πορνεύειν εἰς γυναῖκα; Τὸ σφόδρα αἰσχρὸν παρῃτήσατο. Διὸ σεμνοτέρως αὐτὸ παρέδραμεν ὡς ἐν τοῖς ἔμπροσθεν δεδηλωμένον, κἀν τούτῳ αὔξων ἔγκλημα πάλιν καὶ δεικνὺς ὅτι τοιαῦτα τολμᾶται παρ' αὐτοῖς, ἃ οὐδὲ εἰπεῖν σαφῶς ἀνεκτὸν τῷ Παύλῳ. Διὰ τοῦτο καὶ προϊὼν τῷ αὐτῷ κέχρηται τρόπῳ λέγων «τὸν οὕτω τοῦτο κατεργασάμενον»· καὶ πάλιν αἰσχύνεται καὶ ἐρυθριᾷ σαφῶς εἰπεῖν, ὅπερ καὶ ἡμῖν ἔθος ἐπὶ τῶν σφόδρα αἰσχρῶν ποιεῖν. Καὶ οὐκ εἶπε 'μητρυιάν', ἀλλὰ «γυναῖκα πατρός», ὥστε πολλῷ χαλεπώτερον πλῆξαι. Καὶ γάρ, ὅταν τὰ ὀνόματα ἀρκῇ πρὸς κατηγορίαν, δι' αὐτῶν πρόεισιν οὐδὲν προστιθείς.

Καὶ μή μοι εἴπῃς, φησίν, ὅτι εἷς ἐστιν ὁ πεπορνευκώς· κοινὸν πάντων τὸ ἔγκλημα γέγονε. Διὸ ταχέως ἐπήγαγε «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ». Οὐκ ἐπὶ τῷ ἁμαρτήματι· τοῦτο γὰρ ἀλογίας· ἀλλ' ἐπὶ τῇ διδασκαλίᾳ τῇ παρ' ἐκείνου. Αὐτὸς δὲ οὐ τοῦτο τέθεικεν, ἀλλ' ἀφῆκεν αὐτὸ μέ-

Εἶδες μέχρι ποίου σημείου ἐτόνισε τὸ ἔγκλημα; Ὅταν δηλαδὴ φαίνωνται ὅτι εὑρίσκουν τέτοιους τρόπους ἀνηθικότητος, τοὺς ὁποίους ὄχι μόνον δὲν τολμοῦν νὰ ἐφαρμόσουν, ἀλλὰ οὔτε γνωρίζουν οἱ ἄπιστοι, εἶναι ἀπερίγραπτον τὸ μέγεθος τῆς ἁμαρτίας. Καὶ τὸ «μεταξύ σας» τὸ εἶπε διὰ ἔμφασιν, δηλαδὴ εἰς σᾶς τοὺς πιστούς, οἱ ὁποῖοι ἔχετε ἀπολαύσεις τόσον μεγάλων μυστηρίων, οἱ ὁποῖοι ἔχετε γίνει γνῶσται τῶν ἀπορρήτων τῆς πίστεως, οἱ ὁποῖοι ἐκλήθητε διὰ τὸν οὐρανόν. Βλέπεις μὲ πόσην βαρυθυμίαν εἶναι γεμᾶτος ὁ λόγος; μὲ πόσον θυμὸν ἐναντίον ὅλων; Ἐὰν δηλαδὴ δὲν ἦτο πολὺ ὠργισμένος, οὔτε θὰ ἀπετείνετο πρὸς ὅλους καὶ θὰ ἦτο δυνατὸν νὰ εἰπῇ τὰ ἑξῆς· 'ἐπειδὴ ἤκουσα ὅτι ὁ τάδε διέπραξε πορνείαν, τιμωρήσατε αὐτόν'. Τώρα ὅμως δὲν ὁμιλεῖ ἔτσι, ἀλλὰ ἀπευθύνεται πρὸς ὅλους· διότι, ἐὰν μὲν τοῦ ἔγραφον πρῶτοι περὶ τοῦ ἁμαρτήματος, ἐκεῖνο θὰ τοὺς ἔλεγε· ἐπειδὴ ὅμως ὄχι μόνον δὲν τοῦ ἔγραψαν, ἀλλὰ καὶ συνεκάλυψαν τὸ σφάλμα, διὰ τοῦτο τοὺς ὁμιλεῖ μὲ πολλὴν αὐστηρότητα. «Ὥστε νὰ ἔχῃ κάποιος γυναῖκα, τὴν γυναῖκα τὴν γυναῖκα τοῦ πατρός του».

Διατί δὲν εἶπεν 'Ὥστε νὰ διαπράξῃ κάποιος πορνείαν μὲ μίαν γυναῖκα'; Ἀπεσιώπησε τὴν πολλὴν αἰσχρότητα τῆς πράξεως. Διὰ τοῦτο μὲ πολλὴν σεμνότητα ἀπεσιώπησεν αὐτό, διότι εἶχεν ἀναφερθῆ προηγουμένως, καὶ ἔτσι τονίζει πάλιν τὸ ἔγκλημα καὶ δεικνύει ὅτι αὐτοὶ τολμοῦν νὰ κάμνουν τέτοια, τὰ ὁποῖα ὁ Παῦλος δὲν ἀνέχεται οὔτε νὰ ἀναφέρῃ μὲ σαφήνειαν. Διὰ τοῦτο καὶ ἐν συνεχείᾳ ἀκολουθῶν τὴν ἰδίαν τακτικὴν λέγει «ἐκεῖνον ποὺ ἔκαμε τὴν πρᾶξιν αὐτήν»· καὶ πάλιν ἐντρέπεται καὶ κοκκινίζει ἀπὸ ἐντροπὴν νὰ ὁμιλήσῃ σαφῶς, πρᾶγμα τὸ ὁποῖον συνήθως καὶ ἡμεῖς κάμνομεν ἐπὶ τῶν πολὺ αἰσχρῶν θεμάτων. Καὶ δὲν εἶπε 'μητρυιάν', ἀλλὰ «τὴν γυναῖκα τοῦ πατρός του», ὥστε νὰ τοὺς πλήξῃ ἰσχυρότερον. Καὶ πράγματι· ὅταν τὰ ὀνόματα ἀρκοῦν διὰ τὴν διατύπωσιν τῆς κατηγορίας, προχωρεῖ δι' αὐτῶν χωρὶς νὰ προσθέτῃ τίποτε.

Καὶ μὴ μοῦ εἴπῃς, λέγει, ὅτι ἕνας εἶναι ὁ ἔνοχος τῆς πορνείας· τὸ ἔγκλημα ὑπῆρξε κοινὸν ὅλων. Διὰ τοῦτο ἀμέσως προσέθεσε· «Καὶ ὅμως σεῖς εἶσθε φουσκωμένοι ἀπὸ ὑπερηφάνειαν», ὄχι διὰ τὸ ἁμάρτημα, διότι τοῦτο θὰ ἐδείκνυεν ἔλλειψιν λογικῆς, ἀλλὰ διὰ τὴν διδασκαλίαν, τὴν ὁποίαν παρέλαβον ἀπὸ ἐκεῖνον. Ὁ ἴδιος ὅμως δὲν τὸ ἀνέφερεν, ἀλλὰ τὸ ἄφησεν εἰς τὸ μέσον, διὰ νὰ τοὺς πλήξῃ πε-

σον, ἵνα πλήξῃ μειζόνως. Καὶ σκόπει τὴν σύνεσιν Παύλου. Πρότερον καθελὼν τὴν σοφίαν τὴν ἔξωθεν καὶ δείξας οὐδὲν οὖσαν καθ' ἑαυτήν, κἂν μὴ ἁμάρτημα ᾖ προσκείμενον, τότε λοιπὸν καὶ περὶ τοῦ ἁμαρτήματος διαλέγεται. Εἰ μὲν γὰρ πρὸς σύγκρισιν τοῦ πεπορνευκότος, σοφοῦ τινος ἴσως ὄντος, μέγα εἶναι τὸ χάρισμα τὸ πνευματικὸν ἔφησεν, οὐδὲν ἂν μέγα ἐποίει· τὸ δὲ καὶ χωρὶς ἁμαρτίας καθελεῖν καὶ μηδὲν οὖσαν ἀποφῆναι τὴν σοφίαν τὴν ἔξωθεν, τοῦτο ἦν δεῖξαι σφόδρα εὐτελῆ αὐτὴν οὖσαν. Διὸ πρότερον οὕτω τὴν σύγκρισιν ποιησάμενος τότε καὶ τοῦ σφάλματος αὐτοῦ μέμνηται.

Κἀκείνῳ μὲν οὐκ ἀξιοῖ διαλέγεσθαι κἀν τούτῳ δεικνὺς τὴν ὑπερβολὴν τῆς ἀτιμίας, τούτοις δέ φησιν ὅτι ἔδει πενθεῖν ὑμᾶς καὶ θρηνεῖν καὶ ἐγκαλύπτεσθαι· νῦν δὲ τοὐναντίον ποιεῖτε. Διὸ καὶ ἐπήγαγε· «Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε». Καὶ τί γέγονεν, ἵνα πενθήσωμεν; φησίν. Ὅτι εἰς τὸ κοινὸν ἡ διαβολὴ τῆς ἐκκλησίας προεχώρησε. Καὶ ἵνα τί κατορθώσωμεν πενθήσαντες; «Ἵνα ἐξαρθῇ ἐξ ὑμῶν ὁ τοιοῦτος». Καὶ οὐδὲ ἐνταῦθα τίθησιν αὐτοῦ τὸ ὄνομα, μᾶλλον δὲ οὐδαμοῦ, ὅπερ ἐπὶ τῶν σφόδρα ἀτόπων ποιεῖν εἰώθαμεν. Καὶ οὐκ εἶπεν, οὐχὶ μᾶλλον ἐξεβάλετε, ἀλλ' ὡς ἐπὶ νόσου τινὸς καὶ λοιμοῦ πένθους χρεία καὶ ἱκετηρίας ἐπιτεταμένης, «ἵνα ἐξαρθῇ», φησί· καὶ εὐχῇ χρήσασθαι δεῖ εἰς τοῦτο καὶ πάντα ἐργάσασθαι, ὥστε αὐτὸν ἀποτμηθῆναι. Καὶ οὐκ ἐγκαλεῖ, ὅτι οὐκ ἐδήλωσαν αὐτῷ, ἀλλ' ὅτι οὐκ ἐπένθησαν, ὥστε ἐξαρθῆναι, δεικνὺς ὅτι καὶ χωρὶς τοῦ διδασκάλου τοῦτο γενέσθαι ἔδει διὰ τὴν περιφάνειαν τοῦ πλημμελήματος.

2. «Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι». Ὅρα θυμόν· οὐδὲ ἀναμεῖναι αὐτοῦ τὴν παρουσίαν ἀφίησιν οὐδὲ ἐκδέξασθαι αὐτὸν καὶ τότε δῆσαι, ἀλλ' ὥσπερ τινὰ λοιμὸν μέλλων ἀπελεύνειν, πρὶν ἢ διαδοθῆναι

4. Α' Κορ. 5,3.

ρισσότερον. Καὶ πρόσεξε τὴν σύνεσιν τοῦ Παύλου. Προηγουμένως, ἀφοῦ κατεδίκασε τὴν σοφίαν τοῦ κόσμου καὶ ἔδειξεν ὅτι δὲν εἶναι τίποτε αὐτὴ καθ' ἑαυτὴν —καὶ ἂν ἀκόμη δὲν ἔχῃ κάποιαν ἁμαρτίαν— τότε ἐν συνεχείᾳ ὁμιλεῖ καὶ περὶ τοῦ ἁμαρτήματος. Δηλαδή, προκειμένου νὰ κάνῃ σύγκρισιν τοῦ πόρνου, ὁ ὁποῖος ἴσως ἦτο κάποιος σοφός, ἂν μὲν ἔλεγεν ὅτι τὸ πνευματικὸν χάρισμα εἶναι μέγα, δὲν θὰ ἔλεγε τίποτε τὸ σπουδαῖον· τὸ ὅτι κατεδίκασεν ὅμως τὴν σοφίαν τοῦ κόσμου ἀσχέτως ἁμαρτίας καὶ ἔκρινεν ὅτι αὐτὴ δὲν εἶναι τίποτε, τοῦτο εἶχε σκοπὸν νὰ δείξῃ ὅτι αὐτὴ εἶναι εὐτελεστάτη. Διὰ τοῦτο, ἀφοῦ προηγουμένως ἔκανεν ἔτσι τὴν σύγκρισιν, τότε κάμνει μνείαν καὶ τοῦ σφάλματος αὐτοῦ.

Καὶ μὲ ἐκεῖνον μὲν δὲν κρίνει ἄξιον νὰ κάνῃ διάλογον, δεικνύων καὶ μὲ αὐτὸν τὸν τρόπον τὸ ὑπερβολικὸν μέγεθος τῆς ἀτιμίας, εἰς αὐτοὺς δὲ λέγει ὅτι ἔπρεπε νὰ πενθῆτε καὶ νὰ θρηνῆτε καὶ νὰ ἐντρέπεσθε· τώρα ὅμως κάμνετε τὸ ἀντίθετον. Διὰ τοῦτο καὶ προσέθεσε· «Καὶ ὅμως σεῖς εἶσθε φουσκωμένοι ἀπὸ ὑπερηφάνειαν καὶ δὲν ἐπενθήσατε μᾶλλον». Καὶ τί ἔχει συμβῆ, ὥστε νὰ πενθήσωμεν; θὰ ἔλεγε κάποιος. Τὸ ὅτι ἡ δυσφήμησις τῆς Ἐκκλησίας περιέλαβε ὅλους τοὺς πιστούς. Καὶ νὰ πενθήσωμεν, διὰ νὰ κατορθώσωμεν τί; «Διὰ νὰ ἐκδιωχθῇ ἀπὸ τὴν ἐκκλησίαν σας ἐκεῖνος ποὺ ἔκαμε τὴν πρᾶξιν αὐτήν». Καὶ οὔτε ἐδῶ ἀναφέρει τὸ ὄνομα αὐτοῦ, μᾶλλον δὲ πουθενά, πρᾶγμα τὸ ὁποῖον συνηθίζομεν νὰ κάμνωμεν εἰς θέματα ἐντελῶς ἄτοπα. Καὶ δὲν εἶπεν, 'Δὲν τὸν ἐκδιώξατε μᾶλλον', ἀλλ' ὅπως εἰς περίπτωσιν κάποιας νόσου καὶ ἐπιδημίας χρειάζεται νὰ πενθήσῃ κανεὶς καὶ νὰ ἱκετεύσῃ ἐπιμόνως λέγει «διὰ νὰ ἐκδιωχθῇ»· εἶναι ἀνάγκη ἐπίσης εἰς τὸ θέμα αὐτὸ νὰ προσευχηθοῦν καὶ νὰ κάνουν τὰ πάντα, ὥστε νὰ ἀποκοπῇ αὐτὸς ἀπὸ τὴν Ἐκκλησίαν. Καὶ δὲν τοὺς κατηγορεῖ ὅτι δὲν τὸ ἀπεκάλυψαν εἰς αὐτόν, ἀλλ' ὅτι δὲν ἐπένθησαν, ὥστε νὰ ἐκβληθῇ, δεικνύων ὅτι καὶ χωρὶς τὸν διδάσκαλον ἔπρεπε τοῦτο νὰ εἶχε γίνει, ἐπειδὴ τὸ πλημμέλημα ἦτο ὁλοφάνερον.

2. «Ἐγὼ λοιπὸν ὡς ἀπὼν μὲν κατὰ τὸ σῶμα, ὡς παρὼν δὲ κατὰ τὸ πνεῦμα»[4]. Κοίταξε θυμόν· δὲν ἐπιτρέπει οὔτε νὰ ἀναμείνουν τὴν παρουσίαν του οὔτε νὰ δεχθοῦν αὐτὸν καὶ τότε νὰ δέσουν τὸν ἁμαρτήσαντα, ἀλλ' ἐπείγεται νὰ ἀναχαιτίσῃ τὸ κακὸν ὡσὰν νὰ ἐπρόκειτο νὰ ἀπομακρύνῃ κάποιαν ἐπιδημίαν προτοῦ νὰ διαδοθῇ

εἰς τὸ λοιπὸν σῶμα, ἐπείγεται κατασχεῖν. Διὸ καὶ ἐπάγει λέγων· «Ἤδη κέκρικα ὡς παρών». Ταῦτα δὲ ἔλεγεν οὐ μόνον κατεπείγων αὐτοὺς εἰς τὴν ἀπόφασιν καὶ οὐκ ἀφιεὶς ἄλλο τι βουλεύσασθαι, ἀλλὰ καὶ φοβῶν ὡς εἰδὼς τὰ ἐκεῖ γενησόμενα καὶ κριθησόμενα. Τοῦτο γάρ ἐστι παρεῖναι τῷ πνεύματι, ὥσπερ ὁ Ἐλισσαῖος τῷ Γιεζῇ παρῆν καὶ ἔλεγεν, «Οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ;» Βαβαί, πόση τοῦ χαρίσματος ἡ δύναμις, ὅταν πάντας ὁμοῦ καὶ κατ' αὐτὸ εἶναι ποιῇ καὶ τὰ πόρρωθεν εἰδέναι παρασκευάζῃ; «Ἤδη κέκρικα ὡς παρών». Οὐκ ἀφίησιν αὐτοὺς ἕτερόν τι ἐννοῆσαι. Καὶ γὰρ ἐξήνεγκα τὴν ἀπόφασιν ὡς παρών· μή μοι ἀναβολὰς καὶ μελλήσεις· οὐδὲν γὰρ ἕτερον δεῖ γενέσθαι.

Εἶτα, ἵνα μὴ δόξῃ πολλὴ εἶναι ἡ αὐθεντία μηδὲ αὐθαδέστερος γένηται ὁ λόγος, ὅρα πῶς καὶ αὐτοὺς κοινωνοὺς ποιεῖ τοῦ κρίματος. Εἰπὼν γὰρ «κέκρικα» ἐπήγαγε· «Τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ». Καὶ τί ἐστιν «ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»; Κατὰ Θεόν, μὴ ἀνθρωπίνῃ κατεχομένους προλήψει. Τινὲς δὲ οὕτως ἀναγιγνώσκουσι· «Τὸν οὕτω τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» καὶ ὑποστίξαντες ἐνταῦθα ἢ μέσην θέντες οὕτως ἐπάγουσι τὸ ἑξῆς λέγοντες· «Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ». Καί φασι τὴν ἔννοιαν ταύτην εἶναι τῆς τοιαύτης ἀναγνώσεως· τὸν τοῦτο κατεργασάμενον, φησίν, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ παράδοτε τῷ Σατανᾷ· τουτέστι, τὸν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἐνυβρίσαντα, τὸν μετὰ τὸ γενέσθαι πιστὸν καὶ ἐπώνυμον ἐκείνης τῆς προσηγορίας τοιαῦτα τολμήσαντα, τοῦτον παράδοτε τῷ Σατανᾷ. Ἐμοὶ δὲ ἡ προτέρα ἀληθεστέρα ἔκδοσις εἶναι δοκεῖ. Ποία δὴ αὕτη; «Ἐν τῷ

5. Δ' Βασ. 5,26.
6. Α' Κορ. 5,4-5.

εἰς τὸ ὑπόλοιπον σῶμα. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Ἤδη κέκρικα ὡς παρών». Αὐτὰ τὰ ἔλεγεν ὄχι μόνον διότι ἐβίαζεν αὐτοὺς εἰς τὴν λῆψιν ἀποφάσεως καὶ δὲν τοὺς ἐπέτρεπε νὰ σκεφθοῦν ἄλλο τίποτε, ἀλλὰ καὶ διότι προσεπάθει νὰ τοὺς ἐμπνεύσῃ φόβον, διότι ἐγνώριζε τὰ ὅσα θὰ γίνουν ἐκεῖ καὶ θὰ ἀποτελέσουν θέμα κρίσεως· διότι τοῦτο σημαίνει τὸ νὰ εἶναι κανεὶς παρὼν κατὰ τὸ πνεῦμα, ὅπως ἀκριβῶς ὁ Ἐλισσαῖος ἦτο παρὼν εἰς τὸν Γιεζῆ καὶ ἔλεγε· «Δὲν ἦτο ἡ καρδία μου μαζί σου;»[5]. Πώ, πώ, πόση εἶναι ἡ δύναμις τοῦ χαρίσματος, ἐφ' ὅσον ὅλους τοὺς κάμνει νὰ εἶναι μαζὶ καὶ εἰς τὸν ἴδιον τόπον καὶ τοὺς καθιστᾷ ἱκανοὺς νὰ γνωρίζουν ἀπὸ μακριὰ ὅσα συμβαίνουν ἀλλοῦ! «Ἔχω ἤδη κρίνει ὡς νὰ ἤμουν παρών». Δὲν τοὺς ἀφήνει νὰ ἐννοήσουν τίποτε ἄλλο. Δηλαδή· Ἔλαβα τὴν ἀπόφασιν ὡς νὰ ἤμουν παρών· μὴ μοῦ προβάλλετε ἀναβολὰς καὶ χρονοτριβάς· δὲν πρέπει νὰ γίνῃ τίποτε ἄλλο.

Κατόπιν, διὰ νὰ μὴ φανῇ ὅτι ὁμιλεῖ μὲ πολλὴν αὐθεντίαν καὶ διὰ νὰ μὴ δείξῃ ὁ λόγος του τὴν πολλὴν ὑπεροψίαν, κοίταξε πῶς κάμνει καὶ αὐτοὺς μετόχους τῆς ἀποφάσεως. Ἀφοῦ δηλαδὴ εἶπεν, «ἔχω κρίνει», προσέθεσεν· «ἐκεῖνον ποὺ ἔκαμεν αὐτὴν τὴν πρᾶξιν, ἀφοῦ συγκεντρωθῆτε εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σεῖς καὶ τὸ πνεῦμα μου μαζὶ μὲ τὴν δύναμιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ νὰ παραδώσωμεν τὸν ἄνθρωπον αὐτὸν εἰς τὸν Σατανᾶν»[6]. Καὶ τί σημαίνει «εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»; Κατὰ Θεόν, χωρὶς νὰ κατέχωνται οἱ ἄνθρωποι ἀπὸ ἀνθρωπίνην προκατάληψιν. Μερικοὶ δὲ ἔτσι ἀναγινώσκουν τὸ κείμενον· «ἐκεῖνον ποὺ ἔκαμε τὴν πρᾶξιν αὐτὴν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», καὶ ἀφοῦ θέσουν τὸ σημεῖον στίξεως ἐδῶ καὶ ὄχι εἰς τὸ μέσον, συνεχίζουν λέγοντες τὸ ἑξῆς· «Ἀφοῦ συγκεντρωθῆτε σεῖς καὶ τὸ πνεῦμα μου νὰ παραδώσετε τὸν ἄνθρωπον αὐτὸν εἰς τὸν Σατανᾶν». Καὶ λέγουν ὅτι, ἂν ἀναγνώσουν ἔτσι τὸ κείμενον, ἡ ἔννοια εἶναι ἡ ἑξῆς· Αὐτὸν ποὺ ἔκανε τοῦτο, λέγει, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ παραδώσατέ τον εἰς τὸν Σατανᾶν· δηλαδή, αὐτὸν ποὺ ἐφέρθη προσβλητικῶς εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, αὐτὸν ποὺ ἐτόλμησε τέτοιας πράξεις, ἀφοῦ ἔγινε πιστὸς καὶ ἔλαβε τὸ ὄνομα τοῦ Χριστιανοῦ, αὐτὸν παραδώσατέ τον εἰς τὸν Σατανᾶν. Εἰς ἐμὲ ὅμως ἡ πρώτη γραφὴ φαίνεται ὅτι εἶναι ἀληθεστέρα. Ποία λοιπὸν εἶναι αὐτή; «Ἐν τῷ ὀνόματι τοῦ Κυρίου συναχθέντων ὑμῶν»·

ὀνόματι τοῦ Κυρίου συναχθέντων ὑμῶν»· τουτέστιν, αὐτοῦ τοῦ ὀνόματος ὑμᾶς συνάγοντος, ὑπὲρ οὗ συνέρχεσθε.

«Καὶ τοῦ ἐμοῦ πνεύματος». Πάλιν ἐπέστησεν αὐτοῖς ἑαυτόν, ἵν' ὅταν δικάζωσιν, ὡς αὐτοῦ παρόντος, οὕτως αὐτὸν ἀποτέμωσι καὶ μηδεὶς τολμήσῃ συγγνώμης αὐτὸν ἀξιῶσαι, εἰδὼς ὅτι Παῦλος εἴσεται τὰ γινόμενα. Εἶτα φοβερώτερον αὐτὸ ποιῶν φησί· «σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»· τουτέστιν, ἢ ὅτι ὁ Χριστὸς δύναται τοιαύτην ὑμῖν χάριν δοῦναι, ὡς δύνασθαι τῷ διαβόλῳ παραδιδόναι ἢ ὅτι καὶ αὐτὸς μεθ' ὑμῶν κατ' αὐτοῦ φέρει τὴν ψῆφον. Καὶ οὐκ εἶπεν, ἐκδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ, ἀλλὰ παραδοῦναι, ἀνοίγων αὐτῷ τῆς μετανοίας τὰς θύρας, καὶ ὥσπερ παιδαγωγῷ τὸν τοιοῦτον παραδιδούς. Καὶ πάλιν «τὸν τοιοῦτον» καὶ οὐκ ἀνέχεται οὐδαμοῦ τῆς προσηγορίας αὐτοῦ μνημονεῦσαι.

«Εἰς ὄλεθρον τῆς σαρκός». Ὥσπερ ἐπὶ τοῦ μακαρίου Ἰὼβ γέγονεν, ἀλλ' οὐχ ὑπὲρ τῆς αὐτῆς ὑποθέσεως. Ἐκεῖ μὲν γὰρ ὑπὲρ στεφάνων λαμπροτέρων, ἐνταῦθα δὲ ὑπὲρ ἁμαρτημάτων λύσεως, ἵνα μαστίξῃ αὐτὸν ἕλκει πονηρῷ ἢ νόσῳ ἑτέρᾳ. Καὶ μὴν ἀλλαχοῦ φησιν ὅτι ὑπὸ τοῦ Κυρίου κρινόμεθα ταῦτα πάσχοντες. Ἀλλ' ἐνταῦθα μᾶλλον καθάψασθαι θέλων τῷ Σατανᾷ παραδίδωσι. Καὶ τοῦτο δὲ τῷ Θεῷ δοκοῦν ἐγίνετο, ὥστε κολάζεσθαι αὐτοῦ τὴν σάρκα. Ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀδηφαγίας καὶ τῆς τρυφῆς τῆς κατὰ τὴν σάρκα ἐπιθυμίαι τίκτονται, ταύτην κολάζει.

Ἵνα τοίνυν καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀγάτης σωζομένης μόνης, ἀλλ' ὡς ὁμολογουμένου τούτου, ὅτι σωζομένης ἐκείνης ἀναντιρρήτως καὶ τὸ σῶμα κοινωνήσει τῆς σωτηρίας. Καὶ γὰρ θνητὸν δι' αὐτὴν ἐγένετο ἁμαρτοῦσαν· κἂν αὐτὴ δικαιοπραγήσῃ, πάλιν πολλῆς καὶ αὐτὸ ἀπολαύσεται δόξης. Τινὲς δὲ τὸ πνεῦμα τὸ χάρισμά φασιν, ὅπερ σβέννυται ἁμαρτανόντων ἡμῶν. Ἵν' οὖν τοῦτο μὴ γένηται, φησί, τιμωρείσθω, ἵνα ταύτῃ βελτίων γενόμενος ἐπισπάσηται τὴν χάριν καὶ εὑρεθῇ σώαν αὐτὴν

---

7. αὐτ. 11,32.

δηλαδή, ἀφοῦ σᾶς συγκεντρώσῃ αὐτὸ τὸ ὄνομα, διὰ τὸ ὁποῖον συγκεντρώνεσθε.

«Καὶ τὸ πνεῦμα μου». Πάλιν ἔθεσε τὸν ἑαυτόν του ἐπικεφαλῆς αὐτῶν, ὥστε ὅταν δικάζουν τὸν ἁμαρτήσαντα, νὰ τὸν ἀποκόψουν ἔτσι ὡς νὰ ἦτο ὁ ἴδιος παρὼν καὶ κανεὶς νὰ μὴ τολμήσῃ νὰ κρίνῃ αὐτὸν ἄξιον συγγνώμης, διότι θὰ γνωρίζῃ ὅτι ὁ Παῦλος θὰ μάθῃ τὰ συμβάντα. Ἔπειτα παρουσιάζει αὐτὸ φοβερώτερον λέγων· «μὲ τὴν δύναμιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»· δηλαδή, ἢ ὅτι ὁ Χριστὸς δύναται νὰ σᾶς δώσῃ τέτοιαν χάριν, ὥστε νὰ δύνασθε νὰ παραδίδετε εἰς τὸν διάβολον ἢ ὅτι καὶ ὁ ἴδιος ὁ Χριστὸς μαζί σας καταδικάζει αὐτόν. Καὶ δὲν εἶπε, 'Νὰ παραχωρήσετε τὸν ἄνθρωπον αὐτὸν εἰς τὸν Σατανᾶν', ἀλλὰ «νὰ τὸν παραδώσητε», ἀνοίγων εἰς αὐτὸν τὰς θύρας τῆς μετανοίας καὶ παραδίδων τὸν ἄνθρωπον αὐτὸν κατὰ κάποιον τρόπον εἰς παιδαγωγόν. Καὶ πάλιν λέγει «τὸν τοιοῦτον» καὶ δὲν ἀνέχεται πουθενὰ νὰ μνημονεύσῃ τὸ ὄνομά του.

«Πρὸς καταστροφὴν τῆς σαρκός του». Ὅπως συνέβη εἰς τὴν περίπτωσιν τοῦ μακαρίου Ἰώβ, ἀλλ' ὄχι διὰ τὸν ἴδιον λόγον. Δηλαδή, ἐκεῖ μὲν ὁ σκοπὸς ἦτο ἡ ἀπόκτησις λαμπροτέρων στεφάνων, ἐδῶ δὲ νὰ τιμωρήσῃ αὐτὸν μὲ βασανιστικὴν πληγὴν ἢ ἄλλην νόσον, διὰ νὰ παύσουν τὰ ἁμαρτήματα. Καί, ὡς γνωστόν, ἀλλοῦ λέγει ὅτι, ὅταν πάσχωμεν αὐτά, κρινόμεθα ὑπὸ τοῦ Κυρίου. Ἀλλ' ἐδῶ τὸν παραδίδει εἰς τὸν Σατανᾶν, ἐπειδὴ θέλει μᾶλλον νὰ τὸν στιγματίσῃ. Καὶ τοῦτο ἐγίνετο συμφώνως πρὸς τὴν κρίσιν τοῦ Θεοῦ, ὥστε νὰ τιμωρηθῇ ἡ σὰρξ αὐτοῦ. Ἐπειδὴ δηλαδὴ ἀπὸ τὴν λαιμαργίαν καὶ τὰς σαρκικὰς ἀπολαύσεις γεννῶνται ἐπιθυμίαι, τιμωρεῖ τὴν σάρκα.

«Διὰ νὰ σωθῇ τὸ πνεῦμα του», δηλαδὴ ἡ ψυχή· ὄχι ὅτι αὐτὴ μόνον σώζεται, ἀλλ' ὅτι ὁμολογεῖται τοῦτο, ὅτι δηλαδή, ἐφ' ὅσον σώζεται ἐκείνη, ἀναντιρρήτως καὶ τὸ σῶμα θὰ μετάσχῃ τῆς σωτηρίας, διότι τοῦτο ἔγινε θνητόν, ἐπειδὴ αὐτὴ ἡμάρτησε· καὶ ἂν αὐτὴ ἐνεργήσῃ δικαίως πάλιν θὰ ἀπολαύσῃ καὶ αὐτὸ (τὸ σῶμα) πολλῆς δόξης. Μερικοὶ δὲ λέγουν ὅτι πνεῦμα εἶναι τὸ χάρισμα, τὸ ὁποῖον σβήνεται, ὅταν ἁμαρτάνωμεν. Διὰ νὰ μὴ γίνῃ λοιπὸν αὐτό, λέγει, ἂς τιμωρηθῇ (ὁ ἁμαρτήσας), διὰ νὰ γίνῃ ἔτσι καλύτερος καὶ νὰ λάβῃ πάλιν τὴν χάριν, ὥστε κατὰ τὴν ἡμέραν ἐκείνην νὰ

ἐν ἐκείνῃ τῇ ἡμέρᾳ παρεχόμενος. Ὥστε κηδεομένου μᾶλλόν ἐστι καὶ ἰατρεύοντος, οὐχὶ κόπτοντος ἁπλῶς οὐδὲ κολάζοντος εἰκῇ καὶ μάτην. Μεῖζον γὰρ τὸ κέρδος τῆς τιμωρίας· ἡ μὲν γὰρ πρόσκαιρος, τὸ δὲ διηνεκές. Καὶ οὐχ ἁπλῶς εἶπεν «ἵνα τὸ πνεῦμα σωθῇ», ἀλλ' «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ». Καλῶς αὐτοὺς καὶ εὐκαίρως τῆς ἡμέρας ἐκείνης ἀναμιμνήσκει, ἵνα καὶ αὐτοὶ προθυμότερον ἔλθωσιν ἐπὶ τὴν ἰατρείαν, κἀκεῖνος καταδέξηται μᾶλλον οὐχ ὡς ὀργῆς ῥήματα ὄντα, ἀλλ' ὡς πατρὸς κηδεμονικοῦ πρόνοιαν. Διὰ γὰρ τοῦτο καὶ «εἰς ὄλεθρον τῆς σαρκός» εἶπεν ἤδη τῷ διαβόλῳ νόμους τιθεὶς καὶ οὐκ ἀφιεὶς αὐτὸν περαιτέρω προβῆναι· ὥσπερ ἐπὶ τοῦ Ἰὼβ ἔλεγεν ὁ Θεός, «Πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ».

3. Εἶτα ἀπαρτίσας τὴν ἀπόφασιν καὶ ἐν βραχεῖ αὐτὴν εἰπὼν καὶ οὐκ ἐνδιατρίψας ἐπάγει πάλιν ἐπιτίμησιν πρὸς ἐκείνους ἀποτεινόμενος· «Οὐ καλὸν τὸ καύχημα ὑμῶν», δεικνὺς ὅτι ἐκεῖνοι μέχρι τοῦ παρόντος οὐκ εἴασαν αὐτὸν μετανοῆσαι καυχώμενοι ἐπ' αὐτῷ. Εἶτα δηλοῖ ὅτι οὐκ ἐκείνου φειδόμενος μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ αὐτῶν τούτων· διὸ καὶ ἐπάγει· «Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;» Εἰ γὰρ καὶ ἐκείνου τὸ ἁμάρτημα, φησίν, ἀλλ' ἀμελούμενον δύναται καὶ τὸ λοιπὸν τῆς Ἐκκλησίας σῶμα λυμήνασθαι. Ὅταν γὰρ ὁ πρῶτος ἁμαρτὼν μὴ δῷ δίκην, ταχέως καὶ ἕτεροι ταὐτὰ πλημμελήσουσι. Ταῦτα δὲ λέγει δεικνὺς ὅτι ὑπὲρ ὅλης τῆς Ἐκκλησίας, οὐχ ὑπὲρ ἑνός, ἔστιν αὐτοῖς ὁ ἀγὼν καὶ ὁ κίνδυνος· διὸ καὶ τῆς εἰκόνος ἐδεήθη τῆς ζύμης. Ὥσπερ γὰρ ἐκείνη, φησί, καὶ βραχεῖα οὖσα ὅλον πρὸς ἑαυτὴν μεταβάλλει τὸ φύραμα, οὕτω καὶ οὗτος, ἂν ἀφεθῇ ἀτιμώρητος, καὶ ἀνεκδίκητος ἡ ἁμαρτία αὕτη γένηται, καὶ τοῖς λοιποῖς λυμανεῖται.

«Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην», τουτέστι τὸν πονηρὸν τοῦτον· μᾶλλον δὲ οὐ περὶ τούτου μόνον φησίν,

8. Ἰὼβ 1,12 πρβλ. 2,6.
9. Α' Κορ. 5,6.
10. αὐτ. 7.

ἀποδώση αὐτὴν σώαν. Ὥστε ὅσα λέγει δεικνύουν ἄνθρωπον ποὺ ἐνδιαφέρεται μᾶλλον καὶ προσπαθεῖ νὰ θεραπεύσῃ, ὄχι ἄνθρωπον ποὺ ἀποκόπτει ἁπλῶς, οὔτε ἄνθρωπον ποὺ τιμωρεῖ ἀλογίστως καὶ χωρὶς σκοπόν. Δηλαδὴ τὸ κέρδος εἶναι μεγαλύτερον τῆς τιμωρίας, διότι αὐτὴ μὲν εἶναι πρόσκαιρος, ἐκεῖνο δὲ συνεχές. Καὶ δὲν εἶπεν, ἁπλῶς, «διὰ νὰ σωθῇ τὸ πνεῦμα του», ἀλλὰ «κατὰ τὴν ἡμέραν ἐκείνην». Ὀρθῶς καὶ κατὰ τρόπον ἐπίκαιρον ὑπενθυμίζει εἰς αὐτοὺς τὴν ἡμέραν ἐκείνην, διὰ νὰ προχωρήσουν καὶ αὐτοὶ μὲ μεγαλυτέραν προθυμίαν εἰς τὴν θεραπείαν καὶ διὰ νὰ δεχθῇ ἐκεῖνος τὰ λόγια ὄχι ὡς λόγια ὀργῆς, ἀλλὰ ὡς ἐκδήλωσιν φροντίδος ἑνὸς πατρός, ποὺ ἐνδιαφέρεται. Διὰ τοῦτο ἀκριβῶς καὶ εἶπε «πρὸς καταστροφὴν τῆς σαρκός του», θέτων πλέον νόμους εἰς τὸν διάβολον καὶ μὴ ἐπιτρέπων αὐτὸν νὰ προχωρήσῃ περισσότερον· ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ Ἰὼβ ὁ Θεὸς ἔλεγε· «Μόνον τὴν ζωήν του μὴ ἐγγίσῃς»[8].

3. Ἔπειτα, ἀφοῦ συνεπλήρωσε τὴν ἀπόφασίν του καὶ τὴν εἶπε μὲ ὀλίγα λόγια χωρὶς νὰ μείνῃ εἰς αὐτὴν ἐπὶ πολύ, ἐκφράζει πάλιν ἐπιτίμησιν ἀποτεινόμενος πρὸς ἐκείνους· «Δὲν εἶναι καλὴ ἡ καύχησίς σας»[9], δεικνύων ὅτι ἐκεῖνοι μέχρι τότε δὲν τὸν ἄφησαν αὐτὸν νὰ μετανοήσῃ μὲ τὸ νὰ καυχῶνται δι' αὐτόν. Ἔπειτα φανερώνει ὅτι τοῦτο τὸ κάμνει, διότι φροντίζει ὄχι μόνον δι' ἐκεῖνον, ἀλλὰ καὶ δι' αὐτοὺς τοὺς ἰδίους· διὰ τοῦτο καὶ προσθέτει· «Δὲν γνωρίζετε ὅτι ὀλίγη ζύμη ζυμώνει ὅλον τὸ φύραμα;». Δηλαδή, ἂν καί, λέγει, τὸ ἁμάρτημα εἶναι ἐκείνου, ὅμως, ἂν ἀμελήσητε δι' αὐτό, εἶναι δυνατὸν νὰ καταστρέψῃ καὶ τὸ ὑπόλοιπον σῶμα τῆς Ἐκκλησίας. Ὅταν δηλαδὴ δὲν τιμωρηθῇ ἐκεῖνος ποὺ πρῶτος ἡμάρτησε, ταχέως καὶ ἄλλοι θὰ κάνουν τὰς ἰδίας ἁμαρτίας. Αὐτὰ δὲ τὰ λέγει δεικνύων ὅτι ὁ ἀγὼν καὶ ὁ κίνδυνος δι' αὐτοὺς εἶναι διὰ ὅλην τὴν Ἐκκλησίαν, ὄχι διὰ ἕνα πιστόν· διὰ τοῦτο ἐχρειάσθη τὸ παράδειγμα τῆς ζύμης. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκείνη, λέγει, ἂν καὶ εἶναι ὀλίγη, μεταβάλλει κατὰ τὸν ἑαυτόν της ὅλον τὸ φύραμα, ἔτσι καὶ αὐτός, ἂν ἀφεθῇ ἀτιμώρητος, καὶ ἂν ἡ ἁμαρτία αὐτὴ δὲν τιμωρηθῇ, θὰ μολύνῃ καὶ τοὺς ὑπολοίπους.

«Ἀπαλλαγῆτε ἐντελῶς ἀπὸ τὴν παλαιὰν ζύμην[10]; δηλαδὴ ἀπὸ αὐτὸν τὸν πονηρόν· μᾶλλον δὲ δὲν λέγει μόνον περὶ αὐτοῦ, ἀλλὰ

ἀλλὰ καὶ ἄλλους αἰνίττεται. Οὐ γὰρ πορνεία μόνον παλαιὰ ζύμη, ἀλλὰ καὶ πᾶσα κακία. Καὶ οὐκ εἶπε, καθάρατε, ἀλλ' «ἐκκαθάρατε», μετὰ ἀκριβείας καθάρατε, ὥστε μηδὲ λείψανον μηδὲ σκιὰν εἶναι τοιαύτην. Τῷ μὲν οὖν εἰπεῖν «ἐκκαθάρατε» δείκνυσιν ἔτι πονηρίαν παρ' αὐτοῖς οὖσαν, τῷ δὲ εἰπεῖν «Ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι», δηλοῖ καὶ ἐμφαίνει οὐ σφόδρα πολλῶν κρατοῦσαν τὴν κακίαν. Εἰ δὲ λέγει «καθὼς ἐστε ἄζυμοι», οὐ τοῦτο λέγει, ὅτι πάντες ἦσαν καθαροί, ἀλλὰ καθὼς πρέπει εἶναι ὑμᾶς.

«Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός. Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας». Οὕτω καὶ ὁ Χριστὸς ζύμην τὴν διδασκαλίαν ἐκάλεσε. Καὶ αὐτὸς δὲ ἐπιμένει τῇ μεταφορᾷ ἀναμιμνήσκων παλαιᾶς αὐτοὺς ἱστορίας, καὶ πάσχα καὶ ἀζύμων, καὶ τῶν εὐεργεσιῶν τῶν τότε καὶ τῶν νῦν καὶ τῶν κολάσεων καὶ τῶν τιμωριῶν. Ἑορτῆς ἄρα ὁ παρὼν καιρός. Καὶ γὰρ εἰπὼν «ἑορτάζωμεν», οὐκ ἐπειδὴ πάσχα παρῆν οὐδὲ ἐπειδὴ ἡ πεντηκοστή, ἔλεγεν, ἀλλὰ δεικνὺς ὅτι πᾶς ὁ χρόνος ἑορτῆς ἐστι καιρὸς τοῖς Χριστιανοῖς διὰ τὴν ὑπερβολὴν τῶν δοθέντων ἀγαθῶν. Τί γὰρ οὐ γέγονεν ἀγαθόν; Ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε διὰ σέ, θανάτου σε ἀπήλλαξεν, εἰς βασιλείαν ἐκάλεσεν. Ὁ τοιούτων τοίνυν ἐπιτυχὼν σὺ καὶ ἐπιτυγχάνων πῶς οὐκ ὀφείλεις ἑορτάζειν πάντα τὸν βίον; Μηδεὶς τοίνυν ἔστω κατηφὴς ἐπὶ πενίᾳ καὶ νόσῳ καὶ ἐπιβουλῇ· ἑορτῆς γὰρ ἡμῶν ὁ καιρὸς ἅπας. Διό φησιν ὁ Παῦλος· «Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε».

Ἐν ταῖς ἑορταῖς οὐδεὶς ῥυπαρὰ ἐνδέδυται ἱμάτια· μὴ τοίνυν μηδὲ ἡμεῖς· γάμοι γὰρ γεγόνασι, γάμοι πνευματικοί. «Ὡμοιώθη», γὰρ φησίν, «ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε ποιῆσαι γάμους τῷ υἱῷ αὐτοῦ». Ἔνθα δὲ βασιλεὺς γάμους ποιεῖ, καὶ γάμους τῷ υἱῷ, τί μεῖζον ἂν γένοιτο τῆς ἑορτῆς ταύτης; Μηδεὶς τοίνυν ῥάκια περιβεβλημένος εἰσίτω. Οὐ περὶ ἱματίων ἡμῖν ὁ

11. αὐτ. 8. 12. Φιλ. 4,4. 13. Ματθ. 22,2.

ὑπαινίσσεται καὶ ἄλλους, διότι δὲν εἶναι μόνον ἡ πορνεία παλαιὰ ζύμη, ἀλλὰ καὶ πᾶσα κακία. Καὶ δὲν εἶπε, καθαρίσατε, ἀλλὰ «καθαρίσατε τελείως», δηλαδὴ καθαρίσατε μὲ προσοχήν, ὥστε νὰ μὴ ὑπάρχῃ οὔτε ὑπόλειμμα οὔτε καμμία τέτοια σκιά. Μὲ τὸ νὰ εἴπῃ λοιπὸν «καθαρίσατε ἐντελῶς», δεικνύει ὅτι ὑπῆρχεν ἀκόμη κακία εἰς αὐτούς, μὲ τὸ νὰ εἴπῃ δὲ «Διὰ νὰ εἶσθε νέον φύραμα, καθὼς εἶσθε ἄζυμοι», φανερώνει ὅτι τὸ κακὸν δὲν κατεῖχε πάρα πολλούς. Ἐὰν λέγῃ δέ, «καθὼς εἶσθε ἄζυμοι», δὲν ἐννοεῖ τοῦτο, ὅτι δηλαδὴ ὅλοι ἦσαν καθαροί, ἀλλὰ νὰ εἶσθε καθὼς πρέπει νὰ εἶσθε.

«Διότι ὁ ἰδικός μας πασχαλινὸς ἀμνός, ὁ Χριστός, ἐθυσιάσθη πρὸς χάριν μας. Ὥστε ἂς ἑορτάζωμεν ὄχι μὲ παλαιὰν ζύμην οὔτε μὲ ζύμην κακίας καὶ πονηρίας, ἀλλὰ μὲ ἄζυμα εἰλικρινείας καὶ ἀληθείας»[11]. Ἔτσι καὶ ὁ Χριστὸς ζύμην ὠνόμασε τὴν διδασκαλίαν του. Καὶ ὁ ἴδιος ἐπιμένει εἰς τὴν μεταφορὰν ὑπενθυμίζων εἰς αὐτοὺς παλαιὰν ἱστορίαν, καὶ τὸ Πάσχα καὶ τὰ ἄζυμα καὶ τὰς τότε καὶ τὰς τωρινὰς εὐεργεσίας καὶ τοὺς κολασμοὺς καὶ τὰς τιμωρίας. Ἑπομένως ὁ παρὼν καιρὸς εἶναι καιρὸς ἑορτῆς. Καὶ πράγματι· μὲ τὸ νὰ εἴπῃ «ἂς ἑορτάζωμεν», δὲν τὸ ἔλεγεν, ἐπειδὴ ἦτο πλησίον τὸ Πάσχα, οὔτε ἐπειδὴ ἦτο ἡ Πεντηκοστή, ἀλλὰ δεικνύων ὅτι ὅλος ὁ χρόνος εἶναι καιρὸς ἑορτῆς διὰ τοὺς Χριστιανοὺς λόγῳ τῆς ἀφθονίας τῶν ἀγαθῶν ποὺ τοὺς ἐδόθησαν. Τί δηλαδὴ δὲν ὑπῆρξε ἀγαθόν; Ὁ Υἱὸς τοῦ Θεοῦ ἔγινεν ἄνθρωπος διὰ σέ, σὲ ἀπήλλαξεν ἀπὸ τὸν θάνατον, σὲ ἐκάλεσεν εἰς τὴν βασιλείαν. Σὺ λοιπὸν ποὺ ἐπέτυχες καὶ ἐπιτυγχάνεις τέτοια ἀγαθὰ πῶς δὲν ὀφείλεις νὰ ἑορτάζῃς εἰς ὅλην σου τὴν ζωήν; Κανεὶς λοιπὸν νὰ μὴ εἶναι κατηφὴς ἐξ αἰτίας τῆς πενίας του ἢ νόσου ἢ ἐπιβουλῆς τῶν ἐχθρῶν του, διότι ὁ καιρὸς ὅλος εἶναι καιρὸς ἑορτῆς μας. Διὰ τοῦτο ὁ Παῦλος λέγει· «Νὰ χαίρεσθε πάντοτε ἐν Κυρίῳ· θὰ τὸ ἐπαναλάβω, νὰ χαίρεσθε»[12].

Εἰς τὰς ἑορτὰς κανεὶς δὲν φορεῖ ρυπαρὰ ἐνδύματα· οὔτε ἡμεῖς λοιπὸν νὰ φορῶμεν, διότι συμβαίνουν γάμοι, γάμοι πνευματικοί· διότι λέγει· «Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ἕνα βασιλέα, ὁ ὁποῖος ἠθέλησε νὰ κάμῃ τοὺς γάμους τοῦ υἱοῦ του»[13]. Ὅταν λοιπὸν βασιλεὺς τελῇ γάμους, καὶ μάλιστα γάμους τοῦ υἱοῦ του, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ μεγαλύτερον ἀπὸ αὐτὴν τὴν ἑορτήν; Κανεὶς λοιπὸν ρακένδυτος ἂς μὴ εἰσέλθῃ εἰς τὴν ἑορτήν. Ὁ λόγος μας δὲν

λόγος, ἀλλὰ περὶ πράξεων ἀκαθάρτων. Εἰ γάρ, πάντων λαμπρὰ ἐνδεδυμένων, εἷς μόνος εὑρεθεὶς εἰς τὸν γάμον ρυπαρὰ ἔχων ἀπερρίφη μετὰ ἀτιμίας, ἐννόησον ὅσην ἀπαιτεῖ τὴν ἀκρίβειαν καὶ τὴν καθαρότητα ἡ εἰς τὸν γάμον ἐκεῖνον εἴσοδος. Οὐ διὰ ταῦτα δὲ αὐτοὺς μόνον ὑπομιμνήσκει τῶν ἀζύμων, ἀλλὰ καὶ δεικνὺς τὴν συγγένειαν τῆς Παλαιᾶς πρὸς τὴν Καινήν, δεικνὺς δὲ καὶ ὅτι οὐκ ἔνι μετὰ τὰ ἄζυμα πάλιν εἰς Αἴγυπτον εἰσελθεῖν, ἀλλ' ἂν ὑποστρέψαι βουληθῇ τις, τὰ αὐτὰ πείσεται ἐκείνοις.

Σκιὰ γὰρ ἐκεῖνα τούτων, κἂν ἀναισχυντῇ ὁ Ἰουδαῖος. Διόπερ, κἂν ἐρωτήσῃς αὐτόν, οὐδὲν μέγα ἐρεῖ· μᾶλλον δὲ μέγα μὲν ἐρεῖ, ἀλλ' οὐδὲν τοιοῦτον οἷον ἡμεῖς, ἐπειδὴ τὴν ἀλήθειαν οὐκ οἶδεν. Ἐκεῖνος μὲν γὰρ ἐρεῖ ὅτι τοὺς κατέχοντας Αἰγυπτίους οὕτω μετέβαλεν ὁ Θεός, ὥστε αὐτοὺς ἡμᾶς προσεξωθεῖν τοὺς πρὸ τούτου κατέχοντας ἡμᾶς πρὸς βίαν καὶ μὴ συγχωρήσαντας ζυμῶσαι τὸ φύραμα. Ἂν δὲ ἐμέ τις εἴρηται, οὐκ Αἴγυπτον ἀκούσεται οὐδὲ τὸν Φαραώ, ἀλλὰ τὴν ἐλευθερίαν τῆς πλάνης τῶν δαιμόνων καὶ τοῦ σκότους καὶ τοῦ διαβόλου· οὐχὶ Μωϋσέα, ἀλλὰ τὸν τοῦ Θεοῦ Υἱόν· οὐχὶ Ἐρυθρὰν θάλασσαν, ἀλλὰ βάπτισμα μυρίων γέμον ἀγαθῶν, ἔνθα ὁ παλαιὸς ἄνθρωπος ἀπεπνίγη. Πάλιν τὸν Ἰουδαῖον ἂν ἐρωτήσῃς τίνος ἕνεκεν ἐξελαύνει πάντων τῶν ὁρίων τὴν ζύμην, ἐνταῦθα καὶ σιγήσεται καὶ οὐδὲ αἰτίαν ἐρεῖ. Ἐπειδὴ γὰρ τὰ μὲν τύποι τῶν μελλόντων ἦσαν, καὶ αἰτίας εἶχε τῶν γινομένων, τὰ δὲ οὐκέτι, ἵνα μὴ ἐξῇ κακουργεῖν Ἰουδαίοις, ἵνα μὴ ἐπιμένωσι τῇ σκιᾷ. Τί γάρ, εἰπέ μοι, βούλεται τὸ ἄρσεν καὶ τὸ ἄμωμον καὶ τὸ ἐνιαυσιαῖον καὶ τὸ «Ὀστοῦν οὐ συντριβήσεται»; τί δὲ βούλεται τὸ καὶ τοὺς γείτονας καλεῖν; ἢ τὸ ἑστῶτας ἢ τὸ ἐν ἑσπέρᾳ ἐσθίειν; ἢ τὸ τῷ αἵματι τειχίζεσθαι τὴν οἰκίαν; Οὐδὲν ἕτερον ἐκεῖνος ἐρεῖ, ἀλλ' ἄνω καὶ κάτω τὴν Αἴγυπτον. Ἐγὼ δὲ ἐρῶ καὶ τὸ αἷμα τί βούλεται καὶ ἡ ἑσπέρα καὶ τὸ πάντας ἐσθίειν ὁμοῦ καὶ τὸ ἑστῶτας πάντας.

---

14. Ἐξ. 12,5, 46.

εἶναι περὶ ἐνδυμάτων, ἀλλὰ περὶ ἀκαθάρτων πράξεων. Ἐφ' ὅσον δηλαδή, ἐνῷ ὅλοι ἦσαν λαμπρὰ ἐνδεδυμένοι, ὅταν εὑρέθη εἰς τὸν γάμον ἕνας μόνον νὰ ἔχῃ ρυπαρὰ ἐνδύματα, ἐξεδιώχθη αὐτὸς μὲ περιφρόνησιν, σκέψου πόσην προσοχὴν καὶ καθαρότητα ἀπαιτεῖ ἡ εἴσοδος εἰς τὸν γάμον ἐκεῖνον. Δὲν ὑπενθυμίζει εἰς αὐτοὺς τὰ ἄζυμα διὰ τοῦτον μόνον τὸν λόγον, ἀλλὰ καὶ διότι θέλει νὰ δείξῃ τὴν συγγένειαν τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν Διαθήκην καὶ ὅτι δὲν εἶναι δυνατὸν μετὰ τὰ ἄζυμα νὰ εἰσέλθῃ κάποιος πάλιν εἰς τὴν Αἴγυπτον, ἀλλὰ ὅτι, ἂν θελήσῃ νὰ ἐπιστρέψῃ, θὰ πάθῃ τὰ ἴδια μὲ ἐκείνους.

Ἐκεῖνα δηλαδὴ ἦσαν σκιὰ τούτων, καὶ ἃς εἶναι ἀναίσχυντος ὁ Ἰουδαῖος. Διὰ τοῦτο, καὶ ἂν ἐρωτήσῃς αὐτόν, δὲν θὰ σοῦ εἴπῃ τίποτε σπουδαῖον, μᾶλλον δὲ θὰ σοῦ εἴπῃ μὲν κάτι σημαντικόν, ἀλλὰ τίποτε τέτοιο, ποὺ θὰ ἐλέγομεν ἡμεῖς, διότι δὲν γνωρίζει τὴν ἀλήθειαν. Δηλαδή, ἐκεῖνος μὲν θὰ εἴπῃ, ὅτι τοὺς Αἰγυπτίους ποὺ ἦσαν κύριοί μας ὁ Θεὸς ἔτσι τοὺς μετέβαλεν, ὥστε, ἐνῷ αὐτοὶ προηγουμένως μᾶς κατεπίεζον καὶ δὲν μᾶς ἐπέτρεπον νὰ ζυμώσωμεν τὸ φύραμα, αὐτοὶ ἔπειτα νὰ μᾶς ἐξωθοῦν. Ἂν ὅμως κάποιος ἐρωτήσῃ ἐμέ, δὲν θὰ ἀκούσῃ νὰ ἀναφέρω τὴν Αἴγυπτον οὔτε τὸν Φαραώ, ἀλλὰ τὴν ἐλευθερίαν ἀπὸ τὴν πλάνην τῶν δαιμόνων καὶ τοῦ σκότους καὶ τοῦ διαβόλου· ὄχι τὸν Μωϋσέα ἀλλὰ τὸν Υἱὸν τοῦ Θεοῦ· ὄχι τὴν Ἐρυθρὰν θάλασσαν, ἀλλὰ τὸ βάπτισμα, τὸ ὁποῖον εἶναι γεμᾶτον μὲ μύρια ἀγαθὰ καὶ εἰς τὸ ὁποῖον ἀπεπνίγη ὁ παλαιὸς ἄνθρωπος. Ἂν ἐρωτήσῃς πάλιν τὸν Ἰουδαῖον διὰ ποῖον λόγον ρίπτει ἔξω ἀπὸ κάθε ὅριον τὴν ζύμην, τότε θὰ σιωπήσῃ καὶ οὔτε τὴν αἰτίαν θὰ ἀναφέρῃ. Ἐπειδὴ δηλαδὴ ἄλλα μὲν ἦσαν τύποι τῶν μελλόντων, περιεῖχον καὶ τὰς αἰτίας τῶν γινομένων, ἄλλα ὅμως ὄχι, διὰ νὰ μὴ ἐπιτρέπεται εἰς τοὺς Ἰουδαίους νὰ ἐνεργοῦν κακῶς, διὰ νὰ μὴ παραμένουν εἰς τὴν σκιάν. Τί λοιπόν, εἰπέ μου, θέλει τὸ ἀρσενικὸν καὶ τὸ τέλειον καὶ τὸ ἡλικίας ἑνὸς ἔτους καὶ τὸ ὅτι ἡ διάταξις ὁρίζει «Δὲν θὰ συντριβῇ ὀστοῦν»[14]; τί σημαίνει δὲ τὸ νὰ καλοῦν τοὺς γείτονας ἢ τὸ νὰ στέκωνται ἢ τὸ νὰ τρώγουν τὴν ἑσπέραν ἢ τὸ νὰ ἀσφαλίζουν τὴν οἰκίαν μὲ τὸ αἷμα; Ἐκεῖνος (ὁ Ἰουδαῖος) δὲν θὰ εἴπῃ τίποτε ἄλλο παρὰ μόνον θὰ ἀναφέρῃ τὴν Αἴγυπτον. Ἐγὼ ὅμως θὰ εἴπω τί σημαίνει καὶ τὸ αἷμα καὶ ἡ ἑσπέρα καὶ τὸ ὅτι τρώγουν ὅλοι μαζὶ καὶ τὸ ὅτι ὅλοι στέκονται.

4. Πρότερον δὲ εἴπωμεν διὰ τί ἐκ τῶν ὁρίων πάντων ἐλαύνεται ἡ ζύμη. Τί οὖν ἐστι τὸ αἴνιγμα; Πάσης πονηρίας ἀπηλλάχθαι δεῖ τὸν πιστόν. Ὥσπερ γὰρ ἐκεῖνος ἀπόλλυται, ἔνθα ἂν εὑρεθῇ παλαιὰ ζύμη, οὕτω καὶ παρ' ἡμῖν ἔνθα ἂν εὑρεθῇ πονηρία. Οὐ γὰρ δήπου ἐπὶ μὲν τῆς σκιᾶς τοσαύτη ἡ κόλασις, ἐπὶ δὲ ἡμῶν οὐ πολλῷ μείζων. Εἰ γὰρ τὰς οἰκίας οὕτως ἐκκαθαίρουσι τῆς ζύμης καὶ μυῶν ὀπὰς περιεργάζονται, πολλῷ μᾶλλον ἡμᾶς τὴν ψυχὴν διερευνᾶσθαι δεῖ, ὥστε πάντα λογισμὸν ἀκάθαρτον ἐκβάλλειν. Ἀλλὰ τοῦτο παρ' αὐτοῖς πρώην μὲν ἐγίνετο, νῦν δὲ οὐκέτι· πανταχοῦ γὰρ ζύμη ὅπου Ἰουδαῖος. Ἐν μέσαις γὰρ ταῖς πόλεσι τὸ ἄζυμον γίνεται, ὅπερ ἐστὶ παίγνια μᾶλλον ἢ νόμος λοιπόν. Ἐπειδὴ γὰρ ἦλθεν ἡ ἀλήθεια, οὐκέτι χώραν ἔχουσιν οἱ τύποι. Ὥστε καὶ διὰ τοῦ παραδείγματος τούτου σφόδρα ἐξελαύνει τῆς Ἐκκλησίας τὸν πεπορνευκότα. Οὐ γὰρ δὴ μόνον, φησίν, οὐδὲν ὠφελεῖ παρών, ἀλλὰ καὶ βλάπτει τῷ κοινῷ πάλιν τοῦ σώματος λυμαινόμενος. Οὐ γὰρ οἶδέ τις πόθεν ἡ δυσωδία κρυπτομένου τοῦ σεσηπότος, ἀλλὰ τῷ κοινῷ ταύτην λογίζεται. Διὸ κατεπείγει σφόδρα αὐτοὺς ἐκκαθᾶραι τὴν ζύμην.

«Ἵνα ἦτε», φησί, «νέον φύραμα, καθὼς ἐστε ἄζυμοι. Καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός». Οὐκ εἶπεν, ἀπέθανεν, ἀλλ' οἰκειότερον τῷ προκειμένῳ, «ἐτύθη». Μὴ ζήτει τοίνυν ἄζυμα τοιαῦτα, ἐπειδὴ μηδὲ ἀμνὸν ἔχεις τοιοῦτον· μὴ ζήτει ζύμην τοιαύτην, ἐπειδὴ μηδὲ τὰ ἄζυμά σου τοιαῦτα. Ἐπὶ μὲν οὖν τῆς ζύμης τῆς αἰσθητῆς τὸ μὲν ἄζυμον γένοιτ' ἂν ζυμωτόν, τὸ δὲ ζυμωτὸν οὐκέτ' ἂν γένοιτο ἄζυμον· ἐνταῦθα δὲ ἔνι τοὐναντίον τούτου γενέσθαι πάλιν· ἀλλ' ὅμως αὐτὸ οὐκ ἐδήλωσε.

Καὶ θέα τὴν σύνεσιν. Ἐν τῇ προτέρᾳ ἐπιστολῇ οὐ δίδωσιν ἐλπίδας ἐπανόδου τῷ πεπορνευκότι, ἀλλὰ πάντα αὐτοῦ τὸν βίον ἐν μετανοίᾳ κελεύει γενέσθαι, ἵνα μὴ ῥᾳθυμότερον αὐτὸν ἐργάσηται τῇ ὑποσχέσει. Οὐ γὰρ εἶπε,

4. Κατὰ πρῶτον ἂς εἴπωμεν διατί φέρουν τὴν ζύμην ἔξω ἀπὸ τὰ σύνορα. Τί ὑποδηλώνει λοιπὸν ἡ ἐνέργεια; ὅτι ὁ πιστὸς πρέπει νὰ ἔχῃ ἀπαλλαγῇ ἀπὸ κάθε κακίαν. Ὅπως δηλαδὴ χάνεται ἐκεῖνος, εἰς τὸν ὁποῖον θὰ εὑρεθῇ παλαιὰ ζύμη, ἔτσι καὶ εἰς ἡμᾶς, ὅταν ὑπάρξῃ κακία· διότι δὲν εἶναι βεβαίως δυνατὸν νὰ εἶναι τόσον μεγάλη ἡ τιμωρία εἰς τὴν προτύπωσιν καὶ νὰ μὴ εἶναι πολὺ μεγαλυτέρα εἰς ἡμᾶς. Ἐφ' ὅσον δηλαδὴ καθαρίζουν τὰς οἰκίας τόσον πολὺ ἀπὸ τὴν ζύμην καὶ παρατηροῦν μὲ προσοχὴν τὰς ὀπὰς τῶν μυῶν, πολὺ περισσότερον πρέπει νὰ ἐξετάζωμεν λεπτομερῶς τὴν ψυχήν μας, ὥστε νὰ ἀπομακρύνωμεν ἀπὸ ἡμᾶς πάντα ἀκάθαρτον λογισμόν. Ἀλλὰ τοῦτο ἐγίνετο μὲν εἰς αὐτοὺς κατὰ τὸ παρελθόν, τώρα ὅμως δὲν γίνεται πλέον, διότι ὑπάρχει ζύμη παντοῦ, ὅπου ὑπάρχει Ἰουδαῖος. Τὸ ἄζυμον δηλαδὴ τώρα ὑπάρχει εἰς τὸ μέσον τῶν πόλεων, πρᾶγμα τὸ ὁποῖον ἔχει γίνει πλέον παιγνίδι μᾶλλον παρὰ νόμος· διότι, ἀφοῦ ἦλθεν ἡ ἀλήθεια, δὲν ἔχουν πλέον θέσιν οἱ τύποι. Ὥστε καὶ διὰ τοῦ παραδείγματος αὐτοῦ ἀποκόπτει πλήρως τὸν πόρνον ἀπὸ τὴν Ἐκκλησίαν. Δηλαδή, λέγει, ὄχι μόνον δὲν ὠφελεῖ καθόλου μὲ τὴν παρουσίαν του εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ βλάπτει, διότι ἐξακολουθεῖ νὰ μολύνει τὸ κοινὸν σῶμα. Ἐὰν δὲν φαίνεται τὸ σαπισμένον μέρος, κανένας δὲν γνωρίζει ἀπὸ ποῦ προέρχεται ἡ δυσωδία, ἀλλ' ἀποδίδει αὐτὴν εἰς τὸ κοινὸν σῶμα. Διὰ τοῦτο τοὺς βιάζει πολὺ νὰ καθαρίσουν τελείως τὴν ζύμην.

«Διὰ νὰ εἶσθε νέον φύραμα καθὼς εἶσθε ἄζυμοι. Διότι ὁ ἰδικός μας πασχαλινὸς ἀμνός, ὁ Χριστός, ἐθυσιάσθη πρὸς χάριν σας». Δὲν εἶπεν 'ἀπέθανεν', ἀλλὰ κάτι ποὺ εἶναι πιὸ πλησιέστερον εἰς τὴν προκειμένην περίπτωσιν· «ἐθυσιάσθη». Μὴ ζητῇς λοιπὸν τέτοια ἄζυμα, ἐπειδὴ οὔτε ἀμνὸν τέτοιον ἔχεις· μὴ ζητῇς τέτοιαν ζύμην, ἐπειδὴ οὔτε τὰ ἄζυμά σου εἶναι τέτοια. Εἰς μὲν λοιπὸν τὴν αἰσθητὴν ζύμην τὸ μὲν ἄζυμον θὰ ἠμποροῦσε νὰ γίνῃ ζυμωτόν, τὸ δὲ ζυμωτὸν δὲν θὰ ἠμποροῦσε πλέον νὰ γίνῃ ἄζυμον· ἐδῶ ὅμως εἶναι δυνατὸν πάλιν νὰ γίνῃ τὸ ἀντίθετον αὐτοῦ· ἀλλ' ὅμως δὲν ἐδήλωσεν αὐτό.

Καὶ πρόσεξε τὴν σύνεσίν του. Προηγουμένως εἰς τὴν ἐπιστολὴν δὲν δίδει εἰς τὸν πόρνον ἐλπίδας ἐπανόδου, ἀλλὰ ὁρίζει νὰ περάσῃ ὅλην του τὴν ζωὴν ἐν μετανοίᾳ, διὰ νὰ μὴ τὸν κάνῃ ραθυμότερον μὲ τὴν ὑπόσχεσιν. Δηλαδὴ δὲν εἶπε 'παραδώσατε αὐτὸν

παράδοτε αὐτὸν τῷ Σατανᾷ, ἵνα μετανοήσας πάλιν τῇ Ἐκκλησίᾳ παραδοθῇ, ἀλλὰ τί; «ἵνα σωθῇ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ»· παραπέμπει γὰρ αὐτὸν εἰς ἐκεῖνον τὸν καιρόν, ἵνα αὐτὸν ἐναγώνιον ἐργάσηται. Καὶ ὅπερ ἔμελλεν αὐτῷ χαρίζεσθαι μετὰ τὴν μετάνοιαν, οὐκ ἐκκαλύπτει τὸν ἑαυτοῦ δεσπότην μιμούμενος. Ὥσπερ γὰρ ὁ Θεός φησιν «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευΐ καταστραφήσεται», καὶ οὐ προσέθηκεν, ἐὰν δὲ μετανοήσητε, σωθήσεσθε, οὕτω καὶ οὗτος οὐκ εἶπεν, ἐὰν δὲ μετανοήσῃ ἀξίως, κυρώσομεν εἰς αὐτὸν ἀγάπην· ἀλλ' ἀναμένει ποιῆσαι αὐτὸν τὸ ἔργον, καὶ τότε λαβεῖν αὐτὸν τὴν χάριν. Εἰ γὰρ ἐξ ἀρχῆς τοῦτο εἶπεν, ἐξέλυσεν ἂν αὐτοῦ τὸν φόβον. Διόπερ οὐ μόνον οὐ ποιεῖ τοῦτο, ἀλλὰ διὰ τοῦ παραδείγματος τῆς ζύμης οὐδὲ ἀφίησιν αὐτὸν ἐλπίσαι ἐπάνοδον, ἀλλ' ἐκείνῃ τηρεῖ τῇ ἡμέρᾳ αὐτὸν «Ἐκκαθάρατε», λέγων, «τὴν παλαιὰν ζύμην» καί· «Μὴ ἑορτάζωμεν ἐν ζύμῃ παλαιᾷ». Ἐπειδὴ δὲ μετενόησε, μετὰ πάσης αὐτὸν πάλιν εἰσήγαγε τῆς σπουδῆς.

Διὰ τί δὲ παλαιὰν καλεῖ; Ἢ διὰ τὸ τὸν πρότερον ἡμῶν βίον τοιοῦτον εἶναι ἢ διὰ τὸ τὸ παλαιὸν ἐγγὺς εἶναι ἀφανισμοῦ καὶ δυσῶδες εἶναι καὶ αἰσχρόν, οἷόν ἐστιν ἡ ἁμαρτία. Οὔτε γὰρ ἁπλῶς διαβέβληται τὸ παλαιόν, οὔτε ἁπλῶς ἐπαινεῖται τὸ καινόν, ἀλλὰ πρὸς τὰ ὑποκείμενα. Καὶ γὰρ ἀλλαχοῦ φησιν· «Οἶνος νέος, φίλος νέος· ἐὰν δὲ παλαιωθῇ, τότε μετ' εὐφροσύνης πίεσαι αὐτόν», ἐγκωμιάζων ἐπὶ φιλίας τὸ παιλαιὸν μᾶλλον ἢ τὸ νέον· καὶ πάλιν «Ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθητο», καὶ ἐνταῦθα πάλιν ἐπὶ ἐγκωμίων καὶ δόξης μεγίστης τὸ παλαιὸν ἐκλαμβάνων. Ἀλλαχοῦ δὲ ἐπὶ ψόγου λαμβάνει τὸ παλαιὸν ἡ Γραφή. Ἐπειδὴ γὰρ τὰ πράγματα ποικίλα ἐστὶν ἐκ πολλῶν συγκείμενα, καὶ ἐπὶ ἀγαθοῖς καὶ ἐπὶ κακοῖς κέχρηται τοῖς αὐτοῖς οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον. Ὅρα γοῦν καὶ ἀλλαχοῦ ψεγόμενον τὸ παλαιόν· «Ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν»· καὶ πάλιν «Ἐπαλαιώθην

15. Ἰων. 3,4.
16. Σοφ. Σειρ. 9,10.
17. Δαν. 7,9.

εἰς τὸν Σατανᾶν, διὰ νὰ ἀποδοθῇ πάλιν εἰς τὴν Ἐκκλησίαν, ἀφοῦ μετανοήσῃ', ἀλλὰ τί εἶπεν; «διὰ νὰ σωθῇ κατὰ τὴν ἐσχάτην ἡμέραν», δηλαδὴ παραπέμπει αὐτὸν εἰς ἐκεῖνον τὸν καιρόν, διὰ νὰ τὸν ἐμβάλῃ εἰς ἀγωνίαν. Καὶ τὴν χάριν, τὴν ὁποίαν ἐπρόκειτο νὰ ἐκδηλώσῃ δι' αὐτὸν μετὰ τὴν μετάνοιαν, δὲν τὴν ἀποκαλύπτει μιμούμενος τὸν Κύριόν του. Ὅπως δηλαδὴ ὁ Θεὸς λέγει· «Ἀκόμη τρεῖς ἡμέραι, καὶ ἡ Νινευὶ θὰ καταστραφῇ»[15], καὶ δὲν προσέθεσεν 'ἐὰν ὅμως μετανοήσητε, θὰ σωθῆτε'· ἔτσι καὶ αὐτὸς δὲν εἶπεν, 'ἐὰν ὅμως μετανοήσῃ ἀληθῶς, θὰ δείξωμεν εἰς αὐτὸν ἀγάπην', ἀλλὰ ἀναμένει νὰ κάνῃ αὐτὸς τὸ ἔργον, καὶ τότε νὰ λάβῃ τὴν χάριν· διότι, ἐὰν ἔλεγε τοῦτο ἐξ ἀρχῆς, θὰ ἔπαυε τὸν φόβον αὐτοῦ. Διὰ τοῦτο ὄχι μόνον δὲν κάμνει τοῦτο, ἀλλὰ διὰ τοῦ παραδείγματος τῆς ζύμης δὲν τοῦ ἐπιτρέπει οὔτε κἂν νὰ ἐλπίσῃ ἐπάναδον, ἀλλὰ κρατεῖ αὐτὸν δι' ἐκείνην τὴν ἡμέραν λέγων· «Ἀπαλλαγῆτε ἐντελῶς ἀπὸ τὴν παλαιὰν ζύμην», καί· «Ἂς μὴ ἑορτάζωμεν μὲ τὴν παλαιὰν ζύμην». Ἀφοῦ μετενόησεν ὅμως, εἰσήγαγε πάλιν αὐτὸν εἰς τὴν Ἐκκλησίαν μετὰ πάσης σπουδῆς.

Καὶ διατί τὴν ὀνομάζει παλαιάν; Ἢ διότι ὁ βίος μας εἰς τὸ παρελθὸν ἦτο τέτοιος ἢ διότι τὸ παλαιόν, ἐπειδὴ πλησιάζει τὸν ἀφανισμόν, ἔχει κακὴν ὀσμὴν καὶ προκαλεῖ ἀπέχθειαν, ὅπως συμβαίνει μὲ τὴν ἁμαρτίαν· διότι χωρὶς λόγον οὔτε διαβάλλεται κάθε τι τὸ παλαιὸν οὔτε ἐπαινεῖται τὸ νέον, ἀλλὰ ἐξαρτᾶται ἀπὸ τὸ τί εἶναι τὸ παλαιὸν καὶ τί τὸ νέον. Πράγματι ἀλλοῦ λέγει· «Ὁ νέος φίλος εἶναι ὡς νέος οἶνος· ἐὰν παλαιωθῇ, τότε νὰ τὸν πίῃς μὲ εὐχαρίστησιν»[16], ἐγκωμιάζων ἐπὶ φιλίας τὸ παλαιὸν μᾶλλον ἢ τὸ νέον· καὶ πάλιν· «ἐκάθητο ὁ παλαιὸς τῶν ἡμερῶν»[17], ἐκλαμβάνων τὸ παλαιὸν πάλιν καὶ ἐδῶ ἐπὶ ἐγκωμίων καὶ μεγίστης δόξης. Ἀλλοῦ δὲ ἡ Γραφὴ εἰς τὴν θέσιν τῆς κατηγορίας προτιμᾷ τὸ παλαιόν. Ἐπειδὴ δηλαδὴ τὰ πράγματα εἶναι ποικίλα ἀποτελούμενα ἀπὸ πολλὰ στοιχεῖα, καὶ ἐπὶ ἀγαθῶν καὶ ἐπὶ κακῶν χρησιμοποιεῖ τὰς ἰδίας λέξεις μὲ διαφορετικὴν σημασίαν. Κοίταξε λοιπὸν ὅτι καὶ ἀλλοῦ τὸ παλαιὸν ψέγεται· «Ἐπαλαιώθησαν καὶ ἐσκόνταπτον εἰς τὰς ὁδούς των»[18]· καὶ πάλιν· «Ἐπαλαιώθην καὶ κατέστην ἀνίσχυρος

18. Ψαλ. 17,46.

ἐν πᾶσι τοῖς ἐχθροῖς μου»· καὶ πάλιν· «Πεπαλαιωμένε ἡμερῶν κακῶν». Οὕτω καὶ ἡ ζύμη πολλάκις εἰς τὴν βασιλείαν τῶν οὐρανῶν λαμβάνεται, καίτοιγε ἐνταῦθα διαβληθεῖσα· ἀλλ' ἐκεῖ πρὸς ἕτερον, καὶ ἐνταῦθα πρὸς ἕτερον.

5. Ἐμοὶ δὲ δοκεῖ μάλιστα ὁ περὶ τῆς ζύμης λόγος καὶ πρὸς τοὺς ἱερέας ἀποτείνεσθαι, οἳ ἀνέχονται πολλὴν ἔνδοθεν εἶναι ζύμην παλαιὰν οὐκ ἐκκαθαίροντες ἐκ τῶν ὁρίων, τουτέστιν ἐκ τῆς Ἐκκλησίας, τοὺς πλεονέκτας, τοὺς ἅρπαγας, καὶ πᾶν, ὅπερ ἂν ἐκβάλλῃ τῆς βασιλείας τῶν οὐρανῶν. Καὶ γὰρ πλεονεξία ζύμη παλαιά, καὶ ὅπουπερ ἂν πέσῃ καὶ εἰς οἵαν οἰκίαν εἰσέλθῃ ἀκάθαρτον αὐτὴν ἐργάζεται. Κἂν μικρὰ ἐξ ἀδικίας κερδάνῃς, ὁλόκληρόν σου τὴν οὐσίαν ἐζύμωσε. Διὰ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα κακῶς ὀλίγα τὰ καλῶς κείμενα ἐξέβαλε πολλὰ ὄντα. Οὐδὲν γὰρ σαθρότερον πλεονεξίας· κἂν τὴν κλεῖν ἐπιθῇς τῷ τοιούτῳ ταμιείῳ, κἂν θύραν, κἂν μοχλόν, εἰκῇ πάντα ποιεῖς πλεονεξίαν ἔνδον τὸν χαλεπώτατον λῃστὴν ἀποκλείσας καὶ πάντα δυνάμενον ἐξενεγκεῖν.

Τί οὖν, φησίν, ὅταν πολλοὶ πλεονεκτοῦντες μὴ ταῦτα πάσχωσι; Μάλιστα μὲν πείσονται, κἂν μὴ παραυτὰ πάθωσιν· ἂν δὲ νῦν ἐκφύγωσιν, τότε φοβήθητι μᾶλλον· ἐπὶ μείζονι γὰρ κολάσει τηροῦνται. Μᾶλλον δέ, κἂν αὐτοὶ διαφύγωσιν, ἀλλ' οἱ κληρονομήσαντες τὰ αὐτῶν τὰ αὐτὰ πείσονται. Καὶ ποῦ τοῦτο δίκαιον; φησί. Καὶ σφόδρα δίκαιον. Ὁ γὰρ διαδεξάμενος κλῆρον ἀδικίας γέμοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως τὰ ἑτέρων ἔχει· καὶ τοῦτο πέπεισται ἀκριβῶς, καὶ διὰ τοῦτο δίκαιος ἦν παθεῖν. Εἰ γὰρ τοῦ δεῖνος ἁρπάσαντος ἔλαβες σύ, εἶτα ἐλθὼν ὁ ἁρπαγεὶς ἀπῄτει, ἆρα ἂν ἤρκεσέ σοι εἰς ἀπολογίαν τὸ μὴ αὐτὸν ἡρπακέναι σε; Οὐδαμῶς. Τί γὰρ ἂν εἶπες ἐγκαλούμενος, εἰπέ μοι; ὅτι ἕτερος ἀπέδυσεν; ἀλλὰ σὺ κατέχεις· ἐκεῖνος ἥρπασεν; ἀλλὰ σὺ ἀπολαύεις.

19. αὐτ. 6.8.
20. Δαν. Σωσ. 52.

ἔναντι τῶν ἐχθρῶν μου»[19]· καὶ πάλιν· «Πεπαλαιωμένε, ἄνθρωπε τῶν κακῶν ἡμερῶν»[20]. Ἔτσι καὶ ζύμη πολλάκις λαμβάνεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ἂν καὶ εἰς τὴν παροῦσαν ζωὴν διεβλήθη· ἀλλ᾽ ἐκεῖ μὲ ἄλλην σημασίαν καὶ ἐδῶ μὲ ἄλλην.

5. Ἔχω δὲ τὴν ἐντύπωσιν ὅτι ὁ λόγος περὶ τῆς ζύμης ἀπευθύνεται καὶ πρὸς τοὺς ἱερεῖς, οἱ ὁποῖοι ἀνέχονται νὰ ὑπάρχῃ μέσα εἰς τὴν Ἐκκλησίαν πολλὴ ζύμη παλαιὰ καὶ δὲν τὴν ἀπομακρύνουν τελείως ἀπὸ τὰ ὅριά των, δηλαδὴ ἀπὸ τὴν Ἐκκλησίαν, τοὺς πλεονέκτας, τοὺς ἅρπαγας, καὶ ὁ,τιδήποτε ἄλλο, ποὺ ἀπομακρύνει ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν. Καὶ πράγματι· ἡ πλεονεξία εἶναι ζύμη παλαιά, καὶ ὅπου πέσῃ καὶ εἰς ὁποιανδήποτε οἰκίαν εἰσέλθῃ, καθιστᾷ αὐτὴν ἀκάθαρτον. Καὶ ἂν κερδίσῃς ὀλίγα μὲ ἀδικίαν, αὐτὰ κάμνουν ζύμωσιν εἰς ὁλόκληρον τὴν περιουσίαν σου. Διὰ τοῦτο πολλάκις συνέβη ὀλίγα, ποὺ ἀπεκτήθησαν κακῶς, νὰ συντελοῦν εἰς τὸ νὰ χαθοῦν πολλά, ποὺ καλῶς ἀπεκτήθησαν. Δὲν ὑπάρχει δηλαδὴ τίποτε σαθρότερον ἀπὸ τὴν πλεονεξίαν· καὶ ἂν βάλῃς κλειδὶ εἰς τὸ θησαυροφυλάκιον τοῦ εἴδους αὐτοῦ, καὶ ἂν βάλῃς θύραν ἢ μοχλόν, ἀδίκως κάμνεις τὰ πάντα, ἐφ᾽ ὅσον ἔκλεισες μέσα τὴν πλεονεξίαν, τὸν φοβερώτερον ἐχθρὸν ποὺ εἶναι εἰς θέσιν τὰ πάντα νὰ μεταφέρῃ ἔξω.

Τί λοιπόν, θὰ ἔλεγε κάποιος, ὅταν οἱ πλεονέκται εἶναι πολλοί, δὲν παθαίνουν αὐτά; Ὁπωσδήποτε θὰ τὰ πάθουν, καὶ ἂν ἀκόμη δὲν τὰ πάθουν ἀμέσως· ἂν διαφύγουν δὲ τώρα, τότε νὰ φοβηθῇς δι᾽ αὐτοὺς περισσότερον, διότι τοὺς ἀναμένει μεγαλυτέρα τιμωρία. Μᾶλλον δέ, καὶ ἂν ἀκόμη διαφύγουν οἱ ἴδιοι, πάντως θὰ πάθουν τὰ ἴδια οἱ κληρονόμοι των. Καὶ πῶς, λέγει, εἶναι δίκαιον αὐτό; Καὶ πολὺ μάλιστα εἶναι δίκαιον. Ἐκεῖνος ποὺ ἐκληρονόμησε κληρονομίαν ἀδικίας, ἂν καὶ ὁ ἴδιος δὲν ἥρπασεν, ἀλλ᾽ ὅμως κατέχει περιουσίαν ἄλλων· καὶ τοῦτο ἀκριβῶς εἶναι γενικὴ πεποίθησις καὶ διὰ τοῦτο εἶναι δίκαιον νὰ πάθῃ. Ἐὰν δηλαδὴ κάποιος ἄλλος τὴν ἥρπασε, τὰ ἔλαβες ὅμως σύ, ἆρά γε, ἂν ἔλθῃ αὐτὸς ποὺ τοῦ τὰ ἥρπασαν καὶ ζητεῖ τὰ ἰδικά του, θὰ σοῦ ἀρκέσῃ νὰ εἴπῃς δι᾽ ἀπολογίαν τὸ ὅτι δὲν τὰ ἥρπασες σὺ ὁ ἴδιος; Καθόλου. Εἰπέ μου· τί θὰ ἔλεγες δηλαδή, ὅταν θὰ σὲ κατηγόρει; ὅτι ἄλλος τοῦ τὰ ἀφήρεσεν; ἀλλὰ σὺ τὰ κατέχεις τώρα· ἐκεῖνος τὰ ἥρπασεν, ἀλλὰ σὺ τὰ ν[illegible]ρεσαι.

Ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασι νόμοι, οἳ τοὺς ἁρπάσαντας καὶ ὑφελομένους ἀφέντες ἐκείνους κελεύουσιν ἀπαιτεῖν, παρ' οἷς ἂν εὕροι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. Εἰ μὲν οὖν οἶδας τοὺς ἠδικημένους, ἀπόδος καὶ ποίησον ὅπερ ἐποίησεν ὁ Ζακχαῖος μετὰ πολλῆς τῆς προσθήκης· εἰ δὲ ἀγνοεῖς, καὶ ἑτέραν σοι δίδωμι ὁδόν, καὶ οὐκ ἀποκλείω σε τῆς θεραπείας. Εἰς τοὺς δεομένους διάνειμαι ταῦτα ἅπαντα, καὶ παραμυθήσῃ καὶ οὕτω τὸ δεινόν. Εἰ δέ τινες καὶ εἰς παῖδας καὶ ἐκγόνους ταῦτα παρέπεμψαν, ἀλλ' ἕτερα ἀντὶ τούτων ἔπαθον δεινά. Καὶ τί λέγω τὰ ἐνταῦθα; Οὐ γὰρ δήπου καὶ κατ' ἐκείνην τὴν ἡμέραν ταῦτα ἐρεῖς, ὅταν ἀμφότεροι γυμνοὶ φαίνωνται, οἵ τε ἁρπαγέντες οἵ τε ἁρπάσαντες· μᾶλλον δὲ οὐχ ὁμοίως γυμνοί. Τῶν μὲν γὰρ χρημάτων ὁμοίως ἑκάτερος γυμνὸς ἔσται, θάτερος δὲ καὶ τῶν ἐκ τούτων ἐγκλημάτων ἐμπεπλησμένος.

Τί τοίνυν ποιήσομεν κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν πρὸ τοῦ βήματος τοῦ φοβεροῦ ὁ κακῶς παθὼν καὶ τὰ αὐτοῦ πάντα ἀπολωλεκὼς παράγηται εἰς μέσον, σοῦ μηδένα ἔχοντος συνήγορον; τί πρὸς τὸν δικάζοντα ἐρεῖς; Νῦν μὲν γὰρ καὶ διαφθεῖραι τὸ δικαστήριον δυνήσῃ τὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ τότε οὐκέτι· μᾶλλον δὲ οὐδὲ νῦν· καὶ γὰρ καὶ νῦν πάρεστιν ἐκεῖνο τὸ δικαστήριον. Καὶ γὰρ ὁ Θεὸς ὁρᾷ τὰ γινόμενα καὶ ἐγγύθεν ἐστὶ τοῖς ἀδικουμένοις καὶ μὴ καλούμενος. Ὁ γὰρ κακῶς παθών, κἂν αὐτὸς ἀνάξιος ᾖ τοῦ τυχεῖν τινὸς ἀδικίας, ἀλλ' ὅμως, ἐπειδὴ τῷ Θεῷ τὰ γινόμενα οὐκ ἀρέσκει, ἔχει τὸν ἀμύνοντα πάντως. Πῶς οὖν, φησίν, ὁ δεῖνα εὖ πράττει πονηρὸς ὤν; Ἀλλ' οὐκ εἰς τέλος. Ἄκουσον τί φησιν ὁ προφήτης· «Μὴ παραζήλου ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται». Ποῦ γάρ, εἰπέ μοι, μετὰ τὴν ἐντεῦθεν ἀπαγωγὴν ὁ ἁρπάσας; ποῦ αἱ λαμπραὶ ἐλπίδες; ποῦ τὸ σεμνὸν ὄνομα; οὐχὶ πάντα παρῆλθεν; οὐχὶ ὄναρ καὶ σκιὰ

---

21. Ψαλ. 36,1-2.

Αὐτὰ τὰ γνωρίζουν καὶ οἱ νόμοι τῶν ἐθνικῶν, οἱ ὁποῖοι ἀπαλλάσσουν τοὺς ἁρπάσαντας καὶ ἀφαιρέσαντας κρυφίως τὴν περιουσίαν ἄλλων καὶ ὁρίζουν νὰ ἀπευθύνῃ κανεὶς τὰς ἀπαιτήσεις του πρὸς ἐκείνους, εἰς τὰς χεῖρας τῶν ὁποίων θὰ εὕρῃ ὅλην τὴν περιουσίαν του. Λοιπόν, ἂν μὲν γνωρίζῃς τοὺς ἠδικημένους, δῶσε πίσω τὴν περιουσίαν των καὶ κάνε ὅ,τι ἔκανεν ὁ Ζακχαῖος καὶ πολὺ περισσότερα· ἐὰν ὅμως δὲν τοὺς γνωρίζῃς, σοῦ ὑποδεικνύω καὶ ἄλλον τρόπον καὶ δὲν σὲ ἀποκλείω ἀπὸ τὴν θεραπείαν. Μοίρασε ὅλα αὐτὰ εἰς ὅσους ἔχουν ἀνάγκην, καὶ θὰ μετριάσῃς καὶ ἔτσι τὸ κακόν. Ἐὰν δὲ μερικοὶ ἐκληροδότησαν αὐτὰ καὶ εἰς τὰ παιδιὰ καὶ εἰς τοὺς ἀπογόνους των, ὁπωσδήποτε δι' αὐτὰ ἔπαθον ἄλλα δεινά. Καὶ διατί ἀναφέρω τὰ δεινὰ τῆς παρούσης ζωῆς; Διότι βεβαίως δὲν θὰ ἔχῃς αὐτὴν τὴν γνώμην καὶ κατ' ἐκείνην τὴν ἡμέραν, ὅταν θὰ παρουσιασθοῦν γυμνοὶ καὶ οἱ δύο, καὶ ἐκεῖνοι ποὺ ὑπέστησαν καὶ ἐκεῖνοι ποὺ διέπραξαν ἁρπαγάς· μᾶλλον ὅμως δὲν θὰ εἶναι κατὰ τὸν ἴδιον τρόπον γυμνοί. Δηλαδή, καὶ ὁ ἕνας καὶ ὁ ἄλλος θὰ εἶναι ἐξ ἴσου γυμνὸς ἀπὸ χρήματα, ὁ κάθε ἕνας ὅμως θὰ εἶναι γεμᾶτος μὲ τὰς κατηγορίας, ποὺ ἔχουν σχέσιν μὲ τὰ χρήματα.

Τί θὰ κάνωμεν λοιπὸν κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν θὰ ἔλθῃ εἰς τὸ μέσον πρὸ τοῦ φοβεροῦ βήματος ἐκεῖνος ποὺ ὑπέφερε καὶ ἔχασεν ὅλα τὰ ὑπάρχοντά του, ἐνῷ σὺ δὲν θὰ ἔχῃς κανένα συνήγορον; τί θὰ εἴπῃς εἰς τὸν δικαστήν; Διότι τώρα μὲν θὰ σοῦ εἶναι δυνατὸν ἀκόμη καὶ νὰ ἐξαγοράσῃς τὸ δικαστήριον τῶν ἀνθρώπων, ἐκεῖνο ὅμως τὸ δικαστήριον δὲν θὰ ἠμπορέσῃς πλέον τότε νὰ τὸ ἐξαγοράσῃς· μᾶλλον ὅμως οὔτε καὶ τώρα θὰ ἠμπορέσῃς, διότι καὶ τώρα ἀκόμη ὑπάρχει ἐκεῖνο τὸ δικαστήριον, ἐφ' ὅσον ὁ Θεὸς βλέπει τὰ συμβαίνοντα καὶ εἶναι πλησίον τῶν ἀδικουμένων ἀκόμη καὶ χωρὶς νὰ τὸν καλοῦν. Δηλαδή, καὶ ἂν ἀκόμη ἐκεῖνος ποὺ ὑπέφερε δὲν ἔχῃ τὴν δυνατότητα νὰ ἐπιτύχῃ κάποιας δικαιοσύνης, ἀλλ' ὅμως, ἐπειδὴ τὰ συμβαίνοντα δὲν ἀρέσουν εἰς τὸν Θεόν, ἔχει ὁπωσδήποτε αὐτὸν βοηθόν. Πῶς λοιπόν, θὰ ἔλεγε κάποιος, ὁ τάδε εὐτυχεῖ, ἐνῷ εἶναι πονηρός; Ναί, ἀλλ' ὄχι μέχρι τὸ τέλος. Ἄκουσε τί λέγει ὁ προφήτης· «Μὴ ζηλεύῃς τοὺς πονηροὺς ἀνθρώπους, διότι ὡς χόρτος ταχέως θὰ μαρανθοῦν»[21]. Ποῦ εἶναι λοιπὸν ὁ ἅρπαξ μετὰ τὸν θάνατόν του; ποῦ εἶναι αἱ λαμπραὶ ἐλπίδες; ποῦ εἶναι τὸ σπουδαῖον ὄνομα; ὅλα δὲν ἐχάθησαν; ὅλα ἐκείνου δὲν εἶναι ὄνειρον καὶ

πάντα τὰ ἐκείνου; Τοῦτο καὶ περὶ ἑκάστου τῶν τοιούτων προσδόκα, καὶ τοῦ ζῶντος καὶ τοῦ μετ' ἐκεῖνον.

Ἀλλ' οὐ τὰ τῶν ἁγίων ἀνδρῶν τοιαῦτα, οὐδὲ δυνήσῃ τὰ αὐτὰ καὶ ἐπ' ἐκείνων εἰπεῖν, ὅτι σκιὰ καὶ ὄναρ καὶ διήγημα τὰ τούτων. Καὶ εἰ βούλει, τοῦτον αὐτὸν τὸν ταῦτα εἰρηκότα, τὸν σκηνοποιόν, τὸν Κίλικα, τὸν οὐδὲ τίνος ἦν πατρὸς δῆλον, παραγάγωμεν εἰς μέσον. Καὶ πῶς δυνατόν, φησί, γενέσθαι τοιοῦτον; Ὅλως γὰρ ἐπιθυμεῖς; ὅλως ἐφίεσαι καὶ βούλει γενέσθαι τοιοῦτος; Ναί, φησίν. Οὐκοῦν ἐλθὲ τὴν ὁδόν, ἣν οὗτος ἦλθε, καὶ οἱ μετ' αὐτοῦ. Καὶ ποίαν ἦλθεν ὁδόν; Ὁ μέν φησιν «Ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι», ὁ δὲ «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Οὕτως οὐδὲν εἶχον, καὶ ὅμως πάντα κατεῖχον.

6. Τί ταύτης σεμνότερον τῆς φωνῆς, τί μακαριώτερόν τε καὶ εὐπορώτερον; Ἕτεροι μὲν γὰρ ἐπὶ τοῖς ἐναντίοις ἁβρύνονται λέγοντες, ἔχω τόσα καὶ τόσα χρυσίου τάλαντα καὶ πλέθρα γῆς ἄπειρα καὶ οἰκίας καὶ ἀνδράποδα· οὗτος δὲ ἐπὶ τῷ πάντων εἶναι γυμνός· καὶ οὐ καταδύεται τῇ πενίᾳ, — ὅπερ πάσχουσιν οἱ ἀνόητοι, — οὐδὲ ἐγκαλύπτεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται. Ποῦ νῦν οἱ πλουτοῦντες, οἱ τόκους ἀριθμοῦντες καὶ τόκους τόκων, οἱ τὰ πάντων λαμβάνοντες καὶ οὐδέποτε κορεννύμενοι; Ἠκούσατε τῆς Πέτρου φωνῆς τῆς ἐπιδεικνυμένης πενίαν πλούτου μητέρα; τῆς οὐδὲν ἐχούσης καὶ τῶν τὰ διαδήματα περικειμένων εὐπορωτέρας; Αὕτη γὰρ ἡ μηδὲν ἔχουσα καὶ νεκροὺς ἀνίστα καὶ χωλοὺς διώρθου καὶ δαίμονας ἤλαυνε καὶ τοιαῦτα ἐχαρίζετο, ἅπερ οἱ τὴν ἁλουργίδα περιβεβλημένοι καὶ τὰ μεγάλα καὶ φοβερὰ στρατόπεδα ἄγοντες οὐδέποτε ἴσχυσαν. Αὕτη ἡ φωνὴ τῶν εἰς οὐρανὸν ἤδη μεταστάντων, τῶν ἐκείνης ἐπειλημμένων τῆς κορυφῆς. Οὕτως ἔστι μηδὲν ἔχοντα τὰ πάντων κατέχειν· οὕτως ἔστι μηδὲν κτώμενον τὰ πάντων κεκτῆσθαι. Ἂν δὲ κτησώμε-

---

22. Β' Κορ. 11,27.
23. Πρ. 3,6.

σκιά; Τοῦτο νὰ ἀναμένῃς καὶ διὰ κάθε ἕνα ἄνθρωπον τοῦ εἴδους αὐτοῦ, καὶ ζῶντα καὶ νεκρόν.

Δὲν εἶναι τὰ ἴδια εἰς τοὺς ἁγίους ἄνδρας, οὔτε θὰ ἠμπορέσῃς νὰ εἰπῇς τὰ ἴδια καὶ δι' ἐκείνους, ὅτι δηλαδὴ τὰ ὅσα ἀνῆκον εἰς αὐτοὺς εἶναι σκιὰ καὶ ὄνειρον καὶ ἀντικείμενον διηγήσεων. Καὶ ἂν θέλῃς, ἂς φέρωμεν εἰς τὸ μέσον αὐτὸν τὸν ἴδιον ποὺ εἶπεν αὐτά, τὸν σκηνοποιόν, τὸν Κίλικα, αὐτὸν τοῦ ὁποίου δὲν εἶναι γνωστὸς οὔτε ὁ πατέρας. Καὶ πῶς ἦτο δυνατόν, θὰ ἔλεγε κάποιος, αὐτὸς νὰ γίνῃ τέτοιος; Ἐπιθυμεῖς λοιπὸν πολύ; Ἐξ ὁλοκλήρου ἐπιθυμεῖς καὶ θέλεις νὰ γίνῃς τέτοιος; Ναί, θὰ ἦτο ἡ ἀπάντησις. Λοιπόν, ἀκολούθησε τὴν ὁδόν, τὴν ὁποίαν ἠκολούθησεν αὐτὸς καὶ οἱ μαθηταί του. Καὶ ποίαν ὁδὸν ἠκολούθησεν; Ὁ μὲν ἕνας λέγει, «Μὲ πεῖναν καὶ δίψαν, χωρὶς ἐπαρκῆ ἐνδύματα»[22], ὁ δὲ ἄλλος· «Δὲν ἔχω ἀργύριον καὶ χρυσόν»[23]. Ἔτσι δὲν εἶχον τίποτε, καὶ ὅμως κατεῖχον τὰ πάντα.

6. Τί σεμνότερον, τί μακαριώτερον καὶ πλουσιώτερον ἀπὸ αὐτὴν τὴν φωνήν; Ἄλλοι μὲν καμαρώνουν διὰ τὰ ἀντίθετα λέγοντες· Ἔχω τόσα καὶ τόσα χρυσᾶ τάλαντα καὶ ἄπειρα πλέθρα γῆς καὶ οἰκίας καὶ δούλους· αὐτὸς δὲ καμαρώνει διὰ τὸ ὅτι δὲν ἔχει τίποτε, καὶ δὲν συστέλλεται διὰ τὴν πενίαν του —πρᾶγμα τὸ ὁποῖον παθαίνουν οἱ ἀνόητοι— οὔτε ἐντρέπεται, ἀλλὰ καυχᾶται μάλιστα. Ποῦ εἶναι τώρα οἱ πλούσιοι, ἐκεῖνοι ποὺ μετροῦν τοὺς τόκους καὶ τοὺς τόκους τῶν τόκων, ἐκεῖνοι ποὺ λαμβάνουν τὰ ὑπάρχοντα ὅλων καὶ ὅμως ποτὲ δὲν χορταίνουν; Ἠκούσατε τὴν φωνὴν τοῦ Πέτρου, ποὺ ὑποδεικνύει ὅτι ἡ πενία εἶναι μητέρα πλούτου, ποὺ δὲν εἶχε τίποτε καὶ ὅμως ἦτο πλουσιωτέρα ἀπὸ αὐτοὺς ποὺ περιεβάλλοντο μὲ στέμματα; Αὐτὴ δηλαδὴ ποὺ δὲν εἶχε τίποτε, καὶ νεκροὺς ἀνίστα καὶ χωλοὺς ἐθεράπευε καὶ δαίμονας ἐξεδίωκε καὶ ἔκαμνε τέτοιας εὐεργεσίας, ποὺ οὐδέποτε ἠμπόρεσαν νὰ κάνουν ὅσοι ἦσαν περιβεβλημένοι τὴν πορφύραν καὶ ὡδήγουν στρατεύματα μεγάλα καὶ φοβερά. Αὐτὴ εἶναι ἡ φωνὴ ὅσων εὑρίσκονται πλέον εἰς τὸν οὐρανόν, ὅσων κατέχουν ἐκείνην τὴν κορυφήν. Ἔτσι συμβαίνει, ὥστε κάποιος, ἐνῷ δὲν ἔχει τίποτε, νὰ κατέχῃ τὰ ὑπάρχοντα ὅλων· ἔτσι συμβαίνει, ὥστε κάποιος, ἐνῷ δὲν ἔχει τίποτε εἰς τὴν ἰδιοκτησίαν του, νὰ κατέχῃ τὰ ὑπάρχοντα ὅλων. Ἂν ὅμως ἀποκτήσωμεν

θα τὰ πάντων, τῶν πάντων ἀπεστερήμεθα. Τάχα αἴνιγμα τὸ εἰρημένον εἶναι δοκεῖ, ἀλλ' οὐκ ἔστιν.

'Αλλὰ πῶς, φησίν, ὁ μηδὲν ἔχων τὰ πάντων κατέχει; οὐ πολλῷ μᾶλλον ὁ τὰ πάντων ἔχων; Οὐδαμῶς, ἀλλὰ τοὐναντίον ἅπαν. 'Ο γὰρ μηδὲν ἔχων· πᾶσιν ἐπιτάττει, ὡς κἀκεῖνοι ἐποίουν· καὶ αἱ κατὰ τὴν οἰκουμένην αὐτοῖς οἰκίαι ἦσαν πᾶσαι ἀνεῳγμέναι καὶ χάριν εἶχον οἱ παρέχοντες καὶ ὡς πρὸς φίλους καὶ συγγενεῖς ἤρχοντο. Καὶ γὰρ πρὸς τὴν πορφυροπώλιδα ἦλθον, καὶ ἐκείνη καθάπερ θεραπαινὶς τὰ ἑαυτῆς προύθηκε· καὶ πρὸς τὸν δεσμοφύλακα, κἀκεῖνος τὴν οἰκίαν αὐτοῖς ἀνέῳξεν ἅπασαν· καὶ πρὸς ἑτέρους μυρίους. Οὕτω πάντα εἶχον, καὶ οὐδὲν εἶχον. Οὐδὲν γὰρ τῶν ὑπαρχόντων ἔλεγον ἴδιον εἶναι· διὰ τοῦτο πάντα ἦν αὐτῶν. 'Ο γὰρ κοινὰ τὰ ὄντα ἡγούμενος οὐ τοῖς αὐτοῦ μόνον ἀλλὰ καὶ τοῖς ἑτέρων χρήσεται ὡς ἰδίοις, ὁ δὲ ἀποσχίζων καὶ ποιῶν ἑαυτὸν κύριον τῶν αὐτοῦ μόνον, οὐδὲ τούτων ἔσται κύριος. Καὶ τοῦτο ἀπὸ ὑποδείγματος δῆλον. 'Ο μηδὲν ὅλως κεκτημένος, μήτε οἰκίαν μήτε τράπεζαν μήτε περιττὸν ἱμάτιον, ἀλλὰ διὰ τὸν Θεὸν πάντων ἀπεστερημένος ὡς ἰδίοις κέχρηται τοῖς κοινοῖς, καὶ καρὰ πάντων ἅπερ ἂν θέλῃ, λήψεται· καὶ οὕτω τὰ πάντων ὁ μηδὲν ἔχων κατέχει. 'Ο δὲ ἔχων τινά, οὐδὲ τούτων ἔσται κύριος· οὔτε γὰρ δώσει τις τῷ κεκτημένῳ, καὶ λῃστῶν καὶ κλεπτῶν καὶ συκοφαντῶν καὶ μεταβολῆς πραγμάτων καὶ πάντων μᾶλλον ἔσται ἢ ἐκείνου τὰ ἐκείνου.

Πᾶσαν γοῦν τὴν οἰκουμένην διέδραμεν ὁ Παῦλος οὐδὲν ἐπιφερόμενος, οὐ πρὸς φίλους ἀπιών, οὐ πρὸς συνήθεις· καὶ γὰρ κοινὸς ἐν ἀρχῇ πολέμιος πᾶσιν ἦν· ἀλλ' ὅμως τὰ πάντων εἶχε μετὰ τὸ εἰσελθεῖν. 'Ο δὲ 'Ανανίας καὶ ἡ Σάπφειρα, ἵνα μικρόν τι τῶν ἰδίων κτήσωνται, πάντων ἐξέπεσον μετὰ καὶ αὐτῆς τῆς ζωῆς. 'Απόστηθι τοίνυν τῶν σῶν, ἵνα ὡς ἰδίοις χρήσῃ τοῖς ἀλλοτρίοις. 'Αλλὰ γὰρ οὐκ

τὰ ὑπάρχοντα ὅλων, θὰ ἀποστερηθῶμεν ὅλων. Ἴσως αὐτὸ ποὺ εἶπα νὰ φαίνεται ὅτι εἶναι αἴνιγμα, ἀλλὰ δὲν εἶναι.

Ἀλλὰ πῶς γίνεται, θὰ ἔλεγε κάποιος, αὐτὸς ποὺ δὲν ἔχει τίποτε νὰ κατέχῃ τὰ ὑπάρχοντα ὅλων; δὲν θὰ κατέχῃ περισσότερα ἐκεῖνος ποὺ ἐξουσιάζει τὰ ὑπάρχοντα ὅλων; Καθόλου, ἀλλ' ἐντελῶς τὸ ἀντίθετον. Ἐκεῖνος δηλαδὴ ποὺ δὲν ἔχει τίποτε ἐξουσιάζει τὰ πάντα, ὅπως καὶ ἐκεῖνοι ἔκαμναν· καὶ αἱ οἰκίαι τῆς οἰκουμένης ἦσαν ἀνοικταὶ εἰς αὐτοὺς καὶ ἐκεῖνοι ποὺ τοὺς παρεῖχον φιλοξενίαν ἐχρεώστουν εὐγνωμοσύνην καὶ ἤρχοντο ὡς πρὸς φίλους καὶ συγγενεῖς. Καὶ πράγματι· ἦλθον πρὸς τὴν πορφυροπώλιδα, καὶ ἐκείνη ὡς ὑπηρέτρια τοὺς προσέφερε τὰ ὑπάρχοντά της· ἦλθον καὶ πρὸς τὸν δεσμοφύλακα, καὶ ἐκεῖνος τοὺς ἤνοιξε τὴν οἰκίαν του ὅλην· ἦλθον καὶ πρὸς μυρίους ἄλλους. Ἔτσι κατεῖχον τὰ πάντα, καὶ ὅμως δὲν κατεῖχον τίποτε· διότι τίποτε ἀπὸ τὰ ὑπάρχοντά των δὲν ἔλεγον ὅτι εἶναι ἰδικόν των, καὶ διὰ τοῦτο τὰ πάντα ἦσαν ἰδικά των. Ἐκεῖνος δηλαδὴ ποὺ θεωρεῖ τὰ ὑπάρχοντα κοινὰ θὰ χρησιμοποιῇ ὄχι μόνον τὰ ἰδικά του, ἀλλὰ καὶ τὰ ξένα ὡς ἰδικά του, ἐκεῖνος ὅμως ποὺ χαρίζει τὰ ἰδικά του καὶ κάμνει τὸν ἑαυτόν του κύριον τῶν ἰδικῶν του μόνον, δὲν θὰ ἐξουσιάζῃ οὔτε αὐτά. Καὶ τοῦτο φαίνεται ἀπὸ ἕνα παράδειγμα. Ἐκεῖνος ποὺ δὲν ἔχει ἀπολύτως τίποτε, οὔτε οἰκίαν οὔτε τράπεζαν οὔτε δεύτερον ἔνδυμα, ἀλλ' ἔχει ἀποστερηθῆ τῶν πάντων πρὸς χάριν τοῦ Θεοῦ, χρησιμοποιεῖ τὰ κοινὰ ὡς ἰδικά του, καὶ θὰ λάβῃ ἀπὸ ὅλους ὅσα θέλει, καὶ ἔτσι ἐκεῖνος ποὺ δὲν ἔχει τίποτε κατέχει τὰ ὑπάρχοντα ὅλων. Ἐκεῖνος ὅμως ποὺ ἔχει ὀλίγα οὔτε καὶ αὐτῶν ἀκόμη θὰ εἶναι κύριος, διότι οὔτε κανεὶς θὰ δώσῃ εἰς ὅποιον ἔχει, καὶ ἐπὶ πλέον τὰ ἰδικά του θὰ ἀνήκουν περισσότερον εἰς ληστὰς καὶ κλέπτας καὶ συκοφάντας καὶ μεταβολὰς τῆς καταστάσεως καὶ εἰς ὅλους παρὰ εἰς ἐκεῖνον.

Ὁ Παῦλος, ὡς γνωστόν, διέτρεξεν ὅλην τὴν οἰκουμένην χωρὶς νὰ φέρῃ μαζί του τίποτε, παρ' ὅλον ὅτι δὲν ἐπήγαινε πρὸς φίλους οὔτε πρὸς γνωστούς· καὶ μάλιστα εἰς τὴν ἀρχὴν ἦτο κοινὸς ἐχθρὸς ὅλων· ἀλλ' ὅμως, ἀφοῦ εἰσήρχετο εἰς μίαν οἰκίαν, εἶχε πλέον τὰ ὑπάρχοντα ὅλων. Ὁ δὲ Ἀνανίας καὶ ἡ Σάπφειρα, προκειμένου νὰ διατηρήσουν ὀλίγα ἀπὸ τὴν περιουσίαν των, ἔχασαν τὰ πάντα μαζὶ μὲ τὴν ἰδίαν τὴν ζωήν των. Ἀπομακρύνσου λοιπὸν ἀπὸ τὰ ἰδικά σου, διὰ νὰ χρησιμοποιῇς τὰ ξένα ὡς ἰδικά σου. Ἀλλ' ὅμως

οἶδ' ὅπως εἰς τοσαύτην ἐξηνέχθην ὑπερβολὴν ἀνθρώποις τοιαῦτα φθεγγόμενος, οἷς ἀγαπητὸν κἂν τῶν ὄντων μεταδοῦναί τι μικρόν. Διόπερ ταῦτα μὲν ἡμῖν πρὸς τοὺς τελείους εἰρήσθω· πρὸς δὲ τοὺς ἀτελεστέρους ἐκεῖνα λέγομεν· δότε τῶν ὄντων τοῖς δεομένοις, αὐξήσατε τὴν οὐσίαν. «Ὁ γὰρ διδοὺς πτωχῷ, φησί, δανείζει Θεῷ». Εἰ δὲ ἐπείγῃ καὶ οὐκ ἀναμένεις τὸν καιρὸν τῆς ἀντιδόσεως, ἐννόει τοὺς τὰ χρήματα ἀνθρώποις δανείζοντας· οὐδὲ γὰρ οὗτοι παραχρῆμα βούλονται τοὺς τόκους ἀπολαβεῖν, ἀλλὰ πλείονα ἐπιθυμοῦσι χρόνον μεῖναι παρὰ ταῖς τοῦ δανεισαμένου χερσὶ τὸ κεφάλαιον, μόνον ἐὰν ἀσφαλὴς ἡ ἀπόδοσις ᾖ καὶ μὴ ὑποπτεύωσι τὸν εἰληφότα.

Τοῦτο τοίνυν καὶ ἐνταῦθα γινέσθω· ἄφες αὐτὰ παρὰ τῷ Θεῷ, ἵνα ἀποδῷ σοι τὸν μισθὸν πολλαπλασίω. Μὴ ἐνταῦθα τὸ πᾶν ζήτει· ἂν γὰρ ἐνταῦθα αὐτὸ ἀπολάβῃς ὅλον, πῶς ἀπολήψῃ ἐκεῖ; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐκεῖ ταμιεύεται ἅτε ἐπικήρου τοῦ παρόντος βίου τυγχάνοντος. Δίδωσι δὲ καὶ ἐνταῦθα· «Ζητεῖτε γὰρ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Ἀλλ' ἡμεῖς πρὸς ἐκείνην βλέπωμεν, καὶ μὴ ἐπειγώμεθα πρὸς τὴν ἁπάντων ἀντίδοσιν, ἵνα μὴ ἐλαττώσωμεν τὴν ἀμοιβήν, ἀλλ' ἀναμένωμεν τὸν καιρόν. Οὐ γὰρ τοιοῦτοι οὗτοι οἱ τόκοι, ἀλλ' οἵους εἰκὸς παρὰ τοῦ Θεοῦ δίδοσθαι.

Τούτους τοίνυν συναγαγόντες μετὰ δαψιλείας πολλῆς, οὕτως ἐντεῦθεν ἀπέλθωμεν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

24. Παρ. 19,17.
25. Ματθ. 6,33.

δὲν γνωρίζω πῶς παρεσύρθην νὰ εἴπω τόσα πολλὰ ὁμιλῶν εἰς ἀνθρώπους, οἱ ὁποῖοι θέλουν νὰ δίδουν κάτι ἀπὸ τὰ ὑπάρχοντά των. Διὰ τοῦτο αὐτὰ μὲν ἂς τὰ λέγωμεν πρὸς τοὺς τελείους, πρὸς τοὺς ἀτελεστέρους δὲ ἂς λέγωμεν τὰ ἑξῆς· Δώσατε ἀπὸ τὰ ὑπάρχοντά σας εἰς ὅσους ἔχουν ἀνάγκην, αὐξήσατε τὴν περιουσίαν σας, διότι λέγει ὅτι, «Ἐκεῖνος ποὺ δίδει εἰς πτωχὸν δανείζει εἰς τὸν Θεόν»[24]. Ἐξ ἄλλου ἐὰν βιάζεσαι καὶ δὲν ἀναμένῃς τὸν καιρὸν τῆς ἀνταποδόσεως, σκέψου ὅσους δανείζουν χρήματα εἰς τοὺς ἀνθρώπους· οὔτε αὐτοὶ θέλουν ἀμέσως νὰ λάβουν τοὺς τόκους, ἀλλ' ἐπιθυμοῦν τὸ κεφάλαιόν των νὰ μείνῃ περισσότερον χρόνον εἰς τὰ χέρια τοῦ δανεισθέντος, μὲ τὴν μόνην προϋπόθεσιν νὰ εἶναι ἀσφαλὴς ἡ ἐπιστροφὴ τῶν χρημάτων καὶ νὰ μὴ εἶναι ὕποπτον πρόσωπον ὁ δανεισθείς.

Τοῦτο λοιπὸν ἂς γίνεται καὶ ἐδῶ· δῶσε αὐτὰ εἰς τὸν Θεόν, διὰ νὰ σοῦ ἀποδώσῃ τὸν μισθὸν πολλαπλάσιον. Μὴ ζητῇς τὸ πᾶν ἐδῶ εἰς τὴν γῆν, διότι, ἂν λάβῃς ὅλην τὴν ἀμοιβὴν ἐδῶ, τί θὰ λάβῃς ὡς ἀμοιβὴν ἐκεῖ; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐκεῖ ἀποταμιεύει, διότι ἡ παροῦσα ζωὴ εἶναι πράγματι πρόσκαιρος. Ἀλλ' ὅμως καὶ ἐδῶ δίδει· διότι λέγει· «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν εἰς ἐσᾶς»[25]. Ἀλλ' ἡμεῖς ἂς βλέπωμεν πρὸς ἐκείνην, καὶ ἂς μὴ βιαζώμεθα νὰ λάβωμεν ἀμοιβὴν δι' ὅλα, διὰ νὰ μὴ ἐλαττώσωμεν τὴν ἀμοιβήν, ἀλλὰ νὰ ἀναμένωμεν τὸν κατάλληλον χρόνον· διότι οἱ τόκοι αὐτοὶ δὲν εἶναι ἀνθρώπινοι τόκοι, ἀλλὰ τέτοιοι ποὺ εἶναι φυσικὸν νὰ δίδωνται ἀπὸ τὸν Θεόν.

Αὐτοὺς λοιπὸν ἀφοῦ συγκεντρώσωμεν ἀφθόνους, τότε ἂς ἀπέλθωμεν ἀπὸ τὸν κόσμον αὐτόν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΣ.

Κορ. Α' 5, 9—6, 11

«Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. Νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ μέθυσος ἢ λοίδορος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν».

1. Ἐπειδὴ γὰρ εἶπεν «Οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ὁ τοιοῦτος» καὶ «Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην», καὶ εἰκὸς ἦν αὐτοὺς ὑποπτεῦσαι ὅτι πάντας τοὺς πόρνους δεῖ φεύγειν· εἰ γὰρ μεταδίδωσι τῆς οἰκείας λύμης ὁ ἡμαρτηκὼς τοῖς οὐχ ἡμαρτηκόσι, πολλῷ μᾶλλον τοὺς ἔξωθεν ἀποστρέφεσθαι χρή· εἰ γὰρ τοῦ οἰκείου οὐ δεῖ φείδεσθαι διὰ τὸ τοιαύτην ἐξ αὐτοῦ βλάβην γίνεσθαι, πολλῷ μᾶλλον τῶν ἄλλων· τούτου δὲ ὑπονοουμένου εἰκὸς ἦν χωρίζεσθαι καὶ τῶν παρ' Ἕλλησι πόρνων, καὶ οὕτως εἰς ἀδύνατον τοῦ πράγματος περιϊσταμένου μειζόνως ἂν ἐδυσχέραναν· τῇ οὖν ἐπιδιορθώσει ταύτῃ κέχρηται λέγων· «Ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου», τὸ «πάντως» ὡς ἐπὶ ὡμολογημένου τιθείς.

Ἵνα γὰρ μὴ νομίσωσιν ὅτι ὡς ἀτελεστέροις αὐτοῖς τοῦτο οὐκ ἐπέταξε, καὶ ὡς τέλειοι δῆθεν αὐτὸ πρᾶξαι ἐπιχειρήσωσι, δείκνυσιν ὅτι οὐδὲ δυνατὸν τοῦτο γενέσθαι, οὐδὲ εἰ σφόδρα ἐβούλοντο· ἐπεὶ ἑτέραν οἰκουμένην ἔδει ζητῆσαι. Διὸ καὶ ἐπήγαγεν· «Ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κό-

---

1. Α' Κορ. 5,9-11.

ΛΟΓΟΣ ΙΣΤ'
Α' Κορ. 5,9—6,11

«Σᾶς ἔγραψα εἰς τὴν ἐπιστολὴν νὰ μὴ ἔχετε σχέσεις μὲ πόρνους, καὶ δὲν ἐννοοῦσα γενικῶς νὰ μὴ ἔχητε σχέσεις μὲ τοὺς πόρνους τοῦ κόσμου αὐτοῦ, ἢ τοὺς ἅρπαγας ἢ τοὺς εἰδωλάτρας, διότι τότε, θὰ ἔπρεπε βεβαίως νὰ φύγετε ἀπὸ τὸν κόσμον. Τώρα ὅμως σᾶς ἔγραψα νὰ μὴ ἔχητε σχέσεις μὲ κάποιον, ὁ ὁποῖος ὀνομάζεται ἀδελφὸς καὶ εἶναι πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ μέθυσος ἢ ὑβριστὴς ἢ ἅρπαξ· μὲ τέτοιον ἀδελφὸν οὔτε νὰ τρῶτε μαζί»[1].

1. Ἐπειδὴ δηλαδὴ εἶπεν, «Δὲν ἐπενθήσατε μᾶλλον, διὰ νὰ ἐκδιωχθῇ ὁ ἄνθρωπος αὐτός», καὶ «Ἀπαλλαγῆτε ἐντελῶς ἀπὸ τὴν παλαιὰν ζύμην», ἑπόμενον ἦτο νὰ νομίσουν ὅτι πρέπει νὰ ἀποφεύγουν ὅλους τοὺς πόρνους· διότι, ἐὰν ὁ ἁμαρτήσας μεταδίδῃ τὴν ἁμαρτίαν του εἰς ὅσους δὲν ἔχουν ἁμαρτήσει, πολὺ περισσότερον πρέπει νὰ ἀποστρέφωνται τοὺς ἐκτὸς τῆς πίστεως· ἐὰν δηλαδὴ δὲν πρέπει κανεὶς νὰ διστάζῃ νὰ ἀποφεύγῃ τὸν ἰδικόν του ἄνθρωπον, διότι προέρχεται ἀπὸ αὐτὸν τέτοια βλάβη, πολὺ περισσότερον δὲν πρέπει νὰ διστάζῃ νὰ ἀποφεύγῃ τοὺς ἄλλους· καὶ ἐπειδὴ ὑπεννόησαν τοῦτο ἦτο ἑπόμενον νὰ ἀποφεύγουν καὶ τοὺς πόρνους τῶν Ἐθνικῶν, καὶ ἔτσι, ἐπειδὴ τὸ πρᾶγμα ἔφθασεν εἰς ἀδιέξοδον, θὰ ἐδυσανασχέτουν πολὺ περισσότερον· διὰ νὰ διορθώσῃ λοιπὸν τὴν κατάστασιν αὐτὴν λέγει· «Σᾶς ἔγραψα νὰ μὴ ἔχητε σχέσεις μὲ πόρνους, καὶ δὲν ἐννοοῦσα γενικῶς τοὺς πόρνους τοῦ κόσμου αὐτοῦ», θέσας τὸ «πάντως» ὡς νὰ πρόκειται διὰ κάτι τὸ παραδεκτόν.

Διὰ νὰ μὴ νομίσουν δηλαδὴ ὅτι δὲν τοὺς ὥρισε τοῦτο, ἐπειδὴ ἦσαν ἀτελέστεροι, καὶ διὰ νὰ μὴ ἐπιχειρήσουν νὰ πράξουν τοῦτο δῆθεν ὡς τέλειοι, δεικνύει ὅτι τοῦτο οὔτε κἂν ἦτο δυνατὸν νὰ γίνῃ, οὔτε καὶ ἂν ἀκόμη τὸ ἤθελον πάρα πολύ, διότι θὰ ἔπρεπε νὰ ἐπιζητήσουν ἄλλην οἰκουμένην. Διὰ τοῦτο καὶ προσέθεσε· «Διότι

σμου ἐξελθεῖν». Εἶδες πῶς ἐστιν ἀνεπαχθὴς καὶ πανταχοῦ οὐ τὸ δυνατὸν μόνον ἀλλὰ καὶ τὸ εὔκολον τῆς νομοθεσίας σκοπεῖ; Πῶς γὰρ ἔνι ἄνθρωπον ὄντα, φησί, καὶ οἰκίας καὶ παίδων προϊστάμενον καὶ τὰ τῆς πόλεως πράττοντα, ἢ χειροτέχνην ὄντα ἢ στρατευόμενον, τῶν πλειόνων ὄντων Ἑλλήνων τοὺς πανταχοῦ πόρνους φεύγειν; πόρνους γὰρ κόσμου τοὺς παρὰ τοῖς Ἕλλησι λέγει.

«Νῦν δὲ ἔγραψα ὑμῖν, ἐάν τις ἀδελφὸς ᾖ τοιοῦτος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν». Ἐνταῦθα καὶ ἑτέρους αἰνίττεται ἐν πονηρίᾳ ζῶντας. Καὶ πῶς ἀδελφὸς ὢν εἰδωλολάτρης εἶναι δύναται; Ὡς ἐπὶ τῶν Σαμαρειτῶν συνέβη ποτέ, οἳ ἐξ ἡμισείας τὴν εὐσέβειαν ᾑροῦντο. Ἄλλως δὲ καὶ προκαταβάλλεται τὸν περὶ τῶν εἰδωλοθύτων λόγον, ὃν μετὰ ταῦτα μέλλει γυμνάζειν. «Ἢ πλεονέκτης». Καὶ γὰρ καὶ πρὸς τούτους ἀποδύεται· διὸ καὶ ἔλεγε, «Διὰ τί οὐκ ἀδικεῖσθε μᾶλλον; διὰ τί οὐκ ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε». «Ἢ μέθυσος». Καὶ γὰρ καὶ τοῦτο ἐγκαλεῖ προϊών, ὡς ὅταν λέγῃ «Ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει» καὶ «Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν». «Ἢ λοίδορος ἢ ἅρπαξ». Καὶ γὰρ καὶ τούτοις ἐπετίμησεν ἔμπροσθεν.

Εἶτα καὶ τὴν αἰτίαν προστίθησι, δι' ἣν οὐ κωλύει τοῖς ἔξωθεν τοιούτοις οὖσιν ἀναμίγνυσθαι, δεικνὺς ὅτι οὐ μόνον οὐ δυνατόν, ἀλλὰ καὶ περιττόν. «Τί γάρ μοι καὶ τοὺς ἔξωθεν κρίνειν;» φησί, τοὺς ἔσω καὶ τοὺς ἔξω, τοὺς Χριστιανοὺς καὶ τοὺς Ἕλληνας καλῶν, καθὼς καὶ ἀλλαχοῦ φησι· «Δεῖ δὲ καὶ μαρτυρίαν ἔχειν αὐτὸν καλὴν ὑπὸ τῶν ἔξωθεν». Καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας δὲ ἐπιστολῇ τὸ αὐτό φησι λέγων· «Μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ», καὶ «Μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν».

2. αὐτ. 6,7-8.
3. αὐτ. 11,21 / 6,13.
4. αὐτ. 5,12.
5. Α' Τιμ. 3,7.

τότε θὰ ἔπρεπε βεβαίως νὰ φύγετε ἀπὸ τὸν κόσμον αὐτόν». Εἶδες πῶς δὲν ἐπιβαρύνει ὑπερμέτρως καὶ παντοῦ ἐπιδιώκει ὄχι μόνον τὸ δυνατὸν ἀλλὰ καὶ τὸ εὔκολον τῆς νομοθεσίας; Πῶς δηλαδή, λέγει, εἶναι δυνατὸν ἕνας ποὺ εἶναι ἄνθρωπος καὶ κυβερνᾷ οἰκίαν καὶ παιδιὰ καὶ προσφέρει τὰς ὑπηρεσίας του εἰς τὴν πόλιν ἢ ὡς τεχνίτης νὰ ἀποφεύγῃ τοὺς πόρνους παντοῦ, τὴν στιγμὴν ποὺ οἱ περισσότεροι εἶναι Ἐθνικοί; διότι πόρνους τοῦ κόσμου ὀνομάζει τοὺς πόρνους τῶν Ἐθνικῶν.

«Τώρα ὅμως σᾶς ἔγραψα, ἐὰν κάποιος ἀδελφὸς εἶναι τέτοιος, οὔτε νὰ τρῶτε μαζὶ μὲ τέτοιον». Ἐδῶ δὲ ὑπαινίσσεται καὶ ἄλλους ποὺ ἔζων ἐν πονηρίᾳ. Καὶ πῶς εἶναι δυνατὸν νὰ εἶναι εἰδωλολάτρης κάποιος ποὺ εἶναι ἀδελφὸς Χριστιανός; Ὅπως κάποτε συνέβη μὲ τοὺς Σαμαρείτας, οἱ ὁποῖοι ἦσαν εὐσεβεῖς κατὰ τὸ ἥμισυ. Ἐπίσης μὲ ὅσα λέγει προετοιμάζει τὸν λόγον του περὶ τῶν εἰδωλοθύτων, τὸν ὁποῖον πρόκειται νὰ ἀναπτύξῃ κατόπιν. «Ἢ πλεονέκτης»· διότι καὶ ἐναντίον αὐτῶν ἀγωνίζεται, καὶ διὰ τοῦτο ἔλεγε· «Διατί νὰ μὴ ἀδικῆσθε μᾶλλον, διατί νὰ μὴ σᾶς στεροῦν ἀπὸ ὑπάρχοντά σας; Καὶ ὅμως, σεῖς οἱ ἴδιοι ἀδικεῖτε καὶ στερεῖτε ἄλλους ἀπὸ ὑπάρχοντά των»[2]· «ἢ μέθυσος», διότι καὶ τοῦτο κατακρίνει ἐν συνεχείᾳ, ὅπως ὅταν λέγῃ· «Ἄλλος μὲν πεινᾷ, ἄλλος δὲ μεθύει», καί, «Τὰ φαγητὰ εἶναι διὰ τὴν κοιλίαν καὶ ἡ κοιλία διὰ τὰ φαγητά»[3]. «Ἢ ὑβριστὴς ἢ ἅρπαξ»· διότι καὶ τούτους τοὺς ἐπετίμησε προηγουμένως.

Ἔπειτα προσθέτει καὶ τὴν αἰτίαν, διὰ τὴν ὁποίαν δὲν ἀπαγορεύει νὰ ἔχουν οἱ Χριστιανοὶ κοινωνικὰς σχέσεις μὲ τοὺς Ἐθνικούς, ποὺ εἶναι τέτοιοι, δεικνύων ὅτι ὄχι μόνον δὲν εἶναι δυνατὸν νὰ τὸ ἀπαγορεύσῃ, ἀλλὰ εἶναι καὶ περιττόν. «Διότι ποίαν ἐξουσίαν ἔχω νὰ κρίνω καὶ τοὺς ἔξω τῆς πίστεως;»[4], λέγει, ὀνομάζων τοὺς Χριστιανοὺς καὶ τοὺς Ἐθνικοὺς ὡς 'οἱ ἐντὸς' τῆς πίστεως καὶ 'οἱ ἐκτὸς' τῆς πίστεως, ὅπως καὶ ἀλλοῦ λέγει· «Πρέπει δὲ αὐτὸς νὰ ἔχῃ καὶ μαρτυρίαν καλὴν ἀπὸ τοὺς ἔξω»[5]. Καὶ εἰς τὴν ἐπιστολὴν του πρὸς Θεσσαλονικεῖς τὸ ἴδιον λέγει συμβουλεύων· «Νὰ μὴ ἔχητε σχέσεις μὲ αὐτόν, διὰ νὰ αἰσθανθῇ ἐντροπὴν» καὶ «Νὰ μὴ τὸν

Ἐνταῦθα μέντοι τὴν αἰτίαν οὐ τίθησι. Τί δήποτε; Ὅτι ἐκεῖ μὲν παραμυθήσασθαι ἐβούλετο, ἐνταῦθα δὲ οὐκέτι. Οὐ γὰρ τὸ ἁμάρτημα ἐνταῦθα κἀκεῖ τὸ αὐτό, ἀλλ' ἐκεῖ ἔλαττον· ἀργίαν γὰρ ἐγκαλεῖ· ἐνταῦθα δὲ πορνείαν καὶ ἕτερα χαλεπώτατα ἁμαρτήματα. Καὶ πρὸς Ἕλληνας μὲν εἰ βούλοιτό τις ἀπιέναι, οὐ κωλύει συνεσθίειν διὰ τὴν αὐτὴν πάλιν αἰτίαν. Οὕτω δὲ καὶ ἡμεῖς ποιοῦμεν ὑπὲρ μὲν τῶν υἱῶν καὶ τῶν ἀδελφῶν πάντα πράττοντες, τῶν δὲ ἀλλοτρίων οὐ πολὺν ποιούμεθα λόγον. Τί οὖν; οὐκ ἐκήδετο καὶ τῶν ἔξωθεν Παῦλος; Ἐκήδετο μέν, ἀλλὰ μετὰ τὸ δέξασθαι τὸ κήρυγμα καὶ ὑπευθύνους ποιῆσαι τῇ διδασκαλίᾳ τοῦ Χριστοῦ τότε αὐτοῖς ἐνομοθέτει· ἕως δὲ ὅτε κατεφρόνουν, περιττὸν ἦν τὰ προστάγματα τοῦ Χριστοῦ λέγειν τοῖς αὐτὸν οὐκ εἰδόσι τὸν Χριστόν.

2. «Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ». Ἐπειδὴ γὰρ εἶπε «Τί μοι τοὺς ἔξω κρίνειν;», ἵνα μή τις νομίσῃ ἀτιμωρήτους τούτους ἀφίεσθαι, ἕτερον δικαστήριον ἐφίστησιν αὐτοῖς φοβερόν. Τοῦτο δὲ εἶπεν ὁμοῦ μὲν ἐκείνους φοβῶν, ὁμοῦ δὲ τούτους παραμυθούμενος καὶ δεικνὺς ὅτι ἡ κόλασις αὕτη ἡ πρόσκαιρος τῆς ἀθανάτου καὶ διηνεκοῦς ἐξαρπάζει· ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· «Νυνὶ δὲ κρινόμενοι παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». «Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν». Ἐμνημόνευσε ῥήσεως ἐν τῇ Παλαιᾷ κειμένης ὁμοῦ μὲν δεικνὺς ὅτι καὶ αὐτοὶ τὰ μέγιστα κερδανοῦσι, ὥσπερ λοιμοῦ τινος ἀπαλλαγέντες χαλεποῦ, ὁμοῦ δὲ δηλῶν ὅτι οὐ καινοτομία τὸ τοιοῦτον, ἀλλὰ καὶ ἄνωθεν ἐδόκει τοῦτο τῷ νομοθέτῃ τοὺς τοιούτους ἐκτέμνεσθαι· ἀλλ' ἐκεῖ μὲν σφοδρότερον, ἐνταῦθα δὲ ἡμερώτερον. Διόπερ καὶ εἰκότως ἂν

---

6. Β' Θεσσ. 3,14-15.
7. Α' Κορ. 5,12-13.
8. αὐτ. 11,32.
9. αὐτ. 5,13.

θεωρῆτε ἐχθρὸν ἀλλὰ νὰ τὸν νουθετῆτε ὡς ἀδελφόν»[6]. Ἐδῶ ὅμως δὲν ἀναφέρει τὴν αἰτίαν. Διατί ἄραγε; Διότι ἐκεῖ μὲν ἤθελε νὰ συμβουλεύσῃ, ἐδῶ ὅμως ὄχι πλέον. Δὲν εἶναι τὸ ἴδιον ἁμάρτημα ἐδῶ καὶ ἐκεῖ, ἀλλ' ἐκεῖ εἶναι μικρότερον· ἐκεῖ δηλαδὴ τοὺς κατηγορεῖ διὰ ἀπραξίαν, ἐνῷ ἐδῶ διὰ πορνείαν καὶ ἄλλα σοβαρώτατα ἁμαρτήματα. Καὶ ἂν κάποιος πιστὸς ἤθελε νὰ πάῃ πρὸς Ἐθνικούς, δὲν τοῦ ἀπαγορεύει νὰ συντρώγῃ μὲ αὐτοὺς διὰ τὴν ἰδίαν πάλιν αἰτίαν. Ἔτσι κάμνομεν καὶ ἡμεῖς· διὰ τοὺς υἱοὺς καὶ τοὺς ἀδελφούς μας πράττομεν τὰ πάντα, διὰ τοὺς ξένους ὅμως δὲν φροντίζομεν πολύ. Τί λοιπόν; ὁ Παῦλος δὲν ἐνδιεφέρετο καὶ διὰ τοὺς ἐκτὸς τῆς πίστεως; Ἐνδιεφέρετο μέν, ἀλλὰ ἔθετε νόμους εἰς αὐτοὺς τότε μόνον, ἀφοῦ ἐδέχοντο τὸ κήρυγμα καὶ τοὺς ἔκαμνεν ὑπευθύνους ἔναντι τῆς διδασκαλίας τοῦ Χριστοῦ· ὅσον χρόνον ὅμως αὐτοὶ κατεφρόνουν τὴν πίστιν, ἦτο περιττὸν νὰ ἀναφέρῃ τὰς ἐντολὰς τοῦ Χριστοῦ εἰς ἀνθρώπους, οἱ ὁποῖοι δὲν ἐγνώριζον τὸν ἴδιον τὸν Χριστόν.

«Σεῖς δὲν κρίνετε αὐτοὺς ποὺ εἶναι μέσα εἰς τὴν πίστιν; τοὺς ἔξω ἀπὸ τὴν πίστιν θὰ τοὺς κρίνῃ ὁ Θεός»[7]. Ἐπειδὴ δηλαδὴ εἶπε, «Ποίαν ἐξουσίαν ἔχω νὰ κρίνω τοὺς ἔξω;», διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι αὐτοὺς τοὺς ἀφήνει ἀτιμωρήτους, προσδιορίζει ἄλλο δικαστήριον δι' αὐτοὺς φοβερόν. Τοῦτο δὲ τὸ εἶπε συγχρόνως καὶ ἐκείνους φοβίζων καὶ τούτους συμβουλεύων καὶ δεικνύων ὅτι αὐτὴ ἡ πρόσκαιρος τιμωρία σώζει ἀπὸ τὴν αἰώνιον καὶ συνεχῆ κόλασιν· τοῦτο τονίζων καὶ ἀλλοῦ ἔλεγε· «Τώρα δὲ κρινόμενοι παιδαγωγούμεθα, διὰ νὰ μὴ κατακριθῶμεν μαζὶ μὲ τὸν κόσμον[8]. «Καὶ σεῖς ἀπομακρύνετε τὸν πονηρὸν ἀπὸ τὴν ἐκκλησίαν σας»[9]. Ἀνέφερε χωρίον τῆς Παλαιᾶς Διαθήκης συγχρόνως ἀφ' ἑνὸς μὲν δεικνύων ὅτι καὶ οἱ ἴδιοι θὰ κερδίσουν πάρα πολύ, ὡσὰν νὰ ἀπαλλαγοῦν ἀπὸ κάποιαν φοβερὰν ἐπιδημίαν, ἀφ' ἑτέρου δὲ δηλώνων ὅτι μία τέτοια ἐνέργειά των δὲν θὰ ἦτο καινοτομία, ἀλλ' ὅτι καὶ ὁ θεῖος νομοθέτης ἔκρινεν ὀρθὸν τοῦτο, τὸ νὰ ἀποκόπτουν δηλαδὴ αὐτοὺς ποὺ πράττουν τέτοιας ἁμαρτίας, ἀλλ' ἐκεῖ μὲν ἡ ἀποκοπὴ ἐγίνετο μὲ σκληρότητα, ἐδῶ δὲ μὲ πραότητα. Διὰ τοῦτο καὶ εὐλόγως κά-

τις διαπορήσειε, τί δήποτε ἐκεῖ μὲν συνεχώρει κολάζεσθαι τὸν ἡμαρτηκότα καὶ καταλεύεσθαι, ἐνταῦθα δὲ οὐκέτι, ἀλλ' ἐπὶ μετάνοιαν αὐτὸν ἄγει.

Τί δήποτ' οὖν ἑτέρως μὲν ἐκεῖνα, ἑτέρως δὲ ταῦτα διετυποῦτο; Διὰ δύο ταύτας αἰτίας· μίαν μέν, ὅτι ἐπὶ μείζονα ἀγῶνα οὗτοι ἤγοντο καὶ πλείονος ἐδέοντο τῆς μακροθυμίας· ἑτέραν δὲ τὴν ἀληθεστέραν, ὅτι οὗτοι μὲν ἀπὸ τῆς ἀτιμωρησίας εὐκολώτερον διωρθοῦντο ἐπὶ μετάνοιαν ἐρχόμενοι, ἐκεῖνοι δὲ ἐπὶ κακίαν μείζονα ἔμελλον ἕρπειν. Εἰ γὰρ τοὺς πρώτους κολαζομένους ὁρῶντες τοῖς αὐτοῖς ἀνέμενον, εἰ μηδὲ ἐκολάζοντό τινες, πολλῷ μᾶλλον τοῦτο ἂν ἔπαθον. Διὰ τοῦτο ἐκεῖ μὲν τῷ μοιχῷ καὶ τῷ ἀνδροφόνῳ θάνατος εὐθέως ἐπάγεται, ἐνταῦθα δέ, ἐὰν διὰ μετανοίας ἀπολούσωνται, διέφυγον τὴν κόλασιν. Πλὴν καὶ ἐνταῦθα σφοδροτέρας καὶ ἐν τῇ Παλαιᾷ ἡμερωτέρας ἴδοι τις ἂν τιμωρίας, ἵνα δειχθῇ διὰ πάντων ὅτι συγγενεῖς καὶ ἐκεῖ καὶ ἐνταῦθα τὰς τιμωρίας, καὶ μετὰ πολὺν χρόνον ἐν ἑκατέρᾳ καὶ οὐδὲ μετὰ πολὺν χρόνον πολλάκις, ἀλλὰ μετανοίᾳ μόνῃ ἀρκούμενον τὸν Θεόν. Καὶ γὰρ ἐν τῇ Παλαιᾷ μοιχεύσας καὶ φονεύσας ὁ Δαυὶδ διὰ μετανοίας ἐσώθη, καὶ ἐν τῇ Καινῇ μικρὰ ἀπὸ χωρίου τιμῆς ὑφελόμενος ὁ Ἀνανίας μετὰ τῆς γυναικὸς ἀπώλετο. Εἰ δὲ πλεονάζει ταῦτα ἐν τῇ Παλαιᾷ, τὰ δὲ ἐναντία ἐν τῇ Καινῇ, ἡ διαφορὰ τῶν προσώπων τὴν διαφορὰν τῆς τοιαύτης οἰκονομίας ἐργάζεται.

3. «Τολμᾷ τις ὑμῶν πρὸς τὸν ἀδελφὸν αὐτοῦ πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;». Καὶ ἐνταῦθα πάλιν ὡς ἐπὶ ὡμολογημένων ποιεῖται τὴν κατηγορίαν. Καὶ γὰρ ἐκεῖ φησιν «Ὅλως ἀκούεται ἐν ὑμῖν

---

10. αὐτ. 6,1.

ποιος θὰ ἐξέφραζε τὴν ἀπορίαν, διατί ἆρά γε ἐκεῖ μὲν ἐπέτρεπε νὰ τιμωροῦν τὸν ἁμαρτάνοντα καὶ νὰ τὸν λιθοβολοῦν, ἐδῶ ὅμως ὄχι, ἀλλὰ τὸν ὁδηγεῖ εἰς μετάνοιαν.

Διατί λοιπὸν τὰ ἴδια ἁμαρτήματα ἀλλιῶς ἀντεμετωπίζοντο ἐκεῖ καὶ ἀλλιῶς ἀντιμετωπίζονται τώρα; Διὰ δύο αἰτίας· ἡ μία εἶναι ὅτι αὐτοὶ προωρίζοντο διὰ μεγαλύτερον ἀγῶνα καὶ ἐχρειάζοντο περισσοτέραν μακροθυμίαν· ἡ ἄλλη αἰτία, ἡ ἀληθεστέρα, εἶναι ὅτι αὐτοὶ μὲν μὲ τὴν ἀτιμωρησίαν εὐκολώτερον διωρθοῦντο ἐρχόμενοι εἰς μετάνοιαν, ἐκεῖνοι δὲ θὰ ἔρρεπον εἰς μεγαλυτέραν κακίαν. Ἐφ' ὅσον δηλαδὴ ἐξηκολούθουν νὰ πράττουν τὰ ἴδια ἁμαρτήματα, ἂν καὶ ἔβλεπον τοὺς πρώτους τιμωρουμένους, ἐὰν δὲν ἐτιμωροῦντο οὔτε μερικοί, θὰ ἔπραττον πολὺ περισσότερα τέτοια ἁμαρτήματα. Διὰ τοῦτο ἐκεῖ μὲν εἰς τὸν μοιχὸν καὶ τὸν φονέα ἐπιβάλλεται κατ' εὐθεῖαν ἡ ποινὴ τοῦ θανάτου, ἐδῶ δὲ διαφεύγουν τὴν κόλασιν, ἐὰν ἀποκαθαρθοῦν διὰ τῆς μετανοίας. Ἀλλ' ὅμως θὰ ἠμποροῦσε κανεὶς νὰ ἴδῃ καὶ ἐδῶ αὐστηροτέρας τιμωρίας καὶ ἐλαφροτέρας εἰς τὴν Παλαιὰν Διαθήκην, διὰ νὰ δειχθῇ δι' ὅλων ὅτι αἱ δύο Διαθῆκαι εἶναι συγγενεῖς καὶ ὅτι εἶναι τοῦ ἑνὸς καὶ τοῦ ἰδίου νομοθέτου καὶ ὅτι ὑπάρχουν καὶ εἰς τὴν μίαν καὶ εἰς τὴν ἄλλην τιμωρίαι ἄμεσαι καὶ τιμωρίαι ποὺ ἐπιβάλλονται πολὺν χρόνον μετὰ τὴν παράβασιν καὶ τιμωρίαι ποὺ δὲν ἐπιβάλλονται πολλάκις οὔτε μετὰ ἀπὸ πολὺν χρόνον ἀλλὰ ἀρκεῖται ὁ Θεὸς εἰς μόνην τὴν μετάνοιαν. Καὶ πράγματι· εἰς τὴν Παλαιὰν Διαθήκην ὁ Δαυΐδ, ἂν καὶ ἐμοίχευσε καὶ ἐφόνευσε, διὰ μετανοίας ἐσώθη, ἐνῷ εἰς τὴν Καινὴν Διαθήκην ὁ Ἀνανίας ἀπωλέσθη μαζὶ μὲ τὴν γυναῖκα του, ἀφοῦ ἀπέκρυψεν ὀλίγα ἀπὸ τὴν τιμὴν κτήματός του. Ἐὰν δὲ αὐτὰ πλεονάζουν εἰς τὴν Παλαιάν, τὰ δὲ ἀντίθετα εἰς τὴν Καινὴν Διαθήκην, ἡ διαφορὰ τῶν προσώπων προκαλεῖ τὴν διαφορὰν αὐτῆς τῆς οἰκονομίας.

3. «Τολμᾷ κανεὶς ἀπὸ ἐσᾶς, ὅταν ἔχῃ κάποιαν διαφορὰν μὲ τὸν ἀδελφόν του, νὰ κρίνεται εἰς τὰ δικαστήρια τῶν ἀδίκων καὶ ὄχι ἀπὸ μέλη τῆς Ἐκκλησίας;»[10]. Καὶ ἐδῶ πάλιν διατυπώνει τὴν κατηγορίαν ὡσὰν νὰ ἔχουν ὁμολογήσει τὸ παράπτωμά των· διότι ἐκεῖ μὲν λέγει, «Ἀκούεται γενικῶς ὅτι ὑπάρχει μεταξύ σας πορ-

πορνεία», καὶ ἐνταῦθα, «Τολμᾷ τις ὑμῶν;», ἐκ προοιμίων εὐθέως τὸν θυμὸν ἐνδεικνύμενος καὶ δεικνὺς ὅτι τόλμης ἐστὶ τὸ πρᾶγμα καὶ παρανομίας. Καὶ τί δήποτε τὸν περὶ πλεονεξίας καὶ τοῦ μὴ δεῖν ἔξω κρίνεσθαι παρενέβαλε λόγον; Οἰκεῖον νόμον πληρῶν. Καὶ γὰρ ἔθος αὐτῷ τὰ παρεμπίπτοντα διορθοῦν, ὥσπερ ἡνίκα περὶ τῶν κοινῶν τραπεζῶν διαλεγόμενος εἰς τὸν περὶ τῶν μυστηρίων ἐξέβη λόγον. Καὶ ἐνταῦθα τοίνυν, ἐπειδὴ πλεονεκτῶν ἀδελφῶν ἐμνημόνευσε, ζέων τῇ φροντίδι τῆς διορθώσεως τῶν ἁμαρτανόντων οὐκ ἀνέχεται διατηρῆσαι τάξιν, ἀλλὰ τὸ ἐκ τῆς ἀκολουθίας ἀχθὲν εἰς μέσον ἁμάρτημα διορθοῦται πάλιν, καὶ οὕτως ἐπὶ τὸν πρότερον ἐπάνεισιν. Ἀκούσωμεν οὖν τί φησι καὶ περὶ τούτου.

«Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;». Τέως ἐκ τῶν ὀνομάτων γυμνοῖ καὶ ἀποτρέπει καὶ ἐγκαλεῖ. Καὶ ἐκ προοιμίων μὲν οὐκ ἀνατρέπει τὴν κρίσιν τὴν ἐπὶ τῶν πιστῶν, ὅτε δὲ αὐτοὺς κατέπληξε διὰ πολλῶν, τότε καὶ τὸ ὅλως κρίνεσθαι ἀνεῖλε. Μάλιστα μὲν γὰρ εἰ δεῖ κρίνεσθαι, φησίν, ἐπὶ τῶν ἀδίκων οὐ δεῖ· ὅλως δὲ οὐδὲ κρίνεσθαι δεῖ. Ἀλλὰ τοῦτο μὲν ὕστερον τίθησι, τέως δὲ τὸ πρῶτον διακαθαίρει τὸ μὴ ἔξω δικάζεσθαι. Πῶς γὰρ οὐκ ἄτοπον πρὸς τὸν φίλον μικροψυχοῦντα τὸν ἐχθρὸν καταλλάκτην λαμβάνειν, φησί; πῶς δὲ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς, ὅταν Ἕλλην τῷ Χριστιανῷ καθέζηται δικάζων; Εἰ δὲ ὑπὲρ ἰδιωτικῶν οὐ χρὴ παρ' Ἕλλησι δικάζεσθαι, πῶς αὐτοῖς ἐπιτρέψομεν ὑπὲρ ἑτέρων μειζόνων;

Καὶ ὅρα πῶς εἶπεν. Οὐκ εἶπεν, ἐπὶ τῶν ἀπίστων, ἀλλ' «ἐπὶ τῶν ἀδίκων» λέξιν θείς, ἧς μάλιστα χρείαν εἶχεν εἰς

νεία», ἐνῷ ἐδῶ, «τολμᾶ κανεὶς ἀπὸ ἐσᾶς», φανερώνων εὐθὺς ἐξ ἀρχῆς τὸν θυμόν του καὶ δεικνύων ὅτι τὸ πρᾶγμα εἶναι ἀποτέλεσμα τόλμης καὶ παρανομίας. Καὶ διατί ἄρά γε παρενέβαλε τὸν λόγον περὶ πλεονεξίας καὶ περὶ τοῦ ὅτι δὲν πρέπει ἕνας πιστὸς νὰ κρίνεται ἀπὸ ἐθνικοὺς δικαστάς; Διότι ἠκολούθει ἰδικόν του νόμον. Ἦτο δηλαδὴ συνήθειά του νὰ προσπαθῇ νὰ λύῃ τὰ προβλήματα, ποὺ προέκυπτον παρεμπιπτόντως, ὅπως ὅταν συνεζήτει περὶ τῶν κοινῶν τραπεζῶν ἐπροχώρησε εἰς τὸν λόγον του περὶ τῶν μυστηρίων. Καὶ ἐδῶ λοιπόν, ἐπειδὴ ἔκανε λόγον περὶ πλεονεκτῶν ἀδελφῶν, φλεγόμενος ἀπὸ τὴν φροντίδα διὰ τὴν διόρθωσιν τῶν ἁμαρτανόντων, δὲν συγκρατεῖται νὰ διατηρήσῃ τάξιν εἰς τὸν λόγον του, ἀλλὰ προσπαθεῖ νὰ διορθώσῃ τὸ ἁμάρτημα, ποὺ ἔφερεν ὁ λόγος, καὶ κατόπιν ἐπανέρχεται εἰς τὸ προηγούμενον θέμα. Ἂς ἀκούσωμεν λοιπὸν τί λέγει καὶ περὶ τούτου.

«Τολμᾶ κανεὶς ἀπὸ ἐσᾶς, ὅταν ἔχῃ κάποιαν διαφοράν, νὰ κρίνεται εἰς τὰ δικαστήρια τῶν ἀδίκων καὶ ὄχι ἀπὸ μέλη τῆς Ἐκκλησίας;». Κατὰ πρῶτον μὲ τὰς λέξεις, ποὺ χρησιμοποιεῖ, τοὺς γυμνώνει, τοὺς ἀποτρέπει καὶ τοὺς κατηγορεῖ. Καὶ εὐθὺς ἐξ ἀρχῆς μὲν δὲν ἀποκλείει νὰ κρίνεται ἕνα θέμα ἀπὸ πιστούς, ὅταν ὅμως ἐπέκρινεν αὐτοὺς διὰ πολλῶν, τότε ἀπηγόρευσε καὶ γενικῶς τὴν κρίσιν. Ἂν δηλαδή, λέγει, πρέπει ὁπωσδήποτε νὰ καταφύγετε εἰς δικαστήριον, πάντως εἰς δικαστήριον ἐθνικῶν δὲν πρέπει· γενικῶς ὅμως οὔτε κἂν πρέπει νὰ καταφεύγετε εἰς δικαστήρια. Ἀλλὰ τοῦτο μὲν τὸ ἀναφέρει ἀργότερον, προηγουμένως ὅμως κατὰ πρῶτον ἀποκλείει τὸ νὰ καταφεύγῃ ἕνας πιστὸς εἰς δικαστήρια ἐθνικῶν· διότι πῶς δὲν θὰ ἦτο ἄτοπον, λέγει, τὸ νὰ θέλῃς ἐχθρὸς νὰ σὲ συμφιλιώσῃ μὲ τὸν φίλον, ποὺ ἔδειξε μικροψυχίαν; καὶ πῶς δὲν αἰσχύνεσαι καὶ οὔτε κοκκινίζεις ἀπὸ ἐντροπήν, ὅταν ἕνας Ἐθνικὸς κάθεται νὰ δικάσῃ ἕνα Χριστιανόν; Ἐφ' ὅσον δὲ δὲν πρέπει νὰ καταφεύγωμεν εἰς τὰ δικαστήρια τῶν Ἐθνικῶν διὰ ἰδιωτικὰς ὑποθέσεις, πῶς θὰ ἀναθέσωμεν εἰς αὐτοὺς νὰ δικάσουν ἄλλα σοβαρώτερα θέματα;

Καὶ κοίταξε πῶς ὡμίλησε. Δὲν εἶπεν 'εἰς τὰ δικαστήρια τῶν ἀπίστων', ἀλλ' «εἰς τὰ δικαστήρια τῶν ἀδίκων», χρησιμοποιῶν λέ-

τὴν προκειμένην ὑπόθεσιν, ὥστε ἀποτρέψαι καὶ ἀπαγαγεῖν. Ἐπειδὴ γὰρ περὶ δίκης αὐτῷ ὁ λόγος ἦν, οἱ δικαζόμενοι δὲ οὐδὲν οὕτως ἐπιζητοῦσιν, ὡς τὸ πολλὴν εἶναι πρόνοιαν τοῦ δικαίου παρὰ τοῖς δικάζουσιν, ἐντεῦθεν αὐτοὺς ἀποτρέπει μονονουχὶ λέγων· ποῖ φέρῃ καὶ τί ποιεῖς, ἄνθρωπε, τοὐναντίον πάσχων, ὧν ἐπιθυμεῖς, καὶ ὑπὲρ τοῦ τῶν δικαίων τυχεῖν ἀδίκοις ἐπιτρέπων ἀνθρώποις; Καὶ ἐπειδὴ εὐθέως φορτικὸν ἦν· ἀκοῦσαι τὸ μὴ δικάζεσθαι, οὐκ εὐθέως τοῦτο ἐπήγαγεν, ἀλλὰ τοὺς δικάζοντας ἤμειψε μόνον ἔξωθεν εἰς τὴν ἐκκλησίαν εἰσάγων τοὺς δικαζομένους.

Εἶτα, ἐπειδὴ εὐκαταφρόνητον εἶναι ἐδόκει τὸ παρὰ τοῖς ἔνδον δικάζεθσαι, καὶ μάλιστα τότε — οὐ γὰρ ἦσαν ἴσως ἱκανοὶ πρᾶγμα συνιδεῖν οὔτε τοιοῦτοι οἷοι οἱ ἔξωθεν δικασταὶ νόμων ἔμπειροι καὶ ῥητορείας, ὅτε ἐξ ἰδιωτῶν οἱ πλείους ὄντες — ὅρα πῶς αὐτοὺς ἀξιοπίστους ποιεῖ πρῶτον ἁγίους καλέσας. Ἀλλ' ἐπειδὴ τοῦτο βίου καθαρότητα, οὐκέτι δὲ ἀκρίβειαν τὴν περὶ τὴν ἀκρόασιν αὐτοῖς ἐμαρτύρει, ὅρα πῶς καὶ τοῦτο μεθοδεύει τὸ μέρος λέγων οὕτως· «Ἢ οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι;». Σὺ τοίνυν ὁ μέλλων κρίνειν ἐκείνους τότε, πῶς ὑπ' ἐκείνων ἀνέχῃ κρίνεσθαι νῦν; Κρινοῦσι δὲ οὐχὶ αὐτοὶ καθήμενοι καὶ λόγον ἀπαιτοῦντες, ἀλλὰ κατακρινοῦσι. Τοῦτο γοῦν δηλῶν ἔλεγε· «Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;». Οὐ γάρν εἶπεν, ὑφ' ὑμῶν, ἀλλ' «ἐν ὑμῖν», ὥσπερ ὅταν λέγῃ· «Βασίλισσα νότου ἀναστήσεται καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην», καί· «Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην».

Ὅταν γὰρ τὸν αὐτὸν ἥλιον ὁρῶντες καὶ τῶν αὐτῶν μετέχοντες πάντων ἡμεῖς μὲν εὑρεθῶμεν πιστεύσαντες, ἐκεῖνοι δὲ ἠπιστηκότες, οὐ δυνήσονται εἰς ἄγνοιαν κατα-

---

11. αὐτ. 2.
12. Ματθ. 12,42,41.

ξιν, τὴν ὁποίαν πολὺ ἐχρειάζετο εἰς τὴν προκειμένην ὑπόθεσιν, ὥστε νὰ τοὺς ἀποτρέψῃ καὶ νὰ τοὺς πείσῃ. Ἐπειδὴ δηλαδὴ ὁ λόγος του ἦτο περὶ δικαιοσύνης καὶ ἐπειδὴ ὅσοι καταφεύγουν εἰς τὰ δικαστήρια τίποτε δὲν ἐπιζητοῦν τόσον πολὺ ὅσον τὸ νὰ φροντίζουν οἱ δικασταὶ διὰ τὸ δίκαιον, διὰ τὸν λόγον αὐτὸν ἀποτρέπει αὐτοὺς λέγων σχεδὸν τὰ ἑξῆς· Ποῦ πηγαίνεις καὶ τί κάμνεις, ἄνθρωπε; παθαίνεις τὸ ἀντίθετον ἀπὸ ὅτι ἐπιθυμεῖς καὶ ἀναθέτεις εἰς ἀδίκους τὴν ἀπονομὴν τῆς δικαιοσύνης. Καὶ ἐπειδὴ θὰ ἦτο βαρὺ νὰ ἀκούσουν εὐθὺς ἐξ ἀρχῆς τὸ νὰ μὴ καταφεύγουν εἰς δικαστήρια, δὲν ἀνέφερε τοῦτο εὐθέως, ἀλλ' ἔκανε λόγον μόνον διὰ τοὺς δικαστὰς παραπέμπων τοὺς δικαζομένους ἀπὸ τὰ δικαστήρια τῶν Ἐθνικῶν εἰς τὴν Ἐκκλησίαν.

Ἔπειτα, ἐπειδὴ ἐφαίνετο ὅτι ἦτο ἄξιον καταφρονήσεως τὸ νὰ δικάζεται ἕνας πιστὸς ἀπὸ τοὺς ἀνθρώπους τῆς Ἐκκλησίας, καὶ πρὸ παντὸς τότε —διότι δὲν ἦσαν ἴσως ἱκανοὶ νὰ γνωρίζουν πλήρως τὸ θέμα οὔτε ἦσαν ὡσὰν τοὺς ἐθνικοὺς δικαστὰς ἔμπειροι τῶν νόμων καὶ ἱκανοὶ ρήτορες, ἐπειδὴ οἱ περισσότεροι ἦσαν ἁπλοῖ ἄνθρωποι— κοίταξε πῶς κάμνει αὐτοὺς ἀξιοπίστους μὲ τὸ νὰ τοὺς ἀποκαλέσῃ κατὰ πρῶτον ἁγίους. Ἀλλ' ἐπειδὴ τοῦτο ἐφανέρωνε τὴν καθαρότητα τοῦ βίου, ὄχι ὅμως ὅτι οἱ δικασταὶ θὰ ἔκριναν μὲ δικαιοσύνην κατὰ τὴν δίκην, πρόσεξε πῶς διεξέρχεται μὲ ἐπιδεξιότητα καὶ τοῦτο τὸ σημεῖον λέγων ὡς ἑξῆς· «Ἢ δὲν γνωρίζετε ὅτι οἱ ἅγιοι θὰ κρίνουν τὸν κόσμον;»[11]. Σὺ λοιπὸν ὁ ὁποῖος πρόκειται νὰ κρίνῃς τότε ἐκείνους, πῶς ἀνέχεσαι τώρα νὰ κρίνεσαι ἀπὸ ἐκείνους; Αὐτοὶ δὲ δὲν θὰ κρίνουν ὡς ἀμερόληπτοι δικασταί, ποὺ ζητοῦν νὰ εὕρουν τὸ δίκαιον, ἀλλὰ θὰ καταδικάζουν. Τοῦτο ἀκριβῶς ἐτόνιζε λέγων· «Καὶ ἐὰν ὁ κόσμος θὰ κριθῇ μὲ κριτήριον ἐσᾶς, εἶσθε ἀνάξιοι νὰ κρίνετε ἀσημάντους ὑποθέσεις;». Δὲν εἶπε δηλαδὴ 'ἀπὸ σᾶς', ἀλλὰ «μὲ κριτήριον ἐσᾶς», ὅπως ὅταν λέγῃ· «Ἡ βασίλισσα τοῦ νότου θὰ ἀναστηθῇ καὶ θὰ κρίνῃ τὴν γενεὰν αὐτήν», καί· «Ἄνδρες Νινευῖται θὰ ἀναστηθοῦν καὶ θὰ κρίνουν τὴν γενεὰν αὐτήν»[12].

Ὅταν λοιπόν, ἐνῷ βλέπομεν τὸν ἴδιον ἥλιον καὶ ἐνῷ ζῶμεν καθ' ὅλα τὴν ἰδίαν κοινωνικὴν ζωήν, ἡμεῖς μὲν πιστεύωμεν, ἐκεῖνοι δὲ παραμένουν ἄπιστοι, δὲν θὰ ἠμπορέσουν νὰ προφασισθοῦν

φυγεῖν· κατηγορήσομεν γὰρ αὐτῶν ἡμεῖς δι' αὐτῶν, ὧν ἐπράξαμεν. Καὶ πολλὰ τοιαῦτα εὑρήσει τις ἐκεῖ κριτήρια. Εἶτα, ἵνα μὴ δόξῃ τις περὶ ἄλλων λέγειν, ὅρα πῶς κοινοποιεῖ τὸν λόγον· «Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;» Αἰσχύνην ὑμῖν φέρει τὸ πρᾶγμα, φησί, καὶ ὄνειδος ἄφατον. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὑπὸ τῶν ἔσω κρινομένους αἰσχύνεσθαι, τοὐναντίον μὲν οὖν ἐστιν αἰσχύνη, φησίν, ὅταν ὑπὸ τῶν ἔξω κρίνησθε· ἐκεῖνα γάρ ἐστιν ἐλάχιστα τὰ κριτήρια, οὐ ταῦτα.

3. «Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;». Τινὲς ἐνταῦθά φασι τοὺς ἱερέας αἰνίττεσθαι· ἀλλ' ἄπαγε· περὶ γὰρ δαιμόνων ὁ λόγος αὐτῷ. Εἰ γὰρ περὶ ἱερέων ἔλεγε διεφθαρμένων, ᾐνίξατο ἂν αὐτοὺς ἄνω εἰπὼν ὅτι ἐν ὑμῖν κρίνεται ὁ κόσμος· οἶδε γὰρ κόσμον καὶ τοὺς πονηροὺς ἀνθρώπους καλεῖν ἡ γραφή· καὶ οὐκ ἂν ἐκ δευτέρου τὸ αὐτὸ εἶπεν, οὐδ' ἂν ὡς μεῖζόν τι λέγων ἀγγέλων, περὶ ὧν φησιν ὁ Χριστός· «Πορεύεσθε· εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»· καὶ ὁ Παῦλος ὅτι «Οἱ ἄγγελοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης». Ὅταν γὰρ αἱ ἀσώματοι δυνάμεις αὗται ἔλαττον ἡμῶν εὑρεθῶσιν ἔχουσαι τῶν σάρκα περιβεβλημένων, χαλεπωτέραν δώσουσι δίκην. Εἰ δὲ ἔτι φιλονεικοῖέν τινες ἱερέας λέγειν αὐτόν, ἐρώμεθα ποίους ἱερέας; Τοὺς βιωτικῶς περιπατήσαντας πάντως. Πῶς οὖν φησιν, «Ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά;» πρὸς ἀντιδιαστολὴν τῶν βιωτικῶν τιθεὶς τοὺς ἀγγέλους; εἰκότως, ἅτε τῆς τούτων χρείας ἐκτὸς γενομένους διὰ τὴν τῆς φύσεως ὑπεροχήν.

«Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ Ἐκκλησίᾳ τούτους καθίζετε». Μεθ' ὑπερβο-

---

13. Α' Κορ. 6,3.
14. Ματθ. 25,41.
15. Β' Κορ. 11,15.
16. Α' Κορ. 6,4.

ἄγνοιαν, διότι ἡμεῖς θὰ εἴμεθα οἱ κατήγοροι αὐτῶν μὲ ὅσα ἐπράξαμεν. Καὶ πολλὰς τέτοιας ὑποθέσεις θὰ εὕρῃ κανεὶς ἐκεῖ. Ἔπειτα, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ὁμιλεῖ περὶ ἄλλων, κοίταξε πῶς ἀναπτύσσει τὸν λόγον του ὥστε νὰ ἔχῃ κοινὸν ἐνδιαφέρον· «Καὶ ἐὰν ὁ κόσμος θὰ κριθῇ μὲ κριτήριον ἐσᾶς, εἶσθε ἀνάξιοι νὰ κρίνετε ἀσημάντους ὑποθέσεις»[13]. Τὸ πρᾶγμα, λέγει, σᾶς φέρει αἰσχύνην καὶ ἀπερίγραπτον ὄνειδος. Ἐπειδὴ δηλαδὴ αὐτοὶ ἦτο πιθανὸν νὰ ἐντρέποντο, ἐὰν ἐκρίνοντο ὑπὸ πιστῶν, τὸ ἀντίθετον βεβαίως, λέγει, εἶναι ἐντροπή, τὸ νὰ κρίνεσθε ὑπὸ Ἐθνικῶν, διότι ἐκεῖναι αἱ ὑποθέσεις εἶναι τιποτένιαι καὶ ὄχι αὐταί.

3. «Δὲν γνωρίζετε ὅτι θὰ κρίνωμεν ἀγγέλους, καὶ ὅμως δὲν ἠμποροῦμεν νὰ κρίνωμεν κοσμικὰς ὑποθέσεις;». Μερικοὶ λέγουν ὅτι ἐδῶ ὑπαινίσσεται τοὺς ἱερεῖς, ἀλλὰ μακριὰ ἀπ' ἐδῶ τέτοια σκέψις, διότι ἐδῶ ὁμιλεῖ περὶ δαιμόνων. Ἐὰν δηλαδὴ ὡμίλει περὶ διεφθαρμένων ἱερέων, θὰ ὑπηνίσσετο αὐτοὺς ἀνωτέρω, ὅταν εἶπεν ὅτι «ἐν ὑμῖν κρίνεται ὁ κόσμος», διότι συνηθίζει ἡ Γραφὴ νὰ ὀνομάζῃ κόσμον καὶ τοὺς πονηροὺς ἀνθρώπους· καὶ δὲν θὰ ἔλεγε τὸ ἴδιον διὰ δευτέραν φοράν, οὔτε θὰ εἶχε θέσει αὐτὸ ὕστερον, ἐφ' ὅσον θὰ ἔλεγε κάτι σημαντικόν. Ἀλλ' ὁμιλεῖ περὶ ἐκείνων τῶν ἀγγέλων, περὶ τῶν ὁποίων ὁ Χριστὸς λέγει· «Πηγαίνετε εἰς τὸ πῦρ ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του»[14]· καὶ ὁ Παῦλος λέγει, ὅτι «Οἱ ἄγγελοι αὐτοῦ μεταμορφώνονται εἰς ὑπηρέτας δικαιοσύνης»[15]. Ὅταν δηλαδὴ αὐταὶ αἱ ἀσώματοι δυνάμεις εὑρεθοῦν νὰ εἶναι κατώτεραι ἀπὸ ἡμᾶς τοὺς ἀνθρώπους, οἱ ὁποῖοι ἔχομεν σάρκα, θὰ τιμωρηθοῦν αὐστηρότερα. Ἐὰν δὲ μερικοὶ διαφωνοῦν ἀκόμη καὶ ἐπιμένουν ὅτι ἐδῶ ἐννοεῖ ἱερεῖς, ἂς τοὺς ἐρωτήσωμεν ποίους ἱερεῖς ἐννοεῖ; Αὐτοὺς ποὺ ἔζησαν κατὰ τρόπον ἐξ ὁλοκλήρου κοσμικόν; Πῶς λοιπὸν λέγει «θὰ κρίνωμεν ἀγγέλους, ἐνῷ δὲν ἠμποροῦμεν νὰ κρίνωμεν κοσμικὰς ὑποθέσεις;», ἀναφέρων τοὺς ἀγγέλους πρὸς ἀντιδιαστολὴν τῶν κοσμικῶν πραγμάτων; Ὀρθῶς, διότι λόγῳ τῆς ὑπεροχῆς τῆς φύσεώς των δὲν χρειάζονται αὐτούς.

«Ἐὰν λοιπὸν ἔχητε κοσμικὰς ὑποθέσεις, βάζετε δικαστὰς τοὺς πιὸ τιποτένιους εἰς τὴν ἐκκλησίαν»[16]. Ἐπειδὴ θέλει μὲ ὑπερβολὴν

λῆς ἡμᾶς διδάξαι βουλόμενος ὅτι, οὐδ' ἂν ὁτιοῦν ᾖ, τοῖς ἔξωθεν ἑαυτοὺς διδόναι χρή, τὴν δοκοῦσαν εἶναι ἀντίθεσιν κινήσας προηγουμένως ταύτην ἔλυσεν. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· Ἴσως ἐρεῖ τις ὅτι οὐδεὶς ἐν ὑμῖν σοφὸς οὐδὲ ἱκανὸς διακρῖναι, ἀλλ' εὐκαταφρόνητοι πάντες. Καὶ τί τοῦτο; Κἂν γὰρ μηδεὶς ᾖ σοφός, φησί, τοῖς ἐλαχίστοις ἐπιτρέπετε.

«Τοῦτο δὲ πρὸς ἐντροπὴν ὑμῖν λέγω». Ἐλεγχοντός ἐστι τὴν τούτων ἀντίθεσιν ὡς σκῆψιν οὖσαν περιττήν· διὸ καὶ ἐπήγαγεν· «Οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς;». Τοσαύτη, φησίν, ἀπορία, τοσαύτη σπάνις ἀνδρῶν συνετῶν παρ' ὑμῖν; Καὶ ἡ ἐπαγωγὴ δὲ μείζονα τὴν πληγὴν ἔχει· εἰπὼν γὰρ «Οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς;» ἐπήγαγεν «Ὃς δυνήσεται διακρῖναι μεταξὺ τοῦ ἀδελφοῦ αὐτοῦ;». Ὅταν γὰρ ἀδελφὸς δικάζηται μετὰ ἀδλεφοῦ, οὐδὲ πολλῆς δεῖ τῆς συνέσεως καὶ τῆς δεινότητος τῷ μεσιτεύοντι τῇ δίκῃ, τῆς διαθέσεως καὶ τῆς συγγενείας πολλὰ συμπραττούσης πρὸς τὴν λύσιν τῆς τοιαύτης φιλονεικίας.

«Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων». Εἶδες πῶς ἐν ἀρχῇ μὲν χρησίμως διέβαλε τοὺς δικάζοντας ἀδίκους καλέσας, ἐνταῦθα δὲ ἐντρεπτικῶς ἀπίστους εἰπών; Καὶ γὰρ σφόδρα αἰσχρόν, εἰ μηδὲ ἀδελφοῖς δυνατὸν γενέσθαι καταλλαγῆς αἴτιον τὸν ἱερέα, ἀλλ' ἀνάγκη πρὸς τοὺς ἔξω τρέχειν. Ὥστε εἰπὼν «τοὺς ἐξουθενημένους», οὐ τοῦτο εἶπε προηγουμένως, ὅτι τοὺς ἀπερριμμένους δεῖ καθίζειν, ἀλλὰ καθαπτόμενος αὐτῶν. Ὅτι γὰρ τοῖς δυναμένοις διακρίνειν ἐπιτρέπειν χρή, ἐδήλωσεν εἰπὼν «Οὕτως οὐκ ἔνι σοφὸς ἐν ὑμῖν οὐδὲ εἷς;» καὶ ἐκ περιουσίας ἐπιστομίζων καὶ λέγων ὅτι, εἰ καὶ μηδεὶς ἦν σοφὸς ἐν ὑμῖν, τοῖς ἀσυνέτοις ἐπιτρέπειν ἐχρῆν μᾶλλον

17. αὐτ. 5.
18. αὐτ. 6.

νὰ μᾶς διδάξῃ ὅτι, οἱονδήποτε καὶ ἂν εἶναι τὸ ζήτημα, δὲν πρέπει νὰ παραδίδωμεν τοὺς ἑαυτούς μας εἰς τοὺς Ἐθνικοὺς διὰ κρίσιν, ἀφοῦ ἀνέφερε προηγουμένως τὴν φαινομενικὴν ἀντίθεσιν, τὴν ἔλυσεν. Αὐτὸ δηλαδὴ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἴσως νὰ εἴπῃ κάποιος ὅτι δὲν ὑπάρχει μεταξύ σας κανεὶς σοφὸς οὔτε ἱκανὸς νὰ κρίνῃ τὸ δίκαιον, ἀλλ' ὅλοι εἶναι εὐκαταφρόνητοι. Καὶ τί μὲ αὐτό; Καὶ ἄν, λέγει, κανεὶς σοφὸς δὲν ὑπάρχῃ, νὰ ἀναθέτετε τὴν κρίσιν εἰς τοὺς πλέον τιποτένιους.

«Αὐτὸ τὸ λέγω πρὸς ἐντροπήν σας»[17]. Μὲ αὐτὸ ἐλέγχει τὴν ἀντίθεσιν τούτων ὡς περιττὴν δικαιολογίαν· διὰ τοῦτο καὶ προσέθεσε· «Τόσον δὲν ὑπάρχει οὔτε ἕνας συνετὸς μεταξύ σας;». Τόσον μεγάλη, λέγει, εἶναι ἡ ἔλλειψις, τόσον μεγάλη σπάνις συνετῶν ἀνδρῶν ὑπάρχει εἰς ἐσᾶς; Καὶ αὐτὸ ποὺ προσθέτει, πλήττει ἀκόμη περισσότερον· διότι, ἀφοῦ εἶπε, «Τόσον δὲν ὑπάρχει οὔτε ἕνας συνετὸς μεταξύ σας;», προσέθεσεν· «ποῖος θὰ ἠμπορέσῃ νὰ κρίνῃ διὰ διαφορὰν μεταξὺ τοῦ ἑνὸς ἀδελφοῦ καὶ τοῦ ἄλλου;». Ὅταν δηλαδὴ ἀδελφὸς δικάζεται μὲ ἀδελφόν, ἐκεῖνος ποὺ μεσιτεύει μεταξὺ τῶν δύο εἰς τὴν δίκην δὲν χρειάζεται πολλὴν σύνεσιν καὶ καταπληκτικὰς ἱκανότητας, διότι ἡ ψυχικὴ διάθεσις καὶ ἡ συγγένεια τῆς πίστεως συμβάλλει πολὺ εἰς τὴν λύσιν τῆς φιλονεικίας αὐτῆς.

«Ἀλλὰ ἀδελφὸς δικάζεται μὲ ἀδελφὸν καὶ μάλιστα εἰς δικαστήρια ἀπίστων»[18]. Εἶδες πῶς εἰς τὴν ἀρχὴν μὲν διέβαλεν σκοπίμως τοὺς δικάζοντας μὲ τὸ νὰ τοὺς ὀνομάσῃ ἀδίκους, τώρα δὲ κάνει τοὺς πιστοὺς νὰ ἐντρέπωνται μὲ τὸ νὰ ὀνομάσῃ τοὺς δικαστὰς ἀπίστους; Διότι πράγματι εἶναι πολὺ αἰσχρόν, ἐὰν ὁ ἱερεὺς δὲν εἶναι δυνατὸν νὰ ἐπιτύχῃ συμφιλίωσιν οὔτε μεταξὺ ἀδελφῶν, ἀλλ' εἶναι ἀνάγκη νὰ καταφεύγουν εἰς τοὺς Ἐθνικούς. Ὥστε μὲ τὸ νὰ εἴπῃ, «τοὺς τιποτένιους», δὲν εἶπε κυρίως τοῦτο, ὅτι δηλαδὴ πρέπει νὰ θέτουν ὡς δικαστὰς τοὺς τιποτένιους, ἀλλὰ ἐπιτιμᾷ αὐτούς. Ὅτι δηλαδὴ πρέπει νὰ ἀναθέτουν τὴν κρίσιν εἰς τοὺς ἱκανοὺς νὰ ἀποδώσουν δικαιοσύνην, τὸ ἐδήλωσε μὲ τὸ νὰ εἰπῇ «Τόσον δὲν ὑπάρχει μεταξύ σας οὔτε ἕνας συνετός;»· καὶ ἐπὶ πλέον τοὺς ἀποστομώνει λέγων ὅτι, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε κανεὶς σοφὸς μεταξύ σας, ἔπρεπε νὰ ἀναθέσετε τὴν δίκην εἰς τοὺς ἀσυνέτους μᾶλ-

τὴν ἀκρόασιν ἢ τοὺς ἔξωθεν δικάζειν. Πῶς γὰρ οὐκ ἄτοπον ἐν οἰκίᾳ μὲν γινομένης μάχης μηδένα τῶν ἔξωθεν καλεῖν, ἀλλ' αἰσχύνεσθαι, εἰ διαδοθείη πρὸς τοὺς ἔξω τὰ ἔνδον γινόμενα· ἔνθα δὲ Ἐκκλησία, τῶν ἀπορρήτων μυστηρίων ὁ θησαυρός, πάντα ἐκφέρεσθαι ἔξω; «Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ ταῦτα ἐπὶ ἀπίστων». Διπλοῦν τὸ ἔγκλημα, ὅτι κρίνεται, καὶ ἐπὶ ἀπίστων. Εἰ γὰρ καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἁμάρτημα τὸ πρὸς ἀδελφὸν κρίνεσθαι, τὸ καὶ ἐπὶ ἐξωτικῶν ποίαν ἔχει συγγνώμην;

4. «Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν». Εἶδες ποῦ αὐτὸ ἐτήρησε καὶ πῶς εὐκαίρως αὐτὸ ἀνεῖλεν; Οὔπω γὰρ λέγω, φησί, τίς ἀδικεῖ ἢ τίς ἀδικεῖται· τέως αὐτῷ τῷ κρίνεσθαι ἑκάτερος διαβέβληται, καὶ οὐδὲν ἕτερος ἑτέρου βελτίων κατὰ τοῦτο. Εἰ δὲ δικαίως ἢ ἀδίκως κρίνεται, ἑτέρου λόγου τοῦτο. Μὴ τοίνυν λέγε, τίς ἠδίκησεν; ἐντεῦθεν γὰρ ἤδη σε κατακρίνω ἀπὸ τοῦ δικάζεσθαι. Εἰ δὲ τὸ μὴ δύνασθαι φέρειν ἀδικοῦντα, ἔγκλημα, τὸ καὶ ἀδικεῖν πόσης κατηγορίας ἄξιον; «Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' αὐτοὶ ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς». Πάλιν διπλοῦν τὸ ἔγκλημα, τάχα δὲ καὶ τριπλοῦν καὶ τετραπλάσιον. Ἓν μέν, τὸ μὴ εἰδέναι ἀδικούμενον φέρειν· δεύτερον δέ, τὸ καὶ ἀδικεῖν· τρίτον, τὸ καὶ τοῖς ἀδίκοις ἐπιτρέπειν περὶ τούτων· τέταρτον, τὸ καὶ ἀδελφόν· οὐδὲ γὰρ ὁμοίως τὰ ἁμαρτήματα κρίνεται, ὅταν εἰς τὸν τυχόντα καὶ εἰς τὸ οἰκεῖον γίνηται μέλος· ἀπὸ γὰρ

---

19. αὐτ. 7.
20. αὐτ. 8.

λον παρὰ νὰ δικάζουν τὴν ὑπόθεσιν οἱ Ἐθνικοί. Διότι πῶς δὲν θὰ ἦτο παράξενον, ὅταν μὲν ὑπάρχῃ σύγκρουσις μέσα εἰς μίαν οἰκίαν, κανένα ξένον νὰ μὴ καλοῦν ὡς κριτήν, ἀλλὰ νὰ ἐντρέπωνται, ἐὰν διαδοθοῦν εἰς τοὺς ξένους τὰ ὅσα συμβαίνουν μέσα εἰς τὴν οἰκίαν· προκειμένου δὲ περὶ τῆς Ἐκκλησίας, τοῦ θησαυροῦ τῶν ἀπορρήτων μυστηρίων, δὲν εἶναι παράξενον τὸ νὰ κοινολογοῦν τὰ πάντα εἰς τοὺς Ἐθνικούς; «Ἀλλὰ ἀδελφὸς δικάζεται μὲ ἀδελφὸν καὶ μάλιστα εἰς δικαστήρια ἀπίστων;». Τὸ ἔγκλημα εἶναι διπλοῦν, πρῶτον ὅτι δημιουργεῖται θέμα ἀπονομῆς δικαιοσύνης, καὶ δεύτερον, ὅτι διὰ τὴν κρίσιν καταφεύγουν εἰς τοὺς ἀπίστους. Ἐὰν δηλαδὴ εἶναι ἁμάρτημα αὐτὸ καθ' ἑαυτὸ τὸ γεγονὸς ὅτι γίνονται δίκαι μεταξὺ ἀδελφῶν, τὸ νὰ καταφεύγουν εἰς τὴν κρίσιν Ἐθνικῶν πῶς εἶναι δυνατὸν νὰ συγχωρηθῇ;

4. «Καὶ μόνον τὸ ὅτι ἔχετε δίκας μεταξύ σας εἶναι ὁπωσδήποτε εἰς βάρος σας»[19]. Εἶδες διὰ ποῦ τὸ ἐκράτησε καὶ πῶς τὸ κατεδίκασεν εἰς τὴν κατάλληλον στιγμήν; Δὲν ἐρωτῶ δηλαδὴ ἀκόμη, λέγει, ποῖος ἀδικεῖ ἢ ποῖος ἀδικεῖται· κατὰ πρῶτον, τὸ ἴδιον τὸ γεγονὸς ὅτι ἔχουν δικαστικὰς διαφορὰς ἀποτελεῖ ἐπιβαρυντικὸν στοιχεῖον καὶ διὰ τὸν ἕνα καὶ διὰ τὸν ἄλλον, καὶ ἐπομένως κατὰ τοῦτο ὁ ἕνας δὲν εἶναι καθόλου καλύτερος ἀπὸ τὸν ἄλλον. Ἐὰν δὲ δικαίως ἢ ἀδίκως ἔχουν δικαστικὰς διαφοράς, τοῦτο εἶναι ἄλλο θέμα. Μὴ λοιπὸν λέγῃς, ποῖος ἠδίκησε; διότι σὲ κατακρίνω ἤδη διὰ τὸ ὅτι καταφεύγεις εἰς τὸ δικαστήριον, διὰ νὰ εὕρῃς τὸ δίκαιόν σου. Ἐφ' ὅσον δὲ ἐπισύρει κατηγορίαν τὸ νὰ μὴ ἠμπορῇ κάποιος νὰ ὑπομένῃ νὰ ἀδικῆται, ἄξιον πόσης κατηγορίας εἶναι τὸ νὰ ἀδικῇ ὁ ἴδιος; «Διατί δὲν μποτιμᾶτε νὰ ἀδικῆσθε; διατί δὲν προτιμᾶτε νὰ ἀποστερῆσθε; ἀντιθέτως, σεῖς οἱ ἴδιοι ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ μάλιστα αὐτὰ τὰ κάμνετε πρὸς τοὺς ἀδελφούς σας»[20]. Πάλιν ἡ κατηγορία εἶναι διπλῆ, ἴσως δὲ καὶ τριπλῆ καὶ τετραπλῆ. Πρῶτον μὲν τὸ ὅτι δὲν γνωρίζετε νὰ ὑπομένετε, ὅταν ἀδικῆσθε· δεύτερον δὲ τὸ ὅτι ἀδικεῖτε· τρίτον τὸ ὅτι καταφεύγετε διὰ τὰς ὑποθέσεις σας αὐτὰς εἰς ἀδίκους· τέταρτον τὸ ὅτι ἀδικεῖτε τὸν ἀδελφόν σας, διότι τὰ ἁμαρτήματα δὲν κρίνονται μὲ τὸ ἴδιον μέτρον, ὅταν γίνωνται εἰς τὸν τυχόντα καὶ εἰς μέλος τῆς Ἐκκλησίας· αὐτὸ

πλείονος ἰταμότητος τολμᾶται τοῦτο. Κἀκεῖ μὲν ἡ φύσις τοῦ πράγματος πεπάτηται μόνη, ἐνταῦθα δὲ καὶ ἡ τοῦ προσώπου ποιότης.

Ἐντρέψας τοίνυν ἀπὸ τῶν κοινῶν λογισμῶν καὶ πρὸ τούτων ἀπὸ τῶν κειμένων ἐπάθλων εἰς ἀπειλὴν κατακλείει τὴν παραίνεσιν ἰσχυρότερον ποιῶν τὸν λόγον καὶ οὕτω λέγων· «Οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; Μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε πλεονέκται, οὐ κλέπται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι». Τί λέγεις; περὶ πλεονεκτῶν διαλεγόμενος τοσοῦτον ὄχλον ἐπήγαγες ἡμῖν παρανόμων ἀνθρώπων; Ναί, φησίν· ἀλλ' οὐ συγχέων τὸν λόγον τοῦτο ποιῶ, ἀλλὰ καὶ τάξει προβαίνων. Ὥσπερ γὰρ περὶ τῶν πόρνων διαλεγόμενος μέμνηται πάντων ὁμοῦ, οὕτω πάλιν τοῦ πλεονέκτου μνησθεὶς πάντας εἰς μέσον ἄγει, πρὸς τοὺς ἐλέγχους συνεθίζων τοὺς τὰ τοιαῦτα συνειδότας ἑαυτοῖς. Τὸ γὰρ ἐν ταῖς τῶν ἑτέρων μνήμαις συνεχῶς ἀκούειν τὴν κειμένην κόλασιν αὐτοῖς εὐπαράδεκτον ποιεῖ τὸν ἔλεγχον, ἐπειδὰν τοῖς οἰκείοις αὐτῶν ἁμαρτήμασιν ἐπαποδύηται. Οὐδὲ γὰρ ὡς συνειδὼς ἐνταῦθα αὐτοῖς ταῦτα, οὐδὲ ὡς ἐλέγχων ποιεῖται τὴν ἀπειλὴν ὃ μάλιστα καὶ ἱκανόν ἐστι κατασχεῖν τὸν ἀκροατὴν καὶ μὴ ἀφεῖναι ἀποπηδῆσαι, ὅταν μὴ πρὸς αὐτὸν ὁ λόγος ἀποτείνηται, ἀλλ' ἀδιορίστως λεγόμενος λανθανόντως αὐτοῦ πλήττῃ τὸ συνειδός.

«Μὴ πλανᾶσθε». Ἐνταῦθα αἰνίττεταί τινας λέγοντας ὅπερ καὶ νῦν λέγουσιν οἱ πολλοί, ὅτι φιλάνθρωπος ὢν ὁ Θεὸς καὶ ἀγαθὸς οὐκ ἐπεξέρχεται τοῖς πλημμελήμασι· μὴ δὴ φοβηθῶμεν· οὐδένα γὰρ ἐπ' οὐδενὶ δίκην ἀπαιτήσει ποτέ. Καὶ τούτων ἕνεκέν φησι «Μὴ πλανᾶσθε»· πλάνης γάρ ἐστιν ἐσχάτης καὶ ἀπάτης ἐλπίσαντα χρηστὰ τῶν

---

21. αὐτ. 9-10.

μάλιστα τὸ ἀποτολμᾶτε ἀπὸ μεγάλην ἀναισχυντίαν. Καὶ εἰς μὲν τὴν πρώτην περίπτωσιν καταπατεῖται μόνον ἡ φύσις τοῦ πράγματος, εἰς τὴν δευτέραν ὅμως περίπτωσιν καὶ ἡ ποιότης τοῦ προσώπου.

Ἀφοῦ λοιπὸν τοὺς ἔκαμε νὰ ἐντραποῦν μὲ βάσιν τὴν κοινὴν λογικὴν καὶ ἰδίως τὴν ὑπόμνησιν τῶν βραβείων ποὺ ἔχουν ὁρισθῆ, κλείει τὴν παραίνεσιν μὲ ἀπειλήν, κάμνων ἐντονώτερον τὸν λόγον του καὶ λέγων τὰ ἑξῆς· «Δὲν γνωρίζετε ὅτι οἱ ἄδικοι δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ; Μὴ πλανᾶσθε· δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ οὔτε οἱ πόρνοι οὔτε οἱ εἰδωλολάτραι οὔτε οἱ μοιχοὶ οὔτε οἱ θηλυπρεπεῖς οὔτε οἱ ἀρσενοκοῖται, οὔτε οἱ πλεονέκται οὔτε οἱ κλέπται οὔτε οἱ μέθυσοι οὔτε οἱ ὑβρισταὶ οὔτε οἱ ἅρπαγες»[21]. Τί λέγεις; Ἐνῷ ὁμιλεῖς περὶ πλεονεκτῶν, μᾶς ἀναφέρεις τόσον μέγα πλῆθος παρανόμων ἀνθρώπων; Ναί, λέγει, ἀλλὰ τοῦτο τὸ κάμνω, ὄχι διότι συγχέω τὸν λόγον, ἀλλ' ἀκριβῶς διότι προχωρῶ ἐπὶ τῇ βάσει σχεδίου. Ὅπως ἀκριβῶς ὁμιλῶν περὶ τῶν πόρνων ἐνεθυμήθη ὅλους συγχρόνως τοὺς ἁμαρτωλούς, ἔτσι πάλιν, ἐπειδὴ ἐνεθυμήθη τὸν πλεονέκτην, ἀνέφερεν ὅλους, συνηθίζων εἰς αὐτοέλεγχον ὅσους ἔχουν συνείδησιν τέτοιων ἁμαρτιῶν των. Τὸ νὰ ἀναφέρωνται ἁμαρτήματα ἄλλων, τὸ νὰ ἀκούῃ κανεὶς συνεχῶς τὴν τιμωρίαν ποὺ τοὺς περιμένει, ὑποβοηθεῖ τὴν ἄσκησιν, ὅταν ἀναλαμβάνῃ ἀγῶνα κατὰ τῶν ἰδικῶν του ἁμαρτημάτων. Δηλαδὴ διατυπώνει τὴν ἀπειλὴν αὐτήν, ὄχι διότι γνωρίζει ὅτι αὐτοὶ διέπραξαν αὐτὰ τὰ ἁμαρτήματα οὔτε ὡς νὰ θέλῃ νὰ τοὺς ἐλέγξῃ· διότι αὐτὸ ποὺ κατ' ἐξοχὴν εἶναι ἱκανὸν νὰ συγκρατήσῃ τὸν ἀκροατὴν καὶ νὰ μὴ τὸν ἀφήσῃ νὰ ῥαθυμήσῃ, εἶναι ὅταν δὲν ἀπευθύνεται ὁ λόγος πρὸς αὐτόν, ἀλλ' ἐνῷ λέγεται ἀπροσδιορίστως, πλήττει κρυφίως τὴν συνείδησιν αὐτοῦ.

«Μὴ πλανᾶσθε». Ἐδῶ ὑπαινίσσεται μερικούς, οἱ ὁποῖοι λέγουν αὐτὸ ποὺ λέγουν καὶ τώρα οἱ πολλοί, ὅτι δηλαδὴ ὁ Θεός, ἐπειδὴ εἶναι φιλάνθρωπος καὶ ἀγαθός, δὲν τιμωρεῖ αὐστηρῶς τὰ πλημμελήματα, ἐπομένως ἂς μὴ φοβηθῶμεν, διότι δὲν θὰ τιμωρήσῃ ποτὲ κανένα διὰ τίποτε. Διὰ τοῦτο λέγει «Μὴ πλανᾶσθε»· διότι εἶναι ἡ χειροτέρα πλάνη καὶ ἀπάτη τὸ νὰ ἐλπίσῃ κάποιος σπουδαῖα καὶ νὰ

ἐναντίων ἐπιτυχεῖν, καὶ ταῦτα περὶ Θεοῦ ὑποπτεύειν, ἃ μηδὲ περὶ ἀνθρώπου τις ἐννοήσειε. Διό φησιν ὁ προφήτης ἐκ προσώπου αὐτοῦ· «Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαι σοὶ ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου»· καὶ ὁ Παῦλος ἐνταῦθα, «Μὴ πλανᾶσθε· οὔτε πόρνοι»· τὸν ἤδη καταδικασθέντα πρῶτον τίθησιν· «οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσι».

Πολλοὶ τούτου ἐπελάβοντο τοῦ χωρίου ὡς σφόδρα τραχέος, εἴγε τὸν μέθυσον καὶ λοίδορον μετὰ τοῦ μοιχοῦ καὶ τοῦ ἡταιρηκότος καὶ τοῦ ἀρσενοκοίτου τίθησι· καίτοιγε οὐκ ἴσα τὰ ἐγκλήματα· πῶς οὖν τὰ τῆς κολάσεως ἴσα; Τί οὖν ἐροῦμεν; Ὅτι μάλιστα μὲν οὖν οὐ μικρὸν τὸ τῆς μέθης καὶ τὸ τῆς λοιδορίας, ἐπεὶ καὶ ὁ Χριστὸς τὸν μωρὸν καλέσαντα τὸν ἀδελφὸν τῇ γεέννῃ παρέδωκε· πολλάκις γὰρ ἐντεῦθεν ἐτέχθη θάνατος· καὶ ὁ τῶν Ἰουδαίων δὲ δῆμος τὰ χαλεπώτατα ἐκ τῆς μέθης ἐξήμαρτεν ἁμαρτήματα. Ἔπειτα, ὅτι οὐ περὶ κολάσεως ὁ λόγος αὐτῷ τέως, ἀλλὰ περὶ ἐκπτώσεως βασιλείας. Τῆς μὲν οὖν βασιλείας ὁμοίως καὶ οὗτος καὶ ἐκεῖνος ἐκπίπτουσιν· εἰ δέ τινα ἐν τῇ γεέννῃ διαφορὰν ἕξουσιν, οὐ τοῦ παρόντος καιροῦ ζητεῖν· οὐ γὰρ περὶ τούτου πρόκειται νῦν ἡμῖν.

«Καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε». Σφόδρα ἐντρεπτικῶς ἐπήγαγε λέγων· ἐννοήσατε ἡλίκων ἡμᾶς ἐξείλετο κακῶν ὁ Θεός, ὅσην ἡμῖν φιλανθρωπίας παρέσχετο πεῖραν καὶ ἀπόδειξιν· καὶ οὐδὲ μέχρι τῆς ἀπαλλαγῆς τὴν ἀντίδοσιν ἔδωκεν, ἀλλ' ἐπὶ πολὺ τὴν εὐεργεσίαν προήγαγε· καὶ γὰρ καθαρὸν ἐποίησεν. Ἆρ' οὖν τοῦτο μόνον; Οὐδαμῶς, ἀλλὰ καὶ ἡγίασεν. Ἀλλ' οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ ἐδικαίωσε. Καίτοιγε καὶ τὸν τῶν ἁμαρτημάτων ἀπαλλαγῆναι δωρεὰ μεγάλη· νυνὶ δέ σε καὶ μυρίων ἐνέπλησεν ἀγαθῶν. Καὶ τοῦτο γέγονεν «Ἐν τῷ ὀνό-

---

22. Ψαλμ. 49,21.
23. Α' Κορ. 6,11.

λάβη τὰ ἀντίθετα, καὶ αὐτὸ νὰ τὸ ὑποπτεύεται περὶ τοῦ Θεοῦ, τὴν στιγμὴν ποὺ δὲν πρέπει κανεὶς νὰ τὸ σκεφθῇ οὔτε περὶ ἀνθρώπου. Διὰ τοῦτο ὁ προφήτης λέγει ὁμιλῶν ἐξ ὀνόματός του· «Μὲ ἐθεώρησες ὅμοιόν σου ποὺ δὲν ἐνδιαφέρομαι διὰ τὴν τήρησιν τοῦ νόμου· θὰ σὲ ἐλέγξω δι' αὐτὸ καὶ θὰ παρουσιάσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου»[22]· καὶ ὁ Παῦλος ἐδῶ θέτει πρῶτον τὸν καταδικασθέντα· «Μὴ πλανᾶσθε· δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ οὔτε οἱ πόρνοι οὔτε οἱ μοιχοὶ οὔτε οἱ θηλυπρεπεῖς οὔτε οἱ μέθυσοι».

Πολλοὶ ἠσχολήθησαν μὲ τὸ χωρίον τοῦτο καὶ ἐξέφρασαν τὴν γνώμην των ὅτι εἶναι πολὺ αὐστηρόν, ἐφ' ὅσον θέτει τὸν μέθυσον καὶ τὸν κακολόγον μαζὶ μὲ τὸν μοιχὸν καὶ τὸν πόρνον καὶ τὸν θηλυπρεπῆ· καὶ ὅμως τὰ ἐγκλήματα δὲν εἶναι ἴσα, ἑπομένως πῶς θὰ εἶναι ἴσαι αἱ τιμωρίαι; Τί θὰ ἀπαντήσωμεν λοιπόν; Ὅτι δὲν εἶναι καθόλου μικρὰ τὰ ἁμαρτήματα τῆς μέθης καὶ τῆς κακολογίας, διότι καὶ ὁ Χριστὸς κατεδίκασεν εἰς τὴν κόλασιν ἐκεῖνον ποὺ ὠνόμασε τὸν ἀδελφόν του μωρόν, διότι πολλάκις ἀπὸ τὸ ἁμάρτημα τοῦτο προῆλθε θάνατος· ὁ λαὸς ἐπίσης τῶν Ἰουδαίων ἐξ αἰτίας τῆς μέθης διέπραξε τὰ φοβερώτερα ἁμαρτήματα. Ἔπειτα, κατ' ἀρχὰς δὲν ὁμιλεῖ περὶ κολάσεως ἀλλὰ περὶ ἐκπτώσεως ἀπὸ τὴν βασιλείαν. Καὶ ἀπὸ μὲν τὴν βασιλείαν ὁμοίως καὶ αὐτὸς καὶ ἐκεῖνος ἐκπίπτουν· ἐὰν θὰ ἔχουν δὲ διαφορὰν εἰς τὴν κόλασιν, δὲν εἶναι τῆς παρούσης ὥρας νὰ τὸ ἐξετάσωμεν, διότι δὲν εἶναι αὐτὸ τὸ θέμα μας τώρα.

«Τέτοιοι ἤσασθε μερικοί, ἀλλὰ ἐλούσθητε, ἀλλ' ἡγιάσθητε»[23]. Προκαλῶν πολλὴν τὴν ἐντροπήν των ἔλεγε· Κατανοήσατε ἀπὸ πόσον μεγάλα κακὰ μᾶς ἔσωσεν ὁ Θεός, πόσην φιλανθρωπίαν μᾶς ἔκανε νὰ δοκιμάσωμεν καὶ νὰ διαπιστώσωμεν· καὶ δὲν μᾶς ἀπήλλαξε μόνον ἀπὸ τὰ κακά, ἀλλὰ μᾶς εὐηργέτησεν ἀκόμη περισσότερον, διότι μᾶς ἐκαθάρισε. Καὶ μήπως μόνον τοῦτο; Καθόλου, ἀλλὰ καὶ μᾶς ἡγίασε. Καὶ οὔτε τοῦτο μόνον, ἀλλὰ καὶ μᾶς ἐδικαίωσεν. Ἂν καὶ βέβαια καὶ μόνον τὸ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὰ ἁμαρτήματα ἦτο μεγάλη δωρεά· τώρα ὅμως σὲ ἐγέμισε μὲ μύρια ἀγαθά. Καὶ αὐτὸ

ματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»· οὐκ ἐν τῷδε καὶ τῷδε· ἀλλὰ «καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν».

5: Ταῦτ' οὖν οἰδότες, ἀγαπητοί, καὶ τὸ μέγεθος τῆς γεγενημένης εὐεργεσίας ἐννοοῦντες μένωμεν σωφρόνως βιοῦντες τῶν τε ἀπηριθμημένων καθαρεύοντες ἁπάντων, καὶ τὰ δικαστήρια φεύγωμεν τὰ ἐν ἀγοραῖς ταῖς ἔξω, καὶ τὴν εὐγένειαν, ἣν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο, ταύτην διαφυλάξωμεν. Ἐννόησον γὰρ ἡλίκης ἐστὶν αἰσχύνης καθέζεσθαι Ἕλληνα σοὶ τὰ δίκαια νέμοντα. Τί οὖν, φησίν, ἐὰν παρανόμως ὁ ἔνδον κρίνῃ; Διὰ τί, εἰπέ μοι; κατὰ ποίους γὰρ νόμους δικάζει ὁ Ἕλλην καὶ κατὰ ποίους ὁ Χριστιανός; οὐκ εὔδηλον ὅτι κατὰ μὲν τοὺς τῶν ἀνθρώπων ὁ Ἕλλην, κατὰ δὲ τοὺς τοῦ Θεοῦ ὁ Χριστιανός; Οὐκοῦν ἐνταῦθα μᾶλλον τὸ δίκαιον, ἐπειδὴ καὶ ἐξ οὐρανῶν εἰσιν οἱ νόμοι πεμφθέντες. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν μετὰ τῶν εἰρημένων καὶ ἕτερά ἐστιν ὑποπτεῦσαι πολλά, καὶ ῥητόρων δεινότητα καὶ διαφθορὰν ἀρχόντων καὶ πολλὰ ἄλλα τὸ δίκαιον λυμαίνεται· ἐνταῦθα δὲ τοιοῦτον οὐδέν.

Τί οὖν, ἂν ὁ ἀντίδικος δυνάστης ᾖ; φησί. Καὶ διὰ τοῦτο μὲν οὖν μάλιστα δικάζεσθαι ἐνταῦθα χρή· ἐν γὰρ τοῖς ἔξω δικαστηρίοις περιέσται σου πάντως. Εἰ δὲ οὐκ ἀνέχεται, ἀλλὰ καὶ τῶν ἔνδον καταφρονεῖ καὶ ἔξω πρὸς βίαν ἕλκει, βέλτιον, ὅπερ ἐξ ἀνάγκης μέλλεις πάσχειν, ἑκόντα ὑποστῆναι καὶ μὴ δικάσασθαι, ἵνα καὶ μισθὸν ἔχῃς. «Ἂν γάρ τίς σοι θέλῃ κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἀφήσεις αὐτῷ καὶ τὸ ἱμάτιον» καὶ «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Καὶ τί χρὴ λέγειν τὰ ἡμέτερα; καὶ γὰρ αὐτοὶ οἱ τῶν ἔξω-

24. Ματθ. 5,40, 25.

ἔγινεν «Εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»· ὄχι εἰς τὸ ὄνομα αὐτοῦ καὶ ἐκείνου, ἀλλὰ «καὶ εἰς τὸ Πνεῦμα τοῦ Θεοῦ μας».

5. Αὐτὰ λοιπὸν ἔχοντες ὑπ' ὄψιν μας, ἀγαπητοί μου, καὶ κατανοοῦντες τὸ μέγεθος τῆς εὐεργεσίας, ποὺ μᾶς ἔγινεν, ἂς ζῶμεν συνεχῶς μὲ σωφροσύνην καὶ καθαροὶ ἀπὸ ὅλα τὰ ἁμαρτήματα, ποὺ ἔχομεν ἀπαριθμήσει, καὶ ἂς ἀποφεύγωμεν τὰ δικαστήρια εἰς τὰς ἀγορὰς τῶν Ἐθνικῶν, καὶ τέλος ἂς διαφυλάξωμεν τὴν εὐγένειαν, τὴν ὁποίαν μᾶς ἐχάρισεν ὁ Θεός. Κατανόησε δηλαδὴ πόση ἐντροπὴ εἶναι νὰ εἶναι δικαστὴς ἕνας Ἐθνικός, γιὰ νὰ σοῦ ἀπονείμῃ δικαιοσύνην. Τί νὰ κάνω, θὰ ἔλεγε κάποιος, ἐὰν ὁ Χριστιανὸς κρίνῃ παρανόμως; Διατί νὰ κρίνῃ παρανόμως, εἰπέ μου; κατὰ ποίους δηλαδὴ νόμους κρίνει ὁ Ἐθνικὸς καὶ κατὰ ποίους ὁ Χριστιανός; Δὲν εἶναι ὁλοφάνερον ὅτι ὁ Ἐθνικὸς μὲν κρίνει κατὰ τοὺς νόμους τῶν ἀνθρώπων, ὁ δὲ Χριστιανὸς κατὰ τοὺς νόμους τοῦ Θεοῦ; Ἑπομένως εἰς τὴν δευτέραν περίπτωσιν μᾶλλον ἀπονέμεται δικαιοσύνη, ἐπειδὴ οἱ νόμοι προέρχονται καὶ ἀπὸ τοὺς οὐρανούς. Δηλαδή, εἰς τὴν περίπτωσιν μὲν τῶν Ἐθνικῶν δικαστῶν μαζὶ μὲ ὅσα ἔχουν ἀναφερθῆ καὶ ἄλλα πολλὰ εἶναι δυνατὸν νὰ ὑποπτευθῇ κανείς, ἡ δὲ δεινότης τῶν ῥητόρων, ἡ διαφθορὰ τῶν ἀρχόντων καὶ πολλὰ ἄλλα βλάπτουν τὴν ἀπονομὴν τοῦ δικαίου· εἰς τὴν περίπτωσιν ὅμως τῶν Χριστιανῶν δικαστῶν δὲν συμβαίνει τίποτε τέτοιο.

Καὶ τί πρέπει νὰ γίνῃ, θὰ ἔλεγε κάποιος, ἂν ὁ ἀντίδικος εἶναι ἄρχων; Καὶ δι' αὐτὸν τὸν λόγον λοιπὸν πρέπει πάρα πολὺ νὰ δικασθῇς ἀπὸ Χριστιανὸν δικαστήν, διότι εἰς τὰ δικαστήρια τῶν Ἐθνικῶν θὰ σὲ νικήσῃ ὁπωσδήποτε. Ἐὰν ὅμως δὲν δέχεται τοῦτο, ἀλλὰ καὶ τοὺς Χριστιανοὺς δικαστὰς καταφρονῇ καὶ σὲ σύρῃ βιαίως πρὸς τὰ δικαστήρια τῶν Ἐθνικῶν, εἶναι καλύτερον νὰ μὴ δικασθῇς ἐκεῖ καὶ νὰ ὑποστῇς μὲ τὴν θέλησίν σου ὅ,τι πρόκειται νὰ πάθῃς ἐξ ἀνάγκης, διὰ νὰ ἔχῃς καὶ μισθόν. «Ἂν δηλαδὴ κάποιος θέλῃ νὰ σὲ πάῃ εἰς τὸ δικαστήριον καὶ νὰ πάρῃ τὸν χιτῶνα σου, νὰ τοῦ ἀφήσῃς καὶ τὸ ἱμάτιόν σου»· καί· «Δεῖξε ταχέως φιλικὴν διάθεσιν πρὸς τὸν ἀντίδικόν σου, καθ' ὃν χρόνον πηγαίνεις μαζί του εἰς τὸ δικαστήριον»[24]. Ἀλλὰ διατί πρέπει νὰ εἴπωμεν τὰ ἰδικά μας ἐπιχειρήματα; καθ' ὅσον μάλιστα οἱ ἴδιοι οἱ συνήγοροι τῶν

θεν δικαστηρίων συνήγοροι μυριάκις ταῦτα λέγουσιν, ὅτι βέλτιον ἔξωθεν διαλύεσθαι. Ἀλλ' ὦ τῶν χρημάτων, μᾶλλον δέ, ὦ τοῦ ἀτόπου ἔρωτος τῶν χρημάτων· ὅτι πάντα ἀνέτρεψε καὶ κατέβαλε, καὶ πάντα λῆρος τοῖς πολλοῖς καὶ μῦθοι διὰ τὰ χρήματα. Καὶ τὸ μὲν βιωτικοὺς εἶναι τοὺς τοῖς δικαστηρίοις ἐνοχλοῦντας οὐδὲν θαυμαστόν, τὸ δὲ πολλοὺς τῶν ἀποταξαμένων τὰ αὐτὰ δὴ ταῦτα ποιεῖν, τοῦτό ἐστι ὃ συγγνώμης πάσης ἐστέρηται.

Εἰ γὰρ ἐθέλοις ἰδεῖν πόσον ταύτης ἀπέχειν σε τῆς χρείας, τῆς τῶν δικαστηρίων λέγω, προσέταξεν ἡ Γραφὴ καὶ τίσιν οἱ νόμοι κεῖνται μαθεῖν, ἄκουσον τί φησιν ὁ Παῦλος· «Δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις». Εἰ δὲ περὶ τοῦ Μωϋσαϊκοῦ ταῦτά φησι, πολλῷ μᾶλλον περὶ τῶν ἔξωθεν. Ἂν μὲν οὖν ἀδικῇς, δῆλον ὡς οὐκ ἂν εἴης δίκαιος· ἐὰν δὲ ἀδικῇ καὶ φέρῃς —δικαίου γὰρ μάλιστα τοῦτό ἐστιν— οὐδὲν χρείαν ἔχεις τῶν ἔξωθεν νόμων. Καὶ πῶς δυνήσομαι φέρειν ἀδικούμενος; φησί. Καίτοιγε ὁ Χριστὸς καὶ τούτου τι πλέον προσέταξεν· οὐ γὰρ μόνον ἀδικούμενον φέρειν ἐκέλευσεν, ἀλλὰ καὶ προσεπιδαψιλεύεσθαι τῷ ἀδικοῦντι καὶ τῇ προθυμίᾳ τοῦ πάσχειν ὑπερβαίνειν τὴν ἐπιθυμίαν τοῦ ποιοῦντος κακῶς. Οὐ γὰρ εἶπε, τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν ἄφες τὸν χιτῶνα· ἀλλὰ μετ' ἐκείνου καὶ τὸ ἱμάτιον δός. Νίκησον γὰρ αὐτόν, φησί, τῷ κακῶς πάσχειν, μὴ τῷ κακῶς ποιεῖν· αὕτη γὰρ ἡ σαφὴς νίκη καὶ λαμπρά. Διὸ καὶ προϊὼν ἔλεγεν ὁ Παῦλος· «Ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. Καὶ διὰ τί οὐ μᾶλλον ἀδικεῖσθε;».

Ὅτι γὰρ ὁ ἀδικούμενος νικᾷ μᾶλλον τοῦ μὴ φέροντος ἀδικεῖσθαι, τοῦτο ὑμῖν ποιήσω φανερόν. Ὁ μὴ φέρων

---

25. Α' Τιμ. 1,9

δικαστηρίων τῶν Ἐθνικῶν μυριάκις λέγουν αὐτά, ὅτι δηλαδὴ εἶναι καλύτερον νὰ συμφιλιωθῇ κανεὶς πρὸ τῆς δίκης. Ἀλλ' ὢ τὰ χρήματα, μᾶλλον δέ, ὢ παράλογε ἔρωτα τῶν χρημάτων, διότι ὅλα τὰ ἀνέτρεψε καὶ τὰ κατέβαλε, καὶ διὰ τοὺς πολλοὺς τὰ πάντα εἶναι φλυαρία καὶ μῦθοι πρὸς χάριν τῶν χρημάτων. Καὶ τὸ νὰ ἔχουν μὲν καταληφθῆ ἀπὸ τὰς κοσμικὰς μερίμνας αὐτοὶ ποὺ ἀσχολοῦνται μὲ τὰ δικαστήρια δὲν εἶναι καθόλου παράξενον, τὸ νὰ κάμνουν ὅμως τὰ ἴδια πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἀπηρνήθησαν τὰ βιωτικά, τοῦτο δὲν συγχωρεῖται καθόλου.

Ἐὰν δηλαδὴ θέλῃς νὰ ἴδῃς πόσον ὥρισεν ἡ Γραφὴ νὰ ἀπέχῃς ἀπὸ τὴν ἀνάγκην αὐτήν, ἐννοῶ τὴν ἀνάγκην τῶν δικαστηρίων, καὶ διὰ νὰ μάθῃς διὰ ποίους ἔχουν τεθῆ οἱ νόμοι, ἄκουσε τί λέγει ὁ Παῦλος· «Ὁ νόμος δὲν ἐτέθη διὰ τὸ δίκαιον, ἀλλὰ διὰ τοὺς ἀνόμους καὶ τοὺς ἀνυποτάκτους»[25]. Καὶ ἂν αὐτὰ τὰ λέγῃ περὶ τοῦ Μωσαϊκοῦ Νόμου, πολὺ περισσότερον αὐτὰ ἰσχύουν περὶ τῶν νόμων τοῦ κόσμου. Ἂν μὲν λοιπὸν ἀδικῇς, εἶναι φανερὸν ὅτι δὲν εἶσαι δίκαιος· ἐὰν δὲ ἀδικῆσαι καὶ ὑπομένῃς —διότι τοῦτο πρὸ παντὸς δεικνύει τὸ δίκαιον— δὲν ἔχεις καμμίαν ἀνάγκην τῶν κοσμικῶν νόμων. Καὶ πῶς θὰ ἠμπορέσω νὰ ὑπομένω νὰ ἀδικοῦμαι; θὰ ἔλεγε κάποιος. Καὶ ὅμως ὁ Χριστὸς ἐπρόσταξε καὶ κάτι ἐπὶ πλέον αὐτοῦ· δηλαδὴ ὄχι μόνον παρήγγειλε νὰ ὑπομένῃ κανείς, ὅταν ἀδικῆται, ἀλλὰ καὶ νὰ παρέχῃ εἰς τὸν ἀδικοῦντα ἄφθονα ἀγαθὰ καὶ μὲ τὴν προθυμίαν τῆς ὑπομονῆς εἰς τὰς ἀδικίας νὰ ὑπερβαίνῃ τὴν ἐπιθυμίαν τῆς ἀνταποδόσεως τοῦ κακοῦ. Δὲν εἶπε δηλαδή, Εἰς ἐκεῖνον ποὺ θέλει νὰ σὲ σύρῃ εἰς δικαστήριον καὶ νὰ λάβῃ τὸν χιτῶνα σου δῶσε τὸν χιτῶνα, ἀλλὰ λέγει· «μαζὶ μὲ τὸν χιτῶνα δῶσε καὶ τὸ ἱμάτιόν σου». Δηλαδή, νίκησέ τον, λέγει, τὸν ἄδικον ὑφιστάμενος ἀδικίαν, καὶ ὄχι μὲ τὸ νὰ ἀδικῇς· αὐτὴ εἶναι ἡ σαφὴς καὶ λαμπρὰ νίκη. Διὰ τοῦτο προηγουμένως ὁ Παῦλος ἔλεγε· «Καὶ μόνον ὅτι ἔχετε δίκας μεταξύ σας εἶναι ὁπωσδήποτε εἰς βάρος σας. Καὶ διατί δὲν προτιμᾶτε νὰ ἀδικῆσθε;».

Τὸ ὅτι δηλαδὴ ἐκεῖνος ποὺ ὑπομένει τὴν εἰς βάρος του ἀδικίαν ἐπιτυγχάνει μεγαλυτέραν νίκην θὰ σᾶς τὸ καταστήσω φανερόν. Ἐκεῖνος ποὺ δὲν ὑπομένει τὴν ἀδικίαν, καὶ ἂν ἀκόμη φέρῃ τὸν ἄδι-

ἀδικεῖσθαι, κἂν εἰς δικαστήριον ἑλκύσῃ, κἂν περιγένηται, τότε μάλιστα ἥττηται· ὃ γὰρ οὐκ ἤθελεν, ἔπαθεν· ἠνάγκασε γοῦν αὐτὸν ὁ ἀντίδικος καὶ ἀλγῆσαι καὶ δικάσασθαι. Τί γὰρ ὅτι νενίκηκας; τί δὲ ὅτι τὰ χρήματα ἀπέλαβες ἅπαντα; ὅπερ οὐκ ἐβούλου τέως ὑπέμεινας, ἀναγκασθεὶς δικάσασθαι. Ἂν δὲ ἐνέγκῃς τὴν ἀδικίαν, νικᾷς χρημάτων μὲν ἀποστερούμενος, τῆς δὲ νίκης οὐκέτι τῆς ἐπὶ τῇ φιλοσοφίᾳ ταύτῃ· οὐ γὰρ ἴσχυσέ σε ἀναγκάσαι ἐκεῖνος, ὅπερ οὐκ ἐβούλου, ποιῆσαι. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, εἰπέ μοι, τίς ἐνίκησεν ἐπὶ τῆς κοπρίας; τίς ἡττήθη; ὁ πάντα ἀφαιρεθεὶς Ἰὼβ ἢ ὁ πάντα ἀφελόμενος διάβολος; Δῆλον ὅτι ὁ πάντα ἀφελόμενος διάβολος. Τίνα θαυμάζομεν τῆς νίκης, τὸν διάβολον τὸν πλήξαντα ἢ τὸν Ἰὼβ τὸν πληγέντα; Δῆλον ὅτι τὸν Ἰώβ. Καίτοιγε οὐκ ἴσχυσε χρήματα ἀπολλύμενα κατασχεῖν, οὐ σῶσαι τοὺς παῖδας τοὺς αὐτοῦ. Καὶ τί λέγω χρήματα καὶ παῖδας; τὴν τοῦ σώματος οὐκ ἴσχυσε περιποιήσασθαι σωτηρίαν. Ἀλλ' ὅμως οὗτός ἐστιν ὁ νίκησας, ὁ πάντα τὰ ὄντα ἀποβαλών. Χρήματα μὲν γὰρ οὐκ ἴσχυσε κατασχεῖν, τὴν δὲ εὐσέβειαν κατέσχε μετὰ ἀκριβείας ἁπάσης.

Ἀλλὰ παισὶν οὐκ ἐπήμυνεν ἀπολλυμένοις. Καὶ τί τοῦτο; καὶ γὰρ ἐκείνους λαμπροτέρους ἐποίησε τὸ συμβάν, καὶ ἑαυτῷ δὲ οὕτως ἤμυνεν ἐπηρεαζομένῳ. Εἰ δὲ μὴ κακῶς ἔπαθε καὶ ἠδικήθη παρὰ τοῦ διαβόλου, οὐκ ἂν ἐνίκησε τὴν λαμπρὰν νίκην ἐκείνην. Εἰ πονηρὸν ἦν τὸ ἀδικεῖσθαι, οὐκ ἂν ἡμῖν αὐτὸ ἐπέταξεν ὁ Θεός· πονηρὰ γὰρ ὁ Θεὸς οὐκ ἐπιτάττει. Ἢ οὐκ ἴστε ὅτι αὐτός ἐστιν ὁ Θεὸς τῆς δόξης καὶ οὐκ ἂν αἰσχύνῃ καὶ γέλωτι καὶ ζημίᾳ περιβαλεῖν ἡμᾶς ἠθέλησεν, ἀλλὰ τἀναντία προξενῆσαι; Διὰ τοῦτο κελεύει ἀδικεῖσθαι καὶ πάντα πράττει, ὥστε ἀποστῆσαι ἡμᾶς τῶν βιωτικῶν καὶ πεῖσαι τί δόξα καὶ τί αἰσχύνη, τί ζημία καὶ τί κέρδος.

---

26. Φιλοσοφία: Βλ. σχόλιον ἀριθμ. 18 Β' λόγου τοῦ παρόντος.

κον εἰς δικαστήριον, καὶ ἂν ἀκόμη νικήσῃ, τότε ὑφίσταται βαρεῖαν ἧτταν, διότι ἔπαθεν αὐτὸ ποὺ δὲν ἤθελεν· ὁ ἀντίδικος τὸν ἠνάγκασε καὶ νὰ στενοχωρηθῇ καὶ νὰ καταφύγῃ εἰς τὰ δικαστήρια. Τί σημασίαν ἔχει λοιπὸν ὅτι ἐνίκησες καὶ ὅτι ἔλαβες ὀπίσω ὅλα τὰ χρήματά σου; Ὑπέστης αὐτὸ τὸ ὁποῖον δὲν ἤθελες μέχρι πρό τινος, νὰ ἀναγκασθῇς δηλαδὴ νὰ καταφύγῃς εἰς τὰ δικαστήρια. Ἂν ὅμως ὑπομείνῃς τὴν ἀδικίαν, νικᾷς, καὶ χάνεις μὲν τὰ χρήματα, δὲν ἀποστερεῖσαι ὅμως τῆς νίκης, τὴν ὁποίαν ἐκέρδισες μὲ τὴν φιλοσοφικήν σου[26] αὐτὴν στάσιν, διότι ἐκεῖνος δὲν ἔχει τὴν δύναμιν νὰ σὲ ἀναγκάσῃ νὰ κάνῃς ὅ,τι δὲν ἤθελες. Καὶ ὅτι τοῦτο εἶναι ἀληθές, εἰπέ μου, ποῖος ἐνίκησεν ἐπάνω εἰς τὴν κοπριάν; ποῖος ἡττήθη; ὁ Ἰὼβ ποὺ ὅλα τὰ ἔχασεν ἢ ὁ διάβολος ποὺ τοῦ τὰ ἀφήρεσεν ὅλα; Ποῖον θαυμάζιμεν διὰ τὴν νίκην του, τὸν διάβολον ποὺ κατέφερε τὸ πλῆγμα ἢ τὸν Ἰὼβ ποὺ ἐπλήγη; Εἶναι φανερὸν ὅτι θαυμάζομεν τὸν Ἰώβ. Καὶ ὅμως αὐτὸς δὲν εἶχε τὴν δύναμιν νὰ συγκρατήσῃ τὰ χρήματά του ἀπὸ τὴν ἀπώλειαν, δὲν εἶχε τὴν δύναμιν νὰ σώσῃ τὰ ἰδικά του παιδιά. Καὶ τί ἀναφέρω χρήματα καὶ παιδιά; δὲν εἶχε τὴν δύναμιν νὰ διασώσῃ τὸ σῶμα του. Ἀλλ' ὅμως αὐτὸς εἶναι ὁ νικητής, αὐτὸς ποὺ ἔχασε τὰ πάντα. Χρήματα μὲν δὲν ἠμπόρεσε νὰ διατηρήσῃ, ἐκράτησε τὴν εὐσέβειαν μὲ πᾶσαν ἀκρίβειαν.

Ἀλλ' ὅμως δὲν ἔσπευσεν εἰς βοήθειαν τῶν παιδιῶν του καθὼς ἐχάνοντο. Καὶ τί μὲ αὐτό; διότι εἰς τὴν πραγματικότητα τὸ συμβὰν ἔκανε ἐκείνους λαμπροτέρους, καὶ ἔτσι ἐβοήθησε τὸν ἑαυτόν του, ὅταν ἀντεμετώπιζε τὸν πειρασμόν. Ἐὰν ὅμως δὲν εἶχε πάθει κακὸν καὶ δὲν εἶχε ἀδικηθῇ ἀπὸ τὸν διάβολον, δὲν θὰ ἐκέρδιζε τὴν λαμπρὰν ἐκείνην νίκην. Ἐὰν ἦτο κακὸν τὸ νὰ ἀδικούμεθα, δὲν θὰ μᾶς παρήγγελεν αὐτὸ ὁ Θεός, διότι ὁ Θεὸς δὲν παραγγέλλει πονηρὰ πράγματα. Ἢ δὲν γνωρίζετε ὅτι αὐτὸς εἶναι ὁ Θεὸς τῆς δόξης καὶ ὅτι δὲν θὰ ἦτο δυνατὸν νὰ θελήσῃ νὰ μᾶς περιβάλῃ μὲ αἰσχύνην καὶ γέλωτα καὶ ζημίαν, ἀλλὰ νὰ μᾶς προξενήσῃ τὰ ἀντίθετα; Διὰ τοῦτο μᾶς παραγγέλλει νὰ ἀδικούμεθα καὶ πράττει τὰ πάντα, ὥστε νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ τὰ βιωτικὰ καὶ νὰ μᾶς πείσῃ τί εἶναι δόξα καὶ τί αἰσχύνη, τί ζημία καὶ τί κέρδος.

6. Ἀλλὰ δεινὸν τὸ ἀδικεῖσθαι καὶ ἐπηρεάζεσθαι. Οὐκ ἔστι δεινόν, οὐκ ἔστιν, ἄνθρωπε. Μέχρι τίνος πρὸς τὰ παρόντα ἐπτόησαι; Οὐδὲ γὰρ ἂν ἐπέταξεν αὐτὸ ὁ Θεός, εἰ δεινὸν ἦν. Σκόπει δέ. Ὁ ἠδικηκὼς ἀπῆλθε χρήματα ἔχων, ἀλλὰ καὶ συνειδὸς πονηρόν· ὁ δὲ ἠδικημένος χρημάτων μὲν ἀπεστερημένος, παρρησίαν δὲ κεκτημένος πρὸς τὸν Θεόν, κτῆμα μυρίων θησαυρῶν τιμιώτερον.

Ταῦτ' οὖν εἰδότες φιλοσοφῶμεν ἐκ προαιρέσεως καὶ μὴ πάσχωμεν τὰ τῶν ἀνοήτων, οἳ τότε νομίζουσι μὴ ἀδικεῖσθαι, ὅταν ἀπὸ δικαστηρίου τοῦτο πάθωσι. Τοὐναντίον δὲ ἅπαν ἐστὶν ἡ μεγίστη ζημία καὶ ὅλως, ὅταν μὴ ἑκόντες ταῦτα φιλοσοφῶμεν, ἀλλ' ἡττηθέντες ἐκεῖθεν· οὐδὲν γὰρ κέρδος ἀπὸ δικαστηρίου ἡττηθέντα ἐνεγκεῖν· καὶ γὰρ τῆς ἀνάγκης τὸ πρᾶγμα γίνεται λοιπόν. Τίς οὖν ἡ λαμπρὰ νίκη; Ὅταν σὺ καταφρονήσῃς, ὅταν μὴ δικάσῃ.

Τί φῄς; ἀφῃρέθην ἅπαντα τὰ ὄντα, φησί, καὶ σιγᾶν κελεύεις; ἐπηρεάσθην, καὶ φέρειν πράως παραινεῖς; καὶ πῶς δυνήσομαι; Ῥᾷστα μὲν οὖν, ἂν εἰς τὸν οὐρανὸν ἀναβλέψῃς, ἂν ἴδῃς τὸ κάλλος τοῦτο καὶ ποῦ σε ἐπηγγείλατο δέξασθαι ὁ Θεὸς φέροντα ἀδικίαν γενναίως. Τοῦτο τοίνυν ποίει καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐννόησον ὅτι τῷ ἐκεῖ καθημένῳ ἐπὶ τῶν Χερουβὶμ γέγονας ὅμοιος. Καὶ γὰρ καὶ ἐκεῖνος ὑβρίσθη καὶ ἤνεγκε, καὶ ὠνειδίσθη καὶ οὐκ ἠμύνατο, καὶ ἐτυπτήθη καὶ οὐκ ἐπεξῆλθεν, ἀλλὰ καὶ τοὺς ἐναντίους ἠμείψατο εὐεργεσίαις μυρίαις τοὺς τὰ τοιαῦτα πεποιηκότας, καὶ ἡμᾶς μιμητὰς αὐτοῦ γενέσθαι ἐκέλευσεν. Ἐννόησον ὅτι γυμνὸς ἐξῆλθες ἐκ κοιλίας μητρός σου, γυμνὸς καὶ ἀπελεύσῃ καὶ σὺ κἀκεῖνος ὁ ἠδικηκώς· μᾶλλον δὲ ἐκεῖνος μὲν μετὰ μυρίων τραυμάτων σκώληκα τικτόντων. Ἐννόησον ὅτι πρόσκαιρα τὰ παρόντα,

6. Ἀλλὰ εἶναι φοβερὸν πρᾶγμα ἡ ἀδικία καὶ ὁ πειρασμός. Δὲν εἶναι φοβερόν, δὲν εἶναι ἄνθρωπε. Μέχρι ποίου σημείου δειλιάζεις εἰς τὰ παρόντα; διότι οὔτε ὁ Θεὸς θὰ παρήγγελλεν αὐτό, ἐὰν ἦτο φοβερόν. Πρόσεξε δέ. Ὁ ἄδικος συνήθως ἀπέρχεται ἔχων χρήματα ἀλλὰ καὶ συνείδησιν πονηράν, ὁ δὲ ἠδικημένος ἀπεστερημένος μὲν χρημάτων, ἔχων ὅμως παρρησίαν πρὸς τὸν Θεόν, πρᾶγμα τὸ ὁποῖον εἶναι πολυτιμώτερον μυρίων θησαυρῶν.

Αὐτὰ ἔχοντες ὑπ' ὄψιν μας ἂς φιλοσοφῶμεν μὲ ἐλευθέραν βούλησιν καὶ ἂς μὴ παθαίνωμεν αὐτὰ ποὺ παθαίνουν οἱ ἀνόητοι, οἱ ὁποῖοι νομίζουν ὅτι δὲν ἀδικοῦνται τότε μόνον, ὅταν πάθουν τοῦτο ἀπὸ δικαστήριον. Τὸ ἐντελῶς ἀντίθετον εἶναι ἡ μεγίστη καὶ πλήρης ζημία, ὅταν δὲν ἀσκῶμεν αὐτὴν τὴν φιλοσοφίαν μὲ τὴν θέλησίν μας, ἀλλ' ἀφοῦ ὑποστῶμεν ἧτταν· διότι κανένα κέρδος δὲν ἠμπορεῖ νὰ ἀποκομίσῃ κανεὶς ἀπὸ δικαστήριον, ἂν ἡττηθῇ, ἐφ' ὅσον εἶναι πλέον θέμα ἀνάγκης διὰ συμμόρφωσιν (εἰς τὴν ἀπόφασιν τοῦ δικαστηρίου). Ποία εἶναι λοιπὸν ἡ λαμπρὰ νίκη; Ὅταν σὺ καταφρονήσῃς τὸ δίκαιόν σου, ὅταν δὲν καταφύγῃς εἰς τὸ δικαστήριον.

Τί λέγεις; Μοῦ ἀφήρεσαν, θὰ εἴπῃ κάποιος, ὅλα τὰ ὑπάρχοντά μου καὶ μοῦ παραγγέλλεις νὰ σιωπῶ; Μὲ ἀνεστάτωσαν, καὶ μὲ προτρέπεις νὰ ὑπομένω μὲ πραότητα; καὶ πῶς θὰ ἠμπορέσω νὰ τὸ κάνω αὐτό; Πάρα πολὺ εὔκολα βέβαια, ἂν ἀναβλέψῃς εἰς τὸν οὐρανόν, ἂν ἴδῃς τὸ κάλλος τοῦτο καὶ ποῦ ὑπεσχέθη νὰ σὲ δεχθῇ ὁ Θεός, ἂν ὑπομένῃς τὴν ἀδικίαν μὲ γενναιότητα. Τοῦτο λοιπὸν νὰ κάμνῃς καί, ἀφοῦ ὑψώσῃς τὰ βλέμματά σου εἰς τὸν οὐρανόν, νὰ εἶσαι βέβαιος ὅτι ἔγινες ὅμοιος μὲ τὸν καθήμενον ἐκεῖ ἐπὶ τῶν Χερουβίμ· διότι, ὡς γνωστόν, καὶ ἐκεῖνος ὑβρίσθη, καὶ ὅμως ὑπέμεινε, καὶ ἐχλευάσθη καὶ ὅμως δὲν ἀντέδρασε, καὶ ἐδάρη, καὶ ὅμως δὲν ἀνταπέδωσεν, ἀλλὰ καὶ τοὺς ἐχθρούς του, οἱ ὁποῖοι εἶχον κάμει αὐτοῦ τοῦ εἴδους τὰς πράξεις, τοὺς ἀντήμειψε μὲ μυρίας εὐεργεσίας καὶ ἡμᾶς μᾶς παρήγγειλε νὰ γίνωμεν μιμηταὶ αὐτοῦ. Νὰ σκέπτεσαι ὅτι γυμνὸς ἐξῆλθες ἀπὸ τὴν κοιλίαν τῆς μητρός σου, γυμνὸς καὶ θὰ φύγῃς ἀπὸ τὸν κόσμον αὐτὸν καὶ σὺ καὶ ἐκεῖνος ποὺ σὲ ἠδίκησε, μᾶλλον δὲ ἐκεῖνος μὲ μύρια τραύματα, ποὺ γεννοῦν σκώληκα. Νὰ ἔχῃς εἰς τὸν νοῦν σου ὅτι τὰ παρόντα εἶναι πρόσκαι-

λόγισαι τοὺς τάφους τῶν προγόνων, κατάμαθε τὰ γεγενημένα σαφῶς, καὶ ὄψει ὅτι ἰσχυρότερόν σε ἐποίησεν ὁ ἀδικήσας. Τὸ μὲν γὰρ αὐτοῦ πάθος χαλεπώτερον ἐποίησε, τὴν φιλαργυρίαν λέγω, τὸ δὲ σὸν ἀσθενέστερον λαβὼν τὴν τροφὴν τοῦ θηρίου. Καὶ ἔτι πρὸς τούτοις ἀπήλλαξέ σε φροντίδων, ἀγωνίας, βασκανίας, συκοφαντῶν, θορύβου, ταραχῆς, φόβου διηνεκοῦς, καὶ τὸν φορυτὸν τῶν κακῶν ἐπεσώρευσεν ἐπὶ τὴν ἑαυτοῦ κεφαλήν.

Τί οὖν, ἐὰν λιμῷ παλαίσω; φησί. Μετὰ Παύλου τοῦτο πάσχεις τοῦ λέγοντος, «Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν». Ἀλλ' ἐκεῖνος διὰ τὸν Θεόν, φησί. Καὶ σὺ διὰ τὸν Θεόν· ὅταν γὰρ μὴ ἐπεξέλθῃς, διὰ τὸν Θεὸν τοῦτο ποιεῖς. Ἀλλ' ὁ ἠδικηκὼς μετὰ τῶν πλουτούντων τρυφᾷ, μᾶλλον δὲ μετὰ τοῦ διαβόλου, ἀλλὰ σὺ μετὰ Παύλου στεφανοῦσαι. Μὴ τοίνυν δέδιθι λιμόν· «Οὐ γὰρ λιμοκτονήσει Κύριος ψυχὰς δικαίων». Καὶ ἕτερός φησι πάλιν, «Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει». Εἰ γὰρ τὰ στρουθία τοῦ ἀγροῦ διατρέφει, πῶς σε οὐ διαθρέψει;

Μὴ γινώμεθα τοίνυν ὀλιγόπιστοι μηδὲ ὀλιγόψυχοι, ἀγαπητοί. Ὁ γὰρ βασιλείαν οὐρανῶν ἐπαγγειλάμενος καὶ τοσαῦτα ἀγαθά, τὰ παρόντα πῶς οὐ δώσει; Μὴ περιττῶν ἐπιθυμῶμεν, ἀλλ' αὐταρκείας ἐχώμεθα, καὶ ἀεὶ πλουτήσομεν· σκεπάσματα ζητῶμεν καὶ τροφάς, καὶ πάντων ἐπιληψόμεθα καὶ τούτων καὶ τῶν πολλῷ μειζόνων. Εἰ δὲ ἀλγεῖς ἔτι καὶ κάτω κύπτεις, ἠβουλόμην σοι τοῦ ἠδικηκότος μετὰ τὴν νίκην δεῖξαι τὴν ψυχήν, πῶς τέφρα γίνεται. Καὶ γὰρ ἡ ἁμαρτία τοιοῦτον· ἕως μὲν ἂν ἐργασθῇ, παρέχει τινὰ ἡδονήν, ὅταν δὲ τελεσθῇ, τότε ἡ μικρὰ ἡδονὴ ὑπεξίσταται, ἐπεισέρχεται δὲ ἀθυμία.

26α. Τὴν ἐπιθυμίαν διὰ τὴν διεκδίκησιν τοῦ δικαίου καὶ ἐκδίκησιν τῆς ἀδικίας.

27. Α' Κορ. 4,11.

28. Παρ. 10,3.

29. Ψαλ. 54,23.

ρα, σκέψου τοὺς τάφους τῶν προγόνων, μελέτησε μὲ σαφήνειαν τὰ γεγονότα καὶ θὰ ἴδῃς ὅτι ἐκεῖνος ποὺ σὲ ἠδίκησε σὲ ἔκανε ἰσχυρότερον. Δηλαδή, τὸ μὲν πάθος τὸ ἰδικόν του —ἐννοῶ τὴν φιλαργυρίαν— τὸ ἔκανε φοβερώτερον, τὸ ἰδικόν σου δὲ τὸ ἔκανε ἀσθενέστερον, ἀφοῦ ἔλαβεν ἐκεῖνος τὴν τροφὴν τοῦ θηρίου [26α]. Καὶ ἀκόμη ἐπὶ πλέον σὲ ἀπήλλαξεν ἀπὸ φροντίδας, ἀγωνίαν, φθόνον, συκοφάντας, θόρυβον, ταραχήν, συνεχῆ φόβον, καὶ ἐπεσώρευσεν ἐπὶ τῆς ἰδικῆς του κεφαλῆς τὸ πλῆθος τῶν κακῶν.

Τί νὰ κάνω λοιπόν, ἐὰν παλαίσω μὲ τὴν πεῖναν; θὰ ἔλεγε κάποιος. Τὸ πάσχεις αὐτὸ μαζὶ μὲ τὸν Παῦλον, ὁ ὁποῖος λέγει· «Ἕως αὐτὴν τὴν ὥραν καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμόν»[27]. Ἀλλ' ἐκεῖνος, λέγει, τὸ πάσχει αὐτὸ διὰ τὸν Θεόν. Καὶ σὺ διὰ τὸν Θεόν· διότι, ὅταν δὲν ἀνταποδώσῃς τὸ κακόν, τὸ κάμνεις αὐτὸ διὰ τὸν Θεόν. Καὶ αὐτὸς μὲν ποὺ ἔχει διαπράξει τὴν ἀδικίαν ζῇ ἀνέτως μαζὶ μὲ τοὺς πλουσίους, ἢ καλύτερα ζῇ μαζὶ μὲ τὸν διάβολον, ἐνῷ σὺ στεφανοῦσαι μαζὶ μὲ τὸν Παῦλον. Μὴ λοιπὸν φοβᾶσαι τὴν πεῖναν, διότι «Ὁ Κύριος δὲν θὰ ἐπιτρέψῃ νὰ πεινάσουν οἱ δίκαιοι»[28]. Καὶ ἄλλος πάλιν λέγει· «Ἀνάθεσε εἰς τὸν Κύριον τὴν μέριμνάν σου, καὶ αὐτὸς θὰ σὲ διαθρέψῃ»[29]· διότι, ἐὰν διατρέφῃ τὰ σπουργίτια τοῦ ἀγροῦ, πῶς δὲν θὰ διαθρέψῃ ἐσένα;

Ἂς μὴ γινώμεθα λοιπὸν ὀλιγόπιστοι οὔτε ὀλιγόψυχοι, ἀγαπητοί μου, διότι ἐκεῖνος ποὺ μᾶς ὑπεσχέθη βασιλείαν τῶν οὐρανῶν καὶ τόσα πολλὰ ἀγαθά, πῶς δὲν θὰ μᾶς δώσῃ τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς. Ἂς μὴ ἐπιθυμῶμεν περιττά, ἀλλ' ἂς εἴμεθα αὐτάρκεις, καὶ θὰ εἴμεθα πάντοτε πλούσιοι· ἂς ζητῶμεν σκεπάσματα καὶ τροφάς, καὶ τότε θὰ λάβωμεν τὰ πάντα, καὶ τὰ ἀγαθὰ αὐτοῦ τοῦ βίου καὶ τὰ πολὺ μεγαλύτερα. Ἐὰν ὅμως ἀκόμη στενοχωρῆσαι καὶ σκύβῃς κάτω τὴν κεφαλήν σου, θὰ ἤθελα νὰ σοῦ δείξω μετὰ τὴν νίκην τὴν ψυχὴν αὐτοῦ, ποὺ διέπραξε ἀδικίαν, πῶς γίνεται τέφρα· καθ' ὅσον τέτοια εἶναι ἡ ἁμαρτία. Μέχρις ὅτου νὰ διαπραχθῇ, προσφέρει κάποιαν ἡδονήν, ὅταν ὅμως πραγματοποιηθῇ, τότε ἐξαφανίζεται ἡ μικρὰ ἡδονὴ καὶ εἰσβάλλει εἰς τὸν ἁμαρτήσαντα ἡ ἀθυμία.

Ταῦτα καὶ ὅταν ὑβρίζωμέν τινας, πάσχομεν· ὕστερον γοῦν ἑαυτῶν κατηγοροῦμεν. Οὕτω καὶ ὅταν πλεονεκτήσωμεν, χαίρομεν· μετὰ δὲ ταῦτα κεντούμεθα ὑπὸ τοῦ συνειδότος. Ὁρᾷς παρὰ τῷ δεῖνι τὴν οἰκίαν τοῦ πένητος; Δάκρυσον μὴ τὸν ἀπεστερημένον, ἀλλὰ τὸν εἰληφότα· οὐ γὰρ ἔδωκεν, ἀλλ' ἔλαβε κακόν. Ἐκεῖνον μὲν γὰρ τῶν παρόντων ἀπεστέρησεν, ἑαυτὸν δὲ τῶν ἀφάτων ἀγαθῶν ἐξέβαλεν. Εἰ γὰρ ὁ μὴ δοὺς τοῖς δεομένοις εἰς γέενναν ἄπεισιν, ὁ λαμβάνων τὰ τῶν δεομένων τί πείσεται; Καὶ τί τὸ κέρδος, φησίν, ὅταν ἐγὼ πάθω κακῶς; Μέγα μὲν οὖν τὸ κέρδος. Οὐ γὰρ τῇ τιμωρίᾳ τοῦ κακῶς πεποιηκότος, ἵστησί σοι τὴν ἀντίδοσιν ὁ Θεός· ἐπεὶ οὐδὲν ἂν ἦν μέγα. Τί γὰρ ὄφελος, ὅταν ἐγὼ πάθω κακῶς, κἀκεῖνος πάσχῃ κακῶς; Καίτοιγε πολλοὺς οἶδα μεγίστην παραμυθίαν ταύτην ἡγουμένους καὶ τὸ πᾶν ἀπειληφέναι νομίζοντας, ὅταν τοὺς ἐπηρεάσαντας ἴδωσι κολαζομένους.

Ἀλλ' ὅμως ὁ Θεὸς οὐκ ἐν τούτοις ἵστησι τὴν ἀμοιβήν. Ἀλλὰ βούλει μαθεῖν ὅσα τὰ ἀγαθά σε διαδέξεται; Τὸν οὐρανόν σοι πάντα ἀνοίγει, τῶν ἁγίων ποιεῖ συμπολίτην, εἰς τὸν αὐτὸν χορὸν τελεῖν σε παρασκευάζει, ἁμαρτημάτων ἀπολύει, δικαιοσύνῃ στεφανοῖ. Εἰ γὰρ οἱ τοῖς ἡμαρτηκόσιν ἀφιέντες τυγχάνουσιν ἀφέσεως, οἱ μὴ μόνον ἀφιέντες, ἀλλὰ καὶ ἐπιδαψιλευόμενοι, τίνος οὐ τεύξονται ἀπολογίας; Μὴ τοίνυν ἀγεννῶς ἐνέγκῃς, ἀλλὰ καὶ εὖξαι ὑπὲρ *Μὴ τοίνυν ἀγεννῶς ἐνέγκῃς, ἀλλὰ καὶ εὖξαι ὑπὲρ* *τοῦ ἠδικηκότος· ὑπὲρ γὰρ σαυτοῦ τοῦτο ποιεῖς. Ἔλαβέ σου χρήματα; ἀλλὰ καὶ ἁμαρτίας· ὅπερ καὶ ἐπὶ τοῦ Νεεμὰν καὶ τοῦ Γιεζῆ γέγονε. Πόσον οὐκ ἂν ἠθέλησας δοῦναι πλοῦτον, ὥστε ἀφεθῆναί σοι τὰ ἁμαρτήματα;*

Τοῦτο τοίνυν γίνεται νῦν· ἂν γὰρ ἐνέγκῃς γενναίως καὶ μὴ καταράσῃ, λαμπρὸν ἀνεδήσω τὸν στέφανον. Οὐκ

Αὐτὰ τὰ παθαίνομεν καὶ ὅταν ὑβρίζωμεν κάποιους, ἐνῷ ὕστερον, ὡς γνωστόν, κατηγοροῦμεν τοὺς ἑαυτούς μας. Ἔτσι καὶ ὅταν καταληφθῶμεν ἀπὸ πλεονεξίαν, χαίρομεν· κατόπιν ὅμως μᾶς κεντρίζει ἡ συνείδησίς μας. Βλέπεις τὴν οἰκίαν τοῦ πτωχοῦ πλησίον τοῦ τάδε; Δάκρυσε ὄχι δι' ἐκεῖνον ποὺ ἔχει στερηθῆ, ἀλλὰ δι' αὐτὸν ποὺ ἔχει λάβει, διότι δὲν ἐπροξένησεν, ἀλλ' ἔλαβε κακόν. Δηλαδή, ἐκεῖνον μὲν τὸν ἐστέρησεν ἀπὸ τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς, ἀπέκοψεν ὅμως τὸν ἑαυτόν του ἀπὸ τὰ ἀπερίγραπτα ἀγαθά· διότι, ἐὰν πηγαίνῃ εἰς τὴν κόλασιν αὐτὸς ποὺ δὲν ἔδωσεν εἰς ἐκείνους ποὺ εἶχον ἀνάγκην, τί θὰ πάθῃ αὐτὸς ποὺ λαμβάνει τὰ ὑπάρχοντα τῶν πτωχῶν; Καὶ τί τὸ κέρδος, θὰ ἔλεγε κάποιος, ὅταν ἐγὼ ζημιωθῶ; Πράγματι, μέγα εἶναι τὸ κέρδος· διότι ὁ Θεὸς δὲν σοῦ προσφέρει τὴν ἀνταπόδοσιν μὲ τὴν τιμωρίαν αὐτοῦ, ὁ ὁποῖος σὲ ἔχει βλάψει, διότι τότε δὲν θὰ ἦτο καθόλου σπουδαῖον πρᾶγμα. Τί τὸ ὄφελος, ὅταν καὶ ἐγὼ ζημιωθῶ καὶ ἐκεῖνος ζημιωθῇ; Καὶ ὅμως γνωρίζω πολλοὺς ποὺ φαντάζονται ὅτι εἶναι μεγάλη παρηγορία καὶ νομίζουν ὅτι ἔλαβον πλήρη ἱκανοποίησιν, ὅταν ἴδουν τιμωρουμένους αὐτούς, οἱ ὁποῖοι τοὺς ἔκαμαν κακόν.

Ἀλλ' ὅμως ὁ Θεὸς δὲν μετρᾷ μὲ αὐτὰ τὴν ἀμοιβήν. Ἀλλὰ θέλεις νὰ μάθῃς πόσα ἀγαθὰ θὰ σὲ εὕρουν; Σοῦ ἀνοίγει ὅλον τὸν οὐρανόν, σὲ κάμνει συμπολίτην τῶν ἁγίων, σὲ προετοιμάζει νὰ συμμετάσχῃς εἰς τὸν ἴδιον χορὸν μὲ αὐτούς, σὲ καθαρίζει ἀπὸ τὰ ἁμαρτήματα, σὲ στεφανώνει μὲ τὴν δικαιοσύνην. Ἐὰν δηλαδὴ ἐπιτυγχάνουν ἄφεσιν τῶν ἁμαρτιῶν των ἐκεῖνοι ποὺ συγχωροῦν ὅσους τοὺς ἔβλαψαν, ποία ἀπολογία δὲν θὰ γίνῃ δεκτὴ αὐτῶν, οἱ ὁποῖοι ὄχι μόνον συγχωροῦν, ἀλλὰ καὶ κάμνουν εὐεργεσίας εἰς ὅσους τοὺς βλάπτουν; Μὴ λοιπὸν ὑποφέρῃς μὲ δυσφορίαν, ἀλλὰ καὶ νὰ εὔχεσαι ὑπὲρ αὐτοῦ ποὺ σὲ ἠδίκησε· διότι τοῦτο τὸ κάμνεις ὑπὲρ τοῦ ἑαυτοῦ σου. Σοῦ ἀφήρεσε χρήματα; ἀλλὰ συγχρόνως σοῦ ἀφήρεσε καὶ ἁμαρτίας, πρᾶγμα τὸ ὁποῖον συνέβη καὶ εἰς τὸν Νεεμὰν καὶ τὸν Γιεζῆ. Πόσον θὰ ἤθελες νὰ δώσῃς χρήματα, ὥστε νὰ σοῦ συγχωρηθοῦν τὰ ἁμαρτήματα;

Τοῦτο λοιπὸν γίνεται τώρα· ἂν δηλαδὴ ὑπομείνῃς μὲ γενναιότητα καὶ δὲν καταρασθῇς θὰ στεφανωθῇς μὲ λαμπρὸν στέφανον.

ἐμὸς ὁ λόγος ἀλλὰ τοῦ Χριστοῦ λέγοντος ἤκουσα· «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς». Καὶ τὸ ἔπαθλον ἐννόησον ἡλίκον· «Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. Ὥστε οὐδὲν ἀπεστέρησαι, ἀλλὰ καὶ προσέλαβες· οὐκ ἠδίκησαι, ἀλλὰ καὶ ἐστεφανώθης φιλοσοφώτερος γενόμενος τὴν ψυχήν, ὅμοιος τῷ Θεῷ καταστάς, τῆς φροντίδος τῶν χρημάτων ἀπαλλαγείς, τὴν βασιλείαν τῶν οὐρανῶν κτησάμενος.

Ταῦτα οὖν ἅπαντα ἀναλογισάμενοι φιλοσοφῶμεν ἐν ταῖς ἀδικίαις, ἀγαπητοί, ἵνα καὶ τῆς τοῦ παρόντος βίου ταραχῆς ἀπαλλαγῶμεν καὶ τὴν ἀνόητον ἐκβάλωμεν ἀθυμίαν καὶ τῆς μελλούσης χαρᾶς ἐπιτύχωμεν χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

30. Ματθ. 5,44-45.

Δὲν εἶναι ἰδικός μου ὁ λόγος, ἀλλ' ἤκουσα τὸν Χριστὸν νὰ τὸν λέγῃ «Νὰ προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται»[30]. Καὶ σκέψου ποῖον εἶναι τὸ ἔπαθλον· «διὰ νὰ γίνετε ὅμοιοι τοῦ Πατρός μας τοῦ οὐρανίου». Ὥστε τίποτε δὲν ἔχεις ἀποστερηθῆ, ἀλλ' ἀντιθέτως ἔλαβες· δὲν ἔχεις ἀδικηθῆ, ἀλλ' ἀντιθέτως ἐστεφανώθης, ἀφοῦ ἡ ψυχή σου ἔγινε φιλοσοφικωτέρα, ἀφοῦ ἔγινες ὅμοιος μὲ τὸν Θεόν, ἀφοῦ ἀπηλλάγης ἀπὸ τὴν φροντίδα τῶν χρημάτων καὶ ἀπέκτησες τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἀφοῦ λοιπὸν ἀναλογισθῶμεν ὅλα αὐτά, ἂς φιλοσοφῶμεν εἰς τὰς ἀδικίας, ἀγαπητοί, καὶ διὰ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν ταραχὴν τοῦ παρόντος βίου καὶ διὰ νὰ ἀποβάλωμεν τὴν ἀνωφελῆ ἀθυμίαν καὶ διὰ νὰ ἐπιτύχωμεν τὴν μέλλουσαν χαρὰν μὲ τὴν χάριν τοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΙΖ.
Α' Κορ. 6, 12-14

«Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος».

1. Τοὺς λαιμάργους ἐνταῦθα αἰνίττεται. Ἐπειδὴ γὰρ μέλλει πάλιν ἐπὶ τὸν πεπορνευκότα φέρεσθαι — ἡ δὲ πορνεία ἀπὸ τρυφῆς καὶ ἀμετρίας — σφοδρῶς τὸ πάθος κολάζει. Οὐδὲ γὰρ περὶ τῶν ἀπηγορευμένων λέγει τοῦτο — ἐκεῖνα γὰρ οὐκ ἔξεστιν — ἀλλὰ περὶ τῶν ἀδιαφόρων εἶναι δοκούντων. Οἷόν τι λέγω· ἔξεστι, φησί, φαγεῖν καὶ πιεῖν, ἀλλ' οὐ συμφέρει μετὰ ἀσωτίας. Καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ καὶ παράδοξον, ὃ δὴ πολλαχοῦ ποιεῖν εἴωθεν εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον, τοῦτο καὶ ἐνταῦθα κατασκευάζει, καὶ δείκνυσιν ὅτι τὸ ἐν ἐξουσίᾳ ποιεῖν οὐ μόνον οὐ συμφέρει, ἀλλ' οὐδὲ ἐξουσίας ἐστὶν ἀλλὰ δουλείας. Καὶ πρῶτον μὲν ἀπὸ τοῦ ἀσυμφόρου ἀποτρέπει λέγων «οὐ συμφέρει»· δεύτερον δὲ καὶ ἀπὸ τοῦ ἐναντίου λέγων ὅτι «οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος».

Ὃ δὲ λέγει, τοῦτό ἐστι· κύριος εἶ τοῦ φαγεῖν, φησίν· οὐκοῦν μένε κύριος ὢν καὶ σκόπει μὴ γένῃ δοῦλος τούτου τοῦ πάθους. Ὁ μὲν γὰρ εἰς δέον αὐτῷ κεχρημένος, αὐτὸς αὐτοῦ κύριός ἐστιν· ὁ δὲ εἰς ἀμετρίαν ἐξιὼν οὐκέτι κύριος, ἀλλὰ δοῦλος αὐτοῦ γίνεται, τῆς ἀδηφαγίας ἐν αὐτῷ τυραννούσης. Εἶδες πῶς τὸν νομίζοντα ἐξουσίαν ἔχειν, ἔδειξεν ὑπὸ ἐξουσίαν ὄντα; Τοῦτο γὰρ ἔθος τῷ Παύλῳ ποιεῖν, ὅπερ ἔφθην εἰπών, εἰς τὸ ἐναντίον περιτρέπειν τὰς ἀντιθέσεις, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκε. Σκόπει δέ. Ἐκείνων ἕκαστος ἔλεγεν, ἔξεστί μοι τρυφᾶν· αὐτός φησιν ὅτι οὐχ

---

1. Α' Κορ. 6,12.

ΛΟΓΟΣ ΙΖ'
Α' Κορ. 6,12—14

«Ὅλα μοῦ ἐπιτρέπονται, ἀλλὰ ὅλα δὲν συμφέρουν· ὅλα μοῦ ἐπιτρέπονται, ἀλλὰ ἐγὼ δὲν θὰ ἐξουσιασθῶ ἀπὸ τίποτε»[1].

1. Ἐδῶ ὑπαινίσσεται τοὺς λαιμάργους. Ἐπειδὴ δηλαδὴ πρόκειται πάλιν νὰ στραφῇ κατὰ τοῦ πόρνου —ἡ δὲ πορνεία προέρχεται ἀπὸ τὴν τρυφηλότητα καὶ τὴν ἔλλειψιν μέτρου εἰς τὴν ζωήν— καταδικάζει μὲ σφοδρότητα τὸ πάθος. Καὶ οὔτε λέγει τοῦτο περὶ τῶν ἀπηγορευμένων —διότι ἐκεῖνα δὲν ἐπιτρέπονται— ἀλλὰ περὶ τῶν θεωρουμένων οὐδετέρων. Ἐννοῶ τὸ ἑξῆς περίπου· μοῦ ἐπιτρέπεται, λέγει, νὰ φάγω καὶ νὰ πίω, ἀλλὰ δὲν συμφέρει νὰ τὰ κάμνω μὲ ἀσωτίαν. Καὶ τὸ πλέον θαυμαστὸν καὶ παράδοξον, τὸ ὁποῖον, ὡς γνωστόν, εἰς πολλὰς περιπτώσεις ἐσυνήθιζε νὰ κάμνῃ στρέφων τὸν λόγον εἰς τὸ ἀντίθετον, τοῦτο τὸ κάμνει καὶ ἐδῶ, καὶ ἀποδεικνύει ὅτι τὸ δικαίωμα νὰ κάμνῃ κανεὶς κάτι ὄχι μόνον δὲν συμφέρει, ἀλλ' οὔτε κἂν δικαίωμα εἶναι ἀλλὰ δουλεία. Καὶ κατὰ πρῶτον μὲν τοὺς ἀποτρέπει χρησιμοποιῶν τὸ ἐπιχείρημα ὅτι εἶναι ἀσύμφορον καὶ λέγων «δὲν συμφέρει»· δεύτερον δὲ χρησιμοποιεῖ καὶ τὸ ἐκ τοῦ ἀντιθέτου ἐπιχείρημα λέγων ὅτι «ἐγὼ δὲν θὰ ἐξουσιασθῶ ἀπὸ τίποτε».

Αὐτὸ δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· Ἔχεις δικαίωμα νὰ φάγῃς, λέγει· μένε λοιπὸν κύριος τοῦ φαγητοῦ καὶ πρόσεχε μήπως γίνῃς δοῦλος αὐτοῦ τοῦ πάθους. Ἐκεῖνος δηλαδὴ ποὺ κάμνει χρῆσιν αὐτοῦ τοῦ δικαιώματος ὅπως πρέπει, εἶναι κύριος αὐτοῦ· ἐκεῖνος ὅμως ποὺ προχωρεῖ εἰς ἄμετρον χρῆσιν δὲν εἶναι πλέον κύριος, ἀλλὰ γίνεται δοῦλος αὐτοῦ, ἐφ' ὅσον μέσα του εἶναι τυραννικὸς δυνάστης ἡ λαιμαργία. Εἶδες πῶς ἀπέδειξεν ὅτι εὑρίσκεται ὑπὸ τὴν ἐξουσίαν ἄλλου αὐτός, ὁ ὁποῖος ἐνόμιζεν ὅτι ἀσκεῖ ἐξουσίαν; Τοῦτο δηλαδὴ ἐσυνήθιζε νὰ τὸ κάμνῃ ὁ Παῦλος, ὅπως εἶπα καὶ προηγουμένως, στρέφων τὸ θέμα εἰς τὸ ἀντίθετον, πρᾶγμα τὸ ὁποῖον ἔχει κάνει καὶ ἐδῶ. Πρόσεξε δέ. Κάθε ἕνας ἀπὸ ἐκείνους ἔλεγεν· "Ἔχω δικαίωμα νὰ χαίρωμαι τὰς ἀπολαύσεις"· ὁ Παῦλος λέγει ὅτι 'Δὲν

οὕτως αὐτὸ ποιεῖς ὡς ἐξουσίαν ἔχων αὐτοῦ, ἀλλ' ὡς αὐτὸς ὑποκείμενος τῇ ἐξουσίᾳ ταύτῃ. Οὐ γὰρ ἔχεις ἐξουσίαν τῆς γαστρός, ἕως ἂν ἄσωτος ᾖς, ἀλλ' αὐτή σου τὴν ἐξουσίαν ἔχει. Τοῦτο καὶ ἐπὶ χρημάτων καὶ ἐπὶ τῶν ἄλλων ἔστιν εἰπεῖν.

«Τὰ βρώματα τῇ κοιλίᾳ». Κοιλίαν ἐνταῦθα οὐ τὴν γαστέρα ἀλλὰ τὴν γαστριμαργίαν λέγει· ὡς ὅταν λέγῃ, «Ὧν ὁ Θεὸς ἡ κοιλία» οὐ περὶ τοῦ μέλους λέγων ἀλλὰ περὶ τῆς ἀδηφαγίας. Ὅτι γὰρ τοῦτό ἐστιν, ἄκουσον τῶν ἑξῆς· «Καὶ ἡ κοιλία τοῖς βρώμασι· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ Κυρίῳ». Καὶ μὴν καὶ ἡ κοιλία σῶμα. Ἀλλὰ δύο συζυγίας ἔθηκε, τὰ βρώματα καὶ τὴν γαστριμαργίαν, ὅπερ κοιλίαν ἐκάλεσε, τὸν Χριστὸν καὶ τὸ σῶμα. Τί δὲ ἐστι «Τὰ βρώματα τῇ κοιλίᾳ;» Τὰ βρώματα, φησί, πρὸς τὴν γαστριμαργίαν ἔχει φιλίαν, καὶ αὕτη πρὸς ταῦτα. Οὐ δύναται οὖν πρὸς τὸν Χριστὸν ἡμᾶς ἄγειν, ἀλλὰ πρὸς ταῦτα ἕλκει. Πάθος γὰρ χαλεπὸν καὶ θηριῶδές ἐστι, καὶ δούλους ποιεῖ καὶ ταύτῃ διακονεῖσθαι παρασκευάζει.

Τί τοίνυν περὶ τροφὴν ἐπτόησαι καὶ κέχηνας, ἄνθρωπε; Τὸ γὰρ τέλος ἐκείνης τῆς διακονίας τοῦτο, καὶ πλέον οὐδὲν ἐπιδείξεται· ἀλλ' ὥσπερ δεσποίνῃ τινὶ διακονουμένη μένει διατηροῦσα τὴν δουλείαν ταύτην, καὶ οὐ πρόεισι περαιτέρω, καὶ οὐδὲν ἔργον ἕτερον ἔχει ἀλλ' αὐτὸ τοῦτο τὸ μάταιον. Καὶ ἀμφότερα ἀλλήλοις συμπλέκται καὶ συγκαταλύεται, ἡ κοιλία τοῖς βρώμασι καὶ τὰ βρώματα τῇ κοιλίᾳ δρόμον τινὰ ἀνήνυτον ἀνελίττουσα· ὡς ἂν εἰ ἀπὸ σώματος διεφθαρμένου σκώληκες τίκτοιντο, καὶ πάλιν ὑπὸ τῶν σκωλήκων ἀναλίσκοιτο τὸ σῶμα· ἢ ὥσπερ ἂν εἰ κῦμα κορυφούμενον καὶ διαλυόμενον μηδὲν περαίνοι πλέον.

Ταῦτα δὲ οὐ περὶ τροφῆς καὶ σώματος λέγει, ἀλλὰ τὸ πάθος τῆς γαστριμαργίας καὶ τὴν ἀμετρίαν τῶν ἐδεσμάτων διαβάλλει. Καὶ δηλοῖ τὰ ἑξῆς ἐπαγαγών· «Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει» οὐ τὴν γαστέρα λέ-

---

2. αὐτ. 13.
3. Φιλιππ. 3,19.

τὸ κάμνεις ὡς νὰ ἔχῃς ἐξουσίαν ἐπὶ τῶν ἀπολαύσεων, ἀλλ' ὡς νὰ εὑρίσκεσαι σὺ ὁ ἴδιος ὑπὸ τὴν ἐξουσίαν αὐτῶν· ἐφ' ὅσον δηλαδὴ εἶσαι ἄσωτος, δὲν ἐξουσιάζεις τὴν κοιλίαν σου, ἀλλ' αὐτὴ σὲ ἐξουσιάζει'. Τοῦτο εἶναι δυνατὸν νὰ τὸ εἴπῃ κανεὶς καὶ ἐπὶ τῶν χρημάτων καὶ ἐπὶ τῶν ἄλλων παθῶν.

«Τὰ φαγητὰ εἶναι διὰ τὴν κοιλίαν»[2]. Μὲ τὴν λέξιν «κοιλία» ἐδῶ δὲν ἐννοεῖ τὴν κοιλίαν τὴν ἰδίαν, ἀλλὰ τὴν λαιμαργίαν· ὅπως ὅταν λέγῃ, «τῶν ὁποίων ἡ κοιλία εἶναι ὁ Θεός των»[3], δὲν ἐννοεῖ τὸ μέλος τοῦ σώματος ἀλλὰ τὴν λαιμαργίαν. Καὶ διὰ τὸ ὅτι ἔτσι ἔχει τὸ πρᾶγμα, ἄκουσε τὰ ἑπόμενα· «καὶ ἡ κοιλία διὰ τὰ φαγητά· τὸ δὲ σῶμα δὲν εἶναι διὰ τὴν πορνείαν, ἀλλὰ διὰ τὸν Κύριον». Βεβαίως καὶ ἡ κοιλία εἶναι σῶμα, ἀλλὰ ἐχρησιμοποίησε δύο ζεύγη, τὰ φαγητὰ καὶ τὴν λαιμαργίαν, τὰ ὁποῖα ὠνόμασε κοιλίαν, καὶ τὸν Χριστὸν καὶ τὸ σῶμα. Τί σημαίνει δὲ «Τὰ φαγητὰ εἶναι διὰ τὴν κοιλίαν»; Τὰ φαγητά, λέγει, ἔχουν σχέσιν μὲ τὴν λαιμαργίαν καὶ αὐτὴ μὲ αὐτά. Δὲν ἠμπορεῖ λοιπὸν νὰ μᾶς φέρῃ πρὸς τὸν Χριστόν, ἀλλ' ἕλκει πρὸς αὐτά. Εἶναι δηλαδὴ φοβερὸν καὶ θηριῶδες πάθος, καὶ κάμνει τοὺς ἀνθρώπους δούλους, ποὺ νὰ τὴν ὑπηρετοῦν.

Διατί λοιπόν, ἄνθρωπε, ἀναστατώνεσαι καὶ τὰ χάνεις διὰ τὴν τροφήν; διότι τὸ τέλος ἐκείνης τῆς φροντίδος εἶναι τοῦτο καὶ δὲν ἔχει νὰ ἐπιδείξῃ τίποτε περισσότερον· ἀλλ' ὡς νὰ ὑπηρετῇ κάποιαν δέσποιναν διατηρεῖ συνεχῶς τὴν δουλείαν αὐτήν, δὲν προχωρεῖ περισσότερον καὶ δὲν ἔχει καμμίαν ἄλλην ἀποστολὴν ἀλλὰ αὐτὴν μόνον τὴν ματαίαν. Καὶ τὰ δύο εἶναι στενῶς συνδεδεμένα τὸ ἕνα μὲ τὸ ἄλλο καὶ συμπαρασύρονται εἰς τὴν φθοράν, ἡ κοιλία ἀνοίγει διὰ τὰ φαγητὰ καὶ τὰ φαγητὰ διὰ τὴν κοιλίαν ἕνα μάταιον δρόμον, ὡς ἐὰν γεννῶνται σκώληκες ἀπὸ τὸ σῶμα ποὺ εὑρίσκεται εἰς ἀποσύνθεσιν, καὶ πάλιν τὸ σῶμα κατατρώγεται ἀπὸ τοὺς σκώληκας· ἢ ὅπως ἕνα κῦμα ὑψώνεται καὶ διαλύεται καὶ δὲν κάμνει τίποτε περισσότερον.

Αὐτὰ δὲν τὰ λέγει περὶ τῆς τροφῆς καὶ τοῦ σώματος, ἀλλὰ καταδικάζει τὸ πάθος τῆς γαστριμαργίας καὶ τὴν χρῆσιν τῶν τροφῶν χωρὶς μέτρον. Καὶ τὸ δεικνύει μὲ τὸ νὰ προσθέσῃ τὰ ἑξῆς· «Ὁ Θεὸς θὰ καταργήσῃ καὶ αὐτὴν καὶ αὐτά»· δὲν ἐννοεῖ τὴν κοι-

γων, ἀλλὰ τὴν ἄμετρον ἐπιθυμίαν, οὐδὲ τὴν τροφὴν ἀλλὰ τὴν τρυφήν. Πρὸς γὰρ ἐκεῖνα οὐ δυσχεραίνει, ἀλλὰ καὶ νομοθετεῖ περὶ αὐτῶν οὕτω λέγων. «Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα»· ἀλλὰ ταύτῃ διαβάλλει τὸ πρᾶγμα, καὶ τὴν διόρθωσιν αὐτοῦ μετὰ συμβουλὴν ἐπιτρέψας εὐχῇ. Τινὲς δέ φασιν ὅτι προφητεία τὸ εἰρημένον ἐστὶ τὴν ἐν τῷ μέλλοντι αἰῶνι κατάστασιν δηλοῦσα καὶ ὅτι οὐκ ἔστιν ἐκεῖ φαγεῖν οὐδὲ πιεῖν. Εἰ δὲ τὸ σύμμετρον ἕξει τέλος, πολλῷ μᾶλλον τῆς ἀμετρίας ἀπέχεσθαι δεῖ.

2. Εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι τοῦ σώματός ἐστιν ἡ διαβολή, μηδὲ ὑποπτεύσῃ ὅτι ἀπὸ τοῦ μέρους τὸ ὅλον διέβαλε, μηδὲ λέγῃ ὅτι ἡ φύσις τῆς γαστριμαργίας αἰτία ἢ τῆς πορνείας, ἄκουσον τῶν ἑξῆς. Οὐ γὰρ τὴν φύσιν αἰτιῶμαι, φησί, τοῦ σώματος, ἀλλὰ τὴν ἄμετρον τῆς ψυχῆς ἀσωτίαν. Διὸ καὶ ἐπάγει· «Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ». Οὐ γὰρ διὰ τοῦτο κατεσκευάσθη, ἵνα ἄσωτος ᾖς καὶ πορνεύῃς, ὥσπερ οὐδὲ ἡ κοιλία, ἵνα γαστριμαργῇς, ἀλλ' ἵνα τῷ Χριστῷ ἕπηται ὡς κεφαλῇ, καὶ ὁ Κύριος τῷ σώματι ἐπικέηται. Αἰδεσθῶμεν, φρίξωμεν, ὅτι τοσαύτης ἀξιωθέντες τιμῆς, ὡς ἐκείνου τοῦ ἄνω καθημένου γενέσθαι μέλη, τοσούτοις κακοῖς καταισχύνομεν ἑαυτούς.

Κατηγορήσας τοίνυν ἱκανῶς τῶν γαστριμάργων καὶ τῇ τῶν μελλόντων ἐλπίδι τῆς κακίας ἀπάγει ταύτης λέγων· «Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ». Εἶδες πάλιν σοφίαν ἀποστολικήν; Τὸ γὰρ ἀξιόπιστον ἀεὶ τῆς ἀναστάσεως ἀπὸ τοῦ Χριστοῦ κατασκευάζει, καὶ μάλιστα νῦν. Εἰ γὰρ τὸ σῶμα ἡμῶν μέλος τοῦ Χριστοῦ, ἀνέστη δὲ ὁ Χριστός, καὶ τὸ σῶμα πάντως ἕψεται τῇ κεφαλῇ.

«Διὰ τῆς δυνάμεως αὐτοῦ». Ἐπειδὴ γὰρ εἶπε πρᾶγμα ἀπιστούμενον καὶ λογισμοῖς οὐ δυνάμενον ὑποβληθῆναι,

4. Α' Τιμ. 6,8.
5. Α' Κορ. 6,14.

λίαν ἀλλὰ τὴν ἄμετρον ἐπιθυμίαν, οὔτε τὴν τροφὴν ἀλλὰ τὴν τρυφηλὴν ζωήν. Δηλαδὴ δὲν δυσανασχετεῖ δι' ἐκεῖνα, ἀλλὰ τὰ ἐπισημοποιεῖ καὶ διὰ τοῦ νόμου του λέγων ὡς ἑξῆς· «Ἐφ' ὅσον ἔχομεν τροφὰς καὶ σκεπάσματα ἂς ἀρκούμεθα εἰς αὐτά»[4]· ἀλλ' ἔτσι ἀποδοκιμάζει τὸ ἐλάττωμα, καὶ ἀφοῦ συνεβούλευσεν, ἀφήνει τὴν διόρθωσιν αὐτοῦ εἰς τὴν εὐχήν. Μερικοὶ μάλιστα λέγουν ὅτι αὐτὸ ποὺ εἶπεν εἶναι προφητεία, ἡ ὁποία φανερώνει τὴν κατάστασιν εἰς τὸ μέλλον καὶ ὅτι ἐκεῖ δὲν εἶναι δυνατὸν οἱ ἄνθρωποι νὰ τρώγουν οὔτε νὰ πίνουν. Καὶ ἐφ' ὅσον θὰ ἔχῃ τέλος κάτι ποὺ γίνεται μὲ μέτρον πολὺ περισσότερον πρέπει οἱ πιστοὶ νὰ ἀπέχουν ἀπὸ τὸ ὑπέρμετρον.

2. Ἔπειτα διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι κατηγορεῖ τὸ σῶμα καὶ διὰ νὰ μὴ ὑποψιασθῇ ὅτι ἐκατηγόρησε τὸ ὅλον ἀρχίζων ἀπὸ ἓν μέρος αὐτοῦ, καὶ διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι ἡ φύσις εἶναι ἡ αἰτία τῆς λαιμαργίας ἢ τῆς πορνείας, ἄκουσε τὰ ἑξῆς. Δὲν κατηγορῶ, λέγει, τὴν φύσιν τοῦ σώματος, ἀλλὰ τὴν ὑπέρμετρον ἀσωτίαν τῆς ψυχῆς. Διὰ τοῦτο καὶ προσθέτει· «Τὸ δὲ σῶμα δὲν εἶναι διὰ τὴν πορνείαν, ἀλλὰ διὰ τὸν Κύριον». Δηλαδή, δὲν κατεσκευάσθη, διὰ νὰ εἶσαι ἄσωτος καὶ πόρνος, ὅπως οὔτε ἡ κοιλία κατεσκευάσθη, διὰ νὰ εἶσαι λαίμαργος, ἀλλὰ διὰ νὰ ἀκολουθῇ τὸν Χριστὸν ὡς κεφαλὴν καὶ διὰ νὰ κυβερνᾷ τὸ σῶμα ὁ Κύριος. Ἂς ἐντραπῶμεν λοιπόν, ἂς φρίξωμεν, διότι, ἐνῷ μᾶς ἔκρινεν ἀξίους τέτοιας τιμῆς, ὥστε νὰ γίνωμεν μέλη ἐκείνου, ποὺ ἔχει τὸν θρόνον του εἰς τὸν οὐρανόν, ἐντροπιάζομεν τοὺς ἑαυτούς μας μὲ τόσα πάθη.

Ἀφοῦ ἐκατηγόρησε λοιπὸν ἀρκετὰ τοὺς λαιμάργους, ἀποτρέπει τοὺς πιστοὺς ἀπὸ αὐτὸ τὸ πάθος μὲ τὴν ἐλπίδα τῶν μελλόντων λέγων· «Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἀνέστησε καὶ ἐμᾶς θὰ ἀναστήσῃ μὲ τὴν δύναμίν Του»[5]. Εἶδες πάλιν σοφίαν ἀποστολικήν; Πάντοτε δηλαδὴ τὴν ἀλήθειαν τῆς ἀναστάσεως τὴν στηρίζει εἰς τὸν Χριστόν, καὶ ἰδίως τώρα. Ἐὰν δηλαδὴ τὸ σῶμα μας εἶναι μέλος τοῦ Χριστοῦ καὶ ἀνεστήθη ὁ Χριστός, τότε καὶ τὸ σῶμα μας ὁπωσδήποτε θὰ ἀκολουθήσῃ τὴν κεφαλήν.

«Μὲ τὴν δύναμίν του». Ἐπειδὴ δηλαδὴ εἶπε πρᾶγμα ἀπίστευτον, ποὺ δὲν εἶναι δυνατὸν νὰ τὸ συλλάβῃ ἡ λογική, διὰ τὸ ἀκα-

τῷ ἀκαταλήπτῳ τῆς δυνάμεως αὐτοῦ παρεχώρησε τὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ οὐ μικρὰν κατ' αὐτῶν ἀπόδειξιν καὶ ταύτην παρεχόμενος. Καὶ ἐπὶ μὲν τῆς ἀναστάσεως τοῦ Χριστοῦ οὐ τέθεικεν αὐτό· οὐ γὰρ εἶπεν, ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἐξεγερεῖ· ἐξέβη γὰρ τὸ πρᾶγμα· ἀλλὰ πῶς; «Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε», καὶ οὐκ ἐδεῖτο κατασκευῆς. Ἐπὶ δὲ τῆς ἡμετέρας ἀναστάσεως, ἐπειδὴ οὐδέπω γέγονεν, οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; «Καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ» τῇ ἀξιοπιστίᾳ τῆς τοῦ ποιοῦντος ἰσχύος τοὺς ἀντιλέγοντας ἐπιστομίζων. Εἰ δὲ τῷ Πατρὶ τὴν ἀνάστασιν λογίζεται τοῦ Χριστοῦ, μηδέν σε θορυβείτω τοῦτο. Οὐ γὰρ ὡς ἀτονοῦντος τοῦ Χριστοῦ τοῦτο τέθεικεν· αὐτὸς γάρ ἐστιν ὁ λέγων, «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· καὶ πάλιν, «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»· καὶ ὁ Λουκᾶς δὲ ἐν ταῖς Πράξεσί φησιν «Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα».

Τίνος οὖν ἕνεκεν ὁ Παῦλος οὕτω φησίν; Ὅτι καὶ τὰ τοῦ Υἱοῦ τῷ Πατρὶ λογίζεται, καὶ τὰ τοῦ Πατρὸς τῷ Υἱῷ. «Ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ», φησί, «ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ». Σφόδρα δὲ εὐκαίρως ἐνταῦθα τῆς ἀναστάσεως ἀνέμνησε ταῖς ἐλπίσιν ἐκείναις καταστέλλων τῆς ἀδηφαγίας τὴν τυραννίδα καὶ μονονουχὶ λέγων· ἔφαγες, ἔπιες ἀσώτως, καὶ τί τὸ πέρας; Οὐδὲν ἀλλ' ἢ φθορὰ μόνον. Συνεζεύχθης τῷ Χριστῷ, καὶ τί τὸ πέρας; Μέγα καὶ θαυμαστόν· ἡ μέλλουσα ἀνάστασις, ἡ ἔνδοξος ἐκείνη καὶ πάντα ὑπερβαίνουσα λόγον.

3. Μηδεὶς τοίνυν διαπιστείτω τῇ ἀναστάσει· εἰ δέ τις ἀπιστεῖ, ἐννοείτω πόσα ἐξ οὐκ ὄντων ἐποίησε, καὶ δεχέσθω καὶ περὶ ἐκείνης ἀπόδειξιν. Τὰ γὰρ ἤδη γενόμενα παραδοξότερα πολλῷ καὶ θαῦμα ἀμήχανον ἔχοντα. Σκόπει δέ. Γῆν λαβὼν ἔφυρε καὶ ἐποίησεν ἄνθρωπον γῆν οὐκ οὖ-

---

6. Ἰω. 2,19.
7. αὐτ. 10,18.
8. Πρ. 1,3.
9. Ἰω. 5,19.

τάληπτον τῆς δυνάμεως αὐτοῦ ἐχρησιμοποίησε τὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ δίδων ἔτσι καὶ αὐτὴν ὡς ἰσχυρὰν ἀπόδειξιν κατ' αὐτῶν. Καὶ ἐπὶ μὲν τῆς ἀναστάσεως τοῦ Χριστοῦ δὲν ἀνέφερεν αὐτό· δὲν εἶπε δηλαδή, 'ὁ δὲ Θεὸς καὶ τὸν Κύριον θ' ἀναστήσῃ', διότι τὸ γεγονὸς συνέβη· ἀλλὰ πῶς εἶπεν; «Ὁ δὲ Θεὸς ἀνέστησε καὶ τὸν Κύριον», καὶ δὲν ἐχρειάζετο ἀπόδειξιν. Ὅσον ἀφορᾷ ὅμως τὴν ἰδικήν μας ἀνάστασιν, ἐπειδὴ δὲν ἔχει ἀκόμη συμβῆ, δὲν εἶπεν ἔτσι, ἀλλὰ πῶς; «Καὶ ἐμᾶς θὰ ἀναστήσῃ μὲ τὴν δύναμίν του», ἀποστομώνων ἔτσι τοὺς ἀντιλέγοντας μὲ τὴν ἀλήθειαν τῆς δυνάμεως αὐτοῦ ποὺ ἐνεργεῖ. Ἐὰν δὲ ἀποδίδῃ εἰς τὸν Πατέρα τὴν ἀνάστασιν τοῦ Χριστοῦ, αὐτὸ καθόλου νὰ μὴ σὲ θορυβῇ· δὲν ἀνέφερε τοῦτο, ἐπειδὴ δῆθεν δὲν εἶχε δύναμιν ὁ Χριστός, διότι ὁ ἴδιος εἶναι ποὺ λέγει· «Γκρεμίσατε αὐτὸν τὸν ναόν, καὶ ἐντὸς τριῶν ἡμερῶν θὰ τὸν ἀνοικοδομήσω»[6]· καὶ πάλιν· «Ἔχω ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου καὶ ἐπίσης ἔχω ἐξουσίαν πάλιν νὰ τὴν πάρω»[7]· καὶ ὁ Λουκᾶς ἐπίσης εἰς τὰς Πράξεις λέγει· «Εἰς αὐτοὺς ἐπαρουσιάσθη ζωντανός»[8].

Διὰ ποῖον λοιπὸν λόγον λέγει ἔτσι ὁ Παῦλος; Διότι καὶ τὰ τοῦ Υἱοῦ τὰ ἀποδίδει εἰς τὸν Πατέρα, καὶ τὰ τοῦ Πατρὸς εἰς τὸν Υἱόν. «Διότι ὅσα κάμνει ἐκεῖνος», λέγει, «αὐτὰ τὰ κάμνει ἐπίσης καὶ ὁ Υἱός»[9]. Εἰς πολὺ κατάλληλον δὲ στιγμὴν ὑπενθύμισεν ἐδῶ τὴν ἀνάστασιν καταστέλλων ἔτσι μὲ ἐκείνας τὰς ἐλπίδας τὴν τυραννίαν τῆς λαιμαργίας καὶ σχεδὸν ὡς νὰ λέγει· Ἔφαγες, ἔπιες ἀσώτως, καὶ ποῖον τὸ τέλος; τίποτε ἄλλο παρὰ μόνον φθορά. Ἡνώθης μὲ τὸν Χριστόν, καὶ ποῖον τὸ τέλος; Μέγα καὶ θαυμαστόν· ἡ μέλλουσα ἀνάστασις, ἐκείνη ἡ ἔνδοξος ποὺ ὑπερβαίνει πᾶσαν λογικήν.

3. Κανεὶς λοιπὸν νὰ μὴ δυσπιστῇ διὰ τὴν ἀνάστασιν· καὶ ἂν κάποιος ἀμφιβάλλῃ, ἂς σκεφθῇ πόσα ἐδημιούργησεν ὁ Θεὸς ἐκ τοῦ μηδενός, καὶ ἂς δεχθῇ ἀπόδειξιν καὶ δι' ἐκείνην· διότι ὅσα ἔχουν ἤδη γίνει εἶναι πολὺ παραδοξότερα καὶ ἀξιοθαύμαστα. Πρόσεξε λοιπόν. Ἀφοῦ ἔλαβε χῶμα, τὸ ἀνέμιξε καὶ ἔκανεν ἄνθρωπον, ἐνῷ

σαν πρὸ τούτου. Πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὕτη οὐκ οὖσα παρήγετο; πῶς δὲ τὰ ἐξ αὐτῆς ἅπαντα, τὰ τῶν ἀλόγων ἄπειρα γένη, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν, οὐκ ὠδίνων ἐπ' ἐκείνων ἡγησαμένων, οὐχ ὑετῶν κατενεχθέντων ἐπὶ τούτων, οὐχὶ γεωργίας φανείσης, οὐ βοῶν, οὐκ ἀρότρου, οὐκ ἄλλου οὐδενὸς συντελοῦντος εἰς τὴν γένεσιν τούτων; Διὰ τοῦτο γὰρ ἐκ τῆς ἀψύχου καὶ ἀναισθήτου τοσαῦτα ἐν ἀρχῇ γένη καὶ φυτῶν καὶ ἀλόγων ζώων ἀνῆκεν, ἵνα ἄνωθέν σε παιδεύσῃ τὸν τῆς ἀναστάσεως λόγον. Τοῦτο γὰρ τῆς ἀναστάσεως ἀπορώτερον. Οὐ γάρ ἐστιν ἴσον σβεσθέντα ἀνάψαι λύχνον καὶ μηδαμῶς φαινόμενον δεῖξαι πῦρ· οὐκ ἔστιν ἴσον κατενεχθεῖσαν οἰκίαν ἀναστῆσαι καὶ μηδὲ ὅλως ὑφεστῶσαν παραγαγεῖν. Ἐνταῦθα μὲν γάρ, εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' ἡ ὕλη ὑπέκειτο, ἐκεῖ δὲ οὐδὲ ἡ οὐσία ἐφαίνετο. Διὰ τοῦτο τὸ δυσκολώτερον εἶναι δοκοῦν ἐποίησε πρότερον, ἵνα ἐκ τούτου τὸ εὐκολώτερον παραδέξῃ.

Δυσκολώτερον δὲ εἶπον οὐχὶ τῷ Θεῷ, ἀλλὰ κατὰ τὴν τῶν ἡμετέρων λογισμῶν ἀκολουθίαν. Θεῷ γὰρ δύσκολον οὐδέν· ἀλλ' ὥσπερ ζωγράφος ὁ μίαν ποιῶν εἰκόνα μυρίας εὐκόλως ποιήσει, οὕτω καὶ Θεῷ ῥᾴδιον μυρίους ποιῆσαι κόσμους καὶ ἀπείρους· μᾶλλον δὲ ὥσπερ εὔκολον ἐννοῆσαί σε πόλιν καὶ κόσμους ἀπείρους, οὕτω ποιῆσαι Θεῷ εὔκολον, μᾶλλον δὲ καὶ τούτου πολλῷ πάλιν εὐκολώτερον. Σὺ μὲν γὰρ κἂν βραχὺν χρόνον ἀναλίσκεις ἐν τῇ ἐννοίᾳ, ὁ δὲ Θεὸς οὐδὲ τοῦτο, ἀλλ' ὅσῳ τῶν κουφοτάτων πτηνῶν, μᾶλλον δὲ καὶ τοῦ νοῦ τοῦ ἡμετέρου ὅσον οἱ λίθοι βαρύτεροι, τοσοῦτον ὁ νοῦς ἡμῶν τῆς ταχύτητος τῆς ἐν τῷ ποιεῖν ἀπολιμπάνεται τοῦ Θεοῦ.

Ἐθαύμασας αὐτοῦ τὴν δύναμιν ἐπὶ τῆς γῆς; Ἐννόησον πάλιν πῶς ὁ οὐρανὸς γέγονεν οὐκ ὤν, πῶς τὰ ἄπειρα ἄστρα, πῶς ἥλιος, πῶς σελήνη· καὶ ταῦτα πάντα οὐκ ὄν-

δὲν ὑπῆρχεν οὔτε χῶμα πρὸ αὐτοῦ. Πῶς λοιπὸν τὸ χῶμα ἔγινεν ἄνθρωπος; καὶ πῶς αὐτὴ ἐδημιουργεῖτο, ἐνῷ δὲν ὑπῆρχε; πῶς ἐδημιουργήθησαν δὲ ἐξ αὐτῆς τὰ πάντα, τὰ ἄπειρα γένη τῶν ἀλόγων ζώων, οἱ σπόροι, τὰ φυτά, χωρὶς νὰ ἔχουν προηγηθῆ διὰ τὴν γέννησιν ἐκείνων τῶν ζώων πόνοι, χωρὶς νὰ ἔχουν πέσει βροχαὶ διὰ τὴν βλάστησιν τῶν σπόρων, χωρὶς νὰ ὑπάρξῃ καλλιέργεια, χωρὶς νὰ ἔχουν συντελέσει εἰς τὴν γένεσιν αὐτῶν οὔτε βόδια οὔτε ἄροτρον οὔτε τίποτε ἄλλο. Δηλαδή, διὰ τοῦτον ἀκριβῶς τὸν λόγον ἐδημιούργησεν εἰς τὴν ἀρχὴν τόσα πολλὰ γένη καὶ φυτῶν καὶ ἀλόγων ζώων ἀπὸ τὸ ἄψυχον καὶ ἀναίσθητον χῶμα, διὰ νὰ σὲ διδάξῃ ἀπὸ τὸν οὐρανὸν τὴν ἔννοιαν τῆς ἀναστάσεως· διότι τοῦτο εἶναι θαυμαστότερον ἀπὸ τὴν ἀνάστασιν· τὸ νὰ ἀνάψῃ δηλαδὴ κανεὶς ἕνα σβησμένον λύχνον δὲν εἶναι ἴσον μὲ τὸ νὰ παραγάγῃ πῦρ ἐκ τοῦ μηδενός· τὸ νὰ ἀναστυλώσῃ κάποιος μίαν οἰκίαν, ποὺ κατέρρευσε, δὲν εἶναι ἴσον μὲ τὸ νὰ κτίσῃ μίαν ἐκ τοῦ μηδενός. Εἰς τὴν πρώτην δηλαδὴ περίπτωσιν, ἂν ὄχι τίποτε ἄλλο, πάντως ὑπῆρχε τὸ ὑλικόν, εἰς τὴν δευτέραν ὅμως περίπτωσιν δὲν ὑπῆρχε ἀπολύτως τίποτε. Διὰ τοῦτο ἔκανε πρῶτον αὐτὸ ποὺ ἐθεωρεῖτο δυσκολώτερον, διὰ νὰ παραδεχθῇς κατόπιν τὸ εὐκολώτερον.

Εἶπα δὲ δυσκολώτερον ὄχι διὰ τὸν Θεόν, ἀλλὰ σύμφωνα μὲ τὰς δυνάμεις τῆς ἰδικῆς μας λογικῆς, διότι τίποτε δὲν εἶναι δύσκολον διὰ τὸν Θεόν· ἀλλ' ὅπως ὁ ζωγράφος, ποὺ κάμνει μίαν εἰκόνα, θὰ κάμῃ εὐκόλως μυρίας, ἔτσι εἶναι πολὺ εὔκολον καὶ διὰ τὸν Θεὸν νὰ κάμῃ μυρίους καὶ ἀπείρους κόσμους· μᾶλλον δέ, ὅπως εἶναι εὔκολον νὰ σκεφθῇς μίαν πόλιν καὶ τοὺς ἀπείρους κόσμους, ἔτσι εἶναι εὔκολον διὰ τὸν Θεὸν νὰ τοὺς δημιουργήσῃ, μᾶλλον δὲ πολὺ εὐκολώτερον καὶ ἀπὸ αὐτό· διότι σὺ μὲν θὰ κατηνάλισκες ἔστω καὶ ὀλίγον χρόνον σκεπτόμενος, ὁ Θεὸς ὅμως οὔτε τοῦτον θὰ κατηνάλισκεν, ἀλλὰ ὅσον οἱ λίθοι εἶναι βαρύτεροι ἀπὸ τὰ ἐλαφρότερα πτηνά, μᾶλλον δὲ ὅσον εἶναι βαρύτεροι ἀπὸ τὸν νοῦν μας, τόσον ὁ νοῦς μας ὑπολείπεται τῆς ταχύτητος τοῦ Θεοῦ εἰς τὸ νὰ δημιουργῇ.

Ἐθαύμασες τὴν δύναμιν αὐτοῦ ἐπὶ τῆς γῆς; Σκέψου πάλιν πῶς ἐδημιουργήθη ὁ οὐρανὸς ἐκ τοῦ μηδενός, πῶς τὰ ἄπειρα

τα. Πάλιν, εἰπέ μοι, πῶς μετὰ τὸ γενέσθαι ἕστηκε καὶ ἐπὶ τίνος; ποίαν ὑποβάθραν ἔχει, ἡ γῆ δὲ ποίαν; καὶ τί μετὰ τὴν γῆν; καὶ μετ' ἐκεῖνο πάλιν τὸ μετὰ τὴν γῆν τί; Ὁρᾷς εἰς ὅσον ἴλιγγον ἐκπίπτει σου τὸ τῆς διανοίας ὄμμα, ἂν μὴ ταχέως ἐπὶ τὴν πίστιν καταδράμῃς καὶ τὴν ἀκατάληπτον δύναμιν τοῦ ποιήσαντος; Εἰ δὲ βούλει καὶ ἀπὸ τῶν ἀνθρωπίνων στοχάζεσθαι, δυνήσῃ κατὰ μικρὸν πτερῶσαί σου τὴν διάνοιαν.

Ποίων ἀνθρωπίνων; φησίν. Οὐχ ὁρᾷς τοὺς κεραμέας; πῶς τὸ διακλασθὲν καὶ γενόμενον ἄμορφον διαπλάττουσι σκεῦος; τοὺς τὴν μεταλλικὴν χωνεύοντας γῆν, πῶς τὴν γῆν χρυσίον ἀποφαίνουσι καὶ σίδηρον καὶ χαλκόν; Πάλιν ἑτέρους τοὺς τὴν ὕελον ἐργαζομένους, πῶς τὴν ἄμμον εἰς ἓν σῶμα συνεχὲς καὶ διαυγὲς μετασκευάζουσιν; Εἴπω τοὺς σκυτοδέψας, τοὺς τὰ ἁλουργὰ ἐσθήματα βάπτοντας, πῶς ἕτερον ἀνθ' ἑτέρου τὸ δεξάμενον τὴν βαφὴν ἀποφαίνουσιν; Εἴπω τὴν γέννησιν τὴν ἡμετέραν; οὐ σπέρμα βραχὺ πρῶτον ἄμορφον καὶ ἀτύπωτον ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό; πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις; Τί δὲ ὁ σῖτος; οὐ κόκκος γυμνὸς εἰς τὴν γῆν καταβάλλεται; οὐ μετὰ τὸ καταβληθῆναι σήπεται; πόθεν ἄσταχυς καὶ ἀνθέρικες καὶ καλάμη καὶ τὰ ἄλλα πάντα; Οὐ κεγχρὶς σύκου μικρὰ πολλάκις ἐμπεσοῦσα εἰς γῆν, καὶ ῥίζαν καὶ κλάδους καὶ καρπὸν ἤνεγκεν; Εἶτα τούτων μὲν ἕκαστον δέχῃ καὶ οὐ περιεργάζῃ, τὸν δὲ Θεὸν μόνον ἀπαιτεῖς εὐθύνας μετασκευάζοντα ἡμῶν τὸ σῶμα; Καὶ ποῦ ταῦτα ἄξια συγγνώμης;

4. Ταῦτα πρὸς Ἕλληνας λέγομεν καὶ τὰ τοιαῦτα· πρὸς γὰρ τοὺς ταῖς Γραφαῖς πειθομένους οὐδὲ λόγου μοι δεῖ. Εἰ γὰρ μέλλοις περιεργάζεσθαι πάντα τὰ ἐκείνου, τί πλέον ἕξει τῶν ἀνθρώπων ὁ Θεός; Καίτοιγε καὶ ἀνθρώπους πολλοὺς οὐ περιεργαζόμεθα. Εἰ δὲ ἐπ' ἀνθρώπων τοῦτο ποιοῦμεν καὶ οὐ περιεργαζόμεθα, πολλῷ μᾶλλον

ἄστρα, πῶς ὁ ἥλιος, πῶς ἡ σελήνη· καὶ ὅλα αὐτὰ ἐδημιουργήθησαν ἐκ τοῦ μηδενός. Ἐπίσης, εἰπέ μου, πῶς μετὰ τὴν δημιουργίαν των ἵστανται καὶ ἐπὶ τίνος; ποῖον ὑπόβαθρον ἔχουν ὅλα αὐτὰ καὶ ποῖον ἡ γῆ; καὶ τί ὑπάρχει μετὰ τὴν γῆν; καὶ τί μετὰ ἀπὸ ἐκεῖνο, ποὺ εὑρίσκεται μετὰ τὴν γῆν; Βλέπεις εἰς πόσον ἴλιγγον φθάνει ὁ νοῦς σου, ἂν δὲν καταφύγῃς ταχέως εἰς τὴν πίστιν καὶ τὴν ἀκατάληπτον δύναμιν τοῦ δημιουργοῦ; Ἐὰν θέλῃς δὲ νὰ στοχασθῇς ἐξ ἀφορμῆς τῶν ἀνθρωπίνων, θὰ ἠμπορέσῃς ἐντὸς ὀλίγου νὰ δώσῃς πτερὰ εἰς τὴν διάνοιάν σου.

Ποίων ἀνθρωπίνων; θὰ ἔλεγε κάποιος; Δὲν βλέπεις τοὺς κεραμοποιούς; πῶς διαπλάθουν τὸ σκεῦος, ποὺ ἔσπασε καὶ ἔγινεν ἄμορφον; Δὲν βλέπεις αὐτοὺς ποὺ ρίπτουν εἰς τὸ χωνευτήρι τὸ χῶμα ποὺ περιέχει μέταλλον, πῶς ἀπὸ τὸ χῶμα παρουσιάζουν χρυσὸν καὶ σίδηρον καὶ χαλκόν; Δὲν βλέπεις ἐπίσης ἄλλους, ποὺ κατεργάζονται τὴν ὕελον, πῶς μετατρέπουν τὴν ἄμμον εἰς ἓν σῶμα συνεχὲς καὶ διαυγές; Νὰ ἀναφέρω τοὺς βυρσοδέψας, αὐτοὺς ποὺ βάφουν τὰ κόκκινα ἐνδύματα, πῶς ἐκεῖνο ποὺ ἔβαψαν τὸ παρουσιάζουν διαφορετικὸν ἀπὸ ὅ,τι ἦτο; Νὰ ἀναφέρω τὴν γέννησίν μας; δὲν εἶναι κατ' ἀρχὰς ἕνα σπέρμα μικρόν, ἄμορφον καὶ ἀσχημάτιστον αὐτὸ ποὺ εἰσέρχεται εἰς τὴν μήτραν, ἡ ὁποία τὸ δέχεται; πῶς λοιπὸν τὸ ζῶον ἀπέκτησε τόσον μεγάλην διάπλασιν; Τί εἶναι ἐξ ἄλλου ὁ σῖτος; δὲν ρίπτεται εἰς τὴν γῆν ἕνας γυμνὸς κόκκος; μετὰ τὴν σπορὰν δὲν σαπίζει; πῶς δημιουργοῦνται ὁ στάχυς καὶ ὁ ἀθέρας του καὶ ἡ καλάμη καὶ ὅλα τὰ ἄλλα; Ἕνας μικροσκοπικὸς σπόρος σύκου πολλάκις, ἀφοῦ πέσῃ εἰς τὴν γῆν, δὲν δίδει ρίζαν καὶ κλάδους καὶ καρπόν; Ἑπομένως, κάθε ἕνα μὲν ἐξ αὐτῶν τὸ δέχεσαι καὶ δὲν τὸ πολυεξετάζεις, ἀπὸ τὸν Θεὸν δὲ μόνον ἀπαιτεῖς εὐθύνας, διότι μετασχηματίζει τὸ σῶμα μας; Καὶ πῶς εἶναι αὐτὰ ἄξια συγγνώμης;

4. Αὐτὰ καὶ ἄλλα τέτοια λέγομεν πρὸς τοὺς Ἐθνικούς, διότι εἰς τοὺς πιστοὺς οὔτε κἂν χρειάζεται νὰ ὁμιλήσω. Ἐὰν δηλαδὴ πρόκειται νὰ πολυεξετάζῃς ὅλας τὰς ἐνεργείας ἐκείνου, κατὰ τί ὁ Θεὸς θὰ ὑπερέχῃ τῶν ἀνθρώπων, ἐφ' ὅσον μάλιστα δὲν περιεργαζόμεθα ἀκόμη καὶ ἀνθρώπους πολλούς. Καὶ ἂν ἔτσι φερώμεθα προκειμένου περὶ ἀνθρώπων καὶ δὲν τοὺς περιεργαζώμεθα, πολὺ πε-

τὴν τοῦ Θεοῦ σοφίαν πολυπραγμονεῖν οὐ χρὴ οὐδὲ λογισμοὺς ἀπαιτεῖν· πρῶτον μέν, ὅτι ἀξιόπιστος ὁ ἀποφαινόμενος, δεύτερον δέ, ὅτι οὐ δέχεται λογισμῶν ἔρευναν τὰ πράγματα. Οὐ γὰρ οὕτω πτωχὸς ὁ Θεός, ὡς τοιαῦτα ἐργάζεσθαι μόνα, ἃ τῇ τῶν λογισμῶν ἀσθενείᾳ περιληφθῆναι δύναται τῶν σῶν. Εἰ γὰρ τέκτονος ἔργον οὐ καταλαμβάνεις, πολλῷ μᾶλλον τοῦ ἀριστοτέχνου Θεοῦ.

Μὴ ἀπιστεῖτε τοίνυν τῇ ἀναστάσει· ἐπεὶ πολλῷ μακρὰν τῆς ἐλπίδος ἔσεσθε τῆς μελλούσης. Ἀλλὰ τί τὸ σοφὸν τῶν ἀντιλεγόντων, μᾶλλον δὲ τὸ σφόδρα ἀνόητον; Καὶ πῶς, ὅταν ἀναμιχθῇ τὸ σῶμα τῇ γῇ καὶ γένηται γῆ, καὶ αὕτη πάλιν ἑτέρωθι μετενεχθῇ, ἀναστήσεται, φησί; Σοὶ τοῦτο ἄπορον εἶναι δοκεῖ, ἀλλ' οὐ τῷ ἀκοιμήτῳ ὀφθαλμῷ· ἐκείνῳ γὰρ ἅπαντα δῆλα. Καὶ σὺ μὲν οὐχ ὁρᾷς τὴν ἐν τῇ συγχύσει διαίρεσιν, ἐκεῖνος δὲ πάντα οἶδεν· ἐπεὶ καὶ τὰ ἐν τῇ καρδίᾳ σὺ μὲν ἀγνοεῖς τοῦ πλησίον, ἐκεῖνος δὲ πάντα ἐπίσταται. Εἰ τοίνυν, ἐπειδὴ ἀγνοεῖς πῶς ἀνίστησιν ὁ Θεός, ἀπιστεῖς ὅτι ἀνίστησιν, ἀπιστήσεις ὅτι καὶ τὰ ἐν τῇ διανοίᾳ οἶδεν· οὐ φαίνεται γὰρ οὐδὲ ταῦτα. Καίτοι ἐπὶ τοῦ σώματος μὲν ὕλη ἐστὶν ὁρατή, κἂν διαλυθῇ, ἐκεῖναι δὲ αἱ ἔννοιαι ἀόρατοι. Ὁ τὰ ἀόρατα τοίνυν εἰδὼς μετὰ ἀκριβείας ἁπάσης τὰ ὁρατὰ οὐκ ὄψεται, καὶ διαιρήσει ῥᾳδίως τὸ σῶμα; Παντί που δῆλον.

Μὴ τοίνυν ἀπίστει τῇ ἀναστάσει· διαβολικὸν γὰρ τὸ δόγμα· καὶ σπουδάζει τοῦτο ὁ διάβολος, οὐχ ἵνα ἀνάστασις ἀπιστηθῇ μόνον, ἀλλ' ἵνα καὶ τὰ τῆς ἀρετῆς ἔργα καταλυθῇ. Ἄνθρωπος γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι καὶ δώσειν λόγον τῶν πεπραγμένων οὐχ ἅψεται ταχέως ἀρετῆς οὐχ ἁπτόμενος δὲ ἀρετῆς διαπιστήσει τῇ ἀναστάσει πάλιν. Ἀμφότερα γὰρ ὑπ' ἀλλήλων κατασκευάζεται, ἡ κακία ὑπὸ τῆς ἀπιστίας καὶ ἡ ἀπιστία ὑπὸ τῆς κακίας. Πολλῶν γὰρ πεπλη-

ρισσότερον δὲν πρέπει νὰ πολυεξετάζωμεν τὴν σοφίαν τοῦ Θεοῦ οὔτε νὰ ἀπαιτῶμεν λογικὰς ἀποδείξεις, διότι πρῶτον μὲν εἶναι ἀξιόπιστος ὁ Θεὸς ποὺ μᾶς ἀποκαλύπτεται, καὶ δεύτερον, διότι τὰ θέματα αὐτὰ δὲν ἐπιδέχονται ἔρευναν τῆς λογικῆς. Ὁ Θεὸς δηλαδὴ δὲν εἶναι τόσον ἀδύνατος, ὥστε νὰ κάμνῃ τέτοια μόνον, ὅσα εἶναι δυνατὸν νὰ γίνουν ἀντιληπτὰ ἀπὸ τὴν ἀσθενῆ λογικήν σου. Ἐὰν δηλαδὴ δὲν κατανοῇς τὸ ἔργον ἑνὸς τεχνίτου, πολὺ περισσότερον δὲν εἶναι δυνατὸν νὰ κατανοήσῃς τὸ ἔργον τοῦ ἀριστοτέχνου Θεοῦ.

Μὴ ἀπιστεῖτε λοιπὸν εἰς τὴν ἀνάστασιν, διότι ἔτσι θὰ εἶσθε πολὺ μακρὰν τῆς ἐλπίδος τῶν μελλόντων ἀγαθῶν. Ἀλλ' αὐτῶν ποὺ ἀντιλέγουν ποῖον εἶναι τὸ σοφὸν ἐπιχείρημα, μᾶλλον τὸ πλέον ἀνόητον ἐπιχείρημά των; Ὅταν ἀναμιχθῇ τὸ σῶμα μὲ τὴν γῆν καὶ γίνῃ γῆ καὶ μεταφερθῇ αὐτὴ εἰς ἄλλον τόπον, πῶς ἄραγε, θὰ ἔλεγε κάποιος, θὰ ἀναστηθῇ; Τοῦτο φαίνεται ἀκατανόητον εἰς σέ, ἀλλ' ὄχι εἰς τὸν ἀκοίμητον ὀφθαλμόν· διότι εἰς ἐκεῖνον εἶναι ὅλα φανερά. Καὶ σὺ μὲν δὲν διακρίνεις τὰ διάφορα μέρη, ὅταν ἀναμιχθοῦν, ἐκεῖνος ὅμως τὰ γνωρίζει ὅλα· ἐπὶ παραδείγματι σὺ μὲν ἀγνοεῖς τί ὑπάρχει εἰς τὴν καρδίαν τοῦ πλησίον σου, ἐκεῖνος ὅμως ὅλα τὰ γνωρίζει. Ἐὰν λοιπόν, ἐπειδὴ ἀγνοεῖς πῶς ἀνασταίνει ὁ Θεός, δὲν πιστεύῃς κἂν ὅτι ἀνασταίνει, θὰ ἀπιστήσῃς καὶ διὰ τὸ ὅτι γνωρίζει τὰς σκέψεις μας· διότι οὔτε αὐταὶ φαίνονται. Καὶ ὅμως, ὅσον ἀφορᾷ μὲν εἰς τὸ σῶμα, ἡ ὕλη εἶναι ὁρατή, καὶ ἂν ἀκόμη διαλυθῇ, ἐκεῖναι ὅμως αἱ σκέψεις εἶναι ἀόρατοι. Αὐτὸς λοιπὸν ποὺ γνωρίζει τὰ ἀόρατα μὲ κάθε ἀκρίβειαν, δὲν θὰ ἴδῃ τὰ ὁρατά, καὶ θὰ διαλύσῃ τὸ σῶμα εὐκόλως; Εἶναι, νομίζω, ὁλοφάνερον.

Μὴ λοιπὸν ἀπιστῇς εἰς τὴν ἀνάστασιν· ἡ σκέψις αὐτὴ εἶναι διαβολική· καὶ καταβάλλει μεγάλην προσπάθειαν ἐδῶ ὁ διάβολος, ὄχι μόνον διὰ νὰ ὑπάρξῃ ἀπιστία εἰς τὸ θέμα τῆς ἀναστάσεως, ἀλλὰ καὶ διὰ νὰ καταργηθοῦν καὶ τὰ ἔργα τῆς ἀρετῆς. Ὁ ἄνθρωπος δηλαδὴ ποὺ δὲν προσδοκᾷ νὰ ἀναστηθῇ καὶ νὰ δώσῃ λόγον τῶν πράξεών του, δὲν θὰ ἐνδιαφερθῇ εὐθὺς ἐξ ἀρχῆς διὰ τὴν ἀρετήν· μὴ ἐνδιαφερόμενος δὲ διὰ τὴν ἀρετὴν θὰ ἐκδηλώσῃ ἐν συνεχείᾳ ἀπιστίαν διὰ τὴν ἀνάστασιν. Τὸ ἕνα δηλαδὴ προκαλεῖ τὸ ἄλλο, ἡ ἀπιστία τὴν κακίαν καὶ ἡ κακία τὴν ἀπιστίαν. Ὅταν δηλαδὴ

ρωμένον τὸ συνειδὸς πονηριῶν, δεδοικὸς καὶ τρέμον τὴν μέλλουσαν ἀντίδοσιν, ἐπειδὴ μὴ βούλεται ἀπὸ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ κάλλιστα τὴν παραμυθίαν πορίζεσθαι, ἀπὸ τῆς ἀπιστίας ἀναπαύεσθαι βούλεται. Οὐ λέγοντος γάρ σου ἀνάστασιν οὐδὲ κρίσιν, κἀκεῖνος ἐρεῖ· οὐκοῦν οὐδὲ ἐγὼ δώσω λόγον τῶν τετολμημένων. Ἀλλὰ τί φησιν ὁ Χριστός; «Πλανᾶσθε μὴ εἰδότες τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ».

Οὐδὲ γὰρ ἂν τοσαῦτα ἐπραγματεύσατο ὁ Θεός, εἴγε μὴ ἔμελλεν ἀναστήσειν ἡμᾶς, ἀλλὰ διαλύειν καὶ ἀφανίζειν εἰς τὸ μηδέν· οὐκ ἂν τὸν οὐρανὸν ἐξέτεινε τοῦτον, οὐκ ἂν τὴν γῆν ὑπεστόρεσεν, οὐκ ἂν τὰ ἄλλα ἅπαντα ὑπὲρ τῆς βραχείας ζωῆς μόνον ταύτης ἐποίησεν. Εἰ δὲ ὑπὲρ τῆς παρούσης ταῦτα, τί οὐ ποιήσει ὑπὲρ τῆς μελλούσης; Εἰ δὲ μὴ ἔσται μέλλουσα, πολὺ ἡμεῖς τῶν δι' ἡμᾶς γενομένων ἀτιμότεροι κατὰ τοῦτο. Καὶ γὰρ οὐρανὸς καὶ γῆ καὶ θάλασσα καὶ ποταμοὶ μονιμώτερα ἡμῶν, καὶ τῶν ἀλόγων δὲ ἔνια· καὶ γὰρ κορώνη καὶ τὸ τῶν ἐλεφάντων γένος καὶ πολλὰ ἕτερα πλείονα χρόνον ἀπολαύει τῆς παρούσης ζωῆς. Ἡμῖν δὲ καὶ βραχὺς καὶ ἐπίπονος ὁ βίος, ἀλλ' οὐκ ἐκείνοις, ἀλλὰ καὶ μακρός, καὶ μᾶλλον καὶ ἀθυμίας καὶ φροντίδων ἀπηλλαγμένος.

Τί οὖν, εἰπέ μοι; τοὺς δούλους βελτίους ἐποίησε τῶν δεσποτῶν; Μή, παρακαλῶ, μὴ ταῦτα λογίζου μηδὲ πτώχευε, ἄνθρωπε, τὴν διάνοιαν μηδὲ ἀγνόει τὸν πλοῦτον τοῦ Θεοῦ τοιοῦτον ἔχων δεσπότην. Καὶ γὰρ ἐξ ἀρχῆς σε ἐβούλετο ἀθάνατον ὁ Θεὸς ποιῆσαι, ἀλλ' οὐκ ἠθέλησας σύ. Καὶ γὰρ ἀθανασίας αἰνίγματα ἐκεῖνα ἦν, ἡ πρὸς τὸν Θεὸν ὁμιλία, τὸ ἀταλαίπωρον τῆς ζωῆς, τὸ λύπης καὶ φροντίδων ἀπηλλάχθαι καὶ πόνων καὶ τῶν ἄλλων τῶν ἐπικήρων· οὔτε γὰρ ἱματίων ἐδεῖτο ὁ Ἀδάμ, οὐκ ὀρόφους, οὐκ ἄλλης τινὸς τοιαύτης κατασκευῆς, ἀλλ' ἀγγέλοις μᾶλλον ἐῴκει καὶ πολλὰ τῶν μελλόντων προῄδει καὶ σοφίας ἐνε-

---

10. Ματθ. 22,29.

ἡ συνείδησις εἶναι γεμάτη ἀπὸ πονηρίας, ἐπειδὴ φοβεῖται καὶ τρέμει τὴν μέλλουσαν τιμωρίαν, ἐφ' ὅσον δὲν θέλει νὰ λάβῃ τὴν παραμυθίαν μὲ τὴν μεταστροφὴν εἰς τὸ καλόν, θέλει νὰ ἀναπαυθῇ μὲ τὴν ἀπιστίαν. Ἐπειδὴ δηλαδὴ σὺ λέγεις ὅτι δὲν ὑπάρχει ἀνάστασις οὔτε κρίσις, καὶ ἐκεῖνος θὰ εἰπῇ· Ἑπομένως οὔτε καὶ ἐγὼ θὰ δώσω λόγον διὰ τὰ παραπτώματά μου. Ἀλλ' ὅμως τί λέγει ὁ Χριστός; «Πλανᾶσθε, διότι δὲν γνωρίζετε τὰς Γραφάς, οὔτε τὴν δύναμιν τοῦ Θεοῦ»[10].

Δὲν θὰ ἐδημιούργει τόσα πολλὰ ὁ Θεός, ἐὰν βεβαίως δὲν ἐπρόκειτο νὰ μᾶς ἀναστήσῃ, ἀλλὰ νὰ μᾶς ἀφήσῃ εἰς τὴν διάλυσιν καὶ τὸν πλήρη ἀφανισμόν· δὲν θὰ εἶχεν ἐκτείνει τοῦτον τὸν οὐρανόν, δὲν θὰ εἶχε δημιουργήσει ἐδῶ κάτω τὴν γῆν, δὲν θὰ εἶχε πλάσει ὅλα τὰ ἄλλα πρὸς χάριν αὐτῆς μόνον τῆς συντόμου ζωῆς. Καὶ ἂν αὐτὰ τὰ ἔχῃ δημιουρήσει διὰ τὴν παροῦσαν ζωήν, τί δὲν θὰ κάμῃ διὰ τὴν μέλλουσαν; Ἐὰν ὅμως δὲν θὰ ὑπάρξῃ μέλλουσα ζωή, ἡμεῖς διὰ τὸν ἑξῆς λόγον εἴμεθα πολὺ ἀναξιώτεροι τῶν ὅσων ἔγιναν πρὸς χάριν μας· ὁ οὐρανὸς δηλαδὴ καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ οἱ ποταμοί, ἀκόμη καὶ μερικὰ ἀπὸ τὰ ζῶα εἶναι μονιμώτερα ἀπὸ ἡμᾶς· ἡ κορώνη π.χ. καὶ τὸ γένος τῶν ἐλεφάντων καὶ πολλὰ ἄλλα ζῶα χαίρονται τὴν παροῦσαν ζωὴν περισσότερον χρόνον. Ὁ βίος ὁ ἰδικός μας εἶναι σύντομος καὶ ἐπίπονος, ἐνῷ ὁ βίος ἐκείνων δὲν εἶναι τέτοιος, ἀλλὰ μακρὸς καὶ μᾶλλον εἶναι ἀπηλλαγμένος στενοχωρίας καὶ φροντίδων.

Τί λοιπόν, εἰπέ μου; τοὺς δούλους τοὺς ἔκανε ἀνωτέρους τῶν κυρίων; Μή, σὲ παρακαλῶ, μὴ σκέπτεσαι, ἄνθρωπε, κάτι τέτοια καὶ μὴ φαίνεσαι πτωχὸς εἰς τὴν διάνοιαν μήτε νὰ ἀγνοῇς τὸν πλοῦτον τοῦ Θεοῦ, τὴν στιγμὴν ποὺ ἔχεις τέτοιον κύριον· διότι ἀληθῶς, ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν ἤθελε νὰ σὲ κάμῃ ἀθάνατον, ἀλλὰ σὺ δὲν ἠθέλησες. Πράγματι· ἐνδείξεις ἀθανασίας ἦσαν ἐκεῖνα, δηλαδὴ ἡ συνομιλία μὲ τὸν Θεόν, ἡ ἔλλειψις ἀπὸ τὴν ζωὴν ταλαιπωριῶν, ἡ ἀπαλλαγὴ ἀπὸ λύπην καὶ φροντίδας καὶ κόπους καὶ τὰ ἄλλα τὰ θνητὰ στοιχεῖα· διότι ὁ Ἀδὰμ δὲν εἶχεν ἀνάγκην οὔτε ἐνδυμάτων οὔτε στέγης οὔτε κανενὸς ἄλλου πράγματος αὐτοῦ τοῦ εἴδους, ἀλλ' ὡμοίαζε μᾶλλον μὲ τοὺς ἀγγέλους καὶ πολλὰ ἐκ τῶν μελλόντων

πέπληστο πολλῆς. Καὶ ὃ λάθρα ἐποίησεν ὁ Θεός, τοῦτο ἐκεῖνος ἔγνω, τὸ περὶ τῆς γυναικός· διὸ καὶ ἔλεγε, «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου». Ὁ δὲ πόνος ὕστερον γέγονεν, ὕστερον ἱδρώς, ὕστερον αἰσχύνη καὶ ἡ δειλία καὶ τὸ ἀπαρρησίαστον· τότε δὲ οὐ λύπη, οὐκ ὀδύνη, οὐ στεναγμός. Ἀλλ' οὐκ ἔμεινεν ἐπὶ τῆς ἀξίας ἐκείνης.

5. Τί οὖν ἐγὼ πάθω; φησί· δι' ἐκεῖνον ἀπόλλυμαι; Μάλιστα μὲν οὐ δι' ἐκεῖνον· οὐδὲ γὰρ σὺ ἀναμάρτητος ἔμεινας, ἀλλ' εἰ καὶ μὴ τὴν αὐτὴν ἁμαρτίαν, ἑτέραν γοῦν ἥμαρτες. Ἄλλως δὲ οὐδὲ ἀπὸ τῆς τιμωρίας ἐβλάβης, ἀλλὰ καὶ ἐκέρδανας. Εἰ μὲν γὰρ ἔμελλες διόλου μένειν θνητός, ἴσως εἶχέ τινα λόγον τὸ εἰρημένον· νῦν δὲ καὶ ἀθάνατος εἶ, κἂν ἐθέλῃς, ὑπὲρ τὸν ἥλιον αὐτὸν λάμψαι δυνήσῃ. Ἀλλ' εἰ μὴ θνητὸν ἔλαβον σῶμα, φησίν, οὐκ ἂν ἥμαρτον.

Τί οὖν, εἰπέ μοι; ἐκεῖνος θνητὸν ἔχων ἥμαρτεν; Οὐδαμῶς· οὐ γὰρ ἄν, εἴγε θνητὸν ἦν, ὕστερον ἐν κολάσεως τάξει τὸν θάνατον ὑπέμεινεν. Ὅτι δὲ οὔτε θνητὸν σῶμα ἐμποδίζει πρὸς ἀρετήν, ἀλλὰ καὶ σωφρονίζει καὶ τὰ μέγιστα συντελεῖ, δῆλον ἐκεῖθεν. Εἰ γὰρ προσδοκία ἀθανασίας μόνον οὕτως ἐπῆρε τὸν Ἀδάμ, εἰ καὶ τῷ ὄντι ἀθάνατος ἐγεγόνει, ποῦ οὐκ ἂν ἀπονοίας ἐξέβη; Καὶ νῦν μὲν ἁμαρτὼν δύνασαι λῦσαι τὰ ἁμαρτήματα, τοῦ σώματος ταπεινοῦ ὄντος καὶ καταπίπτοντος καὶ διαλυομένου· καὶ γὰρ αὗται αἱ ἔννοιαι ἱκαναὶ σωφρονίσαι· εἰ δὲ ἐν ἀθανάτῳ ἐπλημμέλησας, μονιμώτερα ἴσως ἔμελλεν εἶναι τὰ ἁμαρτήματα.

Οὐ τοίνυν ἡ θνητότης αἰτία τῆς ἁμαρτίας — μὴ κατηγόρει — ἀλλ' ἡ πονηρὰ προαίρεσίς ἐστιν ἡ ῥίζα τῶν

---

11. Γεν. 2,23.
12. «Τὸ ἀπαρρησίαστον»: Ἡ στέρησις τῆς παρρησίας ὡς ἀποτέλεσμα τοῦ προπατορικοῦ ἁμαρτήματος. Πρβλ. καὶ «..... διά τε τὴν ἀρχαίαν παρακοὴν καὶ τὸ καταλεῖψαι Θεὸ ν ζῶντα». Didym Trin 3.39.

ἐγνώριζεν ἐκ τῶν προτέρων καὶ ἦτο πλήρης πολλῆς σοφίας. Καὶ μάλιστα ὅ,τι ἔκανεν ὁ Θεὸς κρυφίως σχετικῶς μὲ τὴν γυναῖκα, τοῦτο ἐκεῖνος τὸ ἐγνώριζε, διὰ τοῦτο καὶ ἔλεγε· «Τοῦτο τώρα εἶναι ὀστοῦν ἀπὸ τὰ ὀστᾶ μου καὶ σὰρξ ἀπὸ τὴν σάρκα μου»[11]. Ὁ δὲ πόνος ἀργότερον ἐδημιουργήθη, ἀργότερον ὁ ἱδρώς, ἀργότερον ἡ αἰσχύνη καὶ ἡ δειλία καὶ τὸ ἀπαρρησίαστον[12], ἐνῷ τότε δὲν ὑπῆρχε λύπη οὔτε ὀδύνη οὔτε στεναγμός. Ἀλλὰ ὁ Ἀδὰμ δὲν ἔμεινεν εἰς τὴν τιμητικὴν ἐκείνην κατάστασιν.

5. Τί λοιπὸν ἐγὼ θὰ πάθω; θὰ ἔλεγε κάποιος· ἐξ αἰτίας ἐκείνου θὰ χαθῶ; Βεβαιότατα ἐξ αἰτίας ἐκείνου· οὔτε καὶ ἐσὺ ὅμως ἔμεινες ἀναμάρτητος, ἀλλὰ καὶ ἂν ἀκόμη δὲν διέπραξες τὴν ἰδίαν ἁμαρτίαν, πάντως ὁπωσδήποτε διέπραξες ἄλλην. Ἄλλωστε δὲν ἐβλάβης ἀπὸ τὴν τιμωρίαν, ἀλλ' ἀντιθέτως ἐκέρδισες. Ἐὰν δηλαδὴ ἐπρόκειτο νὰ μένῃς αἰωνίως θνητός, ἴσως θὰ εἶχε κάποιαν ἰσχὺν τὸ ἐπιχείρημά σου· τώρα ὅμως καὶ ἀθάνατος εἶσαι καί, ἂν θέλῃς, θὰ ἠμπορέσῃς νὰ λάμψῃς περισσότερον καὶ ἀπὸ τὸν ἴδιον τὸν ἥλιον. Ἀλλά, θὰ ἔλεγε κάποιος, ἐὰν δὲν εἶχον λάβει θνητὸν σῶμα, δὲν θὰ ἡμάρτανον.

Τί λοιπόν, εἰπέ μου· ἐκεῖνος (ὁ Ἀδὰμ) ἡμάρτησε, διότι εἶχε θνητὸν σῶμα; Καθόλου· διότι, ἐὰν πράγματι ἦτο θνητόν, δὲν θὰ εἶχεν ὑποστῇ τὸν θάνατον κατόπιν ὡς τιμωρίαν. Εἶναι φανερὸν ἀπὸ ἐκεῖνο τὸ παράδειγμα ὅτι τὸ θνητὸν σῶμα καθόλου δὲν ἀποτελεῖ ἐμπόδιον διὰ τὴν ἀρετήν, ἀλλ' ἀπεναντίας συντελεῖ εἰς σωφροσύνην καὶ βοηθεῖ πάρα πολύ. Ἐφ' ὅσον δηλαδὴ καὶ μόνον ἡ προσδοκία τῆς ἀθανασίας παρέσυρεν εἰς ἀλαζονείαν τόσον πολὺ τὸν Ἀδάμ, ἐὰν εἶχε γίνει πράγματι ἀθάνατος, τοῦτο εἰς ποίαν μωρίαν δὲν θὰ τὸν εἶχεν ὁδηγήσει; Καὶ τώρα μέν, ὅταν ἁμαρτάνῃς, ἠμπορεῖς νὰ ἀπαλλαγῇς ἀπὸ τὰ ἁμαρτήματα, διότι τὸ σῶμα σου εἶναι εὐτελὲς καὶ καταρρέει καὶ διαλύεται· καὶ πράγματι, αὐταὶ αἱ σκέψεις εἶναι ἱκαναὶ νὰ ὁδηγοῦν εἰς σωφροσύνην· ἐὰν ὅμως εἶχες ἁμαρτήσει εἰς τὸ ἀθάνατον σῶμα, ἴσως ἐπρόκειτο νὰ ἦσαν τὰ ἁμαρτήματα μονιμώτερα.

Ἡ θνητότης λοιπὸν δὲν εἶναι ἡ αἰτία τῆς ἁμαρτίας —μὴ τῆς ἀποδίδῃς κατηγορίαν— ἀλλ' ἡ ρίζα τῶν κακῶν εἶναι ἡ πονηρὰ

κακῶν. Διὰ τί γὰρ μηδὲν τὸν Ἄβελ τὸ σῶμα ἠδίκησε; διὰ τί μηδὲν τοὺς δαίμονας τὸ ἀσώματον ὤνησε; Βούλει μαθεῖν ὅτι οὐ μόνον οὐκ ἔβλαψε τὸ σῶμα θνητὸν γενόμενον, ἀλλὰ καὶ ὠφέλησεν; ἄκουσον ὅσα κερδαίνεις, ἐὰν νήφῃς, ἐκ τούτου. Ἀνθέλκει σε καὶ περισπᾷ ἀπὸ τῆς κακίας ὀδύναις καὶ λύπαις καὶ πόνοις καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις.

Ἀλλὰ καὶ εἰς πορνείαν ἐξάγει, φησίν. Οὐ τὸ σῶμα, ἀλλ' ἡ ἀκολασία. Ταῦτα μὲν γάρ, ἅπερ εἶπον, πάντως τοῦ σώματός ἐστι· διόπερ οὐκ ἔστιν ἄνθρωπον εἰς τὸν βίον ἐλθόντα τοῦτον μὴ καὶ νοσεῖν καὶ ἀλγεῖν καὶ ἀθυμεῖν· μὴ πορνεύειν δὲ ἔνι. Ὥστε, εἰ τῆς τοῦ σώματος ἦν φύσεως καὶ τὰ τῆς κακίας, καθολικὰ ἂν ἦν· τὰ γὰρ φυσικὰ τοιαῦτα· τὸ δὲ πορνεύειν οὐ τοιοῦτον· ἀλλὰ τὸ μὲν ἀλγεῖν ἐντεῦθεν, τὸ δὲ πορνεύειν ἀπὸ τῆς προαιρέσεως.

Μὴ τοίνυν κατηγόρει τοῦ σώματος· μή σου τὴν τιμὴν ἀφαιρείσθω ὁ διάβολος, ἥν σοι ἔδωκεν ὁ Θεός. Ἂν γὰρ θέλωμεν, χαλινός ἐστιν ἄριστος τὸ σῶμα, τὰ σκιρτήματα τῆς ψυχῆς κατέχον, ἀπόνοιαν κατασπῶν, ἀλαζονείαν κωλύον, ἐν τοῖς μεγίστοις κατορθώμασιν ἡμῖν διακονούμενον. Μὴ γάρ μοι τοὺς μαινομένους εἴπῃς· ἐπεὶ καὶ τῶν ἵππων πολλοὺς ὁρῶμεν κατὰ κρημνῶν φερομένους, τὸν ἡνίοχον ῥίψαντας μετὰ τοῦ χαλινοῦ, ἀλλ' οὐ μεμφόμεθα τὸν χαλινόν· οὐ γὰρ ἐκεῖνος διασπασθεὶς τοῦτο εἰργάσατό, ἀλλ' ὁ ἡνίοχος ὁ μὴ κατασχὼν πάντα ἀπώλεσεν. Οὕτω δὴ καὶ ἐνταῦθα λογίζου· ἂν ἴδῃς νέον ἐν ὀρφανίᾳ ζῶντα καὶ μυρία ἐργαζόμενον κακά, μὴ τὸ σῶμα αἰτιῶ, ἀλλὰ τὸν ἡνίοχον τὸν συρόμενον, τὸν λογισμὸν λέγω. Ὥσπερ γὰρ αἱ ἡνίαι οὐ παρέχουσι πράγματα τῷ ἡνιόχῳ, ἀλλ' ὁ ἡνίοχος πάντων αἴτιος οὐ καλῶς αὐτὰς κατέχων — διὸ καὶ δίκην αὐτὸν ἀπαιτοῦσι συμπλεκόμεναι αὐτῷ καὶ πα-

προαίρεσις. Διατί δηλαδὴ τὸ σῶμα δὲν ἔβλαψε καθόλου τὸν Ἄβελ; διατί ἡ ἔλλειψις σώματος δὲν ὠφέλησε καθόλου τοὺς δαίμονας; Θέλεις νὰ μάθῃς ὅτι τὸ ὅτι τὸ σῶμα ἐπλάσθη θνητὸν ὄχι μόνον δὲν ἔβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν; ἄκουσε πόσα κερδίζεις ἀπὸ αὐτό, ἐὰν εἶσαι ἄγρυπνος. Σὲ ἀποσπᾷ καὶ σὲ ἀπομακρύνει ἀπὸ τὴν κακίαν μὲ τὰς ὀδύνας καὶ τὰς λύπας καὶ τοὺς πόνους καὶ τὰ ἄλλα παρόμοια.

Ἀλλά, θὰ ἔλεγε κάποιος, ὁδηγεῖ καὶ εἰς πορνείαν. Δὲν πταίει τὸ σῶμα ἀλλὰ ἡ ἀκολασία. Αὐτὰ δηλαδή, ὅσα ἀνέφερα, εἶναι ἐξ ὁλοκλήρου χαρακτηριστικὰ τοῦ σώματος· διὰ τοῦτο δὲν εἶναι δυνατὸν νὰ ἔλθῃ ἄνθρωπος εἰς τὸν βίον αὐτὸν καὶ νὰ μὴ νοσήσῃ κα νὰ μὴ πονέσῃ καὶ νὰ μὴ στενοχωρηθῇ, ἐνῷ εἶναι δυνατὸν νὰ μὴ πορνεύσῃ. Ὥστε, ἐὰν καὶ αἱ κακίαι ἦσαν χαρακτηριστικὰ τῆς φύσεως τοῦ σώματος, θὰ τὰς εἶχον ὅλοι οἱ ἄνθρωποι, διότι ἔτσι συμβαίνει μὲ ὅσα προέρχονται ἀπὸ τὴν φύσιν· μὲ τὴν πορνείαν ὅμως δὲν συμβαίνει τὸ ἴδιον· ὁ πόνος μὲν προέρχεται ἀπὸ τὴν φύσιν, ἐνῷ ἡ πορνεία ἀπὸ τὴν διάθεσιν.

Μὴ λοιπὸν κατηγορῇς τὸ σῶμα· ἂς μὴ σοῦ ἀφαιρῇ ὁ διάβολος τὴν τιμήν, τὴν ὁποίαν σοῦ ἔδωκεν ὁ Θεός. Ἂν θέλωμεν, τὸ σῶμα εἶναι ἄριστος χαλινός, ποὺ συγκρατεῖ τὰ σκιρτήματα τῆς ψυχῆς, ποὺ περιορίζει τὴν μωρίαν, ποὺ ἐμποδίζει τὴν ἀλαζονείαν, ποὺ μᾶς ὑπηρετεῖ εἰς τὰ μεγαλύτερα κατορθώματά μας. Ἀλλὰ μὴ μοῦ ἀναφέρῃς τοὺς μαινομένους· διότι βλέπομεν καὶ πολλοὺς ἵππους νὰ καλπάζουν πρὸς τοὺς κρημνοὺς καὶ νὰ ἔχουν ρίψει κάτω τὸν ἡνίοχον μὲ τὸν χαλινόν, ἀλλὰ δὲν θεωροῦμεν αἴτιον τὸν χαλινόν· διότι δὲν ἀπεσπάσθη ἐκεῖνος μόνος του καὶ ἔτσι προεκάλεσε τοῦτο τὸ δυστύχημα, ἀλλ' ἔφερεν ὅλην τὴν συμφορὰν ὁ ἡνίοχος, ποὺ δὲν συνεκράτησε τὰ ἡνία. Κατὰ τὸν ἴδιον λοιπὸν τρόπον σκέψου ἐδῶ· Ἂν ἴδῃς ἕνα νέον ὀρφανὸν νὰ κάμνῃ μύρια κακά, μὴ θεωρῇς ὑπεύθυνον τὸ σῶμα, ἀλλὰ τὸν συρόμενον ἡνίοχον, ἐννοῶ τὸν λογισμόν του. Ὅπως δηλαδὴ τὰ ἡνία δὲν βλάπτουν τὸν ἡνίοχον, ἀλλ' ὁ ἡνίοχος εἶναι αἴτιος ὅλων, ἂν δὲν κρατῇ αὐτὰ καλῶς —διὰ τοῦτο καὶ τιμωροῦν αὐτὸν μὲ τὸ νὰ περιπλέκωνται μὲ αὐτὸν καὶ μὲ τὸ νὰ τὸν παρασύρουν πολλάκις καὶ νὰ τὸν ἀναγκάζουν νὰ ἔχῃ καὶ

ρασύρουσαι πολλάκις καὶ ἀναγκάζουσαι τῆς οἰκείας δυσπραγίας κοινωνεῖν — οὕτω δὴ καὶ ἐνταῦθα. Ἐγὼ μὲν γάρ, φησίν, ἤμασσον τὸ στόμα τοῦ ἵππου, ἕως κατεῖχες· ἐπειδὴ δὲ ἔρριψας, ἀπαιτῶ σε τῆς καταφρονήσεως δίκην, καὶ περιπλέκομαι καὶ παρασύρω, ὥστε μηκέτι τὸ αὐτὸ παθεῖν. Μηδεὶς τοίνυν αἰτιάσθω τὰς ἡνίας, ἀλλ' ἑαυτὸν καὶ τὴν διεφθαρμένην γνώμην. Καὶ γὰρ ἐφ' ἡμῶν ἡνίοχός ἐστιν ὁ λογισμός, ἡνίαι δὲ τὸ σῶμα συνάγουσαι τοὺς ἵππους πρὸς τὸν ἡνίοχον. Ἂν μὲν οὖν καλῶς αὗται διακέωνται, οὐδὲν πείσῃ δεινόν· ἂν δὲ ἀφῇς αὐτάς, ἠφάνισας καὶ ἀπώλεσας ἅπαντα.

Σωφρονῶμεν τοίνυν καὶ μὴ κατηγορῶμεν τοῦ σώματος, ἀλλὰ τῆς πονηρᾶς διανοίας. Καὶ γὰρ τοῦ διαβόλου ἔργον τοῦτο, πάντων μᾶλλον ποιεῖν τοὺς ἀνοήτους κατηγορεῖν, καὶ σώματος καὶ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, ἢ τῆς διεφθαρμένης γνώμης, ἵνα μὴ τὴν αἰτίαν εὑρόντες ἀπαλλαγῶσι τῆς ῥίζης τῶν κακῶν. Ἀλλ' ὑμεῖς τὴν ἐπιβουλὴν συνειδότες τὸν θυμὸν κατ' αὐτοῦ στρέψατε καὶ τὸν ἡνίοχον ἐπιστήσαντες τῷ ζεύγει πρὸς τὸν Θεὸν τὸ ὄμμα τῆς διανοίας τείνατε. Ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐδὲν ὁ τὸν ἀγῶνα θεὶς εἰσφέρει, ἀλλ' ἀναμένει τὸ τέλος· ἐνταῦθα δὲ τὸ πᾶν ὁ ἀγωνοθέτης ἐστὶ Θεός. Τοῦτον τοίνυν ἔχωμεν ἵλεων, καὶ πάντως ἐπιτευξόμεθα τῶν μελλόντων στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

αὐτὸς τὴν ἰδικήν των κακὴν τύχην— ἔτσι ἀκριβῶς συμβαίνει καὶ ἐδῶ. Ἐγὼ μὲν δηλαδή, λέγει ὁ χαλινός, ἔσφιγγον τὸ στόμα τοῦ ἵππου μέχρις αἵματος ἕως ὅτου μὲ ἐκράτεις καλῶς· ἐπειδὴ ὅμως μὲ ἔρριψες κάτω νομίζω ὅτι σοῦ ἀξίζει νὰ σὲ καταφρονήσω, καὶ περιπλέκομαι μαζί σου καὶ σὲ παρασύρω, ὥστε νὰ μὴ πάθω ἄλλην φορὰν τὸ ἴδιο πάθημα. Κανεὶς λοιπὸν νὰ μὴ κατηγορῇ τὰ ἡνία, ἀλλὰ τὸν ἑαυτόν του καὶ τὴν ἁμαρτωλὴν διάνοιάν του, καθ᾽ ὅτι ἡνίοχος εἰς ἐμᾶς εἶναι τὸ λογικόν, τὸ δὲ σῶμα εἶναι τὰ ἡνία, ποὺ πειθαρχοῦν τοὺς ἵππους εἰς τὸν ἡνίοχον. Ἂν λοιπὸν αὐτὰ εἶναι καλῶς προσηρμοσμένα, δὲν θὰ πάθῃς κανένα κακόν· ἂν ὅμως τὰ χαλαρώσῃς, θὰ ἀφανίσῃς καὶ θὰ καταστρέψῃς τὰ πάντα.

Ἂς εἴμεθα σώφρονες λοιπὸν καὶ ἂς μὴ κατηγορῶμεν τὸ σῶμα, ἀλλὰ τὴν πονηρὰν διάνοιάν μας, διότι πράγματι εἶναι ἔργον τοῦ διαβόλου τοῦτο, τὸ ὅτι δηλαδὴ κάμνει τοὺς ἀνοήτους νὰ κατηγοροῦν τοὺς πάντας μᾶλλον, καὶ τὸ σῶμα καὶ τὸν Θεὸν καὶ τὸν πλησίον των, παρὰ τὴν ἁμαρτωλὴν διάνοιάν των, μὲ σκοπὸν νὰ μὴ εὕρουν τὴν αἰτίαν καὶ ἀπαλλαγοῦν ἀπὸ τὴν ρίζαν τῶν κακῶν. Ἀλλὰ σεῖς, γνωρίζοντες καλῶς τὴν ἐπιβουλὴν τοῦ διαβόλου, στρέψατε τὸν θυμόν σας ἐναντίον του καί, ἀφοῦ θέσετε τὸν ἡνίοχον κυβερνήτην εἰς τὸ ἅρμα, στρέψατε τὸν ὀφθαλμὸν τῆς διανοίας σας πρὸς τὸν Θεόν· διότι, εἰς τὰ ἄλλα μὲν ἀγωνίσματα ἐκεῖνος ποὺ ἐθέσπισε τὸν ἀγῶνα δὲν δίδει τίποτε, ἀλλ᾽ ἀναμένει τὸ τέλος τοῦ ἀγῶνος· ἐδῶ ὅμως ὁ ἀγωνοθέτης Θεὸς εἶναι τὸ πᾶν. Αὐτὸς λοιπὸν ἂς μᾶς εὐσπλαγχνίζεται, καὶ ὁπωσδήποτε θὰ λάβωμεν τοὺς μέλλοντας στεφάνους· αὐτοὺς εἴθε νὰ τοὺς λάβωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν τοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα εἶναι αἰωνία. Ἀμήν.

ΛΟΓΟΣ ΙΗ'
Α' Κορ. 6, 15-20

«Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ Χριστοῦ εἰσιν; Ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο».

Ἀπὸ τοῦ πεπορνευκότος ἐπὶ τὸν πλεονέκτην μεταβάς, πάλιν ἀπὸ τούτου πρὸς ἐκεῖνον ἔρχεται οὐκέτι λοιπὸν πρὸς αὐτὸν διαλεγόμενος, ἀλλὰ τοῖς ἄλλοις τοῖς μὴ πεπορνευκόσι· καὶ τούτους ἀσφαλιζόμενος μήποτε περιπέσωσι τοῖς αὐτοῖς, ἐκείνου καθάπτεται πάλιν. Ὁ γὰρ ἡμαρτηκώς, κἂν πρὸς ἕτερον ἀποτείνῃς τὸν λόγον, κεντεῖται καὶ οὕτω, τοῦ συνειδότος διεγειρομένου καὶ μαστιγοῦντος αὐτόν. Ἱκανὸς μὲν οὖν καὶ ὁ ἀπὸ τῆς τιμωρίας φόβος ἦν αὐτοὺς κατασχεῖν ἐπὶ τῆς σωφροσύνης· ἐπειδὴ δὲ οὐ βούλεται φόβῳ μόνον τὰ τοιαῦτα κατορθοῦν, καὶ ἀπειλὰς καὶ λογισμοὺς τίθησιν.

Ἐκεῖ μὲν οὖν τὸ ἁμάρτημα εἰπὼν καὶ τὴν τιμωρίαν ὁρίσας καὶ τὴν βλάβην δείξας τὴν ἐκ τῆς συνουσίας τοῦ πεπορνευκότος ἐγγενομένην ἅπασιν ἀπηλλάγη, καὶ πρὸς τὴν πλεονεξίαν μετέστη, καὶ τὴν ἔκπτωσιν τῆς βασιλείας ἀπειλήσας τούτῳ καὶ τοῖς λοιποῖς ἅπασιν, οἷς κατέλεξεν, οὕτω τὸν λόγον ἀπήρτισεν· ἐνταῦθα δὲ καὶ φρικωδέστερον μεταχειρίζει τὴν παραίνεσιν. Ὅ τε γὰρ τὸ ἁμάρτημα κολάζων μόνον καὶ μὴ δεικνὺς σφόδρα παρανομώτατον ὄν, οὐδὲν τοσοῦτον ἀπὸ τῆς τιμωρίας εἰργάσατο· ὅ τε πάλιν ἐντρέπων μόνον καὶ μὴ φοβῶν διὰ τῆς κολάσεως, οὐ σφόδρα καθάπτεται τῶν ἀναισθήτως διακειμένων. Διόπερ ἀμφότερα ποιεῖ Παῦλος· καὶ ἐντρέπει λέγων, «Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν;» καὶ φοβεῖ λέγων, «Οὐκ οἴδατε ὅτι πλεονέκται βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι;». Καὶ ἐπὶ τοῦ πεπορνευκότος πάλιν οὕτω κέχρηται

1. Α' Κορ. 6,15.

ΛΟΓΟΣ ΙΗ'
Α' Κορ. 6,15—20

«Δὲν γνωρίζετε ὅτι τὰ σώματά σας εἶναι μέλη τοῦ Χριστοῦ; Ἀφοῦ πάρω λοιπὸν τὰ μέλη τοῦ Χριστοῦ, θὰ τὰ κάμω μέλη πόρνης; Εἴθε νὰ μὴ γίνῃ ποτὲ κάτι τέτοιο»[1].

Ἀφοῦ ἀπὸ τὸν πόρνον ἐπῆγεν εἰς τὸν πλεονέκτην, πάλιν ἀπὸ αὐτὸν ἔρχεται πρὸς ἐκεῖνον χωρὶς ὅμως νὰ ἀπευθύνεται πλέον πρὸς τὸν πόρνον, ἀλλὰ πρὸς τοὺς ἄλλους, ποὺ δὲν ἔχουν πορνεύσει· καὶ ἐνῷ προφυλάσσει αὐτοὺς νὰ μὴ πέσουν ποτὲ εἰς τὰ ἴδια ἁμαρτήματα, πάλιν ἐπιτίθεται ἐναντίον ἐκείνου· διότι, ἐὰν ἀπευθύνῃς τὸν λόγον πρὸς κάποιον ἄλλον, καὶ ἀπὸ τοῦτο κεντρίζεται αὐτὸς ποὺ ἔχει ἁμαρτήσει, διότι ἡ συνείδησίς του διεγείρεται καὶ τὸν μαστιγώνει. Βεβαίως καὶ ὁ φόβος τῆς τιμωρίας ἦτο ἱκανὸς νὰ τοὺς συγκρατήσῃ εἰς σωφροσύνην· ἐπειδὴ ὅμως δὲν θέλει νὰ ἐπιτυγχάνῃ αὐτοῦ τοῦ εἴδους τὴν ἀρετὴν μόνον μὲ τὸν φόβον, προσθέτει καὶ ἀπειλὰς καὶ συλλογισμούς.

Εἰς τὴν περίπτωσιν λοιπὸν ἐκείνην ἀφοῦ ἀπεκάλυψε τὸ ἁμάρτημα καὶ καθώρισε τὴν τιμωρίαν καὶ ἔδειξε τὴν βλάβην ὅλων λόγῳ τῆς ἁμαρτωλοῦ σχέσεως τοῦ πόρνου, ἄφησε τὸ θέμα τοῦτο καὶ ἐστράφη πρὸς τὴν πλεονεξίαν· καὶ ἀφοῦ ὑπενθύμισε τὸν κίνδυνον ἀπωλείας τῆς βασιλείας ἀπὸ αὐτὸν καὶ ὅλους τοὺς λοιπούς, τοὺς ὁποίους ἀνέφερε λεπτομερῶς, ἔτσι ὁλοκλήρωσε τὸν λόγον· εἰς αὐτὸν ὅμως τὸν λόγον του κάμνει ἀκόμη φρικωδεστέραν τὴν παραίνεσίν του· διότι ἐκεῖνος ποὺ τιμωρεῖ μόνον τὸ ἁμάρτημα καὶ δὲν δεικνύει ὅτι εἶναι πάρα πολὺ παρανομώτατον, δὲν ἐπιτυγχάνει τίποτε σημαντικὸν μὲ τὴν τιμωρίαν· ἐκεῖνος πάλιν ποὺ προσπαθεῖ νὰ κάμῃ τοὺς ἁμαρτάνοντας νὰ ἐντρέπωνται μόνον καὶ δὲν τοὺς φοβίζει μὲ τὴν κόλασιν δὲν ἐλέγχει τοὺς ἀναισθήτους μὲ ὅσην σφοδρότητα χρειάζονται. Διὰ τοῦτο ὁ Παῦλος κάμνει καὶ τὰ δύο· καὶ τοὺς κάμνει νὰ ἐντρέπωνται λέγων, «Δὲν γνωρίζετε ὅτι θὰ κρίνωμεν ἀγγέλους», καὶ τοὺς φοβίζει λέγων, «Δὲν γνωρίζετε ὅτι οἱ πλεονέκται δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ;». Καὶ εἰς

τῷ λόγῳ. Καὶ γὰρ ἐφόβησε δι' ὧν ἔμπροσθεν εἶπεν, ἐκτεμών τε αὐτὸν καὶ τῷ Σατανᾷ παραδοὺς καὶ τῆς μελλούσης ἀναμνήσας ἡμέρας, ἐντρέπει πάλιν λέγων· «Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ Χριστοῦ ἐστιν;», ὡς πρὸς παῖδας λοιπὸν εὐγενεῖς διαλεγόμενος. Ἐπειδὴ γὰρ εἶπε «Τὸ δὲ σῶμα τῷ Κυρίῳ», σαφέστερον αὐτὸ δείκνυσι νῦν. Καὶ ἀλλαχοῦ δὲ τὸ αὐτὸ τοῦτο ποιεῖ λέγων, «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους». Καὶ τὸ αὐτὸ ὑπόδειγμα πολλαχοῦ τίθησιν, οὐκ ἐπὶ τῶν αὐτῶν, ἀλλὰ ποτὲ μὲν ὥστε τὴν ἀγάπην δεῖξαι, ποτὲ δὲ ὥστε τὸν φόβον αὐξῆσαι.

Ἐνταῦθα γοῦν δεδιττόμενος αὐτὸ τέθεικε καὶ φοβῶν· «Ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; Μὴ γένοιτο». Οὐδὲν φρικωδέστερον τῆς λέξεως ταύτης. Καὶ οὐκ εἶπεν, ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ συνάψω τῇ πόρνῃ; ἀλλὰ τί; «ποιήσω μέλη πόρνης;» ὅπερ ἦν πληκτικώτερον. Εἶτα κατασκευάζει πῶς τοῦτο γίνεται ὁ πορνεύων, οὕτω λέγων· «Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι;». Πόθεν δῆλον; «Ἔσονται γάρ», φησίν, «οἱ δύο εἰς σάρκα μίαν». Οὐκέτι γὰρ ἀφίησιν ἡ συνουσία τοὺς δύο εἶναι δύο, ἀλλ' ἓν ἀμφοτέρους ἐργάζεται. Καὶ ὅρα πάλιν πῶς διὰ τῶν ὀνομάτων γυμνῶν πρόεισι, διὰ τῆς πόρνης, διὰ τοῦ Χριστοῦ προάγων τὴν κατηγορίαν.

«Φεύγετε τὴν πορνείαν». Οὐκ εἶπεν, ἀπέχεσθε τῆς πορνείας, ἀλλὰ «φεύγετε», τουτέστι, μετὰ σπουδῆς ποιεῖσθε τὴν ἀπαλλαγὴν τοῦ κακοῦ. «Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει». Τοῦτο τοῦ προτέρου ἔλαττον· πλὴν ἀλλ' ἐπειδὴ περὶ πόρνων ἦν ὁ λόγος αὐτῷ, πάντοθεν αὐτὸ ἐπαίρει, καὶ ἀπὸ τῶν μειζόνων καὶ

---

2. αὐτ. 12,27.
3. αὐτ. 6,16.
4. αὐτ. 18.

τὴν περίπτωσιν τοῦ πόρνου πάλιν χρησιμοποιεῖ τὸν λόγον του κατὰ τὸν ἴδιον τρόπον. Καὶ πράγματι, τὸν ἐφόβησε μὲ ὅσα εἶπε προηγουμένως, καὶ ἀφοῦ τὸν ἀπέκοψεν ἀπὸ τὴν Ἐκκλησίαν καὶ τὸν παρέδωσεν εἰς τὸν Σατανᾶ καὶ τοῦ ὑπενθύμισε τὴν μέλλουσαν ἡμέραν, προσπαθεῖ πάλιν νὰ τοῦ προκαλέσῃ ἐντροπὴν λέγων· «Δὲν γνωρίζετε ὅτι τὰ σώματά σας εἶναι μέλη τοῦ Χριστοῦ;», ὁμιλῶν εἰς τὸ ἑξῆς πρὸς αὐτοὺς ὡσὰν παιδιὰ εὐγενοῦς καταγωγῆς. Ἀφοῦ δηλαδὴ εἶπε, «Τὸ δὲ σῶμα ἔχει γίνει διὰ τὸν Κύριον», κάμνει τοῦτο σαφέστερον. Καὶ ἀλλοῦ κάμνει τὸ ἴδιον λέγων· «Σεῖς δὲ εἶσθε σῶμα τοῦ Χριστοῦ καὶ ὁ καθένας εἶναι μέλος του»[2]. Καὶ εἰς πολλὰ ἄλλα μέρη παρουσιάζει τὸν ἴδιον ὑπόδειγμα, ὄχι διὰ τὰ ἴδια θέματα, ἀλλὰ ἄλλοτε μὲν διὰ νὰ δείξῃ τὴν ἀγάπην, ἄλλοτε δὲ διὰ νὰ αὐξήσῃ τὸν φόβον.

Ἐδῶ λοιπὸν ἀνέφερε τοῦτο, διὰ νὰ προκαλέσῃ τρόμον καὶ φόβον· «Ἀφοῦ πάρω λοιπὸν τὰ μέλη τοῦ Χριστοῦ, θὰ τὰ κάμω μέλη πόρνης; Ποτὲ νὰ μὴ γίνῃ κάτι τέτοιο». Τίποτε δὲν ὑπάρχει φρικωδέστερον ἀπὸ αὐτὴν τὴν λέξιν. Καὶ δὲν εἶπεν, ἀφοῦ πάρω λοιπὸν τὰ μέλη τοῦ Χριστοῦ, θὰ τὰ συνδέσω μὲ τὴν πόρνην; ἀλλὰ τί εἶπε; «θὰ τὰ κάμω μέλη πόρνης;», πρᾶγμα τὸ ὁποῖον πλήττει ἰσχυρότερον. Ἔπειτα παρουσιάζει πῶς γίνεται ἔτσι ὁ πόρνος λέγων τὸ ἑξῆς· «Ἢ δὲν γνωρίζετε ὅτι ἐκεῖνος ποὺ προσκολλᾶται εἰς τὴν πόρνην εἶναι ἓν σῶμα μὲ αὐτήν;»[3]. Ἀπὸ ποῦ φαίνεται αὐτό; «Διότι», λέγει, «οἱ δύο θὰ γίνουν μία σάρκα». Ἡ συνουσία δηλαδὴ δὲν ἀφήνει τοὺς δύο νὰ εἶναι δύο, ἀλλὰ τοὺς δύο τοὺς κάμνει ἕν. Καὶ κοίταξε πάλιν πῶς προχωρεῖ μὲ μόνας τὰς λέξεις, διὰ τῆς πόρνης καὶ διὰ τοῦ Χριστοῦ προωθῶν τὴν κατηγορίαν.

«Νὰ ἀποφεύγετε τὴν πορνείαν»[4]. Δὲν εἶπεν, Νὰ ἀπέχετε ἀπὸ τὴν πορνείαν, ἀλλὰ «Νὰ ἀποφεύγετε», δηλαδὴ νὰ σπεύδετε νὰ ἀπαλλάσσεσθε ἀπὸ αὐτὸ τὸ κακόν. «Κάθε ἄλλο ἁμάρτημα ποὺ θὰ κάμῃ ὁ ἄνθρωπος εἶναι ἔξω ἀπὸ τὸ σῶμα του· ἐκεῖνος ὅμως ποὺ πορνεύει ἁμαρτάνει εἰς τὸ ἴδιον τὸ σῶμα του». Τοῦτο τὸ ἐπιχείρημα εἶναι ἀσθενέστερον τοῦ προηγουμένου, ἀλλ' ὅμως, ἐπειδὴ ὁ λόγος του ἦτο περὶ πορνῶν, μὲ κάθε τρόπον τονίζει τοῦτο, καὶ μὲ τὰ ἰσχυρότερα καὶ μὲ τὰ ἀσθενέστερα ἐπιχειρήματα προσπαθεῖ νὰ δείξῃ

ἀπὸ τῶν ἐλαττόνων αὔξων τὸ ἔγκλημα. Ἐκεῖνο μὲν οὖν τοῖς εὐλαβεστέροις εἴρηται τὸ πρότερον, τοῦτο δὲ τοῖς ἀσθενεστέροις. Καὶ γὰρ καὶ τοῦτο τῆς Παύλου σοφίας, μὴ ἀπὸ τῶν μεγάλων ἐντρέπειν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μικροτέρων, καὶ ἀπὸ τοῦ αἰσχροῦ καὶ ἀπρεποῦς.

Τί οὖν ὁ ἀνδροφόνος, φησίν, οὐχὶ τὴν χεῖρα μολύνει; τί δὲ ὁ πλεονέκτης καὶ ὁ ἅρπαξ; Παντί που δῆλον· ἀλλ' ἐπειδὴ εἰπεῖν οὐκ ἐνῆν τοῦ πόρνου οὐδὲν χεῖρον, ἑτέρως αὐτὸ ηὔξησε λέγων ὅτι ἐπὶ τῆς πορνείας ὁλόκληρον τὸ σῶμα γίνεται μιαρόν. Ὥσπερ γὰρ εἰς λέβητα ἀκαθαρσίας ἐμπῖπτον καὶ τῷ μολυσμῷ βαπτόμενον, οὕτω φύρεται. Τοῦτο δὲ καὶ ἡμῖν ἔθος. Ἀπὸ μὲν γὰρ τῆς πλεονεξίας καὶ ἁρπαγῆς οὐκ ἄν τις σπουδάσειεν ἐπὶ βαλανεῖον ἐλθεῖν, ἀλλ' ἀδιαφόρως ἐπὶ τὴν οἰκίαν ἄνεισιν· ἀπὸ δὲ μίξεως πόρνης, καθάπερ ὅλος γενόμενος ἀκάθαρτος ἐπὶ τὸ λούσασθαι ἔρχεται· οὕτως ἔχει τινὰ τὸ συνειδὸς ἀπὸ τῆς ἁμαρτίας ταύτης ὑπόληψιν αἰσχροτέραν. Ἀμφότερα μὲν οὖν χαλεπά, καὶ πλεονεξία καὶ πορνεία, καὶ εἰς γέενναν ἐμβάλλει· ἀλλ' ἐπειδὴ οἰκονομικῶς ὁ Παῦλος πάντα ποιεῖ, οἷς εἶχε, τούτοις ηὔξησε τὸ τῆς πορνείας ἔγκλημα.

2. «Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν», ὅπερ ἦν καὶ παραμυθουμένου. Καὶ πάλιν ἐπεξηγούμενος ἐπήγαγεν «Οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ»· καὶ τὸν δεδωκότα τέθεικεν ὑψηλόν τε ὁμοῦ ποιῶν τὸν ἀκροατὴν καὶ φοβῶν καὶ τῷ μεγέθει τῆς παρακαταθήκης καὶ τῇ φιλοτιμίᾳ τοῦ προκαταθεμένου.

«Καὶ οὐκ ἐστὲ ἑαυτῶν». Τοῦτο οὐκ ἐντρέποντος μόνον ἐστίν, ἀλλὰ καὶ βιαζομένου πρὸς ἀρετήν. Τί γὰρ πράττεις ἃ θέλεις; φησίν· οὐκ εἶ ἑαυτοῦ κύριος. Ταῦτα δὲ ἔλεγεν οὐχὶ τὸ αὐτεξούσιον ἀναιρῶν· καὶ γὰρ εἰπὼν «Πάν-

5. αὐτ. 19.

τὸ μέγεθος τοῦ ἁμαρτήματος. Ἐκεῖνο λοιπὸν τὸ προηγούμενον ἐπιχείρημα ἔχει λεχθῆ διὰ τοὺς εὐλαβεστέρους, ἐνῷ τοῦτο διὰ τοὺς ἀσθενεστέρους, διότι πράγματι καὶ τοῦτο εἶναι χαρακτηριστικὸν τῆς σοφίας τοῦ Παύλου, τὸ ὅτι προσπαθεῖ νὰ προκαλέσῃ τὴν ἐντροπὴν ὄχι μόνον μὲ ἰσχυρὰ ἐπιχειρήματα, ἀλλὰ καὶ μὲ ἀσθενέστερα καὶ μὲ τὸ ὅτι τὸ αἰσχρὸν εἶναι αἰσχρὸν καὶ ἀπρεπές.

Τί λοιπόν, θὰ ἔλεγε κάποιος, ὁ δολοφόνος δὲν μολύνει τὸ χέρι του; καὶ ὁ πλεονέκτης καὶ ὁ ἅρπαξ; Βεβαιότατα, νομίζω ὅτι εἶναι φανερόν· ἀλλ' ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ ἀναφέρῃ τίποτε χειρότερον ἀπὸ τὸν πόρνον, κατ' ἄλλον τρόπον τὸ ἐτόνισε λέγων, ὅτι εἰς τὴν περίπτωσιν τῆς πορνείας ὁλόκληρον τὸ σῶμα γίνεται μιαρόν. Ὅπως δηλαδὴ ἐὰν ἔπιπτε μέσα εἰς ἕνα ἀκάθαρτον λέβητα καὶ ἐβυθίζετο εἰς τὴν ἀκαθαρσίαν, ἔτσι μολύνεται μὲ τὴν πορνείαν. Καὶ ἐμεῖς ἔτσι συνηθίζομεν νὰ ἐνεργῶμεν· ὅταν δηλαδὴ κάποιος κατέχεται ἀπὸ πλεονεξίαν καὶ ἁρπακτικότητα δὲν σπεύδει νὰ πάῃ εἰς δημόσιον λουτρόν, ἀλλ' ἥσυχος ἀνεβαίνει εἰς τὴν οἰκίαν του· ὅταν ὅμως συνευρεθῇ μὲ πόρνην, ἔρχεται νὰ λουσθῇ, ὡσὰν νὰ ἔγινεν ὅλος ἀκάθαρτος· ἔτσι ἡ συνείδησις θεωρεῖ τὴν ἁμαρτίαν αὐτὴν αἰσχροτέραν. Καὶ τὰ δύο μέν, καὶ ἡ πλεονεξία καὶ ἡ πορνεία, εἶναι φοβερὰ καὶ φέρουν εἰς τὴν κόλασιν· ἀλλ' ἐπειδὴ ὁ Παῦλος ὅλα τὰ κάμνει μὲ σύνεσιν, ἐτόνισε πολὺ τὸ ἔγκλημα τῆς πορνείας μὲ τὰ μέσα, ποὺ διέθετε.

2. «Ἢ δὲν γνωρίζετε ὅτι τὸ σῶμα σας εἶναι ναὸς τοῦ ἁγίου Πνεύματος ποὺ εἶναι μέσα σας»[5]. Δὲν εἶπεν ἁπλῶς 'τοῦ Πνεύματος', ἀλλὰ «τοῦ Πνεύματος ποὺ εἶναι μέσα σας», πρᾶγμα τὸ ὁποῖον δεικνύει καὶ διάθεσιν ψυχικῆς ἐνισχύσεως. Καὶ πάλιν ἐπεξηγῶν προσέθεσε· «τὸ ὁποῖον ἔχετε ἀπὸ τὸν Θεόν»· προσέθεσε ἐπίσης καὶ τὸν δοτῆρα τοῦ ἁγίου Πνεύματος, καὶ ἔτσι τὸν ἀκροατὴν συγχρόνως καὶ τὸν τιμᾷ καὶ τὸν φοβίζει καὶ μὲ τὸ μέγεθος τῆς δωρεᾶς καὶ μὲ τὴν ἀξίαν τοῦ δώρου.

«Καὶ δὲν ἀνήκετε εἰς τοὺς ἑαυτούς σας». Τοῦτο δεικνύει ὅτι ὄχι μόνον προσπαθεῖ νὰ τοὺς προκαλέσῃ ἐντροπήν, ἀλλὰ καὶ τοὺς προτρέπει εἰς ἀρετήν. Διατί πράττεις, λέγει, ὅσα θέλεις; δὲν εἶσαι κύριος τοῦ ἑαυτοῦ σου. Αὐτὰ δὲ τὰ ἔλεγεν, ὄχι διότι παρεγνώριζε

τα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει», οὐχὶ τὴν ἐλευθερίαν ἡμῶν ἀνεῖλε· καὶ ἐνταῦθα πάλιν γράφων ὅτι «Οὐκ ἐστὲ ἑαυτῶν», οὐ τῇ προαιρέσει λυμαίνεται, ἀλλὰ τῆς κακίας ἀπάγει καὶ τοῦ δεσπότου τὴν κηδεμονίαν ἐνδείκνυται. Διὸ καὶ ἐπήγαγεν· «Ἠγοράσθητε γὰρ τιμῆς». Εἰ δὲ οὐκ εἰμὶ ἐμαυτοῦ, πῶς με ἀπαιτεῖς τὰ πρακτέα; πῶς δὲ προϊὼν λέγεις πάλιν, «Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ»;

Τί οὖν ἐστι τὸ «Οὐκ ἐστὲ ἑαυτῶν», καὶ τί δι' αὐτοῦ κατασκευάσαι βούλεται; Ἐν ἀσφαλείᾳ καταστῆσαι τοῦ μὴ ἁμαρτάνειν μηδὲ ταῖς ἐπιθυμίαις τῆς ψυχῆς ἀκολουθεῖν ταῖς ἀτόποις. Καὶ γὰρ πολλὰ βουλόμεθα ἄτοπα, ἀλλὰ κατέχειν δεῖ· δυνάμεθα γάρ· εἰ δὲ μὴ δυνάμεθα, περιττὴ ἡ παραίνεσις. Ὅρα γοῦν πῶς ἠσφαλίσατο. Εἰπὼν γάρ, «Οὐκ ἐστὲ ἑαυτῶν» οὐκ ἐπήγαγεν, ἀλλ' ὑπ' ἀνάγκην ἐστέ, ἀλλ' «Ἠγοράσθητε τιμῆς». Διὰ τί τοῦτο λέγεις; Καὶ μὴν ἑτέρωθεν, εἴποι τις ἂν ἴσως, ἔδει προτρέψαι δεικνύντα ὅτι δεσπότην ἔχομεν. Ἀλλὰ τοῦτο μὲν καὶ πρὸς Ἕλληνας ἡμῖν κοινόν, τὸ δὲ «Ἠγοράσθητε τιμῆς» ἡμῶν ἐξαίρετον. Ἀναμιμνήσκει γὰρ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ τοῦ τρόπου τῆς σωτηρίας δεικνὺς ὅτι ἀλλοτριωθέντες ἠγοράσθημεν· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τιμῆς.

«Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι». Ταῦτα δὲ λέγει, ὥστε μὴ τῷ σώματι μόνον φεύγειν τὴν πορνείαν, ἀλλὰ καὶ ἐν τῷ πνεύματι, τῇ ψυχῇ, μηδὲν πονηρὸν λογίζεσθαι, καὶ ἐλαύνειν τὴν χάριν. «Ἅτινά ἐστι τοῦ Θεοῦ». Ἐπειδὴ γὰρ εἶπεν «ὑμῶν» διὰ τοῦτο ἐπήγαγεν «ἅτινά ἐστι τοῦ Θεοῦ» συνεχῶς ἀναμιμνήσκων ἡμᾶς ὅτι πάντα δεσποτικά, καὶ σῶμα καὶ ψυχὴ καὶ πνεῦμα. Καὶ γὰρ τινές φασι, «τῷ Πνεύματι», τῷ χαρίσματι λέγειν. Ἂν γὰρ ἐκεῖνο ᾖ παρ' ἡμῖν, δοξάζεται ὁ Θεός· ἔσται

---

6. αὐτ. 20.

τὸ αὐτεξούσιον· διότι καὶ μὲ τὸ νὰ εἴπῃ, «Ὅλα ἠμπορῶ νὰ τὰ κάνω, ἀλλὰ δὲν μοῦ συμφέρουν ὅλα», δὲν κατήργησε τὴν ἐλευθερίαν μας· καὶ ἐδῶ πάλιν γράφων ὅτι «Οὐκ ἐστὲ ἑαυτῶν» δὲν καταργεῖ τὴν προαίρεσιν, ἀλλὰ τὴν ἐλευθερώνει ἀπὸ τὴν κακίαν καὶ δεικνύει τὴν κηδεμονίαν τοῦ δεσπότου. Διὰ τοῦτο καὶ προσέθεσε· «Διότι ἠγοράσθητε μὲ τίμημα»[6]. Ἐὰν δὲ ἀνήκω εἰς τὸν ἑαυτόν μου, πῶς ἀπαιτεῖς ἀπὸ ἐμὲ νὰ κάμνω ὅσα πρέπει νὰ κάμνω; Πῶς δὲ ἐν συνεχείᾳ λέγεις πάλιν,«Δοξάσατε λοιπὸν τὸν Θεὸν μὲ τὸ σῶμα σας καὶ μὲ τὸ πνεῦμα σας, τὰ ὁποῖα ἀνήκουν εἰς τὸν Θεόν»;

Τί σημαίνουν λοιπὸν τὸ «Δὲν ἀνήκετε εἰς τοὺς ἑαυτούς σας» καὶ τί θέλει νὰ ἐπιτύχῃ μὲ αὐτό; Θέλει νὰ τοὺς κάνῃ νὰ μὴ ἁμαρτάνουν καὶ νὰ μὴ ἀκολουθοῦν τὰς ἀπρεπεῖς ἐπιθυμίας τῆς ψυχῆς των. Διότι πράγματι, θέλομεν πολλὰ ἀνάρμοστα, ἀλλὰ πρέπει νὰ συγκρατούμεθα· καὶ μᾶς εἶναι δυνατόν· διότι, ἐὰν δὲν μᾶς εἶναι δυνατόν, εἶναι περιττὴ ἡ παραίνεσις. Κοίταξε λοιπὸν πῶς τὸ ἐπέτυχεν. Ἀφοῦ δηλαδὴ εἶπε, «Δὲν ἀνήκετε εἰς τοὺς ἑαυτούς σας», δὲν προσέθεσεν, ἀλλ' εἴσθε ὑπὸ ἐξαναγκασμόν, ἀλλὰ προσέθεσεν· «Ἠγοράσθητε μὲ τίμημα». Διατί τὸ λέγεις αὐτό; Καὶ ὅμως, θὰ ἠμποροῦσεν ἴσως κάποιος νὰ εἴπῃ, μὲ ἄλλον τρόπον θὰ ἔπρεπε νὰ μᾶς προτρέψῃ, δεικνύων ὅτι ἔχομεν Κύριον. Ἀλλὰ τοῦτο μὲν τὸ ἔχομεν κοινὸν μὲ τοὺς Ἕλληνας, τὸ «Ἠγοράσθητε τιμῆς» ὅμως μόνον ἡμεῖς τὸ ἔχομεν. Μᾶς ὑπενθυμίζει δηλαδὴ τὸ μέγεθος τῆς εὐεργεσίας καὶ τὸν τρόπον τῆς σωτηρίας δεικνύων ὅτι ἠγοράσθημεν μετὰ τὴν ἀποξένωσίν μας ἀπὸ τὸν Θεόν· καὶ ὄχι ἁπλῶς ἠγοράσθημεν, ἀλλὰ ἠγοράσθημεν μὲ τίμημα.

«Δοξάσατε λοιπὸν τὸν Θεὸν μὲ τὸ σῶμα σας καὶ τὸ πνεῦμα σας». Αὐτὰ δὲ τὰ λέγει, ὥστε νὰ ἀποφεύγωμεν τὴν πορνείαν ὄχι μόνον μὲ τὸ σῶμα, ἀλλὰ καὶ εἰς τὸ πνεῦμα, τὴν ψυχήν μας, νὰ μὴ συλλογιζώμεθα τίποτε τὸ πονηρόν, καὶ ἔτσι νὰ ἐκδιώκωμεν τὴν χάριν. «Τὰ ὁποῖα ἀνήκουν εἰς τὸν Θεόν». Ἐπειδὴ δηλαδὴ εἶπε «τὰ ἰδικά σας», διὰ τοῦτο προσέθεσε, «τὰ ὁποῖα ἀνήκουν εἰς τὸν Θεόν», ὑπενθυμίζων συνεχῶς εἰς ἡμᾶς ὅτι ὅλα ἀνήκουν εἰς τὸν Κύριον, καὶ τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα. Καὶ μάλιστα μερικοὶ ἰσχυρίζονται ὅτι μὲ τὴν λέξιν «Πνεῦμα» ἐννοεῖ τὸ χάρισμα· διότι, ἐὰν ἔ-

δέ, ἂν καθαρὰν καρδίαν ἔχωμεν. Τοῦ Θεοῦ δὲ αὐτὰ ἔφησεν, οὐκ ἐπειδὴ παρήγαγεν αὐτὰ μόνον, ἀλλ' ἐπειδὴ καὶ ἀλλοτριωθέντα ἐκ δευτέρου πάλιν ἐκτήσατο τιμὴν τὸ αἷμα τοῦ παιδὸς καταθείς.

Ὅρα πῶς εἰς τὸν Χριστὸν τὸ πᾶν ἀπήρτισε· πῶς ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγε. Μέλη ἐστὲ τοῦ Χριστοῦ, φησί, ναός ἐστε τοῦ Πνεύματος. Μὴ τοίνυν γίνεσθε πόρνης μέλη. Οὐ γὰρ τὸ σῶμα τὸ ὑμῶν ὑβρίζεται· οὐ γὰρ τὸ σῶμα ὑμῶν ἐστιν, ἀλλὰ τοῦ Χριστοῦ. Ταῦτα δὲ ἔλεγεν ὁμοῦ καὶ τὴν φιλανθρωπίαν ἐνδεικνύμενος, ὅτι αὐτοῦ τὸ σῶμα τὸ ἡμέτερον, καὶ τῆς ἐξουσίας τῆς πονηρᾶς ἡμᾶς ἀφαιρούμενος. Εἰ γὰρ ἀλλότριόν ἐστι τὸ σῶμα, οὐκ ἔχετε ἐξουσίαν ἀλλότριον σῶμα ὑβρίζειν, φησί, καὶ μάλιστα ὅταν ᾖ δεσποτικόν, οὐδὲ ναὸν μολύνειν τοῦ Πνεύματος. Εἰ γὰρ ἰδιωτικῇ τις ἐπελθὼν οἰκίᾳ καὶ κωμάσας εἰς ἐκείνην τὴν ἐσχάτην δώσει δίκην, ὁ βασιλέως ναὸν ληστοῦ ποιῶν καταγώγιον, ἐννόησον ὅσα πείσεται κακά.

3. Ταῦτ' οὖν ἐννοήσας αἰδέσθητι τὸν ἐνοικοῦντα· ὁ γὰρ παράκλητός ἐστιν οὗτος· φρῖξον τὸν συμπεπλεγμένον σοι καὶ κεκολλημένον· ὁ γὰρ Χριστός ἐστι. Μὴ γὰρ σὺ μέλη Χριστοῦ ἑαυτὸν ἐποίησας; Ἐννόησον οὕτω, καὶ μένε σωφρονῶν, τίνος ἦν μέλη καὶ τίνος γέγονε. Πόρνης ἦν μέλη πρὸ τούτου, καὶ ὁ Χριστὸς ἐποίησεν αὐτὰ μέλη τοῦ ἰδίου σώματος. Οὐκ ἄρα αὐτῶν ἐξουσίαν ἔχεις λοιπόν· ἐκείνῳ δούλευε τῷ ἐλευθερώσαντι. Οὐδὲ γάρ, εἰ θυγατέρα ἔχων ἐκ πολλῆς τῆς ἀνοίας ἐξεμίσθωσας αὐτὴν πορνοβοσκῷ καὶ πορνεύεσθαι ἐποίησας, εἶτα βασιλέως υἱὸς παριὼν ἠλευθέρωσέ τε αὐτὴν τῆς δουλείας ἐκείνης καὶ συνῆψεν ἑαυτῷ, κύριος εἶ λοιπὸν ἄγειν αὐτὴν ἐπὶ τὸ πορνεῖον· ἅπαξ γὰρ ἔδωκας καὶ ἐπώλησας. Τοιοῦτόν ἐστι καὶ τὸ ἡμέτερον. Ἐξεμισθώσαμεν τὴν σάρκα τὴν ἑαυτῶν τῷ διαβόλῳ, τῷ χα-
Ἐθεμισθώσαμεν τὴν σάρκα τὴν ἑαυτῶν τῷ διαβόλῳ, τῷ χαλεπῷ πορνοβοσκῷ· ἰδὼν ὁ Χριστὸς ἐρρύσατο αὐτὴν καὶ

χωμεν ἐκεῖνο, δοξάζεται ὁ Θεός· καὶ θὰ τὸ ἔχωμεν, ἂν ἔχωμεν καθαρὰν καρδίαν. Εἶπε δὲ ὅτι αὐτὰ εἶναι τοῦ Θεοῦ, ὄχι μόνον ἐπειδὴ τὰ ἐδημιούργησεν, ἀλλὰ ἐπειδή, καὶ ὅταν τὰ ἀπωλέσαμεν, πάλιν διὰ δευτέραν φορὰν τὰ ἐκέρδισεν, ἀφοῦ κατέθεσεν ὡς τίμημα τὸ αἷμα τοῦ Υἱοῦ του.

Πρόσεχε πῶς ἀνάγει τὸ πᾶν εἰς τὸν Χριστόν· πῶς μᾶς ἀνύψωσεν εἰς τὸν οὐρανόν. Εἶσθε μέλη τοῦ Χριστοῦ, λέγει, ναὸς τοῦ Πνεύματος. Μὴ γίνεσθε λοιπὸν μέλη πόρνης, ἀλλὰ τοῦ Χριστοῦ. Αὐτὰ τὰ ἔλεγε δεικνύων συγχρόνως καὶ τὴν φιλανθρωπίαν του, ὅτι δηλαδὴ τὸ σῶμα μας εἶναι ἰδικόν του, καὶ ὅτι μᾶς σώζει ἀπὸ τὴν ἐξουσίαν τοῦ πονηροῦ. Ἐὰν δηλαδὴ τὸ σῶμα σας εἶναι ξένον, δὲν ἔχετε, λέγει, ἐξουσίαν νὰ προσβάλλετε ξένον σῶμα, καὶ μάλιστα ὅταν ἀνήκῃ εἰς τὸν Κύριόν σας, οὔτε νὰ μολύνετε τὸν ναὸν τοῦ Πνεύματος. Ἐφ' ὅσον δηλαδὴ τιμωρεῖται αὐστηρότατα ἐκεῖνος ποὺ θὰ εἰσβάλῃ εἰς ξένην οἰκίαν καὶ θὰ διασκεδάσῃ εἰς ἐκείνην, ὁποιος τὸν ναὸν τοῦ βασιλέως κάμνει καταγώγιον ληστοῦ, σκέψου πόσα κακὰ θὰ πάθῃ.

3. Ἔχων λοιπὸν αὐτὰ κατὰ νοῦν νὰ σέβεσαι αὐτὸν ποὺ κατοικεῖ ἐντός σου, διότι αὐτὸς εἶναι ὁ Παράκλητος· νὰ καταλαμβάνεσαι ἀπὸ ρῖγος δι' αὐτὸν ποὺ εἶναι συνδεδεμένος καὶ προσκολλημένος μαζί σου, διότι αὐτὸς εἶναι ὁ Χριστός. Μήπως λοιπὸν σὺ ἔκανες τὸν ἑαυτόν σου μέλη τοῦ Χριστοῦ; Σκέψου τοῦτο, ποίου μέλη ἦσαν καὶ ποίου ἔγιναν, καὶ εἰς τὸ ἑξῆς νὰ εἶσαι σώφρων. Προηγουμένως ἦσαν μέλη πόρνης, καὶ ὅμως ὁ Χριστὸς τὰ ἔκανε μέλη τοῦ ἰδίου τοῦ σώματός του. Ἑπομένως εἰς τὸ ἑξῆς δὲν τὰ ἐξουσιάζεις· νὰ εἶσαι δοῦλος ἐκείνου ποὺ σὲ ἠλευθέρωσεν. Ἐὰν εἶχες μίαν θυγατέρα καὶ ἀπὸ πολλὴν ἀνοησίαν σου τὴν εἶχες ἐνοικιάσει εἰς πορνοβοσκὸν καὶ τὴν εἶχες κάνει νὰ πορνεύεται, ἐὰν κατόπιν ἤρχετο ἕνας υἱὸς βασιλέως καὶ τὴν ἠλευθέρωνεν ἀπὸ ἐκείνην τὴν δουλείαν καὶ τὴν ἐνυμφεύετο, δὲν θὰ εἶχες πλέον κανένα δικαίωμα νὰ ὁδηγῇς αὐτὴν εἰς τὸ πορνεῖον· διότι διὰ μίαν φορὰν τὴν ἔδωσες καὶ τὴν ἀπώλεσες. Καὶ ἡ ἰδική μας περίπτωσις εἶναι ἰδία· ἐνοικιάσαμεν τὴν σάρκα μας εἰς τὸν διάβολον, τὸν φοβερὸν πορνοβοσκόν· ὅταν τὴν εἶδεν ὁ Χριστὸς τὴν ἔσωσε καὶ τὴν ἀπήλλαξεν ἀπὸ ἐκείνην τὴν βα-

ἀπήλλαξε τῆς πονηρᾶς τυραννίδος ἐκείνης· οὐ τοίνυν ἐστὶν ἡμετέρα λοιπόν, ἀλλὰ τοῦ ῥυσαμένου. Ἐὰν ἐθέλῃς ὡς νύμφῃ βασιλέως κεχρῆσθαι, οὐδεὶς ὁ κωλύων· ἐὰν δὲ ἐπὶ τὰ πρότερα ἀγάγῃς πείσῃ ταῦτα, ἃ τοὺς τοιαῦτα ὑβρίζοντας εἰκός. Διὸ μᾶλλον αὐτὴν κατακοσμεῖν χρή, οὐχὶ καταισχύνειν. Οὐ γὰρ ἔχεις ἐξουσίαν τῆς σαρκὸς ἐν ταῖς πονηραῖς ἐπιθυμίαις, ἀλλ᾽ ἐν οἷς ἂν ὁ Θεὸς ἐπιτάξῃ μόνοις.

Ἐννόησον γοῦν ἡλίκης αὐτὴν ὕβρεως ἀπήλλαξεν ὁ Θεός. Καὶ γὰρ πάσης πόρνης αἰσχρότερον προειστήκει ἡ φύσις ἡ ἡμετέρα πρὸ τούτου· καὶ γὰρ λῃστεῖαι καὶ ἀνδροφονίαι καὶ ἕκαστος παράνομος λογισμὸς πρὸς αὐτὴν εἰσιὼν συγκατεκλίνετο τὴν ψυχήν, καὶ μισθώματος ὀλίγου καὶ τοῦ τυχόντος, τῆς παρούσης ἡδονῆς. Ἡ γὰρ φυρομένη μετὰ τῶν πονηρῶν ἐννοιῶν καὶ πράξεων, τοῦτον ἐκαρποῦτο μόνον τὸν μισθόν. Ἀλλὰ τὸ μὲν πρὸ τούτου ταῦτα γίνεσθαι δεινὸν ὄν, οὐχ οὕτω δεινὸν ἦν· τὸ δὲ μετὰ τὸν οὐρανόν, μετὰ τὰ βασίλεια, μετὰ τὸ τῶν μυστηρίων ἀπολαῦσαι τῶν φρικτῶν πάλιν μολύνεσθαι, ποίαν ἕξει συγγνώμην;

Ἢ οὐκ οἴει καὶ τοῖς πλεονέκταις καὶ πᾶσιν οἷς ἔμπροσθεν ἀπηρίθμησεν, αὐτὸν τὸν διάβολον συγκατακλίνεσθαι; Τὰς δὲ καλλωπιζομένας πρὸς ἀσέλγειαν γυναῖκας οὐχ ἡγῇ μετ᾽ ἐκείνου μίγνυσθαι; Καὶ τίς ἀντερεῖ τούτῳ τῷ λόγῳ; Εἰ δέ ἐστί τις φιλονεικῶν, ἀποδυέτω τὴν ψυχὴν τῶν τὰ τοιαῦτα ἀσχημονουσῶν γυναικῶν, καὶ ὄψεται πάντως τὸν πονηρὸν δαίμονα ἐκεῖνον σφοδρῶς συμπεπλεγμένον αὐταῖς. Δύσκολον γάρ, ἀγαπητοί, δύσκολον, τάχα δὲ καὶ ἀμήχανον, τοῦ σώματος καλλωπιζομένου οὕτω, καὶ τὴν ψυχὴν ὁμοῦ καλλωπίζεσθαι· ἀλλ᾽ ἀνάγκη θάτερον ἀμελεῖσθαι, ἐπιμελουμένου θατέρου· οὐ γὰρ ἔχει φύσιν ὁμοῦ ταῦτα γίνεσθαι. Διό φησιν, «Ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά

σανιστικὴν τυραννίαν· ἐπομένως δὲν εἶναι πλέον ἰδική μας, ἀλλὰ ἐκείνου ποὺ μᾶς ἔσωσεν. Ἐὰν θέλῃς νὰ τὴν μεταχειρίζεσαι ὡς νύμφην βασιλέως, κανεὶς δὲν σὲ ἐμποδίζει· ἐὰν ὅμως τὴν ὁδηγήσῃς εἰς τὴν προηγουμένην κατάστασιν, θὰ πάθῃς ὅσα εἶναι φυσικὸν νὰ παθαίνουν ἐκεῖνοι ποὺ ἐπιδίδονται εἰς τέτοιαν ἀκολασίαν. Διὰ τοῦτο ἔχομεν ἠθικὴν ὑποχρέωσιν νὰ καταστολίζωμεν αὐτήν, ὄχι νὰ τὴν ἐντροπιάζωμεν. Δὲν ἐξουσιάζεις τὴν σάρκα σου, διὰ νὰ τὴν διαθέτῃς εἰς τὰς πονηρὰς ἐπιθυμίας, ἀλλὰ μόνον εἰς ὅσα ὁ Θεὸς σοῦ ὁρίσῃ.

Σκέψου λοιπὸν ἀπὸ πόσην ἀκολασίαν τὴν ἀπήλλαξεν ὁ Θεός· διότι πρὸ αὐτοῦ ἡ ἰδία ἡ φύσις μας ἦτο πολὺ αἰσχροτέρα ἀπὸ πᾶσαν πόρνην· πράγματι· λῃστεῖαι καὶ φόνοι καὶ κάθε παράνομος λογισμὸς εἰσήρχετο εἰς αὐτὴν καὶ ἐδέσμευε τὴν ψυχὴν εἰς τὴν τυχοῦσαν ἡδονὴν μὲ ὀλίγον καὶ εὐτελὲς ἐνοίκιον. Καὶ ἡ ψυχὴ ἀνακατωμένη μὲ πονηρὰς σκέψεις καὶ πράξεις, τοῦτον μόνον τὸν μισθὸν ἐκαρποῦτο. Ἀλλὰ ἐνῷ τὸ νὰ γίνωνται αὐτὰ πρὸ τῆς ἐλεύσεως τοῦ Χριστοῦ ἦτο μὲν φοβερόν, ὁπωσδήποτε ὅμως δὲν ἦτο ἀπελπιστικῶς φοβερόν. Τὸ νὰ μολύνεται ὅμως πάλιν ἡ ψυχὴ μετὰ τὴν λύτρωσιν ποὺ προσέφερεν ὁ οὐρανός, μετὰ τὴν ὑπόσχεσιν τῶν βασιλείων, μετὰ τὴν ἀπόλαυσιν τῶν φρικτῶν μυστηρίων, πῶς θὰ συγχωρηθῇ;

Ἢ νομίζεις ὅτι ὁ ἴδιος ὁ διάβολος δὲν εἶναι μαζὶ μὲ τοὺς πλεονέκτας καὶ ὅλους ἐκείνους, ποὺ ἀνέφερε προηγουμένως; Καὶ δὲν πιστεύεις ὅτι ἐκεῖναι αἱ γυναῖκες ποὺ καλλωπίζονται δι' ἀσέλγειαν ἔχουν στενὴν σχέσιν μὲ ἐκεῖνον; Ποῖος θὰ διαφωνήσῃ μὲ αὐτό; Καὶ ἂν κάποιος διαφωνῇ, ἂς ἀνοίξῃ τὴν ψυχὴν τῶν γυναικῶν ποὺ ἐπιδίδονται εἰς τέτοιας ἀσχημίας, καὶ θὰ ἰδῇ ὁπωσδήποτε ἐκεῖνον τὸν πονηρὸν δαίμονα νὰ εἶναι στενῶς συνδεδεμένος μὲ αὐτάς· διότι εἶναι δύσκολον, ἀγαπητοί μου, εἶναι δύσκολον, ἴσως δὲ καὶ ἀδύνατον, ὅταν τὸ σῶμα καλλωπίζεται τόσον πολύ, νὰ καλλωπίζεται συγχρόνως καὶ ἡ ψυχή· ἀλλὰ εἶναι ἑπόμενον, ὅταν φροντίζωμεν διὰ τὸ ἕνα, νὰ παραμελοῦμεν τὸ ἄλλο· δὲν εἶναι φυσικὸν νὰ συμβαίνουν συγχρόνως καὶ τὰ δύο. Διὰ τοῦτο λέγει· «Ἐκεῖνος ποὺ προσκολλᾶται εἰς τὴν πόρνην εἶναι ἓν σῶμα μὲ αὐτήν· ἐκεῖνος ποὺ προσ-

ἐστιν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν Πνεῦμά ἐστι». Πνεῦμα γὰρ γίνεται λοιπὸν ὁ τοιοῦτος, κἂν σῶμα περίκειται. Ὅταν γὰρ μηδὲν σωματικὸν μηδὲ παχὺ μηδὲ γήϊνον περὶ αὐτὸν ᾖ, ἁπλῶς τὸ σῶμα περίκειται· ὅταν ἡ πᾶσα ἀρχὴ τῆς ψυχῆς ᾖ καὶ τοῦ Πνεύματος. Οὕτω δοξάζεται ὁ Θεός. Διὸ καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν, «Ἁγιασθήτω τὸ ὄνομά σου»· καὶ ὁ Χριστός φησι, «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὕτω δοξάζουσιν αὐτὸν καὶ οἱ οὐρανοὶ οὐ φωνὴν ἀφιέντες ἀλλὰ διὰ τῆς ὄψεως θαυμαζόμενοι, καὶ τὴν δόξαν εἰς τὸν δημιουργὸν ἀναφέροντες.

Οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς, μᾶλλον δὲ καὶ πλέον ἐκείνων· δυνάμεθα γάρ, ἂν ἐθέλωμεν. Οὐ γὰρ οὕτως οὐρανὸς καὶ ἡμέρα καὶ νύξ, ὡς ἁγία ψυχὴ δοξάζει Θεόν. Ὥσπερ γὰρ εἰς τὸ κάλλος τοῦ οὐρανοῦ τις ἀφορῶν, λέγει, Δόξα σοι ὁ Θεός, οἷον ἔργον ἔκτισας· οὕτω δὴ καὶ εἰς ἀνδρὸς ἀρετὴν βλέπων, καὶ πολλῷ πλέον ἐνταῦθα. Ἀπ' ἐκείνων μὲν γὰρ τῶν κτισμάτων οὐ πάντες δοξάζουσιν, ἀλλὰ πολλοὶ καὶ αὐτόματα εἶναι λέγουσι τὰ ὄντα· ἄλλοι δὲ καὶ δαίμοσιν ἀνατιθέασι τοῦ κόσμου τὴν δημιουργίαν καὶ τὴν πρόνοιαν, οἳ καὶ σφόδρα ἀσύγγνωστα ἁμαρτάνουσιν. Ἐπὶ δὲ ἀνθρώπου ἀρετῆς οὐδεὶς τοιοῦτα ἀναισχυντῆσαι δυνήσεται, ἀλλὰ πάντως δοξάσει τὸν Θεὸν τὸν δουλεύοντα αὐτῷ μετὰ ἀρετῆς ζῶντα ὁρῶν. Τίς γὰρ οὐκ ἐκπλαγήσεται, ὅταν ἄνθρωπός τις ὢν καὶ τῆς κοινῆς μετέχων φύσεως καὶ ἐν μέσοις στρεφόμενος ἀνθρώποις, καθάπερ ἀδάμας, μὴ ἐπικάμπτηται πρὸς τὸν τῶν παθῶν ἐσμόν; ὅταν μεταξὺ πυρὸς καὶ σιδήρου καὶ θηρίων ὢν ἀδάμαντος ἰσχυρότερος ᾖ καὶ περιγένηται πάντων διὰ τὸν τῆς εὐσεβείας λόγον; ὅταν ὑβρίζηται, καὶ εὐλογῇ; ὅταν κακῶς ἀκούῃ, καὶ ἐγκωμιάζῃ; ὅταν ἐπηρεάζηται, καὶ εὔχηται ὑπὲρ τῶν ἀδικούντων; ὅταν ἐπιβουλεύηται καὶ εὐεργετῇ τοὺς πολεμοῦντας αὐτῷ καὶ ἐπιβουλεύοντας;

---

7. Ματθ. 5,16.

κολλᾶται εἰς τὸν Κύριον εἶναι ἓν πνεῦμα». Αὐτὸς ὁ δεύτερος λοιπὸν γίνεται Πνεῦμα, ἂν καὶ περιβάλλεται ἀπὸ σῶμα· διότι, ὅταν αὐτὸς δὲν ἔχῃ τίποτε τὸ σωματικὸν οὔτε σαρκικὸν οὔτε γήινον, ἁπλῶς φορεῖ τὸ σῶμα· καὶ αὐτὸ συμβαίνει, ὅταν ὅλη ἡ ἐξουσία ἀνήκῃ εἰς τὴν ψυχὴν καὶ τὸ Πνεῦμα. Ἔτσι δοξάζεται ὁ Θεός. Διὰ τοῦτο καὶ εἰς τὴν προσευχὴν προτρεπόμεθα νὰ λέγωμεν· «Ἂς ἁγιασθῇ τὸ ὄνομά σου». Καὶ ὁ Χριστὸς λέγει· «Ἂς λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἴδουν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν οὐράνιον Πατέρα σας»[7]. Τὸν δοξάζουν ἐπίσης καὶ οἱ οὐρανοὶ χωρὶς νὰ ἔχουν φωνήν, ἀλλὰ μὲ τὸ νὰ τοὺς βλέπῃ κανεὶς καὶ νὰ τοὺς θαυμάζῃ ἀποδίδουν τὴν δόξαν εἰς τὸν οὐρανόν.

Ἔτσι ἂς δοξάσωμεν αὐτὸν καὶ ἐμεῖς, μᾶλλον δὲ καὶ περισσότερον ἀπὸ ἐκείνους, διότι ἠμποροῦμεν, ἂν θέλωμεν. Ὁ οὐρανὸς καὶ ἡ ἡμέρα καὶ ἡ νύκτα δὲν δοξάζουν τόσον τὸν Θεὸν ὅσον μία ἁγία ψυχή. Ὅπως ἀκριβῶς δηλαδή, ὅταν κάποιος βλέπῃ τὸ κάλλος τοῦ οὐρανοῦ, λέγει, 'Δόξα εἰς σέ, Θεέ μου, τί θαυμάσιον ἔργον ἐδημιούργησες', ἔτσι ἀκριβῶς, καὶ ὅταν βλέπῃ τὴν ἀρετὴν ἑνὸς χριστιανοῦ ἀνδρός, τότε δοξάζει τὸν Θεὸν πολὺ περισσότερον. Πράγματι, ἀπὸ ἐκεῖνα τὰ κτίσματα ὅλοι δὲν τὸν δοξάζουν, ἀλλὰ πολλοὶ λέγουν ὅτι τὰ ὄντα ἐδημιουργήθησαν μόνα των· ἄλλοι ἀκόμη καὶ εἰς τοὺς δαίμονας ἀποδίδουν τὴν δημιουργίαν καὶ τὴν πρόνοιαν τοῦ κόσμου, καὶ αὐτοὶ ἁμαρτάνουν κατὰ τρόπον ἀσυγχώρητον. Ὅταν ὅμως πρόκειται δι' ἀρετὴν ἀνθρώπου, κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ ἐκφρασθῇ κατὰ τέτοιον ἀναίσχυντον τρόπον, ἀλλ' ὁπωσδήποτε θὰ δοξάσῃ τὸν Θεόν, ὅταν βλέπῃ τὸν ζῶντα ἄνθρωπον νὰ ὑπηρετῇ αὐτὸν μὲ τὴν ἀρετήν του. Ποῖος, ἀλήθεια, δὲν θὰ ἐκπλαγῇ, ὅταν κάποιος, ἐνῷ εἶναι ἄνθρωπος καὶ ἔχει τὴν ἰδίαν φύσιν καὶ συναναστρέφεται ἀνθρώπους, ὡς ἀδάμας δὲν κάμπτεται ἀπὸ τὸ πλῆθος τῶν παθῶν; ὅταν, ἐνῷ εὑρίσκεται μεταξὺ πυρὸς καὶ σιδήρου καὶ θηρίων, εἶναι ἰσχυρότερος ἀπὸ τὸν ἀδάμαντα καὶ σώζεται ἀπὸ ὅλα χάρις εἰς τὴν εὐσέβειάν του; ὅταν ὑβρίζεται, καὶ ὅμως εὐλογεῖ; ὅταν συκοφαντῆται, καὶ ὅμως ἐγκωμιάζει; ὅταν βλάπτεται, καὶ ὅμως εὔχεται ὑπὲρ τῶν ἀδικούντων; ὅταν τὸν ἐπιβουλεύωνται, καὶ ὅμως αὐτὸς εὐεργετεῖ ὅσους τὸν πολεμοῦν καὶ τὸν ἐπιβουλεύονται;

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τῶν οὐρανῶν πολλῷ μᾶλλον δοξάσει τὸν Θεόν. Τὸν μὲν γὰρ οὐρανὸν ὁρῶντες Ἕλληνες οὐκ αἰσχύνονται· ἅγιον δὲ ἄνδρα ἰδόντες μετὰ ἀκριβείας φιλοσοφίαν ἐπιδεικνύμενον καταδύονται καὶ ἑαυτῶν καταγινώσκουσιν. Ὅταν γὰρ ὁ τῆς αὐτῆς αὐτοῖς φύσεως μετέχων τοσοῦτον ἀνώτερος ᾖ, πολλῷ μᾶλλον ἢ ὅσον ὁ οὐρανὸς τῆς γῆς, καὶ ἄκοντες ἐννοοῦσιν ὅτι θεία δύναμις ταῦτα ἐργάζεται. Διό φησι· «καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

4. Βούλει μαθεῖν καὶ ἑτέρωθεν πῶς μὲν ἀπὸ τοῦ βίου τῶν δούλων αὐτοῦ δοξάζεται ὁ Θεός, πῶς δὲ ἀπὸ τῶν θαυμάτων; Ἐνέβαλέ ποτε ὁ Ναβουχοδονόσορ τοὺς τρεῖς παῖδας εἰς τὴν κάμινον. Εἶτα ἐπειδὴ εἶδε τὸ πῦρ οὐ περιγενόμενον αὐτῶν, φησίν· «Εὐλογητὸς ὁ Θεός, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ ἐκ τῆς καμίνου, ὅτι ἐπεποίθεισαν ἐπ' αὐτὸν καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως». Τί λέγεις; κατεφρονήθης, καὶ θαυμάζεις τοὺς διαπτύσαντας; Ναί, φησί, καὶ δι' αὐτὸ τοῦτο, ὅτι κατεφρονήθην· καὶ τοῦ θαύματος ταύτην τὴν αἰτίαν τίθησι. Ὥστε οὐ διὰ τὸ σημεῖον ἡ δόξα τῷ Θεῷ τότε ἐγίνετο μόνον, ἀλλὰ καὶ διὰ τὴν προαίρεσιν τῶν ἐμβληθέντων. Εἰ δὲ καὶ καθ' ἑαυτὸ ἐξετάσειέ τις τοῦτο κἀκεῖνο, οὐκ ἔλαττον τοῦτο ἐκείνου. Τοῦ γὰρ ῥύσασθαι καμίνου τὸ πεῖσαι ψυχὰς κατατολμῆσαι καμίνου οὐκ ἔλαττον εἰς θαύματος λόγον.

Πῶς γὰρ οὐκ ἐκπλήξεως ἄξιον, ὅταν ὁ τῆς οἰκουμένης βασιλεύς, καὶ τοσαῦτα περὶ αὐτὸν ὅπλα ἔχων καὶ στρατόπεδα καὶ στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους, καὶ γῆν καὶ θάλατταν ὑποκειμένην, ὑπὸ παίδων αἰχμαλώτων καταφρονῆται, καὶ οἱ δεδεμένοι τοῦ δήσαντος περιγί-

8. Φιλοσοφία: Βλ. σχόλιον ἀριθμ. 18 τοῦ Β' λόγου τοῦ παρόντος.
9. Δαν. 3,28.
10. τοπάρχης, ὁ: κυβερνήτης μιᾶς περιοχῆς («τοπαρχίας») κατὰ τὴν βυζαντινὴν περίοδον.
11. ὕπατος, ὁ: ἄρχων κατὰ τὴν ρωμαϊκὴν καὶ πρώτην βυζαντινὴν περίοδον. Μετὰ τὸν Ἰουστινιανὸν (527—565 μ.Χ.) ὁ τίτλος κατέστη ἁπλῶς τιμητικός.

Αὐτὰ λοιπὸν καὶ αὐτοῦ τοῦ εἴδους τὰ ἔργα θὰ δοξάσουν τὸν Θεὸν πολὺ περισσότερον ἀπὸ τοὺς οὐρανούς. Πράγματι· οἱ Ἐθνικοί, ἐνῷ βλέπουν τὸν οὐρανόν, δὲν ἐντρέπονται· ὅταν ὅμως ἴδουν ἕνα ἅγιον ἄνδρα νὰ ζῇ τὴν φιλοσοφίαν[8] μὲ συνέπειαν, ἀφοπλίζονται καὶ ἐπιρρίπτουν τὴν εὐθύνην εἰς τὸν ἑαυτόν των· διότι, ὅταν κάποιος ποὺ εἶναι τῆς ἰδίας μὲ αὐτοὺς φύσεως εἶναι τόσον ἀνώτερός των, πολὺ περισσότερον ἀπὸ ὅσον ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τότε καὶ χωρὶς νὰ τὸ θέλουν ἀντιλαμβάνονται ὅτι κάποια θεία δύναμις πραγματοποιεῖ αὐτά. Διὰ τοῦτο λέγει· «καὶ διὰ νὰ δοξάσουν τὸν οὐράνιον Πατέρα σας».

4. Θέλεις νὰ μάθῃς καὶ ἀπὸ ἀλλοῦ πῶς δοξάζεται ὁ Θεὸς ἀπὸ τὸν βίον τῶν δούλων του καὶ πῶς δοξάζεται ἀπὸ τὰ θαύματα; Κάποτε ὁ Ναβουχοδονόσορ ἔρριψε τοὺς τρεῖς παῖδας εἰς τὴν κάμινον. Κατόπιν, ἐπειδὴ εἶδεν ὅτι τὸ πῦρ δὲν τοὺς κατέκαυσε, λέγει· «Εἶναι εὐλογητὸς ὁ Θεός, ὁ ὁποῖος ἀπέστειλε τὸν ἄγγελόν του καὶ ἔσωσε τὰ παιδιά του ἀπὸ τὴν κάμινον, διότι εἶχον ἐμπιστοσύνην εἰς αὐτὸν καὶ κατεπάτησαν τὴν διαταγὴν τοῦ βασιλέως»[9]. Τί λέγεις; κατεφρονήθης, καὶ ὅμως τιμᾷς αὐτοὺς ποὺ σὲ κατεφρόνησαν; Ναί, λέγει, καὶ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον, διὰ τὸ ὅτι κατεφρονήθημεν· καὶ δίδει τοῦτο ὡς αἰτίαν τῆς τιμῆς, ποὺ ἀποδίδει. Ὥστε τότε προσεφέρθη δόξα εἰς τὸν Θεὸν ὄχι μόνον διὰ τὸ θαῦμα, ἀλλὰ καὶ διὰ τὴν διάθεσιν τῶν ριφθέντων εἰς τὸ πῦρ. Ἐὰν δὲ κάποιος ἐξετάσῃ χωριστὰ τοῦτο καὶ ἐκεῖνο, τοῦτο δὲν θὰ φανῇ κατώτερον ἐκείνου· τὸ νὰ πείσῃ δηλαδὴ κανεὶς ψυχὰς νὰ περιφρονήσουν τὴν κάμινον δὲν εἶναι ὀλιγώτερον ἄξιον θαυμασμοῦ ἀπὸ τὸ νὰ τὰς σώσῃ ἀπὸ τὴν κάμινον.

Πράγματι· πῶς δὲν εἶναι ἄξιον ἐκπλήξεως, ὅταν ὁ βασιλεὺς τῆς οἰκουμένης, ποὺ ἔχει γύρω του τόσα πολλὰ ὅπλα καὶ στρατοὺς καὶ στρατηγοὺς καὶ τοπάρχας[10] καὶ ὑπάτους[11], καὶ τόσην γῆν καὶ θάλασσαν ὑπὸ τὴν ἐξουσίαν του, καταφρονῆται ἀπὸ αἰχμάλωτα παιδιά, καὶ ὅταν οἱ δεμένοι νικοῦν αὐτὸν ποὺ τοὺς ἔδεσε, καὶ τέ-

νωνται, καὶ πᾶσαν νικῶσι τὴν στρατιὰν ἐκείνην; Οὐ γὰρ ἴσχυσαν, ὅπερ ἤθελον, οἱ περὶ τὸν βασιλέα, καὶ ταῦτα καὶ τὴν ἀπὸ τῆς καμίνου συμμαχίαν ἔχοντες, ἀλλ' οἱ γυμνοὶ καὶ δοῦλοι καὶ ξένοι καὶ ὀλίγοι· τί γὰρ τριῶν ὀλιγώτερον; ἄπειρον στρατιὰν δεδεμένοι κατηγωνίσαντο. Ἤδη γὰρ θάνατος κατεφρονεῖτο, ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἔμελλεν ἐπιδημεῖν. Καὶ καθάπερ ἀνατέλλειν μέλλοντος ἡλίου, καὶ πρὶν ἢ τὰς ἀκτῖνας φανῆναι, λαμπρὸν τῆς ἡμέρας γίνεται τὸ φῶς, οὕτω καὶ τοῦ τῆς δικαιοσύνης ἡλίου μέλλοντος ἔρχεσθαι ὁ θάνατος λοιπὸν ὑπεξίστατο. Τί τοῦ θεάτρου γένοιτ' ἂν λαμπρότερον ἐκείνου; τί τῆς νίκης περιφανέστερον; τί τῶν καινῶν τροπαίων ἐπισημότερον;

Τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται. Καὶ νῦν ἐστιν ὁ τῆς Βαβυλωνίας καμίνου βασιλεύς, καὶ νῦν φλόγα ἀνάπτει χαλεπωτέραν ἐκείνης. Ἔστι καὶ νῦν ὁ τοιαύτην εἰκόνα κελεύων θαυμάζειν. Πάρεισιν αὐτῷ καὶ σατράπαι καὶ στρατιῶται καὶ γοητεύουσα μουσική· καὶ πολλοὶ θαυμάζουσι ταύτην τὴν εἰκόνα, τὴν ποικίλην, τὴν μεγάλην. Τοιοῦτον γάρ τί ἐστιν ἡ πλεονεξία, οἷον ἡ εἰκὼν ἐκείνη, οὐδὲ σιδήρου καταφρονοῦσα, ἀλλ' ἐξ ἀνομοίων μὲν συγκειμένη πραγμάτων, πάντα δὲ κελεύουσα θαυμάζειν, καὶ χαλκὸν καὶ σίδηρον καὶ ἃ πολλῷ τούτων ἐστὶν εὐτελέστερα. Ἀλλ' ὥσπερ ταῦτά ἐστιν, οὕτω καὶ οἱ τῶν παίδων ἐκείνων ζηλωταί εἰσι καὶ νῦν, οἱ λέγοντες· «Τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι σου οὐ προσκυνοῦμεν», ἀλλὰ καὶ τὴν κάμινον τῆς πενίας ὑπομένομεν καὶ τὴν ἄλλην ταλαιπωρίαν ἅπασαν ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων. Καὶ οἱ μὲν πολλὰ ἔχοντες, καθάπερ κἀκεῖνοι τότε, καὶ ταύτην προσκυνοῦσι πολλάκις, καὶ κατακαίονται· οἱ δὲ μηδὲν κεκτημένοι καὶ ταύτης καταφρονοῦσι, καὶ ἐν πενίᾳ ὄντες, ἐν δρόσῳ μᾶλλόν εἰσι τῶν ἐν εὐπορίᾳ ζώντων· καθάπερ καὶ τότε οἱ μὲν ἐμβαλόντες κατεκάησαν, οἱ δὲ ἐν μέσῳ ὄντες, ὥσπερ ἐν ὕδατι ἦσαν τῇ δρόσῳ.

---

12. Δαν. 3,18.

λος νικοῦν ὅλην ἐκείνην τὴν στρατιάν; Δὲν ἐνίκησαν λοιπόν, ὅπως ἤθελον, οἱ ἄνθρωποι τοῦ βασιλέως, ἐνῷ εἶχον καὶ ὅλην αὐτὴν τὴν δύναμιν καὶ τὴν συμμαχίαν τῆς καμίνου, ἀλλ' ἐνίκησαν οἱ γυμνοὶ καὶ δοῦλοι καὶ ξένοι καὶ ὀλίγοι· διότι τί εἶναι ὀλιγώτερον ἀπὸ τρεῖς; δεμένοι αὐτοὶ κατενίκησαν ἄπειρον στρατιάν. Κατεφρονεῖτο λοιπὸν πλέον ὁ θάνατος, ἐπειδὴ ἐπρόκειτο ἐν συνεχείᾳ νὰ ἔλθῃ ὁ Χριστός. Καὶ ὅπως, ὅταν πρόκειται νὰ ἀνατείλῃ ὁ ἥλιος καὶ προτοῦ φανοῦν αἱ ἀκτῖνες, γίνεται λαμπρὸν τὸ φῶς τῆς ἡμέρας, ἔτσι καί, ὅταν ἐπρόκειτο νὰ ἔλθῃ ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ θάνατος ἤρχισε νὰ ὑποχωρῇ. Τί λαμπρότερον ἀπὸ τὸ θέατρον ἐκεῖνο θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ; τί περιφανέστερον ἀπὸ ἐκείνην τὴν νίκην; τί ἐπισημότερον ἀπὸ τὰ νέα τρόπαια;

Τοῦτο ἰσχύει καὶ δι' ἐμᾶς. Καὶ τώρα ὑπάρχει ὁ βασιλεὺς τῆς βαβυλωνιακῆς καμίνου, καὶ τώρα ἀνάπτει φλόγα φοβερωτέραν ἀπὸ ἐκείνην. Καὶ τώρα ὑπάρχει αὐτὸς ποὺ μᾶς παρακινεῖ νὰ τιμῶμεν εἰκόνα τέτοιου εἴδους. Πλησίον του εὑρίσκονται καὶ σατράπαι καὶ στρατιῶται καὶ γοητεύουσα μουσική· καὶ πολλοὶ τιμοῦν αὐτὴν τὴν εἰκόνα, τὴν στολισμένην, τὴν μεγάλην. Κάτι τέτοιο δηλαδὴ εἶναι ἡ πλεονεξία, ὅπως ἐκείνη ἡ εἰκών· δὲν περιφρονεῖ οὔτε τὸν σίδηρον, καί, ἐνῷ ἀποτελεῖται ἀπὸ ἀνόμοια πράγματα, παρακινεῖ ὅλα νὰ τὰ τιμῶμεν, καὶ χαλκὸν καὶ σίδηρον καὶ ὅσα εἶναι ἀκόμη πολὺ εὐτελέστερα ἀπὸ αὐτά. Ἀλλ' ὅπως ὑπάρχουν αὐτά, ἔτσι ὑπάρχουν καὶ τώρα οἱ ζηλωταὶ ἐκείνων τῶν παίδων οἱ ὁποῖοι λέγουν· «Δὲν λατρεύομεν τοὺς θεούς σου καὶ δὲν προσκυνοῦμεν τὴν εἰκόνα σου»[12], ἀλλ' ὑπομένομεν καὶ τὴν κάμινον τῆς πενίας καὶ ὅλην τὴν ἄλλην ταλαιπωρίαν χάριν τῆς τηρήσεως τῶν νόμων τοῦ Θεοῦ. Καὶ ὅσοι μὲν κατέχουν πολλά, ὅπως ἐκεῖνοι τότε, καὶ αὐτὴν τὴν εἰκόνα πολλάκις τὴν προσκυνοῦν, καὶ ὅμως κατακαίονται· αὐτοί, δέ, ἐνῷ δὲν ἔχουν τίποτε, καὶ αὐτὴν τὴν καταφρονοῦν, ἐνῷ δὲ ζοῦν εἰς πενίαν, εὑρίσκονται εἰς δρόσον μεγαλυτέραν ἀπὸ ἐκείνους ποὺ ζοῦν εἰς εὐπορίαν· ὅπως ἀκριβῶς καὶ τότε· ἐκεῖνοι μὲν ποὺ ἔρριψαν εἰς τὸ πῦρ τοὺς τρεῖς παῖδας κατεκάησαν, ἐνῷ αὐτοί, ἂν καὶ ἦσαν μέσα εἰς τὰς φλόγας, ᾐσθάνοντο δρόσον ὡσὰν νὰ ἦσαν μέσα εἰς τὸ ὕδωρ.

Καὶ ὁ τύραννος δὲ τότε ἐκεῖνος μᾶλλον ἐκαίετο τῇ φλογὶ τοῦ θυμοῦ σφοδρότερον αὐτὸν ἀνάπτοντος ἢ οἱ παῖδες ἐκεῖνοι. Ἐκείνων μὲ γὰρ οὐκ ἴσχυσε τὸ πῦρ οὐδὲ ἄκρων ἅψασθαι τῶν τριχῶν, τούτου δὲ πυρὸς σφοδρότερον κατέκαυσε τὴν διάνοιαν ἡ ὀργή. Ἐννόησον γὰρ ὅσον ἦν ἐπ' ὄψεσι τοσαύταις ὑπὸ παίδων αἰχμαλώτων αὐτὸν διαπτύεσθαι. Ἔδειξε γὰρ λοιπὸν ὅτι, εἰ καὶ τὴν πόλιν αὐτῶν ἔλαβεν, οὐ παρὰ τὴν οἰκείαν ἰσχύν, ἀλλὰ παρὰ τὴν τῶν πολλῶν ἁμαρτίαν. Εἰ γὰρ τῶν δεδεμένων οὐκ ἴσχυσε περιγενέσθαι, καὶ ταῦτα ἐν καμίνῳ βεβλημένων, πῶς ἂν τούτων περιεγένετο πολέμου νόμῳ πάντων τοιούτων ὄντων; Ὅθεν δῆλον ὅτι αἱ τῶν πολλῶν ἁμαρτίαι τὴν πόλιν παρέδωκαν.

5. Ὅρα δὲ καὶ τὸ ἀκενόδοξον τῶν παίδων. Οὐ γὰρ ἐπεπήδησαν τῇ καμίνῳ, ἀλλὰ τοῦ Χριστοῦ τὴν παραγγελίαν ἄνωθεν ἐφύλαττον λέγοντος, «Εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν»· οὔτε ἔφυγον, ἐπειδὴ ἤχθησαν, ἀλλ' ἔστησαν ἐν τῷ μέσῳ γενναίως, οὔτε μὴ καλοῦντος ἀγωνιζόμενοι, οὔτε καλοῦντος μαλακιζόμενοι, ἀλλὰ πρὸς πάντα ἕτοιμοι καὶ γενναῖοι καὶ πάσης γέμοντες παρρησίας. Ἀκούσωμεν δὲ καὶ τί λέγουσιν, ἵνα κἀντεῦθεν μάθωμεν αὐτῶν τὸ φιλόθεον φρόνημα. «Ἔστι Θεὸς ἐν οὐρανοῖς δυνατὸς ἐξελέσθαι ἡμᾶς». Οὐ γὰρ ὑπὲρ ἑαυτῶν φροντίζουσιν, ἀλλὰ καὶ καίεσθαι μέλλοντες ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης μεριμνῶσιν. Ἵνα γὰρ μή ποτε, φησί, κατακαυθέντων ἡμῶν ἀσθένειαν τοῦ Θεοῦ καταγνῷς, ἤδη σοι τὸ δόγμα ἅπαν ἀπαγγέλλομεν ἀκριβῶς τὸ ἡμέτερον. «Ἔστι Θεὸς ἐν οὐρανοῖς» οὐ τοιοῦτος, οἵα αὕτη ἡ εἰκὼν ἡ ἐπὶ γῆς, ἡ ἄψυχος καὶ ἄφωνος, ἀλλ' ἱκανὸς καὶ ἐκ μέσης καμίνου τῆς καιομένης ἐξαρπάσαι. Μὴ τοίνυν αὐτοῦ καταγνῷς ἀσθένειαν ὅτι ἀφίησιν ἐμπεσεῖν. Οὕτως ἐστὶ δυνατός, ὥστε μετὰ τὸ ἐμπεσεῖν πάλιν ἡμᾶς ἐξαρπάσαι τῆς φλογός.

---

13. Ματθ. 26,41.
14. Δαν. 3,17.

Ἐκεῖνος δὲ ὁ τύραννος ἐκαίετο μᾶλλον ἀπὸ τὴν φλόγα, διότι ὁ θυμὸς τὸν ἤναπτε σφοδρότερον, παρὰ ἐκεῖνοι οἱ παῖδες· διότι ἐκείνων μὲν οὔτε τὰ ἄκρα τῶν τριχῶν των ἠμπόρεσε νὰ ἐγγίσῃ τὸ πῦρ, τούτου δὲ ἡ ὀργὴ κατέκαυσε τὴν διάνοιάν του σφοδρότερον. Σκέψου δὲ πόσον μειωτικὸν ἦτο ἐνώπιον τόσων ἀνθρώπων νὰ περιφρονῆται ἀπὸ αἰχμαλώτους παῖδας. Ἀπεδείχθη δηλαδὴ ὅτι, ἂν καὶ κατέλαβε τὴν πόλιν αὐτῶν, δὲν τὴν κατέλαβε μὲ τὴν ἰδικήν του δύναμιν, ἀλλ' ἐξ αἰτίας τῆς ἁμαρτίας τῶν πολλῶν· ἐφ' ὅσον δηλαδὴ δὲν ἠμπόρεσε νὰ νικήσῃ τοὺς δεμένους, οἱ ὁποῖοι μάλιστα εἶχον ριφθῆ εἰς κάμινον, πῶς θὰ ἠμποροῦσε νὰ τοὺς νικήσῃ μὲ πόλεμον, τὴν στιγμὴν ποὺ ὅλοι τους ἦσαν τόσον γενναῖοι; Ἑπομένως εἶναι φανερὸν ὅτι αἱ ἁμαρτίαι τῶν πολλῶν παρέδωκαν τὴν πόλιν.

5. Πρόσεξε δὲ καὶ τὴν ἔλλειψιν κενοδοξίας τῶν παίδων· δὲν ὥρμησαν μέσα εἰς τὴν κάμινον, ἀλλὰ διεφύλαττον τὴν παραγγελίαν τοῦ Χριστοῦ, ποὺ τοὺς ἔλεγεν ἀπὸ τὸν οὐρανόν· «Νὰ εὔχεσθε νὰ μὴ ἀντιμετωπίσητε πειρασμόν»[13]· οὔτε ἔφυγον, ἐπειδὴ ἐδυσανασχέτησαν, ἀλλ' ἐστάθησαν μὲ γενναιότητα εἰς τὸ μέσον, καὶ ἔτσι οὔτε ἠγωνίζοντο χωρὶς νὰ κληθοῦν οὔτε, ὅταν ἐκλήθησαν, ἐδειλίαζον, ἀλλὰ ἦσαν δι' ὅλα ἕτοιμοι καὶ γενναῖοι καὶ γεμᾶτοι μὲ παρρησίαν. Ἂς ἀκούσωμεν δὲ καὶ τί λέγουν, διὰ νὰ μάθωμεν καὶ ἀπὸ τοῦτο τὸ φιλόθεον φρόνημά των. «Ὑπάρχει Θεὸς εἰς τὸν οὐρανόν, ὁ ὁποῖος ἠμπορεῖ νὰ μᾶς σώσῃ»[14]. Δὲν φροντίζουν δηλαδὴ διὰ τοὺς ἑαυτούς των, ἀλλά, ἐνῷ πρόκειται νὰ καοῦν, μεριμνοῦν διὰ τὴν δόξαν τοῦ Θεοῦ. Διὰ νὰ μὴ κατηγορήσῃς, λέγει, ποτὲ τὸν Θεὸν διὰ ἀδυναμίαν, ἂν ἐμεῖς κατακαῶμεν, ἐκ τῶν προτέρων σοῦ ἀνακοινώνομεν μὲ ἀκρίβειαν τὴν πλήρη πίστιν μας· «Ὑπάρχει Θεὸς εἰς τὸν οὐρανόν», ὄχι τέτοιος ὅπως εἶναι αὐτὴ ἡ γηίνη εἰκών, ἡ ἄψυχος καὶ ἄφωνος, ἀλλὰ ποὺ εἶναι ἱκανὸς νὰ μᾶς ἁρπάσῃ καὶ ἀπὸ τὸ μέσον ἀκόμη τῆς καμίνου. Μὴ λοιπὸν τὸν κατηγορῇς διὰ ἀδυναμίαν, διότι μᾶς ἀφήνει νὰ πέσωμεν μέσα εἰς τὴν κάμινον· εἶναι τόσον δυνατός, ὥστε καὶ ἀφοῦ πέσωμεν μέσα νὰ ἠμπορῇ νὰ μᾶς ἁρπάσῃ πάλιν ἀπὸ τὴν φλόγα.

«Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν». Ὅρα αὐτοὺς οἰκονομικῶς ἀγνοοῦντας τὸ μέλλον. Εἰ γὰρ προῄδεσαν, οὐδὲ ἦσαν θαυμαστοί, πεποιηκότες ὅπερ ἐποίησαν· τί γὰρ θαυμαστόν, εἰ ἐνέχυρα ἔχοντες σωτηρίας κατετόλμησαν τῶν δεινῶν; ἀλλ' ὁ μὲν Θεὸς ἐδοξάζετο δυνηθεὶς ἐκβαλεῖν τῆς καμίνου, ἐκεῖνοι δὲ οὐκ ἂν ἐθαυμάσθησαν ἅτε μὴ εἰς κινδύνους ἑαυτοὺς ῥίψαντες. Διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ἀγνοῆσαι τὸ μέλλον, ἵνα αὐτοὺς δοξάσῃ πλέον. Καὶ καθάπερ αὐτοὶ ἠσφαλίζοντο τὸν βασιλέα μὴ ἀσθένειαν καταγνῶναι τοῦ Θεοῦ, εἰ κατακαυθείησαν, οὕτως ὁ Θεὸς ἀμφότερα ἐποίησε, καὶ τὴν ἑαυτοῦ δύναμιν ἔδειξε καὶ τὴν τῶν παίδων προθυμίαν λαμπροτέραν διαφανῆναι παρεσκεύασε.

Πόθεν οὖν αὐτοῖς ἡ ἀμφιβολία καὶ τὸ μὴ θαρρεῖν ὅτι πάντως σωθήσονται; Διὰ τὸ πάντων ἑαυτοὺς εὐτελεστέρους εἶναι νομίζειν καὶ ἀναξίους τοιαύτης εὐεργεσίας. Καὶ ὅτι οὐ στοχαζόμενος τοῦτο λέγω, εἰς τὴν κάμινον ἐμπεσόντες ταῦτα ἀπωδύροντο λέγοντες· «Ἡμάρτομεν, ἠνομήσαμεν, οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα». Διὰ ταῦτα ἔλεγον, «Καὶ ἐὰν μή». Εἰ δὲ μὴ φανερῶς εἶπον τοῦτο, οἷον, ὅτι δυνατὸς μέν ἐστιν ὁ Θεὸς ἐξελέσθαι ἡμᾶς, ἐὰν δὲ μὴ ἐξέληται, διὰ τὰς ἁμαρτίας οὐκ ἐξελεῖται, μὴ θαυμάσῃς· καὶ γὰρ ἔδοξαν ἂν παρὰ τοῖς βαρβάροις τοῦ Θεοῦ τὴν ἀσθένειαν τῇ τῶν οἰκείων ἁμαρτημάτων συσκιάζειν προφάσει. Διὰ τοῦτο περὶ τοῦ δυνατοῦ μόνου διαλεχθέντες τὴν αἰτίαν οὐ τιθέασι. Καὶ ἄλλως δὲ πεπαιδευμένοι καλῶς ἦσαν μὴ πολυπραγμονεῖν τοῦ Θεοῦ τὰς κρίσεις.

Ταῦτα τοίνυν εἰπόντες ἀνέβησαν εἰς τὸ πῦρ, καὶ οὔτε ἐνύβρισαν εἰς τὸν βασιλέα, οὔτε κατέστρεψαν τὴν εἰκόνα. Τὸν γὰρ ἀνδρεῖον τοιοῦτον εἶναι χρή, σώφρονα καὶ ἐπιεικῆ, καὶ μάλιστα ἐν τοῖς κινδύνοις, ἵνα μὴ δόξῃ θυμῷ καὶ κενο-

---

15. αὐτ. 18.
16. αὐτ. Προσευχὴ—Ὕμνος Τριῶν παίδων 5,9.

«Καὶ ἐὰν δὲν μᾶς σώσῃ, νὰ γνωρίζῃς, βασιλεῦ, ὅτι δὲν λατρεύομεν τοὺς θεούς σου καὶ τὴν χρυσῆν εἰκόνα, τὴν ὁποίαν ἔστησες, δὲν προσκυνοῦμεν»[15]. Πρόσεξε ὅτι ἀπὸ θείαν οἰκονομίαν ἠγνόουν τὸ μέλλον. Ἐὰν δηλαδὴ τὸ ἐγνώριζον ἐκ τῶν προτέρων, δὲν θὰ ἦσαν ἀξιοθαύμαστοι διὰ ὅ,τι ἔκαμαν· τί τὸ ἀξιοθαύμαστον, ἂν περιεφρόνουν τὰ δεινὰ ἔχοντες ἐγγυήσεις διὰ τὴν σωτηρίαν των; ἀλλὰ ὁ μὲν Θεὸς ἐδοξάζετο, διότι ἠδυνήθη νὰ τοὺς ἐκβάλῃ ἀπὸ τὴν κάμινον, ἐκεῖνοι δὲ δὲν θὰ ἐθαυμάζοντο, διότι δὲν θὰ εἶχον ρίψει τοὺς ἑαυτούς των εἰς κινδύνους. Διὰ τοῦτο τοὺς ἄφησε νὰ ἀγνοοῦν τὸ μέλλον, διὰ νὰ τοὺς δοξάσῃ περισσότερον. Καὶ ὅπως αὐτοὶ ἐξησφάλιζον ὁ βασιλεὺς νὰ μὴ κατηγορήσῃ τὸν Θεὸν διὰ ἀδυναμίαν, ἐὰν κατεκαίοντο, ἔτσι καὶ ὁ Θεὸς ἐπέτυχε καὶ τὰ δύο, καὶ τὴν δύναμίν του ἔδειξε καὶ τὴν προθυμίαν τῶν παίδων τὴν ἔκαμε νὰ φανῇ λαμπροτέρα.

Ἀπὸ ποῦ λοιπὸν προήρχετο ἡ ἀμφιβολία των καὶ ἡ ἀβεβαιότης των ὅτι ὁπωσδήποτε θὰ ἐσώζοντο; Ἀπὸ τὴν γνώμην των ὅτι ἦσαν οἱ εὐτελέστεροι πάντων καὶ ἀνάξιοι τέτοιας εὐεργεσίας. Καὶ ἀπόδειξις τοῦ ὅτι δὲν τὸ λέγω αὐτὸ ἀπὸ τὴν φαντασίαν μου εἶναι ὅτι ἀφοῦ ἔπεσαν εἰς τὴν κάμινον, ἐθρήνουν ὡς ἑξῆς λέγοντες· «Ἡμαρτήσαμεν, ἠνομήσαμεν, δὲν ἠμποροῦμεν νὰ ἀνοίξωμεν τὸ στόμα μας»[16]. Διὰ ταῦτα ἔλεγον, «Καὶ ἐὰν δὲν μᾶς σώσῃ». Μὴ ἀπορήσῃς δέ, ἐπειδὴ δὲν εἶπαν μὲ σαφήνειαν τοῦτο, ὅτι δηλαδὴ ὁ Θεὸς εἶναι μὲν δυνατὸς νὰ μᾶς σώσῃ, ἐὰν ὅμως δὲν μᾶς σώσῃ, θὰ ὀφείλεται εἰς τὰς ἁμαρτίας μας· διότι θὰ ἐφαίνοντο εἰς τοὺς βαρβάρους ὅτι μὲ πρόφασιν τὰ ἰδικά των ἁμαρτήματα προσπαθοῦν νὰ συγκαλύψουν τὴν ἀδυναμίαν τοῦ Θεοῦ. Διὰ τοῦτο, ἀφοῦ ὡμίλησαν μόνον διὰ τὴν δυνατότητα, δὲν ἀνέφεραν τὴν αἰτίαν. Ἄλλωστε ἦσαν καλῶς κατηρτισμένοι νὰ μὴ πολυασχολοῦνται μὲ τὰς κρίσεις τοῦ Θεοῦ.

Ἀφοῦ λοιπὸν εἶπαν αὐτά, εἰσῆλθαν εἰς τὸ πῦρ, καὶ οὔτε ἐφέρθησαν μὲ περιφρόνησιν εἰς τὸν βασιλέα οὔτε κατέστρεψαν τὴν εἰκόνα· διότι ὁ ἀνδρεῖος πρέπει νὰ εἶναι σώφρων καὶ ἤπιος, καὶ μάλιστα εἰς τοὺς κινδύνους, διὰ νὰ μὴ φανῇ ὅτι πηγαίνει εἰς τοὺς ἀ-

δοξίᾳ πρὸς τούτους τοὺς ἀγῶνας ἰέναι, ἀλλὰ ἀνδρείᾳ καὶ σωφροσύνῃ. Ὁ μὲν γὰρ ὑβρίζων ἐκείνων τῶν ἐγκλημάτων ὑπομένει τὴν ὑπόνοιαν, ὁ δὲ ὑπομένων καὶ ἑλκόμενος καὶ μετ' ἐπιεικείας ἀγωνιζόμενος, οὐχ ὡς ἀνδρεῖος θαυμάζεται μόνον, ἀλλὰ καὶ ἐπὶ τῇ σωφροσύνῃ καὶ ἐπιεικείᾳ οὐχ ἧττον ἀνακηρύττεται· ὅπερ καὶ αὐτοὶ τότε ἐποίησαν, τήν τε ἀνδρείαν ἐπιδεικνύμενοι καὶ τὴν ἐπιείκειαν ἅπασαν, καὶ οὐδὲν ἐπὶ μισθῷ πράττοντες, οὐδὲ ἀντιδόσει καὶ ἀμοιβῇ. Καὶ ἐὰν μὴ θελήσῃ, φησίν, ἡμᾶς ἐξελέσθαι, τοῖς θεοῖς σου οὐ λατρεύομεν· ἔχομεν γὰρ ἤδη τὰς ἀμοιβὰς καταξιωθέντες ἀπαλλαγῆναι τῆς ἀσεβείας καὶ ὑπὲρ αὐτῆς κατακαῦσαι τὰ σώματα.

Καὶ ἡμεῖς τοίνυν ἔχοντες ἤδη τὴν ἀντίδοσιν —καὶ γὰρ ἔχομεν καταξιωθέντες αὐτὸν ἐπιγνῶναι, καταξιωθέντες γενέσθαι μέλη Χριστοῦ— μὴ ποιήσωμεν αὐτὰ μέλη πόρνης. Ἐν γὰρ τῷ φρικωδεστάτῳ τούτῳ χρὴ καταλῦσαι τὸν λόγον, ἵνα ἀκμάζοντα ἔχοντες τῆς ἀπειλῆς τὸν φόβον μένωμεν τοῦ χρυσίου καθαρώτεροι τῷ φόβῳ τούτῳ γινόμενοι. Οὕτω γὰρ δυνησόμεθα πορνείας ἀπαλλαγέντες τὸν Χριστὸν ἰδεῖν· ὃν γένοιτο πάντας ἡμᾶς μετὰ παρρησίας θεάσασθαι κατὰ τὴν ἡμέραν ἐκείνην, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

γῶνας αὐτοὺς ἀπὸ θυμὸν καὶ κενοδοξίαν ἀλλὰ ἀπὸ ἀνδρείαν καὶ σωφροσύνην· διότι ὅποιος φέρεται μὲ περιφρόνησιν πρὸς τοὺς ἄλλους, καθίσταται ὕποπτος ὅτι δικαίως κατηγορεῖται δι' ὅσα κατηγορεῖται, ἐκεῖνος ὅμως ὁ ὁποῖος ὑπομένει καὶ ὅταν ἀκόμη σύρεται μὲ σκαιότητα καὶ ὁ ὁποῖος ἀγωνίζεται μὲ πραότητα, δὲν θαυμάζεται μόνον ὡς ἀνδρεῖος, ἀλλὰ ἐξ ἴσου ἐπευφημεῖται καὶ διὰ τὴν σωφροσύνην καὶ διὰ τὴν πραότητά του· πρᾶγμα τὸ ὁποῖον ἔκαναν τότε καὶ αὐτοὶ δεικνύοντες ὅλην τὴν ἀνδρείαν καὶ τὴν πραότητά των καὶ ὅτι ἐνήργουν ὅπως ἐνήργουν ὄχι διὰ μισθὸν οὔτε διὰ ἀνταπόδοσιν καὶ ἀμοιβήν. Καὶ ἂν ὁ Θεὸς δὲν θελήσῃ νὰ μᾶς σώσῃ, λέγουν, πάντως δὲν λατρεύομεν τοὺς θεούς σου· διότι ἔχομεν ἤδη τὰς ἀμοιβάς μας, ἀφοῦ ἠξιώθημεν νὰ ἀπαλλαγῶμεν τῆς ἀσεβείας καὶ νὰ κατακαοῦν τὰ σώματά μας δι' αὐτήν.

Καὶ ἡμεῖς λοιπόν, ἐφ' ὅσον ἔχομεν τὴν ἀνταπόδοσιν —καὶ τὴν ἔχομεν, διότι ἠξιώθημεν νὰ τὸν γνωρίσωμεν, διότι ἠξιώθημεν νὰ γίνωμεν μέλη Χριστοῦ— ἂς μὴ τὰ κάμωμεν μέλη πόρνης. Μὲ αὐτὴν τὴν φρικωδεστάτην εἰκόνα πρέπει νὰ περατώσωμεν τὸν λόγον, διὰ νὰ ἔχωμεν ζωντανὸν τὸν φόβον τῆς ἀπειλῆς καὶ ἔτσι μὲ τὸν φόβον αὐτὸν μέσα μας νὰ μένωμεν καθαρώτεροι ἀπὸ τὸν χρυσόν· διότι ἔτσι θὰ ἠμπορέσωμεν, ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ τὴν πορνείαν, νὰ ἴδωμεν τὸν Χριστόν, τὸν ὁποῖον μακάρι νὰ κατορθώσωμεν ὅλοι ἡμεῖς νὰ τὸν ἴδωμεν μὲ παρρησίαν κατὰ τὴν ἡμέραν ἐκείνην μὲ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὁποίου ἡ δόξα εἶναι αἰωνία. Ἀμήν.

ΛΟΓΟΣ ΙΘ.
Α΄ Κορ. 7, 1-40

«Περὶ δὲ ὧν ἐγράψατέ μοι· καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα».

1. Διορθώσας τὰ χαλεπώτατα ἐγκλήματα, ἓν μὲν τὸ διεσπᾶσθαι τὴν Ἐκκλησίαν, δεύτερον δὲ τοῦ πεπορνευκότος, τρίτον τὸ τοῦ πλεονέκτου, κέχρηται λοιπὸν ἡμερωτέρῳ λόγῳ· καὶ μεταξὺ τίθησι παραίνεσιν καὶ συμβουλὴν τὴν περὶ τοῦ γάμου καὶ τῆς παρθενίας ἀπὸ τῶν φορτικωτέρων ἀναπαύων τὸν ἀκροατήν. Ἐπὶ δὲ τῆς δευτέρας ἐπιστολῆς τὸ ἐναντίον ποιεῖ· ἄρχεται μὲν ἀπὸ τῶν ἡμερωτέρων, τελευτᾷ δὲ εἰς τὰ σκυθρωπότερα. Καὶ ἐνταῦθα δὲ τὸν περὶ τῆς παρθενίας ἀπαρτίσας λόγον, πάλιν ἔξεισιν ἐπὶ τὰ πληκτικώτερα, οὐ πάντα ἀφεξῆς τιθείς, ἀλλὰ ποικίλλων τὸν λόγον ἐν ἑκατέρῳ, ὡς ὁ καιρὸς ἀπῄτει, καὶ τῶν ὑποκειμένων πραγμάτων ἡ χρεία. Διό φησι, «Περὶ δὲ ὧν ἐγράψατέ μοι». Ἔγραψαν γὰρ αὐτῷ, εἰ δεῖ ἀπέχεσθαι γυναικὸς ἢ μή. Καὶ πρὸς αὐτὰ ἀντιγράφων καὶ περὶ τοῦ γάμου νομοθετῶν, εἰσάγει καὶ τὸν περὶ τῆς παρθενίας λόγον.

«Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι». Εἰ μὲν γὰρ τὸ καλὸν καὶ σφόδρα ὑπερέχον ζητεῖς, φησί, βέλτιον μηδ᾽ ὅλως ὁμιλεῖν γυναικί· εἰ δὲ τὸ ἀσφαλὲς καὶ βοηθοῦν σου τῇ ἀσθενείᾳ, ὁμίλει γάμῳ. Ἐπειδὴ δὲ εἰκὸς ἦν, ὃ καὶ νῦν γίνεται, τὸν μὲν ἄνδρα βούλεσθαι, τὴν δὲ γυναῖκα μηκέτι, ἢ καὶ τὸ ἐναντίον, ὅρα τῶν περὶ ἑκατέρων διαλέγεται. Καί τινες μέν φασιν, ὅτι πρὸς ἱερέας ὁ λόγος οὗτος αὐτῷ εἴρηται· ἐγὼ δὲ ἀπὸ τῶν ἑξῆς σκοπῶν, οὐκ ἂν φαίην τοῦτο

---

1. Α΄ Κορ. 7,1-2.

ΛΟΓΟΣ ΙΘ'
Α' Κορ. 7,1-40

«Σχετικῶς δὲ μὲ ὅσα μοῦ ἐγράψατε, καλὸν εἶναι εἰς τὸν ἄνθρωπον νὰ μὴ ἐγγίζῃ γυναῖκα, ἀλλὰ πρὸς ἀποφυγὴν τῆς πορνείας κάθε ἕνας ἂς ἔχῃ τὴν γυναῖκα του καὶ κάθε μία ἂς ἔχῃ τὸν ἰδικόν της ἄνδρα»[1].

1. Ἀφοῦ προσεπάθησε νὰ διορθώσῃ τὰ φοβερώτερα ἁμαρτήματα, πρῶτον μὲν τὴν διάσπασιν τῆς Ἐκκλησίας, δεύτερον δὲ τὸ ἁμάρτημα τοῦ πόρνου καὶ τρίτον τοῦ πλεονέκτου, ἐν συνεχείᾳ χρησιμοποιεῖ ἠπιώτερον λόγον· καὶ ἐν τῷ μεταξὺ παρεμβάλλει παραίνεσιν καὶ συμβουλὴν μὲ τὸν γάμον καὶ τὴν παρθενίαν ἀναπαύων τὸν ἀκροατὴν ἀπὸ τὰ βαρύτερα. Εἰς τὴν δευτέραν ἐπιστολὴν κάμνει τὸ ἀντίθετον· ἀρχίζει μὲ ἠπιωτέρους λόγους, τελειώνει δὲ μὲ τοὺς αὐστηροτέρους. Καὶ ἐδῶ ὅμως, ἀφοῦ τελειώσῃ τὸν λόγον περὶ τῆς παρθενίας, πάλιν προχωρεῖ εἰς τὰ δυσαρεστώτερα χωρὶς νὰ ἀναφέρῃ τὰ πάντα εἰς τὴν συνέχειαν, ἀλλὰ ποικίλλων τὸν λόγον εἰς ἑκάστην περίπτωσιν ἀναλόγως μὲ τὴν περίστασιν καὶ τὴν ἀνάγκην τῶν θεμάτων. Διὰ τοῦτο λέγει, «Σχετικῶς δὲ μὲ ὅσα μοῦ ἐγράψατε»· διότι τοῦ ἔγραψαν, ἐὰν πρέπει ἢ ὄχι νὰ ἀπέχῃ κανεὶς ἀπὸ γυναῖκα. Ἀπαντῶν λοιπὸν εἰς αὐτὰ καὶ νομοθετῶν περὶ τοῦ γάμου ὁμιλεῖ καὶ περὶ παρθενίας.

«Καλὸν εἶναι εἰς τὸν ἄνθρωπον νὰ μὴ ἐγγίζῃ γυναῖκα». Ἐὰν δηλαδή, λέγει, ἐπιζητῇς τὸ καλὸν καὶ τὸ ἀνώτερον, εἶναι καλύτερον νὰ μὴ ἔχῃς καμμίαν σχέσιν μὲ γυναῖκα· ἐὰν ὅμως ἐπιζητῇς ἀσφάλειαν καὶ βοήθειαν εἰς τὴν ἀδυναμίαν σου, νὰ νυμφευθῇς. Ἐπειδὴ ὅμως ἦτο φυσικὸν —πρᾶγμα τὸ ὁποῖον συμβαίνει καὶ τώρα— νὰ θέλῃ ἕνας ἄνδρας νὰ νυμφευθῇ, ἐνῷ μία γυναῖκα νὰ μὴ θέλῃ, ἢ τὸ ἀντίθετον, πρόσεξε πῶς ὁμιλεῖ διὰ κάθε μίαν περίπτωσιν. Καὶ μερικοὶ μὲν ὑποστηρίζουν ὅτι τὰ λόγια του αὐτὰ ἐλέχθησαν πρὸς τοὺς ἱερεῖς, ἐγὼ ὅμως δὲν νομίζω ὅτι ἔτσι εἶναι διὰ τοὺς ἑξῆς λό-

οὕτως ἔχειν. Οὐδὲ γὰρ ἂν καθολικῶς ἔθηκε τὴν παραίνεσιν, ἱερεῦσι μόνον εἰ ταῦτα ἔγραφεν, ἀλλ' εἶπεν ἄν· καλὸν τῷ διδασκάλῳ γυναικὸς μὴ ἅπτεσθαι. Νυνὶ δὲ καθόλου αὐτὸ τέθεικε, «Καλὸν ἀνθρώπῳ» λέγων, οὐχ ἱερεῖ μόνον· καὶ πάλιν, «Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα». Οὐκ εἶπε, σὺ ὁ ἱερεὺς καὶ ὁ διδάσκαλος, ἀλλ' ἀδιορίστως· καὶ ὅλος διόλου τοιοῦτος πρόεισιν ὁ λόγος. Εἰπὼν δέ, «Διὰ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω», αὐτῇ τῇ αἰτίᾳ τῆς συγχωρήσεως εἰς ἐγκράτειαν ἤγαγε.

«Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην τιμὴν ἀποδιδότω· ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί». Τί δέ ἐστιν ἡ ὀφειλομένη τιμή; «Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει», ἀλλὰ καὶ δούλη καὶ δέσποινά ἐστι τοῦ ἀνδρός· κἂν ἀποστῇς τῆς δουλείας τῆς προσηκούσης, προσέκρουσας τῷ Θεῷ. Εἰ δὲ ἀποστῆναι βούλει, ὅταν ὁ ἀνὴρ ἐπιτρέπῃ, κἂν πρὸς βραχὺ τοῦτο γίνηται. Διὰ γὰρ τοῦτο καὶ ὀφειλὴν τὸ πρᾶγμα ἐκάλεσεσεν, ἵνα δείξῃ μηδένα κύριον ὄντα ἑαυτοῦ, ἀλλ' ἀλλήλων δούλους. Ὅταν οὖν ἴδῃς πόρνην πειρῶσάν σε, εἰπέ· οὐκ ἔστι τὸ σῶμα ἐμὸν ἀλλὰ τῆς γυναικός. Ταῦτα καὶ ἡ γυνὴ λεγέτω πρὸς τοὺς βουλομένους αὐτῆς διορύξαι τὴν σωφροσύνην· οὐκ ἔστιν ἐμὸν τὸ σῶμα τὸ ἐμὸν ἀλλὰ τοῦ ἀνδρός. Εἰ δὲ σώματος οὐκ ἐξουσιάζει ἡ γυνὴ ἢ ὁ ἀνήρ, πολλῷ μᾶλλον χρημάτων.

Ἀκούσατε ὅσαι ἄνδρας ἔχετε, καὶ ὅσοι γυναῖκας. Εἰ γὰρ σῶμα ἔχειν ἴδιον οὐ χρή, πολλῷ μᾶλλον χρήματα. Ἀλλαχοῦ μὲν οὖν πολλὴν δίδωσι τῷ ἀνδρὶ τὴν προεδρίαν καὶ ἐν τῇ Καινῇ καὶ ἐν τῇ Παλαιᾷ λέγων, «Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει», ὁ δὲ Παῦλος διαιρῶν οὕτω καὶ γράφων, «Οἱ ἄνδρες ἀγαπᾶτε

2. αὐτ. 3-4.
3. Γεν. 3,1

γους: Ἂν αὐτὰ τὰ ἔγραφε μόνον διὰ τοὺς ἱερεῖς, δὲν θὰ ἔδινε καθολικὸν χαρακτῆρα εἰς τὴν παραίνεσίν του, ἀλλὰ θὰ ἔλεγεν· Εἶναι καλὸν διὰ τὸν διδάσκαλον νὰ μὴ ἐγγίζῃ γυναῖκα. Τώρα ὅμως τὸ ἔθεσε γενικῶς λέγων· «Εἶναι καλὸν διὰ τὸν ἄνθρωπον»· ὄχι μόνον διὰ τὸν ἱερέα· καὶ πάλιν· «Εἶσαι ἐλεύθερος ἀπὸ γυναῖκα; μὴ ζητῇς γυναῖκα». Δὲν εἶπεν, Σὺ ὁ ἱερεὺς καὶ ὁ διδάσκαλος, ἀλλ' ἀορίστως· καὶ μὲ αὐτὸ τὸ πνεῦμα συνεχίζεται ὁ λόγος. Μὲ τὸ νὰ εἴπῃ δέ, «Πρὸς ἀποφυγὴν τῆς πορνείας κάθε ἕνας ἂς ἔχῃ τὴν γυναῖκα του», μὲ τὴν ἰδίαν τὴν αἰτίαν τῆς συγκαταβάσεως ἔφερε τὸν λόγον εἰς τὴν ἐγκράτειαν.

«Ὁ ἄνδρας ἂς παρέχῃ εἰς τὴν γυναῖκα του τὴν ὀφειλομένην τιμήν· ὁμοίως καὶ ἡ γυναῖκα εἰς τὸν ἄνδρα της»[2]. Καὶ τί εἶναι ἡ ὀφειλομένη τιμή; «Ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸ ἰδικόν της σῶμα», ἀλλὰ εἶναι καὶ δούλη καὶ κυρία τοῦ ἀνδρός· καὶ ἂν ἀποδεσμευθῇς ἀπὸ τὴν συζυγικὴν δουλείαν, προσκρούεις εἰς τὸν Θεόν. Ἐὰν δὲ θέλῃς νὰ ἀποδεσμευθῇς, ὅταν ὁ ἄνδρας σου τὸ ἐπιτρέπῃ, νὰ γίνεται τοῦτο διὰ μικρὸν χρονικὸν διάστημα. Διὰ τοῦτο καὶ ἀπεκάλεσε τὸ πρᾶγμα ὀφειλήν, διὰ νὰ δείξῃ ὅτι κανεὶς δὲν εἶναι κύριος τοῦ ἑαυτοῦ του, ἀλλ' ὁ ἕνας εἶναι δοῦλος τοῦ ἄλλου. Ὅταν λοιπὸν ἴδῃς πόρνην νὰ προσπαθῇ νὰ σὲ παρασύρῃ, εἰπέ: Τὸ σῶμα μου δὲν εἶναι ἰδικόν μου, ἀλλὰ τῆς γυναικός μου. Αὐτὰ ἂς τὰ λέγῃ καὶ ἡ γυναῖκα πρὸς ὅσους θέλουν νὰ καταστρέψουν τὴν σωφροσύνην της· τὸ σῶμα μου δὲν εἶναι ἰδικόν μου ἀλλὰ τοῦ ἀνδρός μου. Καὶ ἂν ἡ γυναῖκα ἢ ὁ ἄνδρας δὲν ἐξουσιάζουν τὸ σῶμα τους, πολὺ περισσότερον δὲν ἐξουσιάζουν τὰ χρήματά τους.

Ἀκούσατε ὅσαι γυναῖκες ἔχετε ἄνδρας καὶ ὅσοι ἄνδρες ἔχετε γυναῖκας· ἐφ' ὅσον δὲν πρέπει νὰ νομίζετε ὅτι ἔχετε ἀποκλειστικῶς ἰδικόν σας σῶμα, πολὺ περισσότερον δὲν πρέπει νὰ νομίζετε ὅτι ἔχετε ἀποκλειστικῶς ἰδικά σας χρήματα. Εἰς ἄλλα σημεῖα καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Καινὴν Διαθήκην ὁ Θεὸς δίδει πολὺ τὸ προβάδισμα εἰς τὸν ἄνδρα λέγων· «Ἡ ἐπιθυμία σου νὰ κατευθύνεται πρὸς τὸν ἄνδρα σου, καὶ αὐτὸς θὰ σὲ ἐξουσιάζῃ»[3]· ὁ δὲ Παῦλος διαφοροποιεῖ τὴν ἐντολὴν κάπως καὶ γράφει· «Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὰς γυναῖκας σας, ἡ δὲ γυναῖκα νὰ σέβεται τὸν ἄν-

τὰς γυναῖκας, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα». Ἐνταῦθα δὲ οὐκέτι τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλὰ μία ἡ ἐξουσία. Τί δήποτε; Ἐπειδὴ περὶ σωφροσύνης ὁ λόγος ἦν αὐτῷ. Ἐν μὲν γὰρ τοῖς ἄλλοις πλεονεκτείτω, φησίν, ὁ ἀνήρ· ἔνθα δὲ σωφροσύνης λόγος, οὐκέτι. «Ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, οὐδὲ ἡ γυνή». Πολλὴ ἡ ἰσοτιμία, καὶ οὐδεμία πλεονεξία.

«Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου». Τί δὴ τοῦτό ἐστι; Μὴ ἐγκρατευέσθω, φησίν, ἡ γυνή, τοῦ ἀνδρὸς ἄκοντος, μήτε ὁ ἀνήρ, τῆς γυναικὸς μὴ βουλομένης. Τί δήποτε; Ὅτι μεγάλα ἐκ τῆς ἐγκρατείας ταύτης τίκτεται κακά· καὶ γὰρ καὶ μοιχεῖαι καὶ πορνεῖαι καὶ οἰκιῶν ἀνατροπαὶ πολλάκις ἐντεῦθεν ἐγένοντο. Εἰ γὰρ ἔχοντες τὰς ἑαυτῶν γυναῖκας πορνεύουσι, πολλῷ μᾶλλον, ἂν αὐτοὺς τῆς παραμυθίας ταύτης ἀποστερήσῃς. Καὶ καλῶς εἶπε, «Μὴ ἀποστερεῖτε», ἀποστέρησιν νῦν ἣν ὀφειλὴν ἀνωτέρω εἶπεν, ἵνα δείξῃ τῆς δεσποτείας τὴν ἐπίτασιν· τὸ γὰρ ἄκοντος θατέρου ἐγκρατεύεσθαι θάτερον ἀποστερεῖν ἐστι· τὸ δὲ ἑκόντος, οὐκέτι. Οὐδὲ γάρ, εἰ πείσας με λάβοις τι τῶν ἐμῶν, ἀποστερεῖσθαί φημι. Ὁ γὰρ ἄκοντος καὶ βιαζομένου λαβών, ἀποστερεῖ· ὅπερ ποιοῦσι πολλαὶ γυναῖκες, μείζονα τῆς δικαιοσύνης ἁμαρτίαν ἐργαζόμεναι, καὶ τῆς ἀσελγείας τοῦ ἀνδρὸς ὑπεύθυνοι γινόμεναι ταύτῃ, καὶ διασπῶσαι πάντα. Δεῖ δὲ πάντων προτιμᾶν τὴν ὁμόνοιαν, ἐπειδὴ καὶ πάντων τοῦτο κυριώτερον.

Καὶ εἰ βούλει, καὶ ἐπὶ τῶν πραγμάτων αὐτὸ ἐξετάσωμεν. Ἔστω γὰρ γυνὴ καὶ ἀνήρ, καὶ ἐγκρατευέσθω ἡ γυνὴ μὴ βουλομένου τοῦ ἀνδρός. Τί οὖν, ἂν ἐκεῖνος ἐντεῦθεν πορνεύῃ, ἢ μὴ πορνεύῃ μέν, ἀλγῇ δὲ καὶ θορυβῆται καὶ πυρῶται καὶ μάχηται, καὶ μυρία τῇ γυναικὶ πράγματα παρέχῃ; Τί τὸ κέρδος τῆς νηστείας καὶ τῆς ἐγκρα-

---

4. Ἐφ. 5, 25, 33.
5. Α΄ Κορ. 7,5.

δρα της»[4]. Ἐδῶ ὅμως δὲν τονίζεται ποῖος εἶναι ἀνώτερος καὶ ποῖος κατώτερος, ἀλλὰ ὅτι μία εἶναι ἡ ἐξουσία. Καὶ διὰ ποῖον λόγον; Διότι ὡμίλει περὶ σωφροσύνης. Δηλαδή, εἰς τὰ ἄλλα μὲν θέματα, λέγει, ἂς εἶναι ἀνώτερος ὁ ἄνδρας, ὅπου ὅμως πρόκειται διὰ τὴν σωφροσύνην, ὄχι. «Ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του, οὔτε ἡ γυναῖκα τὸ ἰδικόν της». Πολλὴ ἡ ἰσοτιμία καὶ οὐδεμία ἀνωτερότης.

«Μὴ στερεῖτε ὁ ἕνας τὸν ἄλλον, παρὰ μόνον ἂν γίνεται τοῦτο ἀπὸ συμφώνου»[5]. Περὶ τίνος πρόκειται; Ἡ γυναῖκα, λέγει, νὰ μὴ ἐγκρατεύεται χωρὶς τὴν θέλησιν τοῦ ἀνδρός της, οὔτε ὁ ἄνδρας χωρὶς τὴν θέλησιν τῆς γυναικός του; Καὶ διατί τέλος πάντων; Διότι μεγάλα κακὰ προέρχονται ἀπὸ αὐτὴν τὴν ἐγκράτειαν· καὶ μοιχεῖαι καὶ πορνεῖαι καὶ ἀναστατώσεις οἰκιῶν πολλάκις συνέβησαν ἀπὸ αὐτὴν τὴν αἰτίαν. Ἂν πορνεύουν, ἐνῷ ἔχουν τὰς γυναῖκας των, πολὺ περισσότερον, ἂν τοὺς στερήσῃς ἀπὸ αὐτὴν τὴν παρηγορίαν. Καὶ καλῶς εἶπε «Μὴ στερεῖτε» ὀνομάζων τώρα ἀποστέρησιν αὐτὴν ποὺ προηγουμένως ἀπεκάλεσε ὀφειλήν, διὰ νὰ δείξῃ τὴν ἔντασιν τῆς δεσποτείας· διότι τὸ νὰ ἐγκρατεύεται κάποιος χωρὶς τὴν θέλησιν τοῦ ἄλλου εἶναι ἀποστέρησις, ἐνῷ, ὅταν ἔχῃ τὴν συγκατάθεσίν του, δὲν εἶναι πλέον ἀποστέρησις. Ἐὰν μὲ πείσῃς καὶ λάβῃς κάτι ἀπὸ τὰ ἰδικά μου, δὲν ἰσχυρίζομαι ὅτι ἀποστεροῦμαι, ἐνῷ αὐτὸς ποὺ ἔλαβε κάτι χωρὶς τὴν θέλησιν τοῦ ἰδιοκτήτου καὶ χρησιμοποιῶν βίαν εἰς βάρος του, ἀποστερεῖ· τοῦτο ἀκριβῶς κάμνουν πολλαὶ γυναῖκες, καὶ διαπράττουν μεγαλυτέραν ἁμαρτίαν ἀπὸ τὴν ἀρετὴν ποὺ ἀσκοῦν, διότι γίνονται ἔτσι ὑπεύθυνοι τῆς ἀσελγείας τοῦ ἀνδρός των, καὶ καταστρέφουν τὰ πάντα. Πρέπει ὅμως νὰ προτιμᾷ κανεὶς τὴν ὁμόνοιαν ἀπὸ ὅλα, διότι τοῦτο εἶναι τὸ κυριώτερον ὅλων.

Καὶ ἂν θέλῃς, ἂς τὸ ἐξετάσωμεν καὶ εἰς τὰ πράγματα. Ἔστω ὅτι ὑπάρχει μία γυναῖκα καὶ ἕνας ἄνδρας, καὶ ἐγκρατεύεται ἡ γυναῖκα χωρὶς τὴν θέλησιν τοῦ ἀνδρός της. Τί λοιπόν, ποῖον τὸ κέρδος τῆς νηστείας καὶ τῆς ἐγκρατείας, ἐφ᾽ ὅσον ἔχει καταστραφῆ ἡ ἀγάπη, ἂν ἐκεῖνος διὰ τοὺς λόγους αὐτοὺς πορνεύῃ, ἢ δὲν πορνεύῃ μέν, ἀλλ᾽ ὅμως στενοχωρῆται καὶ ἀναστατώνεται καὶ φλέγεται καὶ μάχεται καὶ δημιουργῇ ἄπειρα προβλήματα εἰς τὴν γυναῖκα του;

τείας, ἀγάπης διερρηγμένης; Οὐδέν. Πόσας γὰρ λοιδορίας, πόσα πράγματα, πόσον ἀνάγκη γίνεσθαι πόλεμον; Ὅταν γὰρ ἐν οἰκίᾳ ἀνὴρ καὶ γυνὴ διεστηκότες ὦσιν, οὐδὲν νηὸς χειμαζομένης ἄμεινον ἡ οἰκία διακείσεται, τοῦ κυβερνήτου πρὸς τὸν πρωρέα διαστασιάζοντος. Διὰ τοῦτό φησι, «Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ, τῇ προσευχῇ», τὴν μετὰ πλείονος σπουδῆς προσευχὴν ἐνταῦθα λέγων. Εἰ γὰρ κωλύει τοὺς συνιόντας ἀλλήλους εὔχεσθαι, τὸ ἀδιαλείπτως εὔχεσθαι πῶς ἂν ἔχοι καιρόν; Ἔστι τοίνυν καὶ ὁμιλεῖν γυναικὶ καὶ εὐχῇ προσέχειν, ἀλλ' ἐγκρατείᾳ ἀκριβεστέρα γίνεται αὕτη. Οὐ γὰρ εἶπεν ἁπλῶς, ἵνα προσεύχησθε, ἀλλ' «ἵνα σχολάζητε», ὡς ἀσχολίαν ἐμποιοῦντος τοῦ πράγματος ἀλλ' οὐκ ἀκαθαρσίαν. «Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς». Ἵνα γὰρ μὴ δόξῃ νομοθεσίας εἶναι τὸ πρᾶγμα, προστίθησι τὴν αἰτίαν. Ποία δέ ἐστιν αὕτη; «Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς». Καὶ ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος αὐτὸ μόνον ἐργάζεται τὸ τῆς μοιχείας, ἐπήγαγε· «Διὰ τὴν ἀκρασίαν ὑμῶν».

2. «Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ». Τοῦτο πολλαχοῦ ποιεῖ, ὅταν περὶ δυσκόλων παραινῇ πραγμάτων· ἑαυτὸν ἐν μέσῳ τίθησι, καί φησι, μιμηταί μου γίνεσθε. «Ἀλλ' ἕκαστος τὸ ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ». Ἐπειδὴ γὰρ σφόδρα αὐτῶν κατηγόρησεν εἰπών, «διὰ τὴν ἀκρασίαν ὑμῶν», πάλιν αὐτοὺς παρεμυθήσατο εἰπών, «Ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ», οὐ τοῦτο δηλῶν, ὅτι τῆς ἡμετέρας σπουδῆς οὐ δεῖται τὸ κατόρθωμα, ἀλλ' ὅπερ ἔφθην εἰπών, παραμυθούμενος αὐτούς. Εἰ γὰρ χάρισμά ἐστι, καὶ οὐδὲν ἄνθρωπος εἰς τοῦτο εἰσφέρει, πῶς λέγεις. «Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐτοῖς, ἐὰν μείνωσιν ὡς κἀγώ. Εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν»; Εἶδες τὴν σύνεσιν τοῦ Παύλου,

---

6. αὐτ.. 7.
7. αὐτ. 8-9.

Οὐδὲν τὸ κέρδος, διότι πόσοι χλευασμοί, πόσα προβλήματα, πόσος πόλεμος εἶναι ἑπόμενον νὰ γίνωνται; Ὅταν δηλαδὴ μέσα εἰς μίαν οἰκίαν ὁ ἄνδρας καὶ ἡ γυναῖκα διαπληκτίζωνται, ἡ οἰκία δὲν θὰ εἶναι εἰς καθόλου καλυτέραν κατάστασιν ἀπὸ ἕν πλοῖον εἰς τρικυμίαν, ἐνῷ ὁ κυβερνήτης διαπληκτίζεται μὲ τὸν πρωρέα. Διὰ τοῦτο λέγει· «Μὴ στερεῖτε ὁ ἕνας τὸν ἄλλον παρὰ μόνον ἂν γίνεται τοῦτο ἀπὸ συμφώνου προσωρινῶς, διὰ νὰ ἀφιερώνεσθε εἰς τὴν νηστείαν καὶ τὴν προσευχήν», ἐννοῶν ἐδῶ τὴν προσευχὴν ποὺ γίνεται μὲ περισσότερον ζῆλον. Ἐὰν ὅμως αἱ συζυγικαὶ σχέσεις δημιουργοῦν ἐμπόδια εἰς τὴν προσευχήν, πῶς θὰ ἦτο δυνατὸν νὰ ἐφαρμοσθῇ ἡ ἀδιάλειπτος προσευχή; Εἶναι λοιπὸν δυνατὸν καὶ νὰ ζῇ κανεὶς μὲ γυναῖκα καὶ νὰ προσεύχεται, ἀλλ' ἡ προσευχὴ γίνεται ἀκριβεστέρα μὲ τὴν ἐγκράτειαν· διότι δὲν εἶπεν ἁπλῶς, διὰ νὰ προσεύχεσθε, ἀλλὰ «διὰ νὰ ἀσχολῆσθε», θεωρῶν τὸ ἔργον ἀσχολίαν ἀλλ' ὄχι ἀκαθαρσίαν. «Καὶ πάλιν νὰ ἔχετε συζυγικὰς σχέσεις, διὰ νὰ μὴ σᾶς φέρῃ εἰς πειρασμοὺς ὁ Σατανᾶς». Διὰ νὰ μὴ φανῇ ὅτι ἁπλῶς νομοθετεῖ, προσθέτει τὴν αἰτίαν. Καὶ ποία εἶναι αὐτή; «Διὰ νὰ μὴ σᾶς φέρῃ εἰς πειρασμὸν ὁ Σατανᾶς». Καὶ διὰ νὰ μάθῃς ὅτι δὲν εἶναι ὁ διάβολος μόνον ποὺ προκαλεῖ τὴν μοιχείαν, προσέθεσεν· «Ἐξ αἰτίας τῆς ἀκρατείας σας».

2. «Διότι θέλω ὅλοι οἱ ἄνθρωποι νὰ ἐγκρατεύωνται ὅπως καὶ ἐγώ»[6]. Τοῦτο τὸ κάνει εἰς πολλὰ σημεῖα, ὅταν συμβουλεύῃ περὶ δυσκόλων πραγμάτων· θέτει τὸν ἑαυτόν του εἰς τὸ μέσον καὶ λέγει· «Νὰ γίνεσθε μιμηταί μου». «Ἀλλὰ κάθε ἕνας ἔχει ἰδικόν του χάρισμα ἀπὸ τὸν Θεόν». Ἐπειδὴ ἔντονα τοὺς κατηγόρησε μὲ τὸ νὰ εἴπῃ «ἐξ αἰτίας τῆς ἀκρατείας σας», πάλιν τοὺς ἐνεθάρρυνε μὲ τὰς διότι ἤθελε νὰ δείξῃ τοῦτο, ὅτι δηλαδὴ τὸ κατόρθωμα δὲν χρειάλέξεις, «Κάθε ἕνας ἔχει ἰδικόν του χάρισμα ἀπὸ τὸν Θεόν», ὄχι ζεται τὴν ἰδικήν μας προσπάθειαν, ἀλλά, ὅπως εἶπα προηγουμένως, διότι ἤθελε νὰ τοὺς ἐνθαρρύνῃ. Ἐὰν λοιπὸν εἶναι χάρισμα καὶ τίποτε δὲν εἰσφέρει ὁ ἄνθρωπος εἰς τοῦτο, πῶς λέγεις· «Λέγω δὲ εἰς τοὺς ἀγάμους καὶ εἰς τὰς χήρας· εἶναι καλὸν δι' αὐτούς, ἐὰν μείνουν ὅπως καὶ ἐγώ. Ἐὰν ὅμως δὲν ἠμποροῦν νὰ μένουν εἰς ἐγκράτειαν, ἂς νυμφεύωνται»[7]; Εἶδες τὴν σύνεσιν τοῦ Παύλου, πῶς καὶ

πῶς καὶ βελτίονα δείκνυσι τὴν ἐγκράτειαν, καὶ οὐκ ἀναγκάζει τὸν μὴ φθάνοντα δεδοικὼς μή τι παράπτωμα γένηται; «Κρεῖττον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι». Ἐνέφηνεν ὅση τῆς ἐπιθυμίας ἡ τυραννίς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ πολλὴν ὑπομένεις βίαν, φησί, καὶ πύρωσιν, ἀπαλλάγηθι πόνων καὶ ἱδρώτων, μήποτε καὶ περιτραπῇς.

«Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος». Ἐπειδὴ νόμον ῥητῶς ὑπὸ τοῦ Χριστοῦ τεθέντα ἀναγινώσκειν μέλλει περὶ τοῦ χωρὶς πορνείας μὴ ἀφιέναι γυναῖκα, διὰ τοῦτό φησιν, «οὐκ ἐγώ». Τὰ μὲν γὰρ εἰρημένα ἔμπροσθεν, εἰ καὶ μὴ ῥητῶς εἴρητο, ἀλλὰ καὶ αὐτῷ δοκεῖ ταῦτα· τοῦτο μέντοι καὶ ῥητῶς παρέδωκεν. Ὥστε τό, «ἐγώ», καί, «οὐκ ἐγώ», ταύτην ἔχει τὴν διαφοράν. Ἵνα γὰρ μηδὲ τὰ αὐτοῦ ἀνθρώπινα εἶναι νομίσῃς, διὰ τοῦτο ἐπήγαγε· «Δοκῶ γὰρ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν». Τί οὖν ἐστιν, ὃ τοῖς γεγαμηκόσι παρήγγειλεν ὁ Κύριος; «Γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι. Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω». Ἐπειδὴ γὰρ καὶ δι' ἐγκράτειαν καὶ δι' ἄλλας προφάσεις καὶ μικροψυχίας γίνεσθαι διαιρέσεις συνέβαινε, βέλτιον μὲν μηδὲ γενέσθαι τὴν ἀρχήν, φησίν· εἰ δὲ ἄρα καὶ γένοιτο, μενέτω ἡ γυνὴ μετὰ τοῦ ἀνδρός, εἰ καὶ μὴ τῇ μίξει, ἀλλὰ τῷ μηδένα ἕτερον παρεισαγαγεῖν ἄνδρα.

«Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. Καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν». Ὥσπερ γὰρ περὶ τοῦ χωρίζεσθαι πόρνων διαλεγόμενος τῇ ἐπιδιορθώσει τὸ πρᾶγμα πεποίηκεν εὔκολον εἰπών, «Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου», οὕτω δὴ καὶ ἐνταῦθα πολλῆς προενόησεν εὐκολίας εἰπών·

---

8. αὐτ. 10.
9. αὐτ. 40.
10. αὐτ. 11.
11. αὐτ. 12-13.

τὴν ἀνωτερότητα τῆς ἐγκρατείας τονίζει καὶ ὅμως δὲν ἀναγκάζει εἰς ἄσκησιν αὐτῆς τὸν ἀδύνατον διότι φοβεῖται μήπως γίνῃ κάποιο παράπτωμα; «Διότι εἶναι προτιμότερον νὰ νυμφεύηται κανεὶς παρὰ νὰ φλέγηται ἀπὸ ἐπιθυμίαν». Ἐφανέρωσε πόση εἶναι ἡ τυραννία τῆς ἐπιθυμίας. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἂν ὑφίστασαι πολλὴν βίαν καὶ φλέγεσαι, ἀπαλλάξου ἀπὸ τοὺς πόνους καὶ τοὺς ἱδρῶτας μὴ τυχόν ποτε καὶ παρεκτραπῇς.

Εἰς τοὺς δὲ ἐγγάμους παραγγέλλω ὄχι ἐγὼ ἀλλὰ ὁ Κύριος»[8]. Ἐπειδὴ πρόκειται νὰ διαβάσῃ νόμον, ὁ ὁποῖος ρητῶς ἐτέθη ὑπὸ τοῦ Χριστοῦ, νὰ μὴ χωρίζῃ κανεὶς τὴν γυναῖκα του διὰ καμμίαν αἰτίαν ἐκτὸς πορνείας, διὰ τοῦτο λέγει, «ὄχι ἐγώ». Ὅσα δηλαδὴ εἶπε προηγουμένως, ἂν καὶ δὲν τὸ εἶπε ρητῶς, πάντως φαίνονται ὀρθὰ εἰς τὸν ἴδιον· τοῦτο ὅμως ὁ Χριστὸς τὸ παρέδωκε ρητῶς. Ὥστε τὸ «ἐγὼ» καὶ «ὄχι ἐγώ» δεικνύει αὐτὴν τὴν διαφοράν. Διὰ νὰ μὴ νομίσῃς λοιπὸν ὅτι αἱ γνῶμαι του εἶναι ἀνθρώπιναι, διὰ τοῦτο προσέθεσε· «Διότι νομίζω ὅτι καὶ ἐγὼ ἔχω Πνεῦμα Θεοῦ»[9]. Ποῖο εἶναι λοιπὸν αὐτὸ τὸ ὁποῖον παρήγγειλεν ὁ Κύριος εἰς τοὺς ἐγγάμους; «Ἡ γυναῖκα νὰ μὴ χωρισθῇ ἀπὸ τὸν ἄνδρα της. Ἐὰν ὅμως συμβῇ καὶ χωρισθῇ, ἂς μένῃ ἄγαμος ἢ ἂς συμφιλιωθῇ μὲ τὸν ἄνδρα της»[10]. Ἐπειδὴ δηλαδὴ συνέβαινε νὰ γίνωνται διαιρέσεις καὶ ἐξ αἰτίας τῆς ἐγκρατείας καὶ δι' ἄλλας προφάσεις καὶ μικροψυχίας, εἶναι καλύτερον, λέγει, οὔτε κἂν νὰ γίνεται ἀρχὴ διαιρέσεως· ἐὰν ὅμως καὶ συμβῇ, ἂς μένῃ ἡ γυναῖκα μαζὶ μὲ τὸν ἄνδρα της, καὶ ἂν ὄχι διὰ νὰ ἔχουν σχέσεις, ἀλλὰ διὰ νὰ μὴ συνάψῃ σχέσεις μὲ κανένα ἄλλον ἄνδρα.

«Εἰς δὲ τοὺς λοιποὺς λέγω ἐγώ, ὄχι ὁ Κύριος: ἐὰν κάποιος ἀδελφὸς ἔχῃ γυναῖκα ἄπιστον καὶ αὐτὴ δέχεται νὰ κατοικῇ μαζί του, ἂς μὴ τὴν ἀφήνῃ. Καὶ ἐὰν μία γυναῖκα ἔχῃ ἄνδρα ἄπιστον, καὶ αὐτὸς δέχεται νὰ κατοικῇ μαζί της, ἂς μὴ τὸν ἀφήνῃ»[11]. Ὅπως, ὅταν ὡμίλει περὶ χωρισμοῦ ἀπὸ τοὺς πόρνους, εἶχεν εὕρει εὔκολον λύσιν τὴν διόρθωσιν μὲ τὸ νὰ εἴπῃ, «Καὶ δὲν ἐννοοῦσα γενικῶς τοὺς πόρνους τοῦ κόσμου αὐτοῦ», ἔτσι ἀκριβῶς καὶ ἐδῶ εὔ-

ἐάν τις ἢ γυνὴ ἄνδρα ἢ ἀνὴρ γυναῖκα ἔχῃ ἄπιστον, μὴ ἀφιέτω αὐτήν. Τί λέγεις; ἂν μὲν ἄπιστος, μενέτω μετὰ τῆς γυναικός· ἂν δὲ πόρνος, μηκέτι; καίτοιγε ἔλαττον ἡ πορνεία τῆς ἀπιστίας. Ἔλαττον μὲν ἡ πορνεία, ἀλλ' ὁ Θεὸς τῶν σῶν φείδεται σφόδρα. Τοῦτο καὶ ἐν τῇ θυσίᾳ ποιεῖ λέγων, «Ἄφες τὴν θυσίαν, καὶ καταλλάγηθι τῷ ἀδελφῷ σου»· τοῦτο καὶ ἐπὶ τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος. Καὶ γὰρ ἐκεῖνον μυρία μὲν τάλαντα χρεωστοῦντα αὐτῷ οὐκ ἐκόλασεν, ἑκατὸν δὲ δηνάρια τὸν σύνδουλον ἀπαιτήσαντα ἐτιμωρήσατο.

3. Εἶτα, ἵνα μὴ φοβῆται ἡ γυνὴ ὡς ἀκάθαρτος γινομένη διὰ τὴν μίξιν, φησίν· «Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί». Καίτοι εἰ ὁ τῇ πόρνῃ κολλώμενος ἓν σῶμά ἐστιν, εὔδηλον ὅτι ἡ καὶ τῷ εἰδωλολάτρῃ κολλωμένη ἓν σῶμά ἐστιν. Ἓν μὲν σῶμά ἐστιν, ἀλλ' οὐ γίνεται ἀκάθαρτος, ἀλλὰ νικᾷ ἡ καθαρότης τῆς γυναικὸς τὴν ἀκαθαρσίαν τοῦ ἀνδρός, καὶ νικᾷ ἡ καθαρότης τοῦ πιστοῦ ἀνδρὸς πάλιν τὸ ἀκάθαρτον τῆς ἀπίστου γυναικός. Πῶς οὖν ἐνταῦθα μὲν νενίκηται τὸ ἀκάθαρτον, διὸ καὶ ἐπιτέτραπται ἡ συνουσία, ἐπὶ δὲ τῆς πορνευομένης γυναικὸς οὐ κατηγορεῖται ἐκβάλλων αὐτὴν ὁ ἀνήρ; Ὅτι ἐνταῦθα μὲν ἐλπὶς σώζεσθαι τὸ ἀπολωλὸς μέρος διὰ τοῦ γάμου, ἐκεῖ δὲ ὁ γάμος ἤδη διαλέλυται· κἀκεῖ μὲν ἀμφότεροι διαφθείρονται, ἐνταῦθα δὲ θατέρου τὸ ἔγκλημα. Οἷόν τι λέγω· ἔστιν ἡ πορνευθεῖσα καθάπαξ μιαρά. Εἰ τοίνυν ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι, καὶ αὐτὸς γίνεται μιαρὸς πορνευούσῃ μιγνύμενος· διὰ τοῦτο ἀφίπταται ἡ καθαρότης ἅπασα.

Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πῶς; Ἔστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἀλλ' ἡ γυνὴ οὐκ ἔστιν ἀκάθαρτος.

---

12. Ματθ. 5,24.
13. Α' Κορ. 7,14.

ρεν ἐκ τῶν προτέρων πολὺ εὔκολον λύσιν μὲ τὸ νὰ εἴπῃ· Ἐὰν κάποια γυναῖκα ἔχῃ ἄνδρα ἄπιστον ἢ κάποιος ἄνδρας ἔχῃ γυναῖκα ἄπιστον, ἂς μὴ χωρίζουν. Τί λέγεις; ἂν μὲν εἶναι ἄπιστος, ἂς μένῃ μὲ τὴν γυναῖκα του· ἂν ὅμως εἶναι πόρνος, νὰ μὴ μένῃ πλέον μαζί της; Καὶ ὅμως ἡ πορνεία εἶναι μικρότερον ἁμάρτημα ἀπὸ τὴν ἀπιστίαν. Εἶναι μὲν ἡ πορνεία μικροτέρα, ἀλλ' ὁ Θεὸς φροντίζει πολὺ διὰ τὰ ἰδικά σου. Τοῦτο τὸ κάμνει καὶ εἰς τὴν θυσίαν λέγων· «Ἄφησε τὴν θυσίαν, καὶ συμφιλιώσου μὲ τὸν ἀδελφόν σου»[12]· τοῦτο τὸ κάμνει καὶ εἰς τὴν περίπτωσιν ἐκείνου ποὺ ὤφειλε τὰ μύρια τάλαντα· διότι πράγματι ἐκεῖνον, ἐνῷ τοῦ ὤφειλε μυρία τάλαντα, δὲν τὸν ἐτιμώρησεν, ὅταν ὅμως ἀπήτησεν ἀπὸ τὸν σύνδουλόν του ἑκατὸν δηνάρια, τὸν ἐτιμώρησεν.

3. Ἔπειτα, διὰ νὰ μὴ φοβῆται ἡ γυναῖκα ὅτι δῆθεν γίνεται ἀκάθαρτος ἀπὸ τὴν μίξιν της μὲ τὸν ἄπιστον ἄνδρα της λέγει· «Διότι ὁ ἄπιστος ἄνδρας ἔχει ἁγιασθῆ χάρις εἰς τὴν γυναῖκα του, καὶ ἡ ἄπιστη γυναῖκα του ἔχει ἁγιασθῆ χάρις εἰς τὸν ἄνδρα της»[13]. Καὶ ὅμως· ἐὰν ὁ προσκολλώμενος εἰς τὴν πόρνην γίνεται ἕνα σῶμα, εἶναι φανερὸν ὅτι καὶ ἡ προσκολλωμένη εἰς τὸν εἰδωλολάτρην γίνεται ἕνα σῶμα. Γίνεται μὲν ἕνα σῶμα, δὲν γίνεται ὅμως ἀκάθαρτος, ἀλλὰ ἡ καθαρότης τῆς γυναικὸς νικᾷ τὴν ἀκαθαρσίαν τοῦ ἀνδρός· ὅπως ἐπίσης ἡ καθαρότης τοῦ πιστοῦ ἀνδρὸς νικᾷ τὴν ἀκαθαρσίαν τῆς ἀπίστου γυναικός του. Πῶς λοιπὸν ἐδῶ μὲν νικᾶται ἡ ἀκαθαρσία καὶ διὰ τοῦτο καὶ ἐπιτρέπεται ἡ συνουσία, ἐνῷ εἰς τὴν περίπτωσιν πόρνης γυναικὸς δὲν κατηγορεῖται ὁ ἄνδρας, ἂν τὴν ἐκδιώξῃ; Διότι ἐδῶ μὲν ὑπάρχει ἐλπὶς νὰ σωθῇ τὸ παραπλανημένον μέρος διὰ τοῦ γάμου, ἐκεῖ ὅμως ὁ γάμος ἔχει ἤδη διαλυθῆ· καὶ ἐκεῖ μὲν καὶ οἱ δύο σύζυγοι καταστρέφονται, ἐνῷ ἐδῶ τὸ ἁμάρτημα εἶναι τοῦ ἑνός. Ἐννοῶ τὸ ἑξῆς· ἐκείνη ποὺ ἐπόρνευσεν ἅπαξ διὰ παντὸς ἔγινε μιαρά. Ἐὰν λοιπὸν ὁ προσκολλώμενος εἰς τὴν πόρνην γίνεται ἕνα σῶμα, ἑπομένως καὶ ὁ ἴδιος γίνεται μιαρὸς μὲ τὸ νὰ ἑνώνεται μὲ τὴν πόρνην· διὰ τοῦτο φεύγει ὅλη ἡ καθαρότης του.

Εἰς τὴν περίπτωσιν τοῦ ἀπίστου δὲν συμβαίνει τὸ ἴδιον, ἀλλὰ πῶς; Ὁ εἰδωλολάτρης εἶναι ἀκάθαρτος, ἀλλὰ ἡ γυναῖκα του δὲν

Εἰ μὲν γὰρ ἐκοινώνει αὐτῷ κατὰ τοῦτο, καθ' ὃ ἀκάθαρτος ἦν —λέγω δὲ κατὰ τὴν ἀσέβειαν— ἔμελλε καὶ αὕτη ἀκάθαρτος γίνεσθαι· νυνὶ δὲ ἑτέρως μὲν ἔστιν ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἐν ἑτέρῳ δὲ αὐτῷ πράγματι κοινωνεῖ ἡ γυνή, ἐν ᾧ οὐκ ἔστιν ἀκάθαρτος. Γάμος γάρ ἐστι καὶ μίξις σωμάτων, καθ' ὃ ἡ κοινωνία. Πάλιν τοῦτον μὲν ἐλπὶς ἀνακληθῆναι ὑπὸ τῆς γυναικὸς —ᾠκείωται γὰρ αὐτῇ— ἐκεῖνον δὲ οὐ σφόδρα εὔκολον· πῶς γὰρ ἡ τὸν ἔμπροσθεν ἀτιμάσασα χρόνον καὶ γενομένη ἑτέρου καὶ τοῦ γάμου τὰ δίκαια ἀφανίσασα ἀνακαλέσασθαι δυνήσεται τὸν ἠδικημένον, πρὸς τούτοις καὶ τὸν μένοντα ὡς ξένον; Πάλιν ἐκεῖ μὲν μετὰ τὴν πορνείαν ὁ ἀνὴρ οὐκ ἔστιν ἀνήρ, ἐνταῦθα δέ, κἂν εἰδωλολάτρις ἡ γυνή, τοῦ ἀνδρὸς τὸ δίκαιον οὐκ ἀπόλλυται. Οὐχ ἁπλῶς δὲ συνοικίζει τῷ ἀπίστῳ, ἀλλὰ βουλομένῳ· διὸ εἶπε, «καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς».

Ποῖον γάρ, εἰπέ μοι, βλάβος, ὅταν καὶ τὰ τῆς εὐσεβείας ἀκέραια διαμένῃ καὶ ἐλπίδες ὦσι χρησταὶ περὶ τοῦ ἀπίστου, μένειν τοὺς ἤδη ζευχθέντας καὶ μὴ περιττῶν πολέμων ὑποθέσεις εἰσάγειν; Οὐδὲ γὰρ περὶ τῶν μηδέπω συνελθόντων διαλέγεται νῦν, ἀλλὰ περὶ τῶν ἤδη συνελθόντων· οὐ γὰρ εἶπεν, εἴ τις βούλεται λαβεῖν ἄπιστον, ἀλλ' εἴ τις ἔχει ἄπιστον· οἷον, εἴ τις μετὰ τὸ γαμῆσαι ἢ γαμηθῆναι ἐδέξατο τὸν λόγον τῆς εὐσεβείας, εἶτα θάτερον μέρος ἐναπέμεινε τῇ ἀπιστίᾳ, καὶ στέργει τὸ συνοικεῖν, μὴ διαρρηγνύσθω· «Ἡγίασται γάρ», φησίν, «ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί». Τοσαύτη ἡ περιουσία τῆς σῆς καθαρότητος.

Τί οὖν; ἅγιός ἐστι ὁ Ἕλλην; Οὐδαμῶς· οὐ γὰρ εἶπεν, ἅγιός ἐστιν, ἀλλ' ἡγίασται ἐν τῇ γυναικί. Τοῦτο δὲ εἶπεν, οὐχ ἵνα δείξῃ ἐκεῖνον ἅγιον, ἀλλ' ἵνα ἐκ περιουσίας τὸν φόβον ἐξέλῃ τῆς γυναικός, κἀκεῖνον εἰς ἐπιθυμίαν ἀγάγῃ τῆς ἀληθείας. Οὐ γὰρ τῶν σωμάτων τὸ ἀκάθαρτον,

εἶναι ἀκάθαρτος. Ἐὰν μὲν συνεδέετο μὲ αὐτὸν κατὰ τοῦτο, ἐννοῶ κατὰ τὴν ἀσέβειαν, ἐπειδὴ ἦτο ἀκάθαρτος, ἐπρόκειτο καὶ αὐτὴ νὰ γίνῃ ἀκάθαρτος· τώρα ὅμως δι' ἄλλον λόγον εἶναι ἀκάθαρτος ὁ εἰδωλολάτρης, ἐνῷ ἡ γυναῖκα του συνδέεται μὲ αὐτὸν κατ' ἄλλον τρόπον, κατὰ τὸν ὁποῖον δὲν εἶναι ἀκάθαρτος. Διότι ὁ γάμος εἶναι καὶ μίξις σωμάτων, διὰ τοῦτο συμβαίνει ἕνωσις. Ἐξ ἄλλου ὑπάρχει ἐλπὶς αὐτὸς νὰ ἀνακληθῇ εἰς τὴν πίστιν ἀπὸ τὴν γυναῖκα του —διότι συνδέεται συναισθηματικῶς μὲ αὐτὴν— ἐνῷ εἰς τὴν περίπτωσιν τῆς πορνείας ἐκεῖνος ὁ ἄνδρας δὲν εἶναι πολὺ εὔκολον νὰ ἐπανέλθῃ· διότι πράγματι πῶς θὰ ἠμπορέσῃ νὰ ἐπαναφέρῃ πλησίον της τὸν ἠδικημένον ποὺ παρέμενεν ὡς ξένος αὐτὴ ἡ ὁποία ἠτίμασε τὸ παρελθόν της καὶ ἔγινε γυναῖκα ἄλλου καὶ ἠφάνισε τὰ δίκαια τοῦ γάμου; Ἐπὶ πλέον, ἐκεῖ μὲν μετὰ τὴν πορνείαν ὁ ἄνδρας δὲν εἶναι ἄνδρας, ἐνῷ ἐδῶ, καὶ ἂν ἀκόμη εἶναι εἰδωλολάτρης ἡ γυναῖκα, τὸ δίκαιον τοῦ ἀνδρὸς δὲν χάνεται. Καὶ ὄχι ἁπλῶς συγκατοικεῖ μὲ τὸν ἄπιστον, ἀλλὰ καὶ μὲ τὴν θέλησίν του· διὰ τοῦτο εἶπε, «καὶ αὐτὸς δέχεται νὰ κατοικῇ μαζὶ μὲ αὐτήν».

Διότι, εἰπέ μου, ποία βλάβη ὑπάρχει εἰς τὸ νὰ παραμένουν μαζὶ οἱ σύζυγοι καὶ νὰ μὴ δημιουργοῦν αἰτίας περιττῶν πολέμων, ἐφ' ὅσον καὶ ἡ εὐσέβεια παραμένῃ ἀκεραία καὶ ὑπάρχουν καλαὶ ἐλπίδες περὶ τοῦ ἀπίστου; Δὲν ὁμιλεῖ βεβαίως ἐδῶ δι' ὅσους δὲν εἶναι ἀκόμη ἔγγαμοι, ἀλλὰ δι' ὅσους ἔχουν ἤδη νυμφευθῇ· διότι δὲν εἶπεν, Ἐὰν κάποιος θέλει νὰ λάβῃ ἄπιστον σύζυγον, ἀλλ' «ἐὰν κάποιος ἔχει ἄπιστον σύζυγον»· δηλαδή, ἐὰν κάποιος ἢ κάποια μετὰ τὸν γάμον των δεχθῇ τὸν λόγον τῆς εὐσεβείας (γίνῃ Χριστιανὸς ἢ Χριστιανὴ) καὶ ἔπειτα ὁ ἕνας ἐκ τῶν συζύγων παραμένῃ εἰς τὴν ἀπιστίαν καὶ δέχεται τὴν συμβίωσιν, ἂς μὴ διαλύεται ὁ γάμος· «Ὁ ἄπιστος ἄνδρας, λέγει, ἔχει ἁγιασθῇ χάρις εἰς τὴν γυναῖκα του». Τόσον μεγάλη εἶναι ἡ περιουσία τῆς καθαρότητός σου.

Τί λοιπόν; εἶναι ἅγιος ὁ εἰδωλολάτρης; Καθόλου· διότι δὲν εἶπεν ὅτι εἶναι ἅγιος, ἀλλ' ὅτι ἁγιάζεται διὰ τῆς γυναικός του. Τοῦτο δὲ τὸ εἶπεν ὄχι διὰ νὰ δείξῃ ὅτι ἐκεῖνος ἔγινεν ἅγιος, ἀλλὰ διὰ νὰ ἐκδιώξῃ ἐντελῶς τὸν φόβον τῆς γυναικὸς καὶ ἐκεῖνον νὰ τὸν κάμῃ νὰ ἐπιθυμήσῃ τὴν ἀλήθειαν. Διότι ἡ ἀκαθαρσία δὲν ὀφεί-

ὧν ἐστιν ἡ κοινωνία, ἀλλὰ τῆς προαιρέσεως καὶ τῶν λογισμῶν. Εἶτα καὶ ἀπόδειξις. Εἰ γὰρ ἀκάθαρτος μένων γεννᾷ, τὸ δὲ παιδίον οὐκ ἀπὸ σοῦ μόνης, ἀκάθαρτον ἄρα τὸ παιδίον ἢ ἐξ ἡμισείας καθαρόν· νυνὶ δὲ οὐκ ἔστιν ἀκάθαρτον. Διὸ καὶ ἐπήγαγεν· «Ἐπεὶ τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι· νυνὶ δὲ ἅγιά ἐστι»· τουτέστιν, οὐκ ἀκάθαρτα. Αὐτὸς δὲ ἅγια ἐκάλεσε τῇ περιουσίᾳ τῆς λέξεως πάλιν ἐκβάλλων τῆς τοιαύτης ὑποψίας τὸ δέος.

«Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω»· ἐνταῦθα γὰρ οὐκέτι πορνεία τὸ πρᾶγμά ἐστι. Τί δέ ἐστιν, «Εἰ δὲ ὁ ἄπιστος χωρίζεται; Οἷον, εἰ κελεύει σοι θύειν καὶ κοινωνεῖν αὐτῷ τῆς ἀσεβείας διὰ τὸν γάμον ἢ ἀναχωρεῖν, βέλτιον διασπασθῆναι τὸν γάμον, καὶ μὴ τὴν εὐσέβειαν. Διὸ ἐπήγαγεν· «Οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις». Εἰ καθ' ἑκάστην ἡμέραν πυκτεύοι καὶ πολέμους παρέχοι διὰ τοῦτο, βέλτιον ἀπαλλαγῆναι. Τοῦτο γὰρ αἰνίττεται λέγων· «Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός». Ἐκεῖνος γὰρ λοιπὸν τὴν αἰτίαν παρέσχεν, ὥσπερ καὶ ὁ πορνεύσας.

4. «Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;» Πρὸς τό, «μὴ ἀφιέτω αὐτὸν» τοῦτο πάλιν. Εἰ γὰρ μὴ στασιάζει, μένε, φησίν· ἔχει γὰρ καὶ κέρδος· μένε καὶ παραίνει καὶ συμβούλευε καὶ πεῖθε· οὐδεὶς γὰρ οὕτω διδάσκαλος ἰσχῦσαι δυνήσεται ὡς γυνή. Καὶ οὔτε ἀνάγκην ἐπιτίθησιν αὐτῇ, καὶ πάντως ἀπαιτεῖ παρ' αὐτῆς τὸ πρᾶγμα, ἵνα μὴ πάλιν φορτικώτερον ἐργάσηται, οὔτε ἀπογινώσκειν κελεύει, ἀλλ' ἀφίησιν αὐτὸ τῇ τοῦ μέλλοντος ἀδηλίᾳ μετέωρον λέγων· «Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; καὶ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;» καὶ πάλιν· «Εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός, ἕκαστος ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω. Περιτετμημένος τις ἐκλήθη; μὴ

---

14. αὐτ. 15.
15. αὐτ. 16.

λεται εἰς τὰ σώματα, τὰ ὁποῖα ἑνώνονται, ἀλλὰ εἰς τὴν προαίρεσιν καὶ εἰς τοὺς λογισμούς. Καὶ ἰδοὺ ἡ ἀπόδειξις. Ἐὰν ἐπὶ παραδείγματι ἕνας ἀκάθαρτος γίνῃ πατέρας, καὶ τὸ παιδὶ δὲν προέρχεται μόνον ἀπὸ ἐσέ, ἑπομένως αὐτὸ εἶναι ἀκάθαρτον ἢ κατὰ τὸ ἥμισυ καθαρόν· εἰς τὴν περίπτωσίν μας ὅμως δὲν εἶναι ἀκάθαρτον. Διὰ τοῦτο καὶ προσέθεσε· «Διότι τὰ τέκνα σας θὰ ἦσαν ἀκάθαρτα· τώρα ὅμως εἶναι ἅγια»· δηλαδὴ δὲν εἶναι ἀκάθαρτα. Ὁ ἴδιος τὰ ὠνόμασεν ἅγια, ἐκβάλλων πάλιν τὸν φόβον μιᾶς τέτοιας ὑποψίας μὲ τὸν πλοῦτον τῆς λέξεως.

«Ἐὰν ὅμως ὁ ἄπιστος ζητῇ χωρισμόν, ἂς χωρίζεται»[14]· ἐδῶ δηλαδὴ τὸ πρᾶγμα δὲν εἶναι πλέον πορνεία. Καὶ τί σημαίνει τό, «Ἐὰν δὲ ὁ ἄπιστος ζητῇ χωρισμόν»; Ἐὰν π.χ. σὲ προτρέπῃ νὰ θυσιάζῃς εἰς τὰ εἴδωλα καὶ νὰ συμμετέχῃς μαζί του εἰς τὴν ἀσέβειαν λόγῳ τοῦ γάμου σας ἢ νὰ φύγῃς, εἶναι καλύτερον νὰ διαλυθῇ ὁ γάμος καὶ ὄχι νὰ παραβιασθῇ ἡ εὐσέβειά σου. Διὰ τοῦτο προσέθεσεν· «Εἰς τέτοιας περιπτώσεις ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ δὲν δεσμεύονται». Ἐὰν καθημερινῶς μονομαχῇ καὶ δημιουργῇ πολέμους ἐξ αἰτίας αὐτοῦ τοῦ θέματος, εἶναι καλύτερον νὰ ἀπαλλαγῇ· διότι τοῦτο ὑπαινίσσεται λέγων· «Ὁ Θεὸς μᾶς ἔχει καλέσει νὰ ζῶμεν εἰρηνικῶς»· δηλαδὴ ἐκεῖνος προεκάλεσε τὴν αἰτίαν, ὅπως καὶ ἐκεῖνος ποὺ ἐπόρνευσε.

4. «Διότι ποῦ γνωρίζεις, γυναῖκα; ἴσως σώσῃς τὸν ἄνδρα σου»[15]. Τοῦτο ἀναφέρεται πάλιν εἰς τὸ «ἂς μὴ τὸν ἀφήνῃ». Ἐὰν δηλαδὴ δὲν ἐπαναστατῇ λόγῳ τῆς πίστεώς σου, μένε, λέγει, διότι ἔχει καὶ κέρδος· μένε καὶ πρότρεπε καὶ συμβούλευε καὶ προσπάθησε νὰ πείσῃς· διότι κανεὶς διδάσκαλος τῆς Ἐκκλησίας δὲν θὰ ἠμπορέσῃ τόσον νὰ ὑπερισχύσῃ ὅσον ἡ γυναῖκα. Καὶ οὔτε τῆς τὸ ἐπιβάλλει ὡς ὑποχρέωσιν οὔτε τὸ ἀπαιτεῖ ἀπὸ αὐτὴν ὁπωσδήποτε, διὰ νὰ μὴ τὸ κάμνῃ κατόπιν μὲ βαρυθυμίαν, οὔτε τῆς ἐπιτρέπει νὰ ἀπελπίζεται, ἀλλὰ τὸ ἀφήνει ἀβέβαιον εἰς τὸ ἄγνωστον μέλλον λέγων· «Διότι ποὺ γνωρίζεις, γυναῖκα; ἴσως σώσῃς τὸν ἄνδρα σου· καὶ ποῦ γνωρίζεις, ἄνδρα; ἴσως σώσῃς τὴν γυναῖκα σου» καὶ πάλιν· «Ὁ κάθε ἕνας ἂς ζῇ ὅπως καθώρισεν ὁ Θεὸς τὴν ζωὴν καὶ ὅπως τὸν ἔχει καλέσει ὁ Κύριος. Ἐκλήθη κάποιος εἰς τὴν πίστιν

ἐπισπάσθω. Ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. Δοῦλος ἐκλήθης; μή σοι μελέτω». Ταῦτα εἰς τὴν πίστιν οὐδὲν συντελεῖ, φησί· μὴ τοίνυν φιλονείκει μηδὲ θορυβοῦ· ἡ γὰρ πίστις πάντα ἐξέβαλε ταῦτα.

«Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω». Γυναῖκα ἔχων ἄπιστον ἐκλήθης; μένε ἔχων· μὴ διὰ τὴν πίστιν ἐκβάλῃς τὴν γυναῖκα. Δοῦλος ὢν ἐκλήθης; μή σοι μελέτω· μέεν δουλεύων. Ἀκρόβυστος ὢν ἐκλήθης; μένε ἀκρόβυστος. Ἐμπερίτομος ὢν ἐπίστευσας; μένε ἐμπερίτομος· τοῦτο γάρ ἐστιν, «Ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός». Ταῦτα γὰρ οὐκ ἔστι κωλύματα εἰς εὐσέβειαν. Σὺ δοῦλος ὢν ἐκλήθης, ἄλλος γυναῖκα ἔχων ἄπιστον, ἄλλος περιτετμημένος. Βαβαί, ποῦ τὴν δουλείαν ἔθηκεν; Ὥσπερ οὐδὲν ὠφελεῖ ἡ περιτομή, οὐδὲ βλάπτει ἡ ἀκροβυστία, οὕτως οὐδὲ ἡ δουλεία, οὐδὲ ἡ ἐλευθερία.

Καὶ ἵνα δείξῃ τοῦτο σαφέστερον ἐκ περιουσίας, φησίν· «Ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι»· τουτέστι, μᾶλλον δούλευε. Καὶ τί δήποτε τὸν δυνάμενον ἐλευθερωθῆναι κελεύει μεῖναι δοῦλον; Θέλων δεῖξαι ὅτι οὐδὲν βλάπτει ἡ δουλεία, ἀλλὰ καὶ ὠφελεῖ. Καὶ οὐκ ἀγνοῶ μὲν ὅτι τινὲς τό, «μᾶλλον χρῆσαι», περὶ ἐλευθερίας φασὶν εἰρῆσθαι, λέγοντες, ὅτι εἰ δύνασαι ἐλευθερωθῆναι, ἐλευθερώθητι· πολὺ δὲ ἀπεναντίας τῷ τρόπῳ τοῦ Παύλου τὸ ῥῆμα, εἰ τοῦτο αἰνίττοιτο· οὐ γὰρ ἄν, παραμυ-

---

16. αὐτ. 17-21.

περιτμημένος; Ἂς μὴ τραβᾷ τὸ δέρμα του διὰ νὰ ἐξαφανίσῃ τὰ σημεῖα τῆς περιτομῆς. Ἐκλήθη κάποιος εἰς τὴν πίστιν, ἐνῷ ἦτο ἐθνικός; Ἂς μὴ περιτέμνεται. Ἡ περιτομὴ δὲν εἶναι τίποτε καὶ ἡ ἔλλειψις περιτομῆς δὲν εἶναι τίποτε, ἀλλὰ ἀξίαν ἔχει ἡ τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ. Ὁ κάθε ἕνας ἂς μείνῃ εἰς τὴν κατάστασιν ποὺ ἦτο, ὅταν ἐκλήθη εἰς τὴν πίστιν. Ἤσουν δοῦλος, ὅταν ἐκλήθης εἰς τὴν πίστιν, μὴ σὲ μέλῃ γιὰ τὴν κατάστασιν αὐτὴν τῆς δουλείας»[16]. Αὐτά, λέγει, δὲν ὠφελοῦν καθόλου εἰς τὴν πίστιν· μὴ λοιπὸν φιλονεικῇς καὶ μὴ ἀναστατώνεσαι, διότι ἡ πίστις τὰ ἐξέβαλεν ὅλα αὐτά.

«Κάθε ἕνας ἂς μένῃ εἰς τὴν κατάστασιν ποὺ ἦτο, ὅταν ἐκλήθη εἰς τὴν πίστιν». Ἐκλήθης εἰς τὴν πίστιν ἔχων ἄπιστον γυναῖκα; ἔχε την· μὴ ἐκδιώκῃς τὴν γυναῖκα σου λόγῳ τῆς πίστεώς σου. Ἐκλήθης εἰς τὴν πίστιν, ἐνῷ ἤσουν δοῦλος; μὴ σὲ νοιάζῃ· μένε δοῦλος. Ἐκλήθης εἰς τὴν πίστιν ἀπερίτμητος; μένε ἀπερίτμητος. Ἐπίστευσες, ἀφοῦ εἶχες ὑποστῆ περιτομήν; μένε μὲ τὴν περιτομήν· αὐτὸ δηλαδὴ σημαίνει τὸ «Ὅπως καθώρισεν ὁ Θεὸς τὴν ζωὴν τοῦ καθενός». Αὐτὰ δηλαδὴ δὲν εἶναι κωλύματα διὰ τὴν εὐσέβειαν. Σὺ ἐκλήθης εἰς τὴν πίστιν, ἐνῷ ἤσουν δοῦλος, ἄλλος ἔχων γυναῖκα ἄπιστον, ἄλλος ἀφοῦ εἶχεν ἤδη ὑποστῆ περιτομήν. Πώ, πὼ ποῦ ἔθεσε τὴν δουλείαν! Ὅπως ἀκριβῶς δὲν ὠφελεῖ καθόλου ἡ περιτομὴ οὔτε βλάπτει ἡ ἔλλειψις περιτομῆς, ἔτσι οὔτε βλάπτει ἡ δουλεία οὔτε ὠφελεῖ ἡ ἐλευθερία.

Καὶ διὰ νὰ καταδείξῃ τοῦτο μὲ μεγαλυτέραν σαφήνειαν, λέγει· «Ἀλλὰ καὶ ἂν ἠμπορῇς νὰ γίνῃς ἐλεύθερος, χρησιμοποίησε περισσότερον τὴν δουλείαν», δηλαδὴ νὰ εἶσαι περισσότερον δοῦλος. Καὶ διατί τέλος πάντων αὐτὸν ποὺ δύναται νὰ ἐλευθερωθῇ τὸν συμβουλεύει νὰ μείνῃ δοῦλος; Διότι θέλει νὰ δείξῃ ὅτι καθόλου δὲν βλάπτει ἡ δουλεία, ἀλλ' ὠφελεῖ μάλιστα. Καὶ γνωρίζω μὲν ὅτι μερικοὶ ἰσχυρίζονται ὅτι τὸ «χρησιμοποίησε περισσότερον» τὸ εἶπε περὶ ἐλευθερίας, ὑποστηρίζοντες ὅτι σημαίνει, ἐὰν ἠμπορῇς νὰ ἐλευθερωθῇς, ἐλευθερώσου. Ἐὰν ὑπαινίσσετο τοῦτο, ὁ λόγος αὐτὸς θὰ ἦτο πολὺ ἀντίθετος εἰς τὸν τρόπον σκέψεως τοῦ Παύλου· διότι τὴν στιγμὴν κατὰ τὴν ὁποίαν παρηγορεῖ τὸν δοῦλον καὶ τοῦ ἀποδει-

θούμενος τὸν δοῦλον καὶ δεικνὺς οὐδὲν ἠδικημένον, ἐκέλευσε γενέσθαι ἐλεύθερον. Εἶπε γὰρ ἄν τις ἴσως· τί οὖν, ἂν μὴ δύνωμαι; ἠδίκημαι καὶ ἠλάττωμαι; Οὐ τοίνυν τοῦτό φησιν, ἀλλ' ὅπερ ἔφην, θέλων δεῖξαι ὅτι οὐδὲν πλέον γίνεται τῷ ἐλευθέρῳ γενομένῳ, φησί, κἂν κύριος ᾖς τοῦ ἐλευθερωθῆναι, μένε δουλεύων μᾶλλον.

Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει· «Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως καὶ ὁ ἐλεύθερος κληθείς, δοῦλός ἐστι τοῦ Χριστοῦ». Ἐν γὰρ τοῖς κατὰ Χριστόν, φησίν, ἀμφότεροι ἴσοι· ὁμοίως γὰρ καὶ σὺ τοῦ Χριστοῦ δοῦλος, ὁμοίως καὶ ὁ δεσπότης ὁ σός. Πῶς οὖν ὁ δοῦλος ἀπελεύθερος; Ὅτι ἠλευθέρωσέ σε οὐ τῆς ἁμαρτίας μόνον ἀλλὰ καὶ τῆς ἔξωθεν δουλείας μένοντα δοῦλον. Οὐ γὰρ ἀφίησιν εἶναι δοῦλον τὸν δοῦλον οὐδὲ ἄνθρωπον μένειν ἐν δουλείᾳ· τοῦτο γάρ ἐστι τὸ θαυμαστόν. Καὶ πῶς ἐλεύθερός ἐστιν ὁ δοῦλος μένων δοῦλος; Ὅταν παθῶν ἀπηλλαγμένος ᾖ καὶ τῶν τῆς ψυχῆς νοσημάτων, ὅταν χρημάτων καταφρονῇ καὶ ὀργῆς καὶ τῶν ἄλλων τῶν τοιούτων παθῶν.

5. «Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων». Οὗτος ὁ λόγος οὐ πρὸς οἰκέτας μόνον, ἀλλὰ καὶ πρὸς ἐλευθέρους εἴρηται· ἔστι γὰρ καὶ δοῦλον ὄντα μὴ εἶναι δοῦλον, καὶ ἐλεύθερον ὄντα δοῦλον εἶναι. Καὶ πῶς ὁ δοῦλος ὢν οὐκ ἔστι δοῦλος; Ὅταν διὰ τὸν Θεὸν πάντα ποιῇ, ὅταν μὴ ὑποκρίνηται, μηδὲ κατ' ὀφθαλμοδουλείαν ἀνθρώπων τι πράττῃ· τουτέστι, δουλεύοντα ἀνθρώποις ἐλεύθερον εἶναι. Ἢ πῶς πάλιν ἐλεύθερός τις ὤν, γίνεται δοῦλος; Ὅταν διακονῆται ἀνθρώποις πονηράν τινα διακονίαν ἢ διὰ γαστριμαργίαν ἢ διὰ χρημάτων ἐπιθυμίαν ἢ διὰ δυναστείαν. Ὁ γὰρ τοιοῦτος πάντων ἐστὶ δουλικώτερος, κἂν ἐλεύθερος ᾖ.

17. αὐτ. 22.

18. «Ἀπελεύθερος» ὠνομάζετο εἰς τὴν Ἀρχαιότητα ὁ ἀπελευθερωθεὶς δοῦλος.

19. Α' Κορ. 7,23.

κνύει ὅτι δὲν εἶναι καθόλου ἀδικημένος, δὲν θὰ τὸν προέτρεπε νὰ γίνῃ ἐλεύθερος· διότι ἴσως κάποιος θὰ τοῦ ἔλεγε· Τί λοιπόν, ἂν δὲν ἠμπορῶ νὰ ἐλευθερωθῶ; ἔχω ἀδικηθῆ καὶ εὑρίσκομαι εἰς μειονεκτικὴν θέσιν; Δὲν λέγει λοιπὸν τοῦτο, ἀλλ' ἐκεῖνο ποὺ εἶπα προηγουμένως, θέλων νὰ δείξῃ ὅτι δὲν κερδίζει τίποτε περισσότερον αὐτὸς ποὺ γίνεται ἐλεύθερος, καὶ ἑπομένως, λέγει, καὶ ἂν ἀκόμη ἐξαρτᾶται ἀπὸ ἐσένα νὰ ἐλευθερωθῇς, μᾶλλον μένε ὡς δοῦλος.

Κατόπιν προσθέτει καὶ τὴν αἰτιολογίαν· «Διότι ἐκεῖνος ποὺ ἐκλήθη ἀπὸ τὸν Κύριον, ὅταν ἦτο δοῦλος, εἶναι τώρα ἀπελεύθερος τοῦ Κυρίου· ὁμοίως, καὶ ἐκεῖνος ποὺ ἐκλήθη, ὅταν ἦτο ἐλεύθερος, εἶναι δοῦλος τοῦ Χριστοῦ»[17]. Δηλαδὴ μεταξὺ τῶν Χριστιανῶν, λέγει, καὶ οἱ δύο εἶναι ἴσοι, διότι ὁμοίως καὶ σὺ εἶσαι δοῦλος τοῦ Χριστοῦ, παρομοίως καὶ ὁ κύριός σου. Πῶς λοιπὸν ὁ δοῦλος ἔγινεν ἀπελεύθερος;[18]. Διότι, ἐνῷ παραμένεις δοῦλος, σὲ ἠλευθέρωσεν ὄχι μόνον ἀπὸ τὴν ἁμαρτίαν ἀλλὰ καὶ ἀπὸ τὴν ἐξωτερικὴν δουλείαν. Δὲν ἀφήνει δηλαδὴ δοῦλον τὸν δοῦλον, οὔτε κανένα ἄνθρωπον νὰ μένῃ εἰς δουλείαν· τοῦτο εἶναι τὸ ἀξιοθαύμαστον. Καὶ πῶς ὁ δοῦλος εἶναι ἐλεύθερος, ἐνῷ παραμένει δοῦλος; Ὅταν εἶναι ἀπηλλαγμένος ἀπὸ τὰ πάθη καὶ τὰ νοσήματα τῆς ψυχῆς, ὅταν περιφρονῇ τὰ χρήματα καὶ τὴν ὀργὴν καὶ τὰ ἄλλα παρόμοια πάθη.

5. «Ἔχετε ἀγορασθῆ μὲ τίμημα, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων»[19]. Ὁ λόγος αὐτὸς δὲν ἔχει λεχθῆ πρὸς τοὺς δούλους μόνον ἀλλὰ καὶ πρὸς τοὺς ἐλευθέρους· διότι εἶναι δυνατὸν καὶ ἕνας δοῦλος νὰ μὴ εἶναι δοῦλος ἀλλὰ καὶ ἕνας ἐλεύθερος νὰ εἶναι δοῦλος. Καὶ πῶς ὁ δοῦλος δὲν εἶναι δοῦλος; Ὅταν ὅλα τὰ κάμνῃ διὰ τὸν Θεόν, ὅταν δὲν ὑποκρίνεται καὶ οὔτε πράττῃ κάτι, διὰ νὰ τὸν ἴδουν οἱ ἄνθρωποι, πρᾶγμα τὸ ὁποῖον εἶναι δουλεία· δηλαδή, ἐνῷ εἶναι δοῦλος ἀνθρώπων, εἶναι ἐλεύθερος. Ἢ πῶς πάλιν κάποιος, ἐνῷ εἶναι ἐλεύθερος, γίνεται δοῦλος; Ὅταν κάμνῃ εἰς τοὺς ἀνθρώπους κάτι πονηρὸν ἢ ἀπὸ τὴν γαστριμαργίαν του ἢ ἀπὸ τὴν ἐπιθυμίαν του νὰ ἀποκτήσῃ χρήματα ἢ δύναμιν· αὐτὸς ὁ ἄνθρωπος εἶναι ὁ ἀθλιώτερος δοῦλος, ἔστω καὶ ἂν εἶναι ἐλεύθερος.

Σκόπει δὲ ταῦτα ἀμφότερα. Δοῦλος ἦν ὁ Ἰωσήφ, ἀλλ' οὐκ ἀνθρώπων δοῦλος· διὸ καὶ ἐν τῇ δουλείᾳ πάντων ἐλευθέρων ἐλευθερώτερος ἦν. Τῇ δεσποίνῃ γοῦν οὐκ εἶξεν εἰς ἅπερ ἠθέλησεν ἡ κεκτημένη. Πάλιν ἐλευθέρα ἦν ἐκείνη, καὶ πάντων ἦν δουλικωτέρα, τὸν θεράποντα κολακεύουσα καὶ παρακαλοῦσα· ἀλλ' οὐκ ἔπεισε τὸν ἐλεύθερον, ὃ μὴ ἠθέλησε, ποιῆσαι. Οὐκ ἄρα δουλεία τὸ πρᾶγμα ἦν, ἀλλ' ἐλευθερία ἡ ἀνωτάτω. Τί γὰρ ἐνεποδίσθη πρὸς ἀρετὴν ἐκεῖνος ἀπὸ τῆς δουλείας; Ἀκουέτωσαν δοῦλοι καὶ ἐλεύθεροι. Τίς ἐδούλευσεν; ὁ ἀξιούμενος ἢ ἡ ἀξιοῦσα; ἡ παρακαλοῦσα ἢ ὁ καταφρονῶν ἱκετευούσης; Καὶ γάρ εἰσιν ὅροι δούλων παρὰ τοῦ Θεοῦ κείμενοι· καὶ μέχρι ποῦ δεῖ φυλάττειν αὐτούς, καὶ τοῦτο νενομοθέτηται, καὶ ὑπερβαίνειν αὐτοὺς οὐ χρή. Ὅταν γὰρ μηδὲν ὁ δεσπότης ἐπιτάττῃ τῶν μὴ δοκούντων τῷ Θεῷ, ἕπεσθαι δεῖ καὶ πείθεσθαι· περαιτέρω δὲ μηκέτι· οὕτω γὰρ ὁ δοῦλος ἐλεύθερος γίνεται. Ἂν δὲ περαιτέρω προΐῃς, κἂν ἐλεύθερος ᾖς, ἐγένου δοῦλος. Τοῦτο γοῦν αἰνίττεται λέγων· «Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων». Εἰ δὲ μὴ τοῦτο, ἀλλ' ἐκέλευσε καταλιμπάνειν δεσπότας καὶ ἐλευθέρους φιλονεικεῖν γίνεσθαι, πῶς παρῄνει λέγων· «Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω»; καὶ ἀλλαχοῦ, «Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν· καὶ μὴ καταφρονείτωσαν οἱ πιστοὺς ἔχοντες δεσπότας, ὅτι ἀδελφοί εἰσιν οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι»; Καὶ Ἐφεσίοις δὲ καὶ Κολασσαεῦσιν ἐπιστέλλων, τὰ αὐτὰ διατάττεται καὶ νομοθετεῖ.

Ὅθεν δῆλον ὅτι οὐ ταύτην ἀναιρεῖ τὴν δουλείαν, ἀλλὰ τὴν ἀπὸ τῆς κακίας καὶ ἐλευθέροις γινομένην, ἥπερ ἐστὶ χαλεπωτάτη, κἂν ἐλεύθερός τις ὢν αὐτῇ δουλεύῃ. Τί γὰρ ἀπώναντο οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἐλεύθεροι ὄντες;

---

20. Α' Τιμ. 6,1-2.
21. Ἐφ. 6,5-8, Κολασ. 3,22-25.

Πρόσεξε τὰ ἑξῆς δύο παραδείγματα: Ὁ Ἰωσὴφ ἦτο δοῦλος ἀλλὰ δὲν ἦτο δοῦλος ἀνθρώπων, διὰ τοῦτο καὶ μέσα εἰς τὴν δουλείαν του ἦτο ὁ πλέον ἐλεύθερος ἐξ ὅλων τῶν ἐλευθέρων. Δὲν ὑπεχώρησε λοιπὸν εἰς τὴν κυρίαν του εἰς ὅ,τι ἐκείνη ὡς δούλη ἠθέλησεν. Ἀφ' ἑτέρου ἐκείνη ἦτο ἐλευθέρα, καὶ ὅμως ἦτο ἡ ἀθλιεστέρα ὅλων τῶν δούλων, μὲ τὸ νὰ κολακεύῃ καὶ νὰ παρακαλῇ τὸν ὑπηρέτην της· ἀλλὰ δὲν ἔπεισε τὸν ἐλεύθερον ἐκεῖνον νὰ κάμῃ ὅ,τι δὲν ἤθελε νὰ κάμῃ. Ἑπομένως ἐκείνη ἡ κατάστασις δὲν ἦτο δουλεία, ἀλλ' ἐλευθερία τοῦ ὑψίστου βαθμοῦ. Διότι κατὰ τί ἠμποδίσθη ἐκεῖνος ἀπὸ τὴν δουλείαν εἰς τὴν ἄσκησιν τῆς ἀρετῆς; Ἂς τὸ ἀκούσουν δοῦλοι καὶ ἐλεύθεροι. Ποῖος ἦτο ὁ δοῦλος; Αὐτὸς ποὺ τὸν ἤθελεν ἐπίμονα ἢ αὐτὴ ποὺ τὸν ἤθελεν; αὐτὴ ποὺ παρακαλοῦσε ἢ αὐτὸς ποὺ κατεφρόνει αὐτὴν ποὺ τὸν ἱκέτευε; Διότι πράγματι ὁ Θεὸς καθώρισε κανόνας συμπεριφορᾶς τῶν δούλων καὶ ἔχει νομοθετήσει μέχρι ποῦ πρέπει νὰ τοὺς τηροῦν καὶ δὲν πρέπει νὰ τοὺς ὑπερβαίνουν. Ὅταν δηλαδὴ ὁ κύριος δὲν διατάσσῃ τίποτε ἀπὸ ὅσα δὲν θέλει ὁ Θεός, πρέπει ὁ δοῦλος νὰ ἀκολουθῇ καὶ νὰ ὑπακούῃ. Ἂν ὅμως προχωρήσῃς περισσότερον, καὶ ἂν ἀκόμη εἶσαι ἐλεύθερος, ἔγινες δοῦλος. Αὐτὸ ἀκριβῶς ὑπαινίσσεται λέγων· «Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων». Ἂν ὅμως δὲν εἶναι τοῦτο, ἀλλὰ προέτρεψε τοὺς δούλους νὰ ἐγκαταλείπουν τοὺς κυρίους των καὶ νὰ ἀγωνίζωνται νὰ γίνωνται ἐλεύθεροι, πῶς συνεβούλευε λέγων· «Καθένας ἂς μένῃ εἰς τὴν κατάστασιν ποὺ ἦτο, ὅταν ἐκλήθη εἰς τὴν πίστιν»· «Ὅσοι εἶναι ὑπὸ τὸν ζυγὸν τῆς δουλείας, ἂς θεωροῦν τοὺς κυρίους των ἀξίους πάσης τιμῆς· καὶ ὅσοι ἔχουν κυρίους πιστοὺς ἂς μὴ τοὺς περιφρονοῦν μὲ τὴν πρόφασιν ὅτι εἶναι ἀδελφοὶ αὐτοὶ ποὺ ὠφελοῦνται ἀπὸ τὴν ὑπηρεσίαν των»[20]. Καὶ εἰς τὰς ἐπιστολάς του πρὸς τοὺς Ἐφεσίους καὶ τοὺς Κολασσαεῖς[21] τὰ ἴδια παραγγέλλει καὶ νομοθετεῖ.

Εἶναι λοιπὸν φανερὸν ὅτι δὲν καταδικάζει τὴν ἰδίαν τὴν δουλείαν ἀλλὰ τὴν κακὴν δουλείαν, εἰς τὴν ὁποίαν περιπίπτουν καὶ οἱ ἐλεύθεροι καὶ ἡ ὁποία εἶναι ἡ βαρύτερη ἀκόμη καὶ διὰ τοὺς ἐλευθέρους. Τί ὠφελήθησαν, ἀλήθεια, οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ ποὺ ἦσαν

οὐχὶ πάντων ἦσαν τῶν δούλων δουλικώτεροι, καὶ πρὸς τὸν πατέρα ψευδόμενοι, καὶ πρὸς τοὺς ἐμπόρους τὰ μὴ ὄντα λέγοντες, καὶ πρὸς τὸν ἀδελφόν; Ἀλλ' οὐχ ὁ ἐλεύθερος τοιοῦτος, ἀλλὰ πανταχοῦ καὶ ἐν πᾶσιν ἀληθής· καὶ οὐδὲν αὐτὸν δουλώσασθαι ἠδυνήθη, οὐ δεσμός, οὐ δουλεία, οὐ δεσποίνης ἔρως, οὐ τὸ ἐν ἀλλοτρίᾳ εἶναι, ἀλλ' ἔμενεν ἐλεύθερος πανταχοῦ. Τοῦτο γὰρ μάλιστά ἐστιν ἐλευθερία, ὅταν καὶ ἐν δουλείᾳ διαλάμπῃ.

6. Τοιοῦτον ὁ Χριστιανισμός· ἐν δουλείᾳ ἐλευθερίαν χαρίζεται. Καὶ καθάπερ τὸ φύσει ἄτρωτον σῶμα, τότε δείκνυται ἄτρωτον, ὅταν δεξάμενον βέλος μηδὲν πάθῃ δεινόν, οὕτω καὶ ὁ ἀκριβῶς ἐλεύθερος τότε φαίνεται, ὅταν καὶ δεσπότας ἔχων μὴ δουλωθῇ. Διὰ τοῦτο κελεύει δοῦλον μένειν. Εἰ δ' οὐ δυνατὸν δοῦλον ὄντα εἶναι Χριστιανόν, οἷον χρή, πολλὴν τῆς εὐσεβείας ἀσθένειαν κατηγοροῦσιν Ἕλληνες· ἂν δὲ μάθωσιν ὅτι τὴν εὐσέβειαν οὐδὲν βλάπτει δουλεία, θαυμάσονται τὸ κήρυγμα. Εἰ γὰρ θάνατος ἡμᾶς οὐ βλάπτει οὐδὲ μάστιγες οὐδὲ δεσμά, πολλῷ μᾶλλον δουλεία. Πῦρ καὶ σίδηρος καὶ τυραννίδες μυρίαι καὶ νόσοι καὶ πενία ικαὶ θηρία καὶ μυρία τούτων χαλεπώτερα οὐκ ἔβλαψαν τοὺς πιστούς, ἀλλὰ καὶ δυνατωτέρους ἐποίησαν· καὶ πῶς δουλεία βλάψαι δυνήσεται;

Οὐχ αὕτη βλάπτει ἡ δουλεία, ἀγαπητέ, ἀλλ' ἡ φύσει δουλεία ἡ τῆς ἁμαρτίας. Κἂν ταύτην μὴ ᾖς τὴν δουλείαν δοῦλος, θάρρει καὶ εὐφραίνου· οὐδείς σε οὐδὲν ἀδικῆσαι δυνήσεται, ἀδούλωτον ἔχοντα τὸ ἦθος· ἂν δὲ ταύτης ᾖς δοῦλος, κἂν μυριάκις ἐλεύθερος ᾖς, οὐδὲν ὄφελός σοι τῆς ἐλευθερίας. Τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν ἀνθρώπῳ μὲν μὴ δουλεύῃς, τοῖς δὲ πάθεσι σαυτὸν ὑποκατακλίνῃς; Οἱ μὲν γὰρ ἄνθρωποι καὶ φείσασθαι ἐπίστανται πολλάκις, ἐκεῖνοι δὲ οἱ δεσπόται οὐδέποτε κορέννυνταί σου τῆς ἀπωλείας. Δουλεύεις ἀνθρώπῳ; Ἀλλὰ καὶ ὁ δεσπότης σοι δου-

ἐλεύθεροι; Δὲν ἦσαν οἱ ἀθλιώτεροι δοῦλοι, ἐφ' ὅσον ἐψεύδοντο καὶ πρὸς τὸν πατέρα των καὶ πρὸς τοὺς ἐμπόρους καὶ πρὸς τὸν ἀδελφόν των; Ὁ ἐλεύθερος ἄνθρωπος δὲν εἶναι τέτοιος ἀλλὰ λέγει τὴν ἀλήθειαν παντοῦ καὶ εἰς ὅλας τὰς περιπτώσεις· καὶ τίποτε δὲν ἠμπόρεσε νὰ τὸν ὑποδουλώσῃ, οὔτε δεσμὰ οὔτε δουλεία οὔτε ὁ ἔρωτας τῆς κυρίας του οὔτε ὅτι ἔζη εἰς ξένον τόπον, ἀλλὰ παντοῦ παρέμενεν ἐλεύθερος. Τοῦτο λοιπὸν εἶναι πραγματικὴ ἐλευθερία, ὅταν κανεὶς καὶ ὡς δοῦλος διαλάμπῃ.

6. Τέτοιος εἶναι ὁ Χριστιανισμός· εἰς τοὺς δούλους, ἐνῷ παραμένουν δοῦλοι, χαρίζει ἐλευθερίαν. Καὶ ὅμως ἀκριβῶς τὸ ἐκ φύσεως ἄτρωτον σῶμα τότε ἀποδεικνύεται ἄτρωτον, ὅταν δεχθῇ βέλος καὶ δὲν πάθῃ κανὲν κακόν, ἔτσι καὶ ὁ πράγματι ἐλεύθερος τότε φαίνεται, ὅταν δὲν γίνῃ δοῦλος ἀκόμη καὶ ὅταν ἔχῃ κυρίους. Διὰ τοῦτο συμβουλεύει τὸν δοῦλον νὰ παραμένῃ δοῦλος. Ἐὰν ὅμως δὲν εἶναι δυνατὸν ἕνας δοῦλος νὰ εἶναι Χριστιανὸς ὅπως πρέπει νὰ εἶναι, οἱ Ἐθνικοὶ θὰ κατηγοροῦν τὴν πίστιν διὰ πολλὴν ἀδυναμίαν· ἂν ὅμως μάθουν ὅτι ἡ δουλεία δὲν βλάπτει καθόλου τὴν εὐσέβειαν, θὰ θαυμάσουν τὸ κήρυγμα. Διότι ἐὰν δὲν μᾶς βλάπτῃ ὁ θάνατος οὔτε τὸ μαστίγωμα οὔτε τὰ δεσμά, πολὺ περισσότερον δὲν μᾶς βλάπτει ἡ δουλεία. Πῦρ καὶ σίδηρος καὶ μυρίαι τυραννίδες καὶ νόσοι καὶ πενίαι καὶ θηρία καὶ μύρια φοβερώτερα τούτων δὲν ἔβλαψαν τοὺς πιστούς, ἀλλὰ καὶ δυνατωτέρους τοὺς ἔκαναν· καὶ πῶς θὰ ἠμπορέσῃ νὰ τοὺς βλάψῃ ἡ δουλεία;

Αὐτὴ ἡ δουλεία, ἀγαπητέ, δὲν βλάπτει, ἀλλ' ἡ φυσικὴ δουλεία, ἡ δουλεία τῆς ἁμαρτίας. Καὶ ἂν δὲν εἶσαι δοῦλος αὐτῆς τῆς δουλείας, νὰ ἔχῃς θάρρος καὶ νὰ εὐφραίνεσαι· κανεὶς δὲν θὰ ἠμπορέσῃ εἰς τίποτε νὰ σὲ ἀδικήσῃ, ἐφ' ὅσον ἔχεις ἀδούλωτον τὸ ἦθος σου· ἂν ὅμως εἶσαι δοῦλος αὐτῆς τῆς δουλείας, καὶ ἂν ἀκόμη εἶσαι μυριάκις ἐλεύθερος, κανένα ὄφελος δὲν ἔχεις ἀπὸ τὴν ἐλευθερίαν σου. Διότι, εἰπέ μου, τί τὸ ὄφελος, ὅταν, δὲν εἶσαι μὲν δοῦλος ἀνθρώπου, ὑποδουλώνῃς ὅμως τὸν ἑαυτόν σου εἰς τὰ πάθη; Οἱ μὲν ἄνθρωποι γνωρίζουν πολλάκις καὶ νὰ λυποῦνται, ἐκεῖνοι ὅμως οἱ ἐξουσιασταὶ οὐδέποτε χορταίνουν μὲ τὴν ἀπώλειάν σου. Εἶσαι δοῦλος ἀνθρώπου; Ἀλλὰ καὶ ὁ κύριός σου εἶναι δοῦλος σου, διότι σοῦ

λεύει διοικούμενός σοι τὰ τῆς τροφῆς, ἐπιμελούμενός σου τῆς ὑγείας, καὶ ἐνδυμάτων καὶ ὑποδημάτων καὶ τῶν ἄλλων ἁπάντων φροντίζων. Καὶ οὐχ οὕτω σὺ δέδοικας, μὴ προσκρούσῃς τῷ δεσπότῃ, ὡς ἐκεῖνος δέδοικε, μή τί σοι τῶν ἀναγκαίων ἐπιλίπῃ. Ἀλλ' ἐκεῖνος κατάκειται, σὺ δὲ ἕστηκας.

Καὶ τί τοῦτο; οὐδὲ γὰρ τοῦτο παρ' αὐτῷ μόνον, ἀλλὰ καὶ παρὰ σοί. Πολλάκις γοῦν σοῦ κατακειμένου καὶ ὑπνοῦντος ἡδέως, ἐκεῖνος οὐχ ἕστηκεν, ἀλλὰ καὶ μυρίας ὑπομένει βίας ἐπὶ τῆς ἀγορᾶς καὶ ἀγρυπνεῖ σου χαλεπώτερον. Τί γοῦν τοιοῦτον ἔπαθε παρὰ τῆς δεσποίνης ὁ Ἰωσήφ, οἷον παρὰ τῆς ἐπιθυμίας ἐκείνη; Οὗτος μὲν γάρ, ἃ ἐπιτάξαι ἠθέλησεν ἐκείνη, οὐκ ἐποίησεν· ἐκείνη δέ, ἃ ἐπέταξεν ἡ δέσποινα αὐτῆς, ἡ ἀσέλγεια λέγω, πάντα ἔπραξε· καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν αὐτὴν κατῄσχυνε. Ποῖος τύραννος ὠμός; Δεήθητι τοῦ σοῦ δούλου, φησί, ἱκέτευσον τὸν αἰχμάλωτον, κολάκευσον τὸν ἀργυρώνητον· κἂν διαπτύσῃ, πάλιν ἐπίμεινον· κἂν πολλάκις εἴπῃς, καὶ μὴ ἀνάσχηται, ἐπιτήρησον ἐρημίαν, καὶ βίασαι, καὶ γενοῦ καταγέλαστος. Τί ἀτιμότερον, τί τούτων αἰσχρότερον τῶν ῥημάτων; Ἂν δὲ μηδὲν μηδὲ οὕτως ἀνύσῃς, καὶ συκοφάντησον καὶ ἀπάτησον τὸν συνοικοῦντα.

Ὅρα πῶς ἀνελεύθερα, πῶς αἰσχρὰ τὰ ἐπιτάγματα, πῶς ἀπηνῆ καὶ ὠμὰ καὶ μανικά. Τί τοιοῦτον ἐπιτάττει ὁ δεσπότης, οἷα ἐπέταξεν ἡ ἀσέλγεια τῇ βασιλίσσῃ γυναικὶ τότε ἐκείνῃ; ἀλλ' ὅμως οὐκ ἐτόλμησε παρακοῦσαι. Ὁ δὲ Ἰωσὴφ οὐδὲν τοιοῦτον ὑπέμεινεν, ἀλλὰ τὰ ἐναντία πάντα, ἃ δόξαν ἔφερε καὶ τιμήν. Βούλει καὶ ἕτερον ἄνδρα ἰδεῖν ὑπὸ δεσποίνης χαλεπῆς πολλὰ ἐπιταγέντα, καὶ οὐδὲν τολμήσαντα παρακοῦσαι; Ἐννόησον τὸν Κάϊν, ὅσα ὑπὸ τῆς βασκανίας ἐπετάγη. Ἐπέταξεν ἐκείνη σφάξαι τὸν ἀδελφόν, ψεύσασθαι τὸν Θεόν, λυπῆσαι τὸν πατέρα, ἀναισχυν-

---

22. Ἀργυρώνητος: Ἔτσι ἐλέγετο ὁ δοῦλος ὁ ὁποῖος εἶχεν ἀγορασθῆ ἀπὸ τὸν κύριόν του.

ἐξοικονομεῖ τὴν τροφήν, ἐνδιαφέρεται διὰ τὴν ὑγείαν σου καὶ φροντίζει διὰ τὰ ἐνδύματά σου, τὰ ὑποδήματά σου καὶ ὅλα τὰ ἄλλα. Καὶ ἐσὺ δὲν φοβεῖσαι τόσον μὴ τυχὸν δυσαρεστήσῃς τὸν κύριόν σου, ὅσον φοβεῖται ἐκεῖνος μήπως σοῦ λείψῃ τίποτε ἀπὸ τὰ ἀναγκαῖα. Ἀλλ' ἐκεῖνος ἐξαπλώνει εἰς τὰ συμπόσια, σὺ ὅμως στέκεσαι ὄρθιος.

Καὶ τί μὲ αὐτό; τοῦτο δὲν συμβαίνει μόνον εἰς αὐτὸν ἀλλὰ καὶ εἰς ἐσένα. Ὡς γνωστόν, πολλάκις ἐνῷ σὺ εἶσαι ἐξαπλωμένος καὶ κοιμᾶσαι γλυκά, ἐκεῖνος δὲν εἶναι ἁπλῶς ὄρθιος, ἀλλὰ καὶ μυρίας δυσκολίας ἀντιμετωπίζει εἰς τὴν ἀγορὰν καὶ ἀγρυπνεῖ χειρότερον ἀπὸ ἐσένα. Τί ἔπαθε λοιπὸν ἀπὸ τὴν κυρίαν του ὁ Ἰωσὴφ ἀνάλογον μὲ ἐκεῖνο ποὺ ἔπαθεν ἐκείνη ἀπὸ τὴν ἐπιθυμίαν της; Αὐτὸς μὲν δὲν ἔκαμεν ὅσα ἐκείνη ἠθέλησε νὰ τοῦ ἐπιβάλῃ· ἐκείνη ὅμως ἔκαμεν ὅλα ὅσα τὴν διέταξεν ἡ κυρία της, ἐννοῶ τὴν ἀσέλγειαν· καὶ δὲν ἐσταμάτησε παρὰ μόνον ἀφοῦ τὴν ἐξηυτέλισε. Ποῖος κύριος δίδει αὐτὰς τὰς ἐντολάς; ποῖος ὠμὸς τύραννος; Παρακάλεσε, λέγει, τὸν δοῦλον σου, ἱκέτευσε τὸν αἰχμάλωτον, κολάκευσε τὸν ἀργυρώνητον[22]· καὶ ἂν σὲ περιφρονήσῃ, πάλιν νὰ ἐπιμείνῃς· καὶ ἂν πολλάκις τοῦ τὸ εἴπῃς καὶ δὲν ὑποκύψῃ, κοίταξε νὰ μὴ σὲ βλέπῃ κανεὶς καὶ χρησιμοποίησε βίαν, καὶ γίνε καταγέλαστος. Τί ἀτιμότερον, τί αἰσχρότερον ἀπὸ αὐτοὺς τοὺς λόγους; Ἂν ὅμως οὔτε ἔτσι ἐπιτύχῃς τίποτε, τότε χρησιμοποίησε ἀκόμη καὶ συκοφαντίας καὶ ἀπάτας εἰς βάρος τοῦ συζύγου σου.

Πρόσεξε πόσον αἰσχρά, πόσον σκληρὰ καὶ ὠμὰ καὶ μανιακὰ εἶναι τὰ προστάγματά της. Τί διατάσσει ὁ κύριος ἑνὸς δούλου ἀνάλογον μὲ ὅσα διέταξε τότε ἡ ἀσέλγεια ἐκείνην τὴν βασίλισσαν; καὶ ὅμως δὲν ἐτόλμησε νὰ παρακούσῃ. Ὁ δὲ Ἰωσὴφ δὲν ὑπέστη τίποτε τέτοιο, ἀλλὰ ὅλα τὰ ἀντίθετα, τὰ ὁποῖα τοῦ ἔφεραν δόξαν καὶ τιμήν. Θέλεις νὰ ἰδῇς καὶ ἄλλον ἄνδρα, ὁ ὁποῖος ἔλαβε πολλὰς διαταγὰς ἀπὸ κακὴν κυρίαν καὶ ὅμως καθόλου δὲν ἐτόλμησε νὰ παρακούσῃ; Σκέψου τὸν Κάϊν, πόσας ἐντολὰς ἔλαβεν ἀπὸ τὸν φθόνον. Ἐκεῖνος τὸν διέταξε νὰ σφάξῃ τὸν ἀδελφόν του, νὰ ψευσθῇ εἰς τὸν Θεόν, νὰ λυπήσῃ τὸν πατέρα του, νὰ δείξῃ ἀναισχυντίαν,

τῆσαι, καὶ πάντα ἐποίησε, καὶ οὐδὲν παρήκουσε. Καὶ τί θαυμάζεις, εἰ ἐφ' ἑνὸς τοσαύτην ἔχει ἰσχὺν αὕτη ἡ δέσποινα; Ὁλοκλήρους πολλάκις δήμους ἀπώλεσε. Τοὺς γοῦν Ἰουδαίους αἱ γυναῖκες τῶν Μαδιηναίων δεδεμένους σχεδὸν αἰχμαλώτους ἔλαβον τῇ τῆς οἰκείας εὐμορφίας ἐπιθυμίᾳ τούτους χειρωσάμεναι πάντας.

7. Ταύτην τοίνυν τὴν δουλείαν ἐκβάλλων ὁ Παῦλος ἔλεγε· «Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων»· τουτέστι, μὴ πείθεσθε ἀνθρώποις ἄτοπα ἐπιτάττουσιν, ἀλλὰ μηδὲ ἑαυτοῖς. Εἶτα ἀνενεγκὼν τὴν διάνοιαν καὶ ποιήσας ὑψηλήν, φησί· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι». Ὁδῷ καὶ τάξει προβαίνων καὶ τῆς παρθενίας μνημονεύει λοιπόν. Ἐπειδὴ γὰρ τοῖς περὶ ἐγκρατείας αὐτοὺς ἐνεγύμνασέ τε καὶ ἐρρύθμισε λόγοις, ἐκβαίνει πρὸς τὸ μεῖζον, ἐπιταγὴν οὐκ ἔχω, λέγων, ἀλλὰ νομίζω καλὸν εἶναι. Διὰ τί; Διὰ τὴν αὐτὴν αἰτίαν, ἣν περὶ τῆς ἐγκρατείας τέθεικε.

«Δέδεσθαι γυναικί; μὴ ζήτει λύσιν. Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα». Ταῦτα οὐκ ἐναντιουμένου ἐστὶ τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συνᾴδοντος. Καὶ γὰρ καὶ ἐκεῖ φησιν, «Εἰ μή τι ἂν ἐκ συμφώνου», καὶ ἐνταῦθά φησι, «Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν»· τοῦτο δὲ οὐκ ἔστιν ἐναντίον. Τὸ γὰρ παρὰ γνώμην, λύσις ἐστίν· εἰ δὲ κατὰ γνώμην ἀμφότεροι ἐγκρατεύοιντο, οὐκ ἔστι λύσις. Εἶτα ἵνα μὴ δόξῃ νομοθεσία εἶναι τοῦτο, ἐπήγαγεν· «Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες». Εἶτα τὰ παρόντα αἰτιᾶται, τὴν ἐνεστῶσαν ἀνάγκην καὶ τὸν συνεσταλμένον καιρὸν καὶ τὴν θλῖψιν. Πολλὰ γὰρ ὁ γάμος ἐπισύρεται, ἅπερ ᾐνίξατο καὶ ἐνταῦθα καὶ ἐν τῷ περὶ ἐγκρατείας λόγῳ, ἐκεῖ μὲν εἰπὼν ὅτι οὐκ ἔχει ἐξουσίαν ἑαυτῆς ἡ γυνή, ἐνταῦθα δὲ εἰπών, «δέδεσαι». «Ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες» οὐ περὶ τῆς

23. Α΄ Κορ. 7,25-26.
24. αὐτ. 27.
25. αὐτ. 28.

καὶ τὰ ἔκαμεν ὅλα καὶ εἰς τίποτε δὲν παρήκουσε. Καὶ διατί θαυμάζεις ποὺ τόσην δύναμιν ἔχει αὐτὴ ἡ κυρία ἐπὶ ἑνὸς ἀνθρώπου; Ὁλοκλήρους λαοὺς πολλάκις κατέστρεψεν. Ὡς γνωστόν, αἱ γυναῖκες τῶν Μαδιηναίων συνέλαβον σχεδὸν αἰχμαλώτους δεμένους τοὺς Ἰουδαίους, ἀφοῦ τοὺς ἐσκλάβωσαν μὲ τὴν ἐπιθυμίαν τῆς ὀμορφιᾶς των.

7. Καταδικάζων λοιπὸν αὐτὴν τὴν δουλείαν ὁ Παῦλος ἔλεγε· «Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων», δηλαδὴ μὴ ὑπακούετε εἰς ἀνθρώπους ποὺ σᾶς διατάσσουν ἄτοπα πράγματα, ἀλλὰ οὔτε καὶ εἰς τοὺς ἑαυτούς σας. Ἔπειτα, ἀφοῦ ὕψωσε τὴν σκέψιν του καὶ τὴν ἔκαμεν ἀνωτέραν, λέγει· «Ὅσον ἀφορᾷ δὲ τὰς παρθένους δὲν ἔχω ἐντολὴν Κυρίου, ἀλλὰ δίδω γνώμην ὡσὰν ἕνας ποὺ ἔχει ἐλεηθῇ ἀπὸ τὸν Κύριον νὰ εἶναι ἀξιόπιστος»[23]. Προχωρεῖ μὲ τάξιν καὶ ἐν συνεχείᾳ ἀναφέρει τὸ θέμα τῆς παρθενίας. Ἀφοῦ δηλαδὴ ἐγύμνασεν αὐτοὺς καὶ μὲ τοὺς λόγους του ἐρρύθμισε τὸ ζήτημα τῆς ἐγκρατείας, προχωρεῖ πρὸς τὸ ἀνώτερον λέγων· «Δὲν ἔχω ἐντολήν, ἀλλὰ νομίζω ὅτι εἶναι καλόν». Διατί; Διὰ τὴν ἰδίαν αἰτίαν, τὴν ὁποίαν προέβαλε περὶ τῆς ἐγκρατείας.

«Ἔχεις δεθῇ μὲ γυναῖκα; μὴ ζητῇς νὰ λυθῇς. Εἶσαι ἐλεύθερος ἀπὸ γυναῖκα; μὴ ζητῇς γυναῖκα»[24]. Αὐτὰ δὲν ἔρχονται εἰς ἀντίθεσιν μὲ τὰ προηγούμενα ἀλλὰ συμφωνοῦν ἀπολύτως. Διότι καὶ ἐκεῖ λέγει· «Ἐκτὸς ἂν ἀποφασίσετε κάτι ἀπὸ κοινοῦ»· καὶ ἐδῶ λέγει· «Ἔχεις δεθῇ μὲ γυναῖκα; μὴ ζητῇς νὰ λυθῇς»· τοῦτο δὲ δὲν εἶναι ἀντίθετον. Τὸ νὰ κάνῃ κανεὶς κάτι παρὰ τὴν γνώμην τοῦ ἄλλου εἶναι λύσις τοῦ γάμου· ἐὰν ὅμως συμφωνοῦν καὶ οἱ δύο καὶ ἐγκρατεύωνται, δὲν εἶναι λύσις. Κατόπιν, διὰ νὰ μὴ φανῇ τοῦτο θέσπισις νέου νόμου, προσέθεσεν· «Ἐὰν δὲ καὶ νυμφευθῇς, δὲν ἡμάρτησες»[25]. Ἔπειτα φέρει ὡς αἰτίαν τὴν κατάστασιν τῆς παρούσης ζωῆς, τὴν ὑπάρχουσαν ἀνάγκην, τὸν περιωρισμένον χρόνον καὶ τὴν θλῖψιν. Ὁ γάμος δηλαδὴ ἐπισύρει πολλά, τὰ ὁποῖα ἔθιξε κάπως καὶ ἐδῶ καὶ εἰς ὅσα εἶπε περὶ ἐγκρατείας· ἐκεῖ μὲν εἶπεν ὅτι ἡ γυναῖκα δὲν ἐξουσιάζει τὸν ἑαυτόν της, ἐδῶ δὲ εἶπεν, «ἔχεις δεθῇ». «Ἐὰν δὲ καὶ νυμφευθῇς, δὲν ἡμάρτησες»· δὲν ὁμιλεῖ δι' ἐκείνην ποὺ ἐπροτίμησε τὴν παρθενίαν· αὐτὴ βεβαίως ἤδη ἡμάρτησε.

παρθενίαν ἑλομένης· ἤδη γὰρ αὕτη ἥμαρτεν. Εἰ γὰρ αἱ χῆραι κρίμα ἔχουσι δευτέροις ὁμιλοῦσαι γάμοις, ἐὰν ἅπαξ ἕλωνται χηρείαν, πολλῷ μᾶλλον αἱ παρθένοι.

«Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι». Ἀλλὰ καὶ ἡδονήν, φησίν. Ἀλλὰ καὶ ταύτην· ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ εἰπών, «Ὁ καιρὸς συνεσταλμένος ἐστί»· τουτέστιν, ἀποδημεῖν κελευόμεθα καὶ ἀξιέναι λοιπόν, σὺ δὲ ἐνδοτέρω τρέχεις. Καίτοι εἰ καὶ μηδὲν εἶχεν ἀπαχθὲς ὁ γάμος, καὶ οὕτως ἐπείγεσθαι πρὸς τὰ μέλλοντα ἔδει· ὅταν δὲ καὶ θλῖψιν ἔχῃ, τί δεῖ φορτίον ἐπισύρεσθαι; Τί χρὴ λαβεῖν τοσοῦτον ὄγκον, ὅταν καὶ μετὰ τὸ λαβεῖν οὕτω δέοι χρῆσθαι, ὡς μὴ ἔχοντα; καὶ γὰρ «Οἱ ἔχοντες γυναῖκας», φησίν, «ἵνα ὡς μὴ ἔχοντες ὦσιν».

Εἶτα ἐνθείς τι καὶ τῶν μελλόντων, πάλιν πρὸς τὸ παρὸν ἤγαγε τὸν λόγον. Τὰ μὲν γὰρ πνευματικά ἐστιν, ὅτι ἡ μὲν τὰ τοῦ ἀνδρός, ἡ δὲ τὰ τοῦ Θεοῦ μεριμνᾷ· τὰ δὲ τοῦ παρόντος βίου, τό, «Θέλω ὑμᾶς ἀμερίμνους εἶναι». Ἀλλ' ὅμως καὶ οὕτως ἀφίησι κυρίους· ὁ γὰρ μετὰ τὸ ἀποδεῖξαι τὸ αἱρετὸν πάλιν ἀναγκάζων, δοκεῖ μὴ θαρρεῖν τοῖς ἑαυτοῦ λόγοις. Ὥστε τῇ συγχωρήσει μᾶλλον ἐπηγάγετο καὶ κατέσχεν εἰπών· «Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον». Ἀκουέτωσαν αἱ παρθένοι ὅτι οὐκ ἐν τούτῳ ὥρισται ἡ παρθενία· ἡ γὰρ μεριμνῶσα τὰ τοῦ κόσμου οὐδ' ἂν εἴη παρθένος οὐδὲ εὐσχήμων. Εἰπὼν γάρ, «Μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος», τοῦτο τέθεικε τὸ διάφορον καὶ ᾧ διεστήκασιν ἀλλήλων. Καὶ ὅρον διδοὺς τῆς παρθένου καὶ τῆς οὐ παρθένου, οὐ γάμον εἶπεν οὐδὲ ἐγκράτειαν, ἀλλὰ ἀπραγμοσύνην καὶ πολυπραγμοσύνην.

---

26. αὐτ. 29.
27. αὐτ. 32.
28. αὐτ. 35.
29. αὐτ. 34.

Διότι, ἐὰν καταδικάζωνται αἱ χῆραι, ἐπειδὴ προχωροῦν εἰς δευτέρους γάμους, ἐφ' ὅσον κάποτε προετίμησαν τὴν χηρείαν, πολὺ περισσότερον καταδικάζονται αἱ παρθένοι.

«Οἱ ἄνθρωποι αὐτοὶ θὰ ἔχουν θλῖψιν εἰς τὴν ζωήν των». Ἀλλὰ θὰ ἔχουν καὶ ἡδονήν, θὰ ἠμποροῦσε νὰ προσθέση κάποιος. Ἀλλὰ πρόσεξε πῶς περιώρισε καὶ τὴν ἀξίαν αὐτῆς μὲ τὸ νὰ ἀναφέρῃ πόσον εἶναι σύντομος ὁ καιρὸς λέγων· «Ὁ καιρὸς εἶναι περιωρισμένος»[26]· δηλαδή, διατασσόμεθα νὰ ξεκινήσωμεν διὰ ταξίδι καὶ πρόκειται νὰ ἐξέλθωμεν, σὺ ὅμως τρέχεις πιὸ μέσα. Καὶ ὅμως, καὶ ἂν ἀκόμη δὲν εἶχε τίποτε τὸ βαρὺ ὁ γάμος, καὶ πάλιν ἔπρεπε νὰ βιάζεσαι διὰ τὰ μέλλοντα· ἐφ' ὅσον ὅμως ἔχει τὴν θλῖψιν, διατὶ πρέπει νὰ ἔχῃς ἐπάνω σου φορτίον; Διατί χρειάζεται νὰ λάβῃς τόσον μεγάλον ὄγκον, ἐφ' ὅσον καὶ ἀφοῦ τὸν λάβῃς, πρέπει ἔτσι νὰ τὸν χρησιμοποιῇς ὡσὰν νὰ μὴ τὸν ἔχῃς; διότι λέγει· «Ὅσοι ἔχουν γυναῖκας νὰ εἶναι ὡς νὰ μὴ ἔχουν».

Κατόπιν, ἀφοῦ ἀνέφερε κάτι ἀπὸ τὰ μέλλοντα, πάλιν μετέφερε τὸν λόγον εἰς τὸ παρόν. Τὰ πνευματικὰ εἶναι ὅτι ἡ μὲν ἔγγαμος μεριμνᾷ διὰ τὸν ἄνδρα της, ἡ δὲ ἄγαμος διὰ τὸν Θεόν· τοῦ παρόντος βίου εἶναι τὸ «Θέλω νὰ εἶσθε ἐλεύθεροι ἀπὸ μερίμνας»[27]. Ἀλλ' ὅμως καὶ ἔτσι τοὺς ἀφήνει ἐλευθέρους νὰ ἐκλέξουν· διότι ὅποιος ἐτόνισε τὸ προαιρετικὸν τοῦ πράγματος καὶ μετὰ πάλιν πιέζει τοὺς ἀνθρώπους, φαίνεται ὅτι δὲν ἔχει ἐμπιστοσύνην εἰς τοὺς ἰδικούς του λόγους. Ὥστε διὰ νὰ δείξῃ κατανόησιν μᾶλλον προσέθεσε καὶ εἶπεν ἐν συνεχείᾳ «Αὐτὸ σᾶς τὸ λέγω διὰ τὸ ἰδικόν σας συμφέρον, ὄχι διὰ νὰ σᾶς βάλω θηλειὰν εἰς τὸν λαιμόν, ἀλλὰ διὰ νὰ δείξετε καλὴν συμπεριφορὰν καὶ νὰ ἔχετε τιμητικὴν θέσιν κοντὰ εἰς τὸν Κύριον»[28]. Ἂς ἀκούσουν αἱ παρθένοι ὅτι ἡ παρθενία δὲν ὁρίζεται μὲ αὐτὴν ὡς κριτήριον· ἐκείνη δηλαδὴ ποὺ μεριμνᾷ διὰ τὰ κοσμικὰ πράγματα δὲν ἠμπορεῖ νὰ εἶναι οὔτε παρθένος οὔτε κοσμία. Μὲ τὸ νὰ εἴπῃ δηλαδή, «Διαφέρουν ἡ ἔγγαμος γυναῖκα καὶ ἡ ἄγαμος παρθένος»[29], αὐτὸ τονίζει τὴν διαφορὰν καὶ τὴν ἀπόστασιν μεταξύ των. Καὶ μάλιστα καθώρισε τὴν εἰδοποιὸν διαφορὰν μεταξὺ παρθένου καὶ μὴ παρθένου· εἶπεν ὅτι αὐτὴ δὲν εἶναι ὁ γάμος οὔτε ἡ

Οὐ γὰρ ἡ μίξις πονηρόν, ἀλλὰ τὸ ἐμποδίζεσθαι πρὸς φιλοσοφίαν.

«Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει». Ἐνταῦθα δοκεῖ μὲν ὑπὲρ γάμου διαλέγεσθαι, τὸ δὲ πᾶν περὶ παρθενίας φησίν· ἐπεὶ καὶ δεύτερον συγχωρεῖ γάμον, «μόνον ἐν Κυρίῳ» λέγων. Τί δέ ἐστιν, «ἐν Κυρίῳ;» Μετὰ σωφροσύνης, μετὰ κοσμιότητος. Ταύτης γὰρ πανταχοῦ χρεία καὶ δεῖ ταύτην διώκειν· ἄλλως γὰρ οὐκ ἔστιν ἰδεῖν τὸν Θεόν. Εἰ δὲ παρεδράμομεν τὰ περὶ τῆς παρθενίας, μηδεὶς ἡμῶν ὄκνον καταγινωσκέτω. Καὶ γὰρ ὁλόκληρον βιβλίον ἡμῖν εἰς τοῦτο σύγκειται τὸ χωρίον, καὶ μετὰ ἀκριβείας τῆς ἡμῖν ἐγχωρούσης ἐκεῖ πᾶσιν ἐπεξελθόντες, περιττολογίαν εἶναι ἐνομίσαμεν καὶ ἐνταῦθα πάλιν αὐτὰ ἐνθεῖναι. Διόπερ ἐκεῖ παραπέμψαντες ὑπὲρ τούτων τὸν ἀκροατήν, ἐνταῦθα ἐκεῖνο ἐροῦμεν, ὅτι τὴν ἐγκράτειαν δεῖ διώκειν. «Εἰρήνην», γὰρ φησί, «διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον».

Ἵν' οὖν ἰδεῖν αὐτὸν καταξιωθῶμεν, κἂν ἐν παρθενίᾳ ὦμεν, κἂν ἐν πρώτῳ γάμῳ, κἂν ἐν δευτέρῳ, ταύτην μεταδιώκωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

30. αὐτ. 36.
31. αὐτ. 39.
32. Βλ. ἔργον Ἰωάνν. Χρυσοστόμου «Περὶ Παρθενίας» Ε.Π.Ε. τ. 29 PG, 48, 533—596.
33. Ἑβρ. 12,14.

ἐγκράτεια, ἀλλὰ ἡ ἡσυχία καὶ ἡ πολυπραγμοσύνη. Διότι τὸ κακὸν δὲν εἶναι ἡ σαρκικὴ ἕνωσις ἀλλὰ τὸ ἐμπόδιον διὰ τὴν φιλοσοφίαν.

«Ἐὰν δὲ κάποιος νομίζῃ ὅτι φέρεται ἀνάρμοστα πρὸς τὴν παρθένον του»[30]. Ἐδῶ φαίνεται μὲν ὅτι ὁμιλεῖ ὑπὲρ τοῦ γάμου, τὸ ὅλον πνεῦμα ὅμως εἶναι περὶ παρθενίας· διότι ἐπιτρέπει καὶ δεύτερον γάμον λέγων, «μόνον ἐν Κυρίῳ»[31]. Καὶ τί σημαίνει «ἐν Κυρίῳ»; Μὲ σωφροσύνην, μὲ κοσμιότητα. Διότι αὐτὴν παντοῦ τὴν χρειαζόμεθα καὶ αὐτὴν πρέπει νὰ ἐπιδιώκωμεν, διότι ἄλλιως δὲν εἶναι δυνατὸν νὰ ἴδωμεν τὸν Θεόν. Ἐὰν δὲ ἐξητάσαμεν ἐπιτροχάδην τὸ θέμα τῆς παρθενίας, κανεὶς νὰ μὴ μᾶς κατηγορήσῃ διὰ ἀμέλειαν, διότι ἔχομεν γράψει ὁλόκληρον βιβλίον[32] διὰ τὸ χωρίον τοῦτο· καὶ ἐπειδὴ ἐκεῖ ἐξητάσαμεν τὸ θέμα μὲ ὅσην ἀκρίβειαν ἠμπορούσαμεν, τὸ ἐθεωρήσαμεν περιττολογίαν νὰ τὰ περιλάβωμεν καὶ ἐδῶ πάλιν. Διὰ τοῦτο, ἀφοῦ παραπέμψωμεν ἐκεῖ τὸν ἀκροατὴν διὰ τὰ θέματα αὐτά, ἐδῶ θὰ εἴπωμεν τὸ ἑξῆς, ὅτι πρέπει νὰ ἐπιδιώκωμεν τὴν ἐγκράτειαν· διότι λέγει· «Νὰ ἐπιδιώκετε τὴν εἰρήνην καὶ τὸν ἁγιασμόν, χωρὶς τὸν ὁποῖον κανεὶς δὲν θὰ ἴδῃ τὸν Κύριον»[33].

Διὰ νὰ καταξιωθῶμεν λοιπὸν νὰ τὸν ἴδωμεν, εἴτε ζῶμεν ἐν παρθενίᾳ εἴτε εἰς πρῶτον γάμον εἴτε εἰς δεύτερον, αὐτὴν (τὴν παρθενίαν) ἂς ἐπιδιώκωμεν, διὰ νὰ εἰσέλθωμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν μὲ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Κ.
Α' Κορ. 8, 1-13

«Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ».

1. Ἀναγκαῖον πρῶτον εἰπεῖν τί βούλεται αὐτῷ τουτὶ τὸ χωρίον· οὕτω γὰρ εὔληπτος ἔσται ὁ λόγος ἡμῖν. Ὁ γὰρ ἐγκαλούμενόν τινα ὁρῶν, ἂν μὴ πρότερον ἴδῃ τοῦ ἁμαρτήματος τὴν φύσιν, οὐκ εἴσεται τίνα ἐστὶ τὰ λεγόμενα. Τί ποτ' οὖν ἐστιν ὅπερ ἐνεκάλει τότε Κορινθίοις; Ἔγκλημα μέγα καὶ πολλῶν αἴτιον κακῶν. Ποῖον δὴ τοῦτο; Πολλοὶ παρ' αὐτοῖς μαθόντες ὅτι οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον ἀλλὰ τὰ ἐκπορευόμενα καὶ ὅτι τὰ εἴδωλα ξύλα καὶ λίθοι καὶ δαίμονες οὔτε βλάψαι οὔτε ὠφελῆσαι δυνάμενα, ἀμέτρως τῇ τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρηντο καὶ εἰς τὴν ἑτέρων καὶ εἰς τὴν ἑαυτῶν βλάβην. Καὶ γὰρ εἰς εἴδωλα εἰσῄεσαν, καὶ τῶν αὐτόθι μετεῖχον τραπεζῶν, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον· οἵ τε γὰρ ἔτι τὸν τῶν εἰδώλων ἔχοντες φόβον, καὶ οὐκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῶν δείπνων ἐκείνων, ἐπειδὴ τοὺς τελειοτέρους ἑώρων τοῦτο ποιοῦντας, καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο· οὐδὲ γὰρ μετὰ τῆς αὐτῆς ἐκείνοις γνώμης ἥπτοντο τῶν προκειμένων, ἀλλ' ὡς εἰδωλοθύτων, καὶ ὁδὸς ἐπὶ εἰδωλολατρείαν τὸ πρᾶγμα ἐγίνετο· αὐτοί τε οὗτοι πάλιν οἱ δῆθεν τελειότεροι οὐχ ὡς ἔτυχεν ἠδικοῦντο δαιμονικῶν ἀπολαύοντες τραπεζῶν.

Τὸ μὲν οὖν ἔγκλημα τοῦτο ἦν· ὁ δὲ μακάριος οὗτος μέλλων αὐτὸ διορθοῦν οὐκ εὐθέως καταφορικῶς κέχρηται

---

1. Α' Κορ. 8,1.

2. Ἀναφέρεται εἰς τὴν συνήθειαν πολλῶν κατὰ τὴν ἀρχαιότητα νὰ ἀγοράζουν εἰς πολὺ χαμηλὰς τιμὰς κρέατα ζώων, τὰ ὁποῖα εἶχον χρησιμοποιηθῆ εἰς θυσίας εἰδωλολατρικάς, καὶ νὰ τὰ τρώγουν μὲ τὰς οἰκογενείας των ὡς σύνηθες φαγητόν.

ΛΟΓΟΣ Κ′
Α′ Κορ. 8, 1—13

«Ὅσον ἀφορᾷ δὲ τὰ κρέατα τῶν θυσιῶν, γνωρίζομεν ὅτι ὅλοι ἔχομεν γνῶσιν. Ἡ γνῶσις μᾶς γεμίζει μὲ ὑπερηφάνειαν, ἡ ἀγάπη ὅμως οἰκοδομεῖ»[1].

1. Κατὰ πρῶτον εἶναι ἀναγκαῖον νὰ εἴπωμεν τί θέλει νὰ εἴπῃ μὲ αὐτὸ ἐδῶ τὸ χωρίον, διότι ἔτσι θὰ εἶναι κατανοητὸς ὁ λόγος μας. Ἐκεῖνος ποὺ βλέπει κάποιον κατηγορούμενον δὲν θὰ καταλάβῃ τὰς κατηγορίας, ἂν προηγουμένως δὲν ἴδῃ τὴν φύσιν τοῦ ἁμαρτήματος. Ποῖοι εἶναι λοιπὸν οἱ λόγοι διὰ τοὺς ὁποίους κατηγόρει τότε τοὺς Κορινθίους; Ἔγκλημα μέγα καὶ αἴτιον πολλῶν κακῶν. Ποῖον λοιπὸν εἶναι τοῦτο; Πολλοὶ ἀπὸ αὐτούς, ἐπειδὴ ἔμαθαν ὅτι δὲν εἶναι τὰ εἰσερχόμενα ποὺ μολύνουν τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα καὶ ὅτι τὰ εἴδωλα εἶναι ξύλα καὶ λίθοι καὶ δαίμονες, ποὺ δὲν ἠμποροῦν οὔτε νὰ βλάψουν οὔτε νὰ ὠφελήσουν, ἔκαμναν κατάχρησιν αὐτῆς τῆς γνώσεώς των μὲ βλάβην καὶ τῶν ἄλλων καὶ τῶν ἑαυτῶν των. Καὶ ἔτσι ἐπήγαιναν εἰς εἴδωλα[2] καὶ συμμετεῖχον εἰς τὰς ἐκεῖ τραπέζας καὶ ὡς ἐκ τούτου προεκάλουν μέγαν ὄλεθρον· διότι ἐκεῖνοι ποὺ κατείχοντο ἀκόμη ἀπὸ τὸν φόβον τῶν εἰδώλων καὶ δὲν ἔμαθον νὰ τὰ καταφρονοῦν, συμμετεῖχον εἰς ἐκεῖνα τὰ δεῖπνα, διότι ἔβλεπον τοὺς τελειοτέρους νὰ κάνουν τὸ ἴδιο, καὶ διὰ τὸν λόγον αὐτὸν ἐβλάπτοντο πάρα πολύ· διότι δὲν ἤγγιζον ὅσα τοὺς παρέθετον μὲ τὸ ἴδιον πνεῦμα μὲ ἐκείνους, ἀλλὰ τὰ ἤγγιζον ὡς εἰδωλόθυτα, καὶ τὸ πρᾶγμα ἐγίνετο ὁδὸς πρὸς εἰδωλολατρείαν· καὶ αὐτοὶ πάλιν οἱ δῆθεν τελειότεροι ἠδικοῦντο πολὺ μὲ τὸ νὰ χαίρωνται δαιμονικὰς τραπέζας.

Αὐτὸ λοιπὸν ἦτο τὸ ἔγκλημα· ὁ δὲ μακάριος ἐκεῖνος Παῦλος εἰς τὴν προσπάθειάν του νὰ τὸ διορθώσῃ δὲν ἤρχισεν εὐθὺς ἐξ ἀρ-

τῷ λόγῳ· καὶ γὰρ ἀνοίας μᾶλλον ἢ κακίας ἦν τὸ γινόμενον. Διὸ καὶ παραινέσεως ἐν ἀρχῇ μᾶλλον ἐδεῖτο ἢ ἐπιπλήξεως σφοδρᾶς καὶ ὀργῆς. Σκόπει τοίνυν αὐτοῦ τὴν σύνεσιν, πῶς εὐθέως ἄρχεται τῆς νουθεσίας. «Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν». Τοὺς ἀσθενεῖς ἀφείς, ὅπερ ἀεὶ ποιεῖ, τοῖς ἰσχύουσι διαλέγεται πρώτοις. Τοῦτο γὰρ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐποίησεν εἰπών· «Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;» οὗτος γάρ ἐστιν ὁ καὶ ἐπιτίμησιν εὐκόλως δέξασθαι δυνάμενος. Ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ· καὶ κενοῖ τὸν τῦφον αὐτῶν πρῶτον, ὅπερ ἐνόμιζον αὐτῶν εἶναι ἐξαίρετον τὸ γνῶσιν ἔχειν τελείαν, τοῦτο κοινὸν ἀποφήνας. «Οἴδαμεν», γὰρ φησίν, «ὅτι πάντες γνῶσιν ἔχομεν». Καὶ γὰρ εἰ ἀφεὶς αὐτοὺς μέγα φρονεῖν, πρῶτον ἔδειξεν ἐπιβλαβὲς ὂν τὸ πρᾶγμα ἑτέροις, οὐδὲν ἂν τοσοῦτον ὠφέλησεν, ὅσον ἔβλαψεν· ἡ γὰρ φιλότιμος ψυχή, ὅταν ἐπί τινι καλλωπίζηται, κἂν ἑτέρους βλάπτῃ τοῦτο, σφόδρα αὐτοῦ ἔχεται διὰ τὴν τῆς κενοδοξίας τυραννίδα.

Διὰ τοῦτο Παῦλος πρῶτον αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάζει, ὅπερ καὶ ἐπὶ τῆς σοφίας τῆς ἔξωθεν ἐν τοῖς ἔμπροσθεν ἐποίησε καθαιρῶν αὐτὴν μεθ' ὑπερβολῆς. Ἀλλ' ἐκεῖ μὲν τοῦτο εἰκότως ἐποίει· ὅλον γὰρ διόλου κατηγορίας ἄξιον ἦν, καὶ πολλὴ ἡ εὐκολία· διόπερ οὐδὲ περιττὸν αὐτὸ δείκνυσι μόνον, ἀλλὰ καὶ ἐναντίον τῷ κηρύγματι. Ἐνταῦθα δὲ οὐκ ἐνῆν τοῦτο ποιῆσαι· γνῶσις γὰρ ἦν τὸ τελούμενον, καὶ γνῶσις τελεία. Οὔτε οὖν αὐτὴν καταβαλεῖν ἀσφαλὲς ἦν, καὶ τὸν τῦφον ἄλλως οὐκ ἐνῆν ἐκβαλεῖν τὸν ἐπὶ ταύτῃ.

Τί οὖν ποιεῖ; Πρῶτον τῷ δεῖξαι κοινὴν αὐτὴν οὖσαν καταστέλλει τὸ φύσημα τὸ ἐκείνων. Οἱ γὰρ ἔχοντές τι μέγα καὶ καλόν, ὅταν μόνοι ἔχωσι, μᾶλλον ἐπαίρονται· ἂν δὲ μετὰ ἄλλων φανῶσιν αὐτὸ κεκτημένοι, οὐκέτι ὁμοίως τοῦ-

3. Ρωμ. 14,10.

χῆς τὸν λόγον του ἐπιτιμητικῶς· διότι βεβαίως αὐτὸ ποὺ ἐγίνετο προήρχετο ἀπὸ μωρίαν μᾶλλον παρὰ ἀπὸ φαυλότητα. Διὰ τοῦτο ἐχρειάζετο εἰς τὴν κατ᾽ ἀρχὴν παραίνεσιν μᾶλλον παρὰ αὐστηρὰν ἐπίπληξιν καὶ ὀργήν. Πρόσεξε λοιπὸν τὴν σύνεσίν του, πῶς εὐθὺς ἀρχίζει τὴν νουθεσίαν. «Ὅσον ἀφορᾷ δὲ τὰ κρέατα τῶν θυσιῶν, γνωρίζομεν ὅτι ὅλοι ἔχομεν γνῶσιν». Ἄφησε τοὺς ἀδυνάτους —πρᾶγμα ποὺ τὸ κάμνει πάντοτε— καὶ ἀπευθύνεται πρῶτα πρὸς τοὺς ἰσχυρούς. Τοῦτο τὸ ἔκαμε καὶ εἰς τὴν ἐπιστολήν του πρὸς τοὺς Ρωμαίους, ὅταν εἶπε· «Σὺ δὲ διατί κρίνεις τὸν ἀδελφόν σου;»[3], διότι αὐτὸς εἶναι ποὺ ἠμπορεῖ νὰ δεχθῇ καὶ ἐπιτίμησιν εὐκόλως. Αὐτὸ λοιπὸν τὸ κάμνει καὶ ἐδῶ· καὶ καταρρίπτει κατὰ πρῶτον τὴν ἀλαζονείαν αὐτῶν μὲ τὸ νὰ δηλώσῃ ὅτι εἶναι κάτι τὸ κοινὸν αὐτὸ ποὺ ἐκεῖνοι ἐνόμιζον ὅτι εἶναι ἐξαιρετικόν, τὸ νὰ ἔχουν τελείαν γνῶσιν. «Γνωρίζομεν», λέγει, «ὅτι ὅλοι ἔχομεν γνῶσιν». Ἐὰν ἄφηνεν αὐτοὺς νὰ μεγαλοφρονοῦν καὶ ἐδείκνυε κατὰ πρῶτον εἰς τοὺς ἄλλους ὅτι τὸ πρᾶγμα εἶναι ἐπιβλαβές, καθόλου δὲν θὰ ὠφελοῦσε τόσον ὅσον θὰ ἔβλαπτε· διότι ἡ φιλόδοξος ψυχή, ὅταν καμαρώνῃ διὰ κάτι, ἀκόμη καὶ ἂν τοῦτο βλάπτῃ ἄλλους, εἶναι στενῶς προσκολλημένη εἰς αὐτό, διότι τυραννεῖται ἀπὸ τὴν κενοδοξίαν.

Διὰ τοῦτο ὁ Παῦλος κατὰ πρῶτον ἐξετάζει αὐτὸ καθ᾽ ἑαυτὸ τὸ θέμα, πρᾶγμα τὸ ὁποῖον προηγουμένως ἔκαμε καὶ μὲ τὴν σοφίαν τοῦ κόσμου καταδικάζων αὐτὴν μὲ ἔντασιν. Ἀλλ᾽ ἐκεῖ μὲν τοῦτο εὐλόγως τὸ ἔκανε, διότι ἤξιζε πλήρως τὴν κατηγορίαν, καὶ ἦτο πολὺ εὔκολον· διὰ τοῦτο δηλώνει ὅτι αὐτὸ δὲν εἶναι μόνον περιττὸν ἀλλὰ καὶ ἀντίθετον εἰς τὸ κήρυγμα. Ἐδῶ ὅμως δὲν ἦτο δυνατὸν νὰ κάμῃ τοῦτο· διότι ἐδῶ πρόκειται διὰ γνῶσιν καὶ μάλιστα τελείαν γνῶσιν. Οὔτε ἦτο λοιπὸν ἀσφαλὲς νὰ τὴν ἀπορρίψῃ, οὔτε ὅμως ἦτο δυνατὸν ἀλλιῶς νὰ ἐκβάλῃ τὴν ἀλαζονείαν ποὺ ἐστηρίζετο εἰς αὐτήν.

Τί κάμνει λοιπόν; Κατὰ πρῶτον μὲ τὸ νὰ τονίσῃ ὅτι αὐτὴ εἶναι κάτι τὸ κοινὸν περιορίζει τὴν ἀλαζονείαν ἐκείνων. Διότι ἐκεῖνοι ποὺ κατέχουν κάτι μέγα καὶ καλόν, ὅταν μόνοι αὐτοὶ τὸ ἔχουν, ὑπερηφανεύονται περισσότερον· ἂν ὅμως φρονοῦν ὅτι κατέχουν αὐτὸ μαζὶ μὲ ἄλλους, δὲν νιώθουν τὴν ἰδίαν ὑπερηφάνειαν. Κατὰ πρῶ-

το πάσχουσι. Πρῶτον μὲν οὖν αὐτὸ κοινοποιεῖ, ἐπειδὴ ἐκεῖνοι αὐτῶν αὐτὸ εἶναι ἐνόμιζον μόνων. Ἔπειτα ποιήσας κοινόν, οὐ τίθησιν ἑαυτὸν ἐν τῇ κοινωνίᾳ μόνον, ἐπεὶ καὶ οὕτως ἂν μᾶλλον αὐτοὺς ἐπῆρεν. Ὥσπερ γὰρ τὸ μόνον ἔχειν ἐπαίρει, οὕτω τὸ κοινωνὸν ἕνα που καὶ δεύτερον ἔχειν τῶν ὑπερεχόντων, οὐκ ἔλαττον τοῦτο ποιεῖ. Διὰ τοῦτο οὐχ ἑαυτὸν τίθησιν, ἀλλὰ πάντας. Οὐ γὰρ εἶπεν ὅτι καὶ ἐγὼ ἔχω γνῶσιν, ἀλλ', «Οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν». Ἑνὶ μὲν οὖν τούτῳ πρώτῳ κατέβαλεν αὐτῶν τὸ φρόνημα, δευτέρῳ δὲ σφοδροτέρῳ. Ποίῳ δὴ τούτῳ; Τῷ δεῖξαι ὅτι οὐδὲ αὐτὸ τὸ πρᾶγμα ἀπηρτισμένον ἐστίν, ἀλλὰ καὶ σφόδρα ἀτελές· καὶ οὐ μόνον ἀτελές, ἀλλὰ καὶ βλαβερόν, ἐὰν μὴ ᾖ συνεζευγμένον ἕτερον αὐτῷ. Εἰπὼν γὰρ ὅτι πάντες γνῶσιν ἔχομεν, ἐπήγαγεν· «Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ». Ὥστε, ὅταν χωρὶς ἀγάπης ᾖ, εἰς ἀπόνοιαν αἴρει.

Ἀλλ' οὐδὲ ἡ ἀγάπη, φησί, χωρὶς γνώσεως κέρδος ἔχει τι. Ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλ' ὡς ὡμολογημένον ἀφείς, δείκνυσιν ὅτι σφόδρα δεῖται ἐκείνου τοῦτο. Ὁ μὲν γὰρ ἀγαπῶν, ἅτε ἐντολὴν πληρῶν τὴν πασῶν κυριωτέραν, κἂν ἐλλείποντά τινα ἔχῃ, ταχέως ἀπολαύσεται τῆς γνώσεως διὰ τὴν ἀγάπην, ὥσπερ ὁ Κορνήλιος καὶ ἕτεροι πολλοί· ὁ δὲ γνῶσιν μὲν ἔχων, ἀγάπην δὲ μὴ ἔχων, οὐ μόνον οὐδὲν προσλήψεται, ἀλλὰ καὶ αὐτῆς ἐκπεσεῖται, ἧς ἔχει, πολλάκις εἰς ἀπόνοιαν ἐμπεσών. Ὥστε, ἡ μὲν γνῶσις ἀγάπης οὐκ ἔστι ποιητική, ἀλλὰ καὶ τοὐναντίον, ἀποσχίζει τὸν μὴ προσέχοντα φυσῶσα καὶ ἐπαίρουσα. Καὶ γὰρ διαιρεῖν εἴωθεν ἡ ἀλαζονεία, ἡ δὲ ἀγάπη καὶ συνάγειν καὶ πρὸς γνῶσιν ἄγειν. Ὅπερ οὖν καὶ δηλῶν ἔλεγεν· «Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ». Ὥστε οὐ τοῦτο κωλύω, φησί, τὸ τελείαν γνῶσιν ἔχειν, ἀλλὰ τὸ μετὰ ἀγάπης ταύτην ἔχειν, τοῦτο κελεύω· ἐπεὶ κέρδος οὐδέν, ἀλλὰ καὶ βλάβος.

τον μὲν λοιπὸν τὸ καθιστᾷ κοινόν, ἐπειδὴ ἐκεῖνοι ἐνόμιζον ὅτι μόνοι αὐτοὶ τὸ ἔχουν. Ἔπειτα, ἀφοῦ τὸ καταστήσῃ κοινόν, δὲν ἀναφέρει ὅτι καὶ ὁ ἴδιος μόνον κατέχει τὴν γνῶσιν, διότι καὶ ἔτσι θὰ τοὺς ἤναπτε τὴν ἀλαζονείαν των. Διότι, ὅπως τὸ νὰ ἔχῃ κανεὶς κάτι μόνος τρέφει τὴν ἀλαζονείαν, ἔτσι καὶ τὸ νὰ τὸ ἔχουν καὶ ἄλλοι ἕνας ἢ δύο, ἐξ ἴσου τρέφει τὴν ἀλαζονείαν. Διὰ τοῦτο δὲν ἀναφέρει τὸν ἑαυτόν του, ἀλλὰ ὅλους. Δὲν εἶπε δηλαδή, καὶ ἐγὼ ἔχω γνῶσιν, ἀλλὰ «Γνωρίζομεν ὅτι ὅλοι ἔχομεν γνῶσιν». Μὲ αὐτὸ λοιπὸν τὸ πρῶτον ἐπιχείρημα ἔπληξε τὴν ὑπερηφάνειάν των, μὲ τὸ δεύτερον δὲ ἐπιχείρημά του τὴν ἔπληξε σφοδρότερον. Ποῖον ἦτο τοῦτο; Μὲ τὸ νὰ ἀποδείξῃ ὅτι οὔτε αὐτὴ ἡ γνῶσις εἶναι τελεία ἀλλὰ καὶ πάρα πολὺ ἀτελής· καὶ ὄχι μόνον ἀτελὴς ἀλλὰ καὶ βλαβερά, ἐὰν δὲν συνυπάρχῃ μὲ αὐτὴν κάτι ἄλλο. Ἀφοῦ δηλαδὴ εἶπεν ὅτι πάντες γνῶσιν ἔχομεν, προσέθεσεν· «Ἡ γνῶσις μᾶς γεμίζει μὲ ὑπερηφάνειαν, ἡ ἀγάπη ὅμως οἰκοδομεῖ». Ὥστε, ὅταν εἶναι χωρὶς ἀγάπην, ἡ γνῶσις ὁδηγεῖ εἰς ἀλαζονείαν.

Ἀλλ' οὔτε ἡ ἀγάπη, θὰ ἔλεγε κάποιος, χωρὶς τὴν γνῶσιν ἔχει κέρδος. Δὲν εἶπεν αὐτό, ἀλλά, ἀφοῦ τὸ παρέκαμψε ὡς γνωστόν, τονίζει ὅτι τοῦτο (ἡ γνῶσις) χρειάζεται πάρα πολὺ ἐκεῖνο (τὴν ἀγάπην). Διότι ἐκεῖνος ποὺ ἔχει ἀγάπην, ἐπειδὴ ἐφαρμόζει ἐντολὴν ποὺ εἶναι ἡ κυριωτέρα ὅλων, ἀκόμη καὶ ἂν ἔχῃ μερικὰς ἐλλείψεις, ταχέως θὰ ἀπολαύσῃ τὴν γνῶσιν χάρις εἰς τὴν ἀγάπην, ὅπως ὁ Κορνήλιος καὶ πολλοὶ ἄλλοι· ἐκεῖνος ὅμως ποὺ ἔχει μὲν γνῶσιν, ἀλλὰ δὲν ἔχει ἀγάπην, ὄχι μόνον δὲν θὰ κερδίσῃ τίποτε, ἀλλὰ θὰ χάσῃ καὶ αὐτὴν ποὺ ἔχει, διότι θὰ πέσῃ πολλὰς φορὰς εἰς ἀλαζονείαν. Ὥστε, ἡ μὲν γνῶσις δὲν φέρει ἀγάπην, ἀλλὰ τὸ ἀντίθετον μάλιστα, μὲ τὴν ἀλαζονείαν καὶ τὴν ἔπαρσιν ποὺ δημιουργεῖ ἀπομακρύνει τὸν ἀπρόσεκτον ἀπὸ τὴν ἀγάπην. Διότι ἡ ἀλαζονεία συνηθίζει νὰ διαιρῇ, ἐνῷ ἡ ἀγάπη καὶ νὰ ἑνώνῃ καὶ νὰ φέρῃ εἰς γνῶσιν. Αὐτὸ ἀκριβῶς ἐννοοῦσεν, ὅταν ἔλεγεν· «Ἐὰν δὲ κάποιος ἀγαπᾷ τὸν Θεόν, αὐτὸς ἔχει γνωρισθῇ ἀπὸ αὐτόν». Ὥστε, λέγει, δὲν ἀπαγορεύω τοῦτο, νὰ ἔχετε δηλαδὴ τελείαν γνῶσιν, ἀλλὰ νὰ τὴν ἔχετε μαζὶ μὲ τὴν ἀγάπην, τοῦτο σᾶς συμβουλεύω· διότι ἄλλιῶς δὲν ὑπάρχει κανένα κέρδος, ἀλλὰ μάλιστα γίνεται καὶ βλάβη.

Ὁρᾷς ὅπως ἤδη προανακρούεται τὸν περὶ ἀγάπης λόγον; Ἐπειδὴ γὰρ ταῦτα πάντα ἀπὸ τούτου συνέβαινε τὰ κακά, καὶ οὐκ ἀπὸ τελείας γνώσεως, ἀλλ' ἀπὸ τοῦ μὴ σφόδρα φιλεῖν, μηδὲ φείδεσθαι τῶν πλησίον, ὅθεν καὶ τὸ διασπασθῆναι αὐτοὺς γέγονε, καὶ τὸ ἐπαίρεσθαι, καὶ τὰ ἄλλα πάντα ἅπερ αὐτοῖς ἐνεκάλεσε, καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα συνεχῶς αὐτῆς ἐπιμελεῖται τὴν πηγὴν τῶν ἀγαθῶν διορθούμενος. Τί τοίνυν πεφύσησθε, φησίν, ἐπὶ τῇ γνώσει; Ἂν γὰρ τὴν ἀγάπην μὴ ἔχητε, καὶ βλαβήσεσθε ἐντεῦθεν· τί γὰρ ἀλαζονείας χεῖρον; ἂν δὲ ἐκεῖνο προσῇ, καὶ τοῦτο ἔσται ἐν ἀσφαλείᾳ. Κἂν γάρ τι πλέον εἰδῇς τοῦ πλησίον, φιλῶν αὐτὸν οὐκ ἐπαίρῃ, ἀλλὰ ἄγεις καὶ αὐτὸν ἐπὶ τοῦτο. Διὸ καὶ εἰπών, «Ἡ γνῶσις φυσιοῖ», ἐπήγαγεν, «ἡ δὲ ἀγάπη οἰκοδομεῖ». Οὐκ εἶπε, μετριάζει, ἀλλὰ τὸ πολλῷ πλέον καὶ κερδαλεώτερον. Οὐδὲ γὰρ ἐφύσα μόνον ἡ γνῶσις, ἀλλὰ καὶ διέσπα. Διὰ τοῦτο ἐκείνῳ τοῦτο ἀντέθηκεν.

2. Εἶτα καὶ τρίτον τίθησι δυνάμενον αὐτοὺς καθελεῖν. Ποῖον δὴ τοῦτο; Ὅτι κἂν συνεζευγμένη ᾖ ἡ ἀγάπη, οὐδὲ οὕτως ἀπηρτισμένη ἐστὶν αὕτη ἡ γνῶσις. Διὸ ἐπήγαγεν. «Εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, καθὼς δεῖ γνῶναι». Αὕτη καιρία ἡ πληγή. Οὐ λέγω γάρ, φησίν, ὅτι κοινὴ ἡ γνῶσις πάντων· οὐ λέγω ὅτι μισῶν τὸν πλησίον καὶ ἀπονοούμενος τὰ μέγιστα σαυτὸν καταβλάπτεις. Κἂν γὰρ μόνος ἔχῃς, κἂν μετριάζῃς, κἂν φιλῇς τὸν ἀδελφόν, καὶ οὕτως ἀτελὴς εἶ κατὰ τὴν γνῶσιν· οὐδέπω γὰρ οὐδὲν οἶδας, ὡς δεῖ εἰδέναι. Εἰ δὲ οὐδενὸς οὐδέπω ἀκριβῆ τὴν γνῶσιν ἔχομεν, πῶς τινες εἰς τοσοῦτον μανίας ἤλασαν, ὡς λέγειν τὸν Θεὸν εἰδέναι μετὰ ἀκριβείας ἁπάσης; ὅπου γε εἰ καὶ πάντων εἴχομεν ἀκριβῆ γνῶσιν τὴν τῶν ἄλλων,

4. Κορ. 8,2

Βλέπεις πῶς προετοιμάζει ἤδη τὸν λόγον του περὶ ἀγάπης; Ἐπειδὴ δηλαδὴ ὅλα αὐτὰ συνέβαινον ἀπὸ τοῦτο, ὅτι δηλαδὴ δὲν εἶχον πολλὴν ἀγάπην καὶ δὲν ἐσκέπτοντο τὸν πλησίον των, καὶ ὄχι ἀπὸ τελείαν γνῶσιν, διὰ τοῦτο καὶ ἔπαθαν διάσπασιν καὶ ἀλαζονείαν καὶ ὅλα τὰ ἄλλα, διὰ τὰ ὁποῖα τοὺς κατηγόρησε, καὶ πρὶν ἀπὸ αὐτὸ καὶ μετὰ ἀπὸ αὐτά, συνεχῶς φροντίζει δι' αὐτὴν διορθώνων τοὺς πιστοὺς ὡς πρὸς τὴν πηγὴν τῶν ἀγαθῶν. Διατί τέλος πάντων, λέγει, ὑπερηφανεύεσαι διὰ τὴν γνῶσιν, διότι, ἂν δὲν ἔχετε τὴν ἀγάπην, ὁπωσδήποτε θὰ βλαβῆτε ἀπὸ αὐτὴν τὴν ἔλλειψιν· διότι τί τὸ χειρότερον ὑπάρχει ἀπὸ τὴν ἀλαζονείαν; Ἂν ὅμως ὑπάρχῃ ἡ ἀγάπη, καὶ ἀπὸ τὴν ἀλαζονείαν θὰ εἶσαι ἀσφαλισμένος. Διότι καὶ ἂν ἀκόμη γνωρίζῃς κάτι περισσότερον ἀπὸ τὸν πλησίον σου, ἐπειδὴ τὸν ἀγαπᾷς δὲν ὑπερηφανεύεσαι, ἀλλὰ ὁδηγεῖς καὶ αὐτὸν εἰς αὐτὴν τὴν γνῶσιν. Διὰ τοῦτο καὶ ἀφοῦ εἶπεν, «Ἡ γνῶσις κάνει ἀλαζόνα τὸν ἄνθρωπον», προσέθεσεν· «ἡ δὲ ἀγάπη οἰκοδομεῖ». Δὲν εἶπε, κάνει τοὺς ἀνθρώπους μετριόφρονας, ἀλλ' εἶπε τὸ πολὺ περισσότερον καὶ ὠφελιμώτερον. Διότι ἡ γνῶσις δὲν ἐδημιούργει μόνον ἀλαζονείαν ἀλλὰ καὶ διάσπασιν. Διὰ τοῦτο εἰς ἐκεῖνο ἔφερε τοῦτο ὡς ἀντίθεσιν.

2. Ἔπειτα ἀναφέρει καὶ τρίτον, τὸ ὁποῖον δύναται νὰ τοὺς φέρῃ ταπείνωσιν. Καὶ ποῖον εἶναι τοῦτο; Ὅτι καὶ ὅταν ἀκόμη συνυπάρχῃ ἡ ἀγάπη, οὔτε τότε, αὐτὴ ἡ γνῶσις εἶναι τελεία. Διὰ τοῦτο προσέθεσεν· «Ἐὰν δὲ κάποιος νομίζῃ ὅτι γνωρίζει κάτι, τίποτε δὲν ἔχει γνωρίσει ἀκόμη καθὼς πρέπει νὰ τὸ γνωρίζῃ»[4]. Αὐτὸ τὸ πλῆγμα ἦτο καίριον. Δὲν ἰσχυρίζομαι, λέγει, ὅτι ἡ γνῶσις εἶναι κοινὴ ὅλων· δὲν ἰσχυρίζομαι ὅτι μισῶν τὸν πλησίον καὶ προβαίνων εἰς παραλόγους πράξεις θὰ προκαλέσῃς μεγίστας βλάβας εἰς τὸν ἑαυτόν σου. Ἀλλ' ὅμως καὶ ἂν ἀκόμη μόνος σὺ γνωρίζῃς κάτι, καὶ ἂν ἀκόμη εἶσαι μετριόφρων, καὶ ἂν ἀγαπᾷς τὸν ἀδελφόν σου, καὶ τότε πάλιν εἶσαι ἀτελὴς κατὰ τὴν γνῶσιν· διότι οὐδέποτε γνωρίζεις κάτι ὅπως πρέπει νὰ τὸ γνωρίζῃς. Ἐὰν δὲ οὐδέποτε ἔχωμεν οὐδενὸς πράγματος ἀκριβῆ γνῶσιν, πῶς μερικοὶ ἔφθασαν εἰς τόσον βαθμὸν τρέλλας, ὥστε νὰ λέγουν ὅτι γνωρίζουν τὸν Θεὸν μὲ κάθε ἀκρίβειαν; ἐφ' ὅσον, καὶ ἂν ἀκόμη εἴχομεν ἀκριβῆ γνῶσιν ὅλων

οὐδὲ οὕτω δυνατὸν ἦν ἔχειν ταύτην οὕτως. Ὅσον γὰρ αὐτοῦ πρὸς ἅπαντα τὸ μέσον, οὐδὲ εἰπεῖν ἔνι.

Ὅρα πῶς αὐτῶν κατέσπασε τὸ φύσημα. Οὐ γὰρ εἶπεν, ὅτι περὶ τῶν προκειμένων οὐκ ἔχετε τὴν προσήκουσαν γνῶσιν, ἀλλὰ περὶ παντὸς πράγματος. Καὶ οὐκ εἶπεν ὅτι ὑμεῖς· ἀλλ' ὅτι οὐδ' ὁστισοῦν, κἂν Πέτρος ᾖ, κἂν Παῦλος, κἂν ὁστισοῦν. Τούτῳ γὰρ καὶ παρεμυθήσατο, καὶ συνέστειλεν αὐτοὺς μετὰ ἀκριβείας. «Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος», οὐκ εἶπεν, ἔγνω αὐτόν, ἀλλ' «ἔγνωσται ὑπ' αὐτοῦ». Οὐ γὰρ ἡμεῖς αὐτὸν ἔγνωμεν, ἀλλ' αὐτὸς ἡμᾶς ἔγνω. Διὸ καὶ ἔλεγεν, «Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην»· καὶ πάλιν· «Τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην».

Σκόπει τοίνυν δι' ὅσων κατήνεγκεν αὐτῶν τὸ φρόνημα. Πρῶτον ἔδειξεν ὅτι οὐ μόνοι ἐπίστανται, ἅπερ ἴσασι· «Πάντες γάρ», φησί, «γνῶσιν ἔχομεν». Ἔπειτα, ὅτι βλαβερὸν τὸ πρᾶγμα χωρὶς ἀγάπης ὄν· «Ἡ γὰρ γνῶσις», φησί, «φυσιοῖ». Εἶτα, ὅτι καὶ μετὰ ἀγάπης ὂν οὐκ ἀπηρτισμένον ἐστὶ οὐδὲ τέλειον· «Εἰ γάρ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε», φησί, καθὼς δεῖ γνῶναι». Πρὸς τούτοις, ὅτι οὐδὲ αὐτὸ τοῦτο οἴκοθεν ἔχουσιν ἀλλὰ τοῦ Θεοῦ δωρησαμένου· οὐ γὰρ εἶπεν, ἔγνω τὸν Θεόν, ἀλλ', «ἔγνωσται ὑπ' αὐτοῦ». Εἶτα, ὅτι ἀπὸ ἀγάπης γίνεται τοῦτο αὐτό, ἣν οὐκ ἔχουσιν ὡς χρή· «Εἰ γάρ τις», φησίν, «ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ».

Διὰ τοσούτων τοίνυν καταλεάνας αὐτῶν τὴν φλεγμονήν, ἄρχεται δογματίζειν οὕτω λέγων· «Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς». Θέα εἰς ὅσην στενοχωρίαν ἐνέπεσε. Καὶ γὰρ ἀμφότερα βούλεται κατα-

5. αὐτ. 3.
6. Ἰω. 15,16.
7. Α' Κορ. 13,12.
8. αὐτ. 8,4.

τῶν ἄλλων, οὔτε καὶ τότε θὰ ἦτο δυνατὸν νὰ ἔχωμεν αὐτὴν τὴν γνῶσιν (τοῦ Θεοῦ). Πόσον μεγάλη εἶναι ἡ ἀπόστασις μεταξὺ αὐτοῦ καὶ ὅλων τῶν πραγμάτων, δὲν εἶναι δυνατὸν οὔτε νὰ τὸ εἴπωμεν.

Καὶ πρόσεξε πῶς συνέτριψε τὴν ἀλαζονείαν των· δὲν εἶπε δηλαδὴ ὅτι, Δὲν ἔχετε τὴν ἀπαραίτητον γνῶσιν τῶν πραγμάτων ποὺ ἔχετε ἐμπρός σας, ἀλλὰ περὶ παντὸς πράγματος. Καὶ δὲν εἶπε, 'σεῖς', ἀλλὰ οὔτε ὁ οἱοσδήποτε, εἴτε εἶναι ὁ Πέτρος εἴτε ὁ Παῦλος εἴτε ὁποιοσδήποτε ἄλλος. Ἔτσι λοιπὸν καὶ τοὺς συνεβούλευε καὶ μὲ ἀκρίβειαν τοὺς περιώριζε. «Ἐὰν δὲ κάποιος ἀγαπᾷ τὸν Θεόν, αὐτός», δὲν εἶπε 'ἐγνώρισε αὐτὸν' ἀλλ' «ἔχει γνωρισθῆ ἀπὸ αὐτόν»[5]. Διότι δὲν εἴμεθα ἐμεῖς ποὺ ἐγνωρίσαμεν Αὐτόν, ἀλλ' Αὐτὸς μᾶς ἐγνώρισε. Διὰ τοῦτο καὶ ἔλεγε· «Δὲν μὲ ἐδιαλέξατε ἐσεῖς ἐμένα, ἀλλ' ἐγὼ σᾶς ἐδιάλεξα»[6]· καὶ πάλιν· «Τότε δὲ θὰ ἔχω πλήρη γνῶσιν, ὅπως εἶναι καὶ ἡ γνῶσις τοῦ Θεοῦ δι' ἐμέ»[7].

Πρόσεχε λοιπὸν μὲ πόσους τρόπους ἐκτύπησε τὴν ὑπερηφάνειάν των. Κατὰ πρῶτον ἔδειξεν ὅτι δὲν γνωρίζουν μόνοι ὅσα γνωρίζουν· διότι λέγει· «Ὅλοι ἔχομεν γνῶσιν». Ἔπειτα, ὅτι τὸ πρᾶγμα εἶναι βλαβερὸν χωρὶς ἀγάπην· διότι λέγει· «ἡ γνῶσις μᾶς γεμίζει μὲ ὑπερηφάνειαν». Ἀκολούθως, ὅτι, καὶ ἂν ἀκόμη εἶναι μὲ ἀγάπην, δὲν εἶναι ἀρτία οὔτε τελεία· «Διότι, ἐὰν κάποιος νομίζῃ ὅτι γνωρίζει κάτι, τίποτε», λέγει, «δὲν ἔχει γνωρίσει ἀκόμη καθὼς πρέπει νὰ τὸ γνωρίζῃ». Ἐπὶ πλέον, ὅτι οὔτε καὶ αὐτὴν τὴν ἰδίαν τὴν γνῶσιν τὴν ἔχουν ἀπὸ τὸν ἑαυτόν των, ἀλλ' εἶναι δῶρον τοῦ Θεοῦ· διότι δὲν εἶπεν, Ἐγνώρισε τὸν Θεόν, ἀλλ' «ἐγνωρίσθη ὑπ' αὐτοῦ». Ἔπειτα, ὅτι αὐτὸ τὸ ἴδιον τὸ δῶρον τοῦ Θεοῦ γίνεται ἀπὸ ἀγάπην, τὴν ὁποίαν οἱ ἄνθρωποι δὲν ἔχουν ὅπως πρέπει· διότι λέγει· «Ἐὰν δὲ κάποιος ἀγαπᾷ τὸν Θεόν, αὐτὸς ἔχει γνωρισθῆ ἀπὸ αὐτόν».

Ἀφοῦ λοιπὸν μὲ τόσα πολλὰ κατεπράϋνε τὴν φλόγωσιν τῆς πληγῆς, ἀρχίζει νὰ δογματίζῃ, λέγων τὰ ἑξῆς: «Ὅσον ἀφορᾷ λοιπὸν τὸ ζήτημα ἂν πρέπει νὰ τρώγωμεν τὰ κρέατα τῶν θυσιῶν, γνωρίζομεν ὅτι κανένα εἴδωλον δὲν ὑπάρχει εἰς τὸν κόσμον καὶ ὅτι δὲν ὑπάρχει κανένας ἄλλος θεὸς παρὰ μόνον ἕνας»[8]. Πρόσεχε εἰς πόσον δύσκολον θέσιν εὑρέθη. Διότι θέλει καὶ τὰ δύο νὰ ἐπιτύχῃ,

σκευάσαι, ὅτι τε ἀπέχεσθαι δεῖ τῆς τοιαύτης τραπέζης καὶ ὅτι ἰσχὺν οὐκ ἔχει πρὸς τὸ βλάψαι τοὺς μετέχοντας· ἅπερ οὐ σφόδρα ἀλλήλοις συμβαίνοντα ἦν. Μαθόντες γὰρ ὅτι οὐκ ἔχει βλάβην, ὡς ἀδιαφόροις ἔμελλον ἐπιτρέχειν· κωλυθέντες δὲ αὐτῶν ἅπτεσθαι, πάλιν ὑπώπτευον ὅτι ὡς ἰσχὺν ἐχόντων εἰς τὸ βλάπτειν ἐκωλύθησαν. Διὰ δὴ τοῦτο καθελὼν τὴν τῶν εἰδώλων ὑπόνοιαν, αἰτίαν πρώτην τίθησι τοῦ ἀπέχεσθαι τὰ σκάνδαλα τῶν ἀδελφῶν, οὕτω λέγων· «Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ».

Πάλιν κοινὸν αὐτὸ ποιεῖ, καὶ οὐ συγχωρεῖ μόνων ἐκείνων γενέσθαι τοῦτο, ἀλλ' ἐκτείνει τὴν γνῶσιν πανταχοῦ τῆς οἰκουμένης. Οὐδὲ γὰρ παρ' ὑμῖν μόνον, φησίν, ἀλλὰ πανταχοῦ τῆς γῆς τοῦτο κρατεῖ τὸ δόγμα. Ποῖον δὴ τοῦτο; «Ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς». Οὐκ ἔστιν οὖν εἴδωλα; οὐκ ἔστι ξόανα; Ἔστι μέν, ἀλλ' οὐκ ἔχει τινὰ ἰσχύν, οὐδὲ θεοί εἰσιν ἀλλὰ λίθοι καὶ δαίμονες. Πρὸς γὰρ ἀμφοτέρους ἀποτείνεται νῦν, καὶ τοὺς παχυτέρους αὐτῶν καὶ τοὺς δοκοῦντας φιλοσοφεῖν. Ἐπειδὴ γὰρ οἱ μὲν οὐδὲν πλέον τῶν λίθων ἴσασιν, οἱ δὲ λέγουσι καὶ δυνάμεις τινὰς οἰκεῖν ἐν αὐτοῖς, ἃς καὶ θεοὺς καλοῦσι, πρὸς μὲν οὖν ἐκείνους φησὶν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, πρὸς δὲ τούτους, ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς. Ὁρᾷς πῶς οὐχ ἁπλῶς δογματίζων γράφει ταῦτα, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ἔξωθεν; Καὶ γὰρ τοῦτο πανταχοῦ χρὴ παρατηρεῖν, εἴτε ἀπολελυμένως λέγει τι, εἴτε πρός τινας ἱστάμενος. Οὐδὲ γὰρ τὸ τυχὸν εἰς τὴν τῶν δογμάτων ἡμῖν ἀκρίβειαν τοῦτο συντελεῖ, καὶ εἰς αὐτὴν τῶν λεγομένων τὴν κατανόησιν.

---

9. Ξόανον: Κακότεχνον συνήθως ξύλινον εἰδωλολατρικὸν ἄγαλμα θεοῦ ἢ θεᾶς πρωΐμου ἐποχῆς καὶ πάντως διὰ τὴν Ἑλλάδα πρὸ τοῦ 700 π.Χ. περίπου.

καὶ ὅτι πρέπει νὰ ἀπέχουν οἱ πιστοὶ ἀπὸ τέτοιαν τράπεζαν καὶ ὅτι πάλιν αὐτὴ δὲν ἔχει δύναμιν νὰ βλάψῃ ὅσους συμμετέχουν, πράγματα τὰ ὁποῖα καθόλου δὲν συμβιβάζονται μεταξύ των. Διότι, ἂν ἐμάθαινον ὅτι δὲν βλάπτουν, θὰ ἔσπευδον νὰ συμμετάσχουν μὲ τὴν σκέψιν ὅτι δὲν πειράζει· ἂν δὲ ἠμποδίζοντο νὰ τὰ ἐγγίσουν, πάλιν θὰ ὑπωπτεύοντο ὅτι ἠμποδίσθησαν, διότι ἔχουν δύναμιν νὰ βλάψουν. Διὰ τοῦτο λοιπὸν παραμερίζων τὴν ὑπόνοιαν ὅτι εἶναι εἴδωλα, προβάλλει ὡς πρώτην δικαιολογίαν ἀποχῆς τὸν σκανδαλισμὸν τῶν ἀδελφῶν λέγων τὰ ἑξῆς· «Ὅσον ἀφορᾷ λοιπὸν τὸ ζήτημα ἂν πρέπει νὰ τρώγωμεν τὰ κρέατα τῶν θυσιῶν, γνωρίζομεν ὅτι κανένα εἴδωλον δὲν ὑπάρχει εἰς τὸν κόσμον».

Πάλιν παρουσιάζει τὸ θέμα ὡς κάτι τὸ κοινὸν καὶ δὲν εἶναι μόνον ἐκεῖνοι, εἰς τοὺς ὁποίους δὲν ἐπιτρέπει νὰ κάμνουν τοῦτο, ἀλλ' ἐπεκτείνει τὴν γνῶσιν εἰς ὅλην τὴν οἰκουμένην. Δηλαδὴ ὄχι μόνον εἰς ἐμᾶς, λέγει, ἀλλὰ παντοῦ εἰς τὴν γῆν ἐπικρατεῖ ἡ πίστις αὐτή. Ποία εἶναι αὐτή; «Ὅτι δὲν ὑπάρχει κανένα εἴδωλον εἰς τὸν κόσμον καὶ ὅτι δὲν ὑπάρχει κανένας ἄλλος θεὸς παρὰ μόνον ἕνας». Δὲν ὑπάρχουν λοιπὸν εἴδωλα; Δὲν ὑπάρχουν ξόανα;' Ὑπάρχουν μέν, ἀλλὰ δὲν ἔχουν καμμίαν δύναμιν, οὔτε εἶναι θεοί, ἀλλὰ λίθοι καὶ δαίμονες. Διότι ἀπευθύνεται τώρα καὶ πρὸς τὰς δύο κατηγορίας τῶν πιστῶν, καὶ τοὺς ἁπλοϊκωτέρους ἐξ αὐτῶν καὶ πρὸς ὅσους ἐφαίνοντο ὅτι ἔζων μὲ φιλοσοφίαν. Ἐπειδὴ δηλαδὴ οἱ μὲν πρῶτοι νομίζουν ὅτι τίποτε ἄλλο δὲν εἶναι παρὰ λίθοι, οἱ δὲ δεύτεροι ὅτι μέσα εἰς αὐτοὺς κατοικοῦν κάποιαι δυνάμεις, τὰς ὁποίας ὀνομάζουν θεούς, πρὸς ἐκείνους μὲν λέγει ὅτι δὲν ὑπάρχει κανένα εἴδωλον εἰς τὸν κόσμον, πρὸς αὐτοὺς δὲ ὅτι δὲν ὑπάρχει κανεὶς ἄλλος θεὸς παρὰ μόνον ἕνας. Βλέπεις πῶς γράφει αὐτά, ὄχι ἁπλῶς δογματίζων, ἀλλὰ διὰ νὰ διακρίνῃ τὰ δόγματα ἀπὸ τὰ ἐξωτερικὰ στοιχεῖα. Πράγματι, αὐτὸ πρέπει κανεὶς παντοῦ νὰ τὸ παρατηρῇ, εἴτε λέγει κάτι γενικῶς εἴτε ἀπευθύνεται πρὸς κάποιους συγκεκριμένους· διότι τὸ νὰ ὁμιλῇ κανεὶς χωρὶς προσοχὴν δὲν συντελεῖ οὔτε εἰς τὴν ἀκριβῆ διατύπωσιν τῶν δογμάτων πρὸς ἡμᾶς οὔτε εἰς τὴν ἰδίαν τὴν κατανόησιν τῶν λεγομένων.

3. «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ὥσπερ οὖν εἰσι θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ». Ἐπειδὴ εἶπεν ὅτι οὐδὲν εἴδωλον καὶ οὐδεὶς θεὸς ἕτερος, ἦν δὲ καὶ εἴδωλα, ἦσαν δὲ καὶ θεοὶ λεγόμενοι, ἵνα μὴ δόξῃ τοῖς φανεροῖς μάχεσθαι, ἐπάγει λέγων· «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, ὥσπερ οὖν καί εἰσιν», οὐχ ἁπλῶς εἰσιν, ἀλλὰ «λεγόμενοι», οὐκ ἐν πράγματι, ἀλλ' ἐν ῥήματι τοῦτο ἔχοντες· «εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς» ἐν οὐρανῷ τὸν ἥλιον λέγων καὶ τὴν σελήνην καὶ τὸν λοιπὸν τῶν ἄστρων χορόν· καὶ γὰρ καὶ ταῦτα προσεκύνησαν Ἕλληνες· ἐπὶ γῆς δὲ δαίμονας, καὶ τοὺς ἐξ ἀνθρώπων θεοποιηθέντας ἅπαντας. «Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ». Πρότερον θεὶς χωρὶς τοῦ Πατρὸς καὶ εἰπών, «Οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς», νῦν τοῦτο προστίθησιν, ὅτε παντελῶς ἐκείνους ἐξέβαλεν.

Εἶτα, καὶ ὅπερ ἐστὶ μέγιστον δεῖγμα θεότητος, καὶ τοῦτο ἐπάγει· «Ἐξ οὗ τὰ πάντα». Τοῦτο γὰρ δείκνυσι κἀκείνους οὐκ ὄντας θεούς. «Θεοί», γὰρ φησίν, «οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν». Εἶτα καὶ τὸ τούτου οὐκ ἔλαττον προστίθησι· «Καὶ ἡμεῖς εἰς αὐτόν». Ὅταν μὲν γὰρ εἴπῃ, «Ἐξ οὗ τὰ πάντα», τὴν δημιουργίαν λέγει, καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν· ὅταν δὲ εἴπῃ, «Καὶ ἡμεῖς εἰς αὐτόν», τὸν τῆς πίστεως καὶ τῆς οἰκειώσεως λέγει λόγον· ὃ καὶ ἔμπροσθεν ἔλεγεν, «Ἐξ αὐτοῦ δὲ καὶ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ». Διπλῇ γὰρ ἐσμεν ἐξ αὐτοῦ, καὶ τῷ μὴ ὄντες γενέσθαι καὶ τῷ πιστοὶ γενέσθαι· καὶ γὰρ καὶ τοῦτο κτίσις· ὃ καὶ ἀλλαχοῦ φησιν, «Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον».

---

10. Α' Κορ. 8,5-6.
11. Ἱερ. 10,11.
12. Ἐφεσ. 2,16.

3. «Διότι, καὶ ἂν ἀκόμη ὑπάρχουν οἱ λεγόμενοι θεοὶ εἴτε εἰς τὸν οὐρανὸν εἴτε ἐπὶ τῆς γῆς, ὅπως ἀκριβῶς βεβαίως καὶ ὑπάρχουν πολλοὶ θεοὶ καὶ πολλοὶ κύριοι, ἀλλὰ δι' ἐμᾶς ὑπάρχει ἕνας Θεός, ὁ Πατήρ, ἀπὸ τὸν ὁποῖον προέρχονται τὰ πάντα καὶ ἐμεῖς ἀνήκομεν εἰς αὐτόν, καὶ ἕνας Κύριος Ἰησοῦς Χριστός, διὰ τοῦ ὁποίου ἔγιναν τὰ πάντα καὶ ἐμεῖς δι' αὐτοῦ»[10]. Ἐπειδὴ εἶπεν ὅτι οὐδὲν εἴδωλον ὑπάρχει καὶ οὐδεὶς ἄλλος θεός, ἐνῷ ὑπῆρχον καὶ εἴδωλα, ὑπῆρχον καὶ οἱ λεγόμενοι θεοί, διὰ νὰ μὴ φανῇ ὅτι ἀρνεῖται φανερὰ πράγματα, προσθέτει λέγων· «Διότι, καὶ ἂν ἀκόμα ὑπάρχουν οἱ λεγόμενοι θεοί, ὅπως ἀκριβῶς βεβαίως καὶ ὑπάρχουν», ὄχι ἁπλῶς ὑπάρχουν, ἀλλὰ «λεγόμενοι θεοί»· δὲν ὑπάρχουν δηλαδὴ εἰς τὴν πραγματικότητα ἀλλὰ ἔτσι λέγονται· «εἴτε εἰς τὸν οὐρανὸν εἴτε ἐπὶ τῆς γῆς», ἐννοῶν εἰς τὸν οὐρανὸν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὸ ὑπόλοιπον πλῆθος τῶν ἄστρων· διότι καὶ αὐτὰ προσεκύνησαν οἱ Ἐθνικοί· ἐπὶ τῆς γῆς δὲ ἐννοεῖ τοὺς δαίμονας καὶ ὅλους ὅσοι ἐξ ἀνθρώπων ἐθεοποιήθησαν «Ἀλλὰ δι' ἐμᾶς ὑπάρχει ἕνας Θεός, ὁ Πατήρ». Ἀφοῦ προηγουμένως δὲν ἀνέφερε τὸν Πατέρα καὶ εἶπε, «Δὲν ὑπάρχει κανένας ἄλλος θεός παρὰ μόνον ἕνας», τώρα προσθέτει τοῦτο, ἀφοῦ ἀπέκλεισε παντελῶς ἐκείνους.

Κατόπιν, πρᾶγμα τὸ ὁποῖον εἶναι μέγιστον δεῖγμα θεότητος καὶ τοῦτο προσθέτει· «Ἀπὸ τὸν ὁποῖον προέρχονται τὰ πάντα»· αὐτὸ πράγματι ἀποδεικνύει ὅτι ἐκεῖνοι δὲν εἶναι θεοί. «Νὰ χαθοῦν», λέγει, «οἱ θεοὶ οἱ ὁποῖοι δὲν ἔκαμαν τὸν οὐρανὸν καὶ τὴν γῆν»[11]. Ἔπειτα προσθέτει καὶ τὸ ἐξ ἴσου σημαντικόν· «Καὶ ἐμεῖς ἀνήκομεν εἰς αὐτόν». Ὅταν δηλαδὴ λέγῃ, «Ἀπὸ τὸν ὁποῖον προέρχονται τὰ πάντα», ἐννοεῖ τὴν δημιουργίαν καὶ τὴν παραγωγὴν ἀπὸ τὴν ἀνυπαρξίαν εἰς τὴν ὕπαρξιν· ὅταν δὲ λέγῃ, «Καὶ ἐμεῖς ἀνήκομεν εἰς αὐτόν», ἐννοεῖ τὴν σχέσιν τῆς πίστεως καὶ τῆς οἰκειώσεώς μας, πρᾶγμα τὸ ὁποῖον ἔλεγε καὶ προηγουμένως· «Χάρις εἰς τὸν ὁποῖον καὶ σεῖς ἀνήκετε εἰς τὸν Ἰησοῦν Χριστόν». Διπλῆ δηλαδὴ εἶναι ἡ ἐξάρτησίς μας ἀπὸ Αὐτόν, καὶ διότι ἐγεννήθημεν ἀπὸ τὴν ἀνυπαρξίαν καὶ διότι ἐγίναμεν πιστοί, ποὺ εἶναι καὶ τοῦτο κτίσις· αὐτὸ τὸ λέγει καὶ ἀλλοῦ· «Διὰ νὰ δημιουργήσῃ ἀπὸ τοὺς δύο ἕνα νέον ἄνθρωπον διὰ τῆς ἑνώσεως μὲ τὸν ἑαυτόν τους»[12].

«Καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ». Καὶ ἐπὶ τοῦ Χριστοῦ πάλιν ὁμοίως τοῦτο νοητέον· δι' αὐτοῦ γὰρ καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη τὸ τῶν ἀνθρώπων γένος καὶ ἀπὸ πλάνης εἰς ἀλήθειαν ἐπανῆλθεν. Ὥστε τό, «ἐξ οὗ», τοῦτο οὐκ ἔστι χωρὶς τοῦ Χριστοῦ· ἐξ αὐτοῦ γὰρ διὰ τοῦ Χριστοῦ ἐδημιουργήθημεν. Οὐ τοίνυν οὐδὲ τὰ ὀνόματα ὡς ἀποκεκληρωμένα διεῖλε, τῷ μὲν Υἱῷ τό, Κύριος, τῷ δὲ Πατρὶ τό, Θεός, προσνέμων. Οἶδε γὰρ αὐτὰ καὶ ἐναλλάττειν ἡ Γραφὴ πολλάκις, ὡς ὅταν λέγῃ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου»· καὶ πάλιν, «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου», καί, «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός». Καὶ πολλαχοῦ ἂν ἴδοις ταῦτα μεταβαίνοντα τὰ ὀνόματα. Εἰ δὲ ἀποκεκληρωμένα ἦν ἑκάστῃ φύσει καὶ οὐχὶ Θεὸς ἦν ὁ Υἱὸς καὶ Θεὸς ὡς ὁ Πατὴρ μένων Υἱὸς εἰπών, «Ἀλλ' ἡμῖν εἷς Θεός», περιττῶς προσετίθει τὸ Πατήρ, βουλόμενος γνωρίσαι τὸν ἀγέννητον· ἤρκει γὰρ τὸ Θεός, εἴγε αὐτοῦ μόνου ἦν γνωριστικόν, τοῦτο δηλῶσαι. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερον ἔστι εἰπεῖν. Εἰ γὰρ λέγεις ὅτι, ἐπειδὴ εἷς Θεὸς εἴρηται, οὐχ ἁρμόσει τῷ Υἱῷ τὸ Θεός, ὅρα καὶ ἐπὶ τοῦ Υἱοῦ τὸ αὐτὸ κείμενον· καὶ γὰρ ὁ Υἱὸς εἷς Κύριος εἴρηται, καὶ οὐ διὰ τοῦτο αὐτῷ μόνῳ τό, Κύριος, ἁρμόττειν φαμέν. Ὥστε ἣν ἔχει ἰσχὺν τό, εἷς, ἐπὶ τοῦ Υἱοῦ, ταύτην καὶ ἐπὶ τοῦ Πατρός· καὶ καθάπερ οὐκ ἐξωθεῖ τὸν Πατέρα τοῦ Κύριον εἶναι, οἷος ὁ Υἱός ἐστι Κύριος, διὰ τὸ ἕνα αὐτὸν λέγεσθαι Κύριον τὸν Υἱόν, οὕτως οὐδὲ τὸν Υἱὸν ἐκβάλλει τοῦ εἶναι Θεόν, οἷός ἐστι Θεὸς ὁ Πατήρ, διὰ τὸ ἕνα Θεὸν λέγεσθαι τὸν Πατέρα.

Εἰ δέ τινες λέγοιεν, τίνος ἕνεκεν Πνεύματος οὐκ ἐμνημόνευσεν, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι πρὸς εἰδωλολάτρας ἦν

---

13. Ψαλμ. 109,1.
14. αὐτ. 44,8.
15. Ρωμ. 9,5.

«Καὶ ἕνας Κύριος Ἰησοῦς Χριστός, διὰ τοῦ ὁποίου ἔγιναν τὰ πάντα καὶ ἐμεῖς δι' αὐτοῦ». Καὶ τοῦτο πάλιν ὁμοίως πρέπει νὰ νοηθῇ ἐπὶ τοῦ Χριστοῦ· διότι δι' αὐτοῦ καὶ ἀπὸ τὴν ἀνυπαρξίαν παρήχθη τὸ γένος τῶν ἀνθρώπων καὶ ἀπὸ τὴν πλάνην ἐπανῆλθεν εἰς τὴν ἀλήθειαν. Ὥστε αὐτὸ τὸ «ἐξ οὗ», δὲν εἶναι δυνατὸν νὰ νοηθῇ χωρὶς τὸν Χριστόν, διότι ἐδημιουργήθημεν ἐξ αὐτοῦ (τοῦ Θεοῦ) διὰ τοῦ Χριστοῦ. Διὰ τοῦτο οὔτε τὰ ὀνόματα διεχώρισεν ὡς διὰ κλήρου διαφορετικὰ ἀποδίδων εἰς τὸν μὲν Υἱὸν τὸ «Κύριος», εἰς δὲ τὸν Πατέρα τὸ «Θεός», διότι πολλάκις ἡ ἁγία Γραφὴ συνηθίζει νὰ ἐναλλάσσῃ αὐτά, ὅπως ὅταν λέγῃ· «Εἶπεν ὁ Κύριος εἰς τὸν Κύριόν μου»[13]· καὶ πάλιν· «Διὰ τοῦτο σὲ ἔχρισεν ὁ Θεός, ὁ Θεός σου»[14]· καί· «Ἀπὸ τοὺς ὁποίους κατὰ σάρκα κατάγεται ὁ Χριστός, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων Θεός»[15]. Καὶ εἰς πολλὰ σημεῖα εἶναι δυνατὸν νὰ ἴδῃς αὐτὰ τὰ ὀνόματα νὰ χρησιμοποιοῦνται. Ἐὰν ὅμως εἶχον καθορισθῇ διὰ κλήρου εἰς ἑκάστην φύσιν καὶ δὲν ἦτο ὁ Υἱὸς καὶ Θεός, ὅπως ὁ Πατήρ, παραμένων Υἱὸς μὲ τὸ νὰ εἴπῃ, «Ἀλλὰ δι' ἐμᾶς ὑπάρχει ἕνας Θεός», περιττῶς θὰ προσέθετε τὸ «Πατὴρ» εἰς τὴν προσπάθειάν του νὰ μᾶς γνωρίσῃ τὸν ἀγέννητον· θὰ ἦτο ἀρκετὸν νὰ δηλώσῃ τὸ «Θεός», ἐὰν βεβαίως αὐτοῦ μόνου ἦτο ἰδιαίτερον γνώρισμα. Καὶ ὄχι μόνον τοῦτο ἀλλὰ κάτι ἄλλο εἶναι δυνατὸν νὰ εἴπωμεν. Ἐὰν δηλαδὴ λέγῃς ὅτι, ἐπειδὴ λέγει «ἕνας Θεός», δὲν ἀναφέρεται τὸ «Θεὸς» εἰς τὸν Υἱόν, πρόσεξε ὅτι τὸ ἴδιον ἰσχύει καὶ διὰ τὸν Υἱόν· διότι καὶ ὁ Υἱὸς ἀναφέρεται ὡς εἷς Κύριος, καὶ ὅμως δὲν ἰσχυριζόμεθα διὰ τοῦτο ὅτι αὐτὸ ἀναφέρεται εἰς Αὐτὸν μόνον. Ὥστε ὁποίαν ἰσχὺν ἔχει τὸ «εἷς» ἐπὶ τοῦ Υἱοῦ, αὐτὴν ἔχει καὶ ἐπὶ τοῦ Πατρός· καὶ ὅπως ἀκριβῶς δὲν ἀποκλείει τὸν Πατέρα ἀπὸ τὸ νὰ εἶναι Κύριος, ὅπως ὁ Υἱὸς εἶναι Κύριος, διότι ὁ Υἱὸς λέγεται «ἕνας Κύριος», ἔτσι καὶ ἐπειδὴ ὁ Πατὴρ λέγεται «ἕνας Θεὸς» αὐτὸ δὲν ἀποκλείει τὸν Υἱὸν νὰ εἶναι Θεὸς ὅπως Θεὸς εἶναι ὁ Πατήρ.

Ἐὰν δὲ μερικοὶ ἐρωτοῦν διὰ ποίαν αἰτίαν δὲν ἐμνημόνευσε τὸ ἅγιον Πνεῦμα, θὰ ἐλέγαμεν τὰ ἑξῆς, ὅτι ὁ λόγος του ἀπηυθύνετο

ὁ λόγος αὐτῷ, καὶ περὶ θεῶν πολλῶν ὁ ἀγὼν καὶ περὶ κυρίων πολλῶν. Διὸ καὶ Θεὸν τὸν Πατέρα εἰπών, Κύριον τὸν Υἱὸν ἐκάλεσεν. Εἰ τοίνυν τὸν Πατέρα οὐκ ἐτόλμησε καλέσαι Κύριον νῦν μετὰ τοῦ Υἱοῦ, ἵνα μὴ δύο παρ' ἐκείνοις ὑποπτεύηται λέγειν Κυρίους, οὐδὲ τὸν Υἱὸν Θεὸν μετὰ τοῦ Πατρός, ἵνα μὴ δύο νομίζηται λέγειν Θεούς· τί θαυμάζεις, εἰ τοῦ Πνεύματος οὐκ ἐμνημόνευσε; Πρὸς γὰρ ἐκείνους αὐτῷ τέως ἦν ὁ ἀγὼν καὶ τὸ δεῖξαι ὅτι οὐκ ἔστι πολυθεΐα παρ' ἡμῖν. Διὸ τὸ εἷς τοῦτο συνεχῶς κατέχει λέγων· «Οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς» καὶ «Ἡμῖν εἷς Θεὸς καὶ εἷς Κύριος». Ὅθεν δῆλον ὅτι φειδόμενος τῆς ἀσθενείας τῶν ἀκουόντων ταύτῃ ἐχρήσατο τῇ διασκευῇ, καὶ διὰ τοῦτο οὐδὲ τοῦ Πνεύματος ἐμνημόνευσεν. Ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, οὐδὲ ἀλλαχοῦ μνησθῆναι ἔδει τοῦ Πνεύματος, οὐδὲ συντάττεσθαι αὐτὸ Πατρὶ καὶ Υἱῷ. Εἰ γὰρ ἀπέρριπται Πατρὸς καὶ Υἱοῦ, πολλῷ μᾶλλον ἐπὶ τοῦ βαπτίσματος αὐτὸ συντάττεσθαι οὐκ ἔδει, ἔνθα μάλιστα φαίνεται τὸ ἀξίωμα τῆς θεότητος καὶ δωρεαὶ δίδονται Θεῷ προσήκουσαι μόνῳ παρέχειν.

Ἐγὼ μὲν οὖν τὴν αἰτίαν εἶπον, δι' ἣν ἐνταῦθα σεσίγηται· σὺ δέ, εἰ μὴ τοῦτό ἐστιν, εἰπὲ διὰ τί ἐν τῷ βαπτίσματι συντάττεται. Ἀλλ' οὐκ ἂν ἔχοις ἑτέραν αἰτίαν εἰπεῖν ἢ τὸ ὁμότιμον αὐτὸ εἶναι. Ὅταν γοῦν μηδεμίαν ἔχῃ τοιαύτην ἀνάγκην, ὅρα πῶς αὐτὸ συντάττει οὕτω λέγων· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»· καὶ πάλιν, «Διαίρεσις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσίν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεός». Ἀλλ' ἐπειδὴ νῦν πρὸς Ἕλληνας ὁ λόγος ἦν αὐτῷ καὶ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους, διὰ τοῦτο ταμιεύεται τέως· ὅπερ οὖν καὶ οἱ προφῆται ποιοῦσιν

16. Β' Κορ. 13,13.
17. Α' Κορ. 12,4-6.

πρὸς εἰδωλολάτρας καὶ ὁ ἀγών του ἦτο περὶ πολλῶν θεῶν καὶ περὶ πολλῶν κυρίων. Διὰ τοῦτο, ἀφοῦ εἶπε τὸν Πατέρα Θεόν, ὠνόμασε τὸν Υἱὸν Κύριον. Ἐφ' ὅσον λοιπὸν δὲν ἐτόλμησε νὰ ὀνομάσῃ τὸν Πατέρα Κύριον μαζὶ μὲ τὸν Υἱόν, διὰ νὰ μὴ νομίσουν ἐκεῖνοι ὅτι ὁμιλεῖ διὰ δύο Κυρίους, δὲν ἐτόλμησε οὔτε τὸν Υἱὸν νὰ ὀνομάσῃ Θεόν, διὰ νὰ μὴ νομισθῇ ὅτι ὁμιλεῖ διὰ δύο Θεούς· διατί ἀπορεῖς, ἂν δὲν ἐμνημόνευσε τὸ ἅγιον Πνεῦμα; Διότι τότε ἠγωνίζετο πρὸς ἐκείνους νὰ δείξῃ ὅτι δὲν ὑπάρχει πολυθεΐα εἰς ἡμᾶς. Διὰ τοῦτο συνεχῶς ἐπαναλαμβάνει αὐτὸ τὸ «εἷς» λέγων· «Δὲν ὑπάρχει κανένας ἄλλος θεὸς παρὰ μόνον ἕνας», καί· «Δι' ἐμᾶς ὑπάρχει ἕνας Θεὸς καὶ ἕνας Κύριος». Εἶναι λοιπὸν φανερὸν ὅτι ἐχρησιμοποίησεν αὐτὴν τὴν διατύπωσιν, ἐπειδὴ ἔδειξε συγκατάβασιν εἰς τὴν ἀδυναμίαν τῶν ἀκροατῶν, καὶ διὰ τοῦτο δὲν ἐμνημόνευσεν οὔτε τὸ ἅγιον Πνεῦμα. Διότι, ἐὰν δὲν ἦτο αὐτὴ ἡ αἰτία, δὲν ἔπρεπεν οὔτε ἀλλοῦ νὰ θυμηθῇ τὸ ἅγιον Πνεῦμα οὔτε νὰ τὸ ἀναφέρῃ μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν· ἐὰν εἶχε χωρισθῇ ἀπὸ τὸν Πατέρα καὶ τὸν Υἱόν, πολὺ περισσότερον δὲν ἔπρεπεν αὐτὸ νὰ ἀναφερθῇ μαζί τους εἰς τὸ βάπτισμα, ὅπου κυρίως φαίνεται τὸ ἀξίωμα τῆς θεότητος καὶ δίδονται δωρεαὶ ποὺ ταιριάζουν εἰς Θεὸν μόνον νὰ τὰς παρέχῃ.

Ἐγὼ μὲν εἶπον τὴν αἰτίαν, διὰ τὴν ὁποίαν ἐδῶ ἔχει ἀποσιωπηθῇ· σὺ ὅμως, ἐὰν τοῦτο δὲν εἶναι ἔτσι, εἰπὲ διατί ἀναφέρεται μαζὶ εἰς τὸ βάπτισμα; Ἀλλὰ δὲν θὰ ἠμποροῦσες νὰ ἀναφέρῃς καμμίαν ἄλλην αἰτίαν παρὰ τὸ ὅτι ἔχουν ἰσοτιμίαν. Ὅταν λοιπὸν δὲν ἔχῃ καμμίαν τέτοιαν ἀνάγκην, πρόσεχε πῶς τὸ ἀναφέρει μαζί, λέγων· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος ἂς εἶναι μὲ ὅλους σας»[16]· καὶ πάλιν· «Ὑπάρχουν δὲ ποικιλίαι χαρισμάτων, ἀλλὰ τὸ Πνεῦμα εἶναι τὸ ἴδιον· ὅπως ἐπίσης ὑπάρχουν ποικιλίαι ὑπηρεσιῶν, ὁ Κύριος ὅμως εἶναι ὁ ἴδιος· ὑπάρχουν καὶ ποικιλίαι ἐνεργειῶν, ἀλλ' ὁ Θεὸς εἶναι ὁ ἴδιος»[17]. Ἀλλ' ἐπειδὴ τώρα ὁ λόγος του ἀπηυθύνετο πρὸς Ἐθνικοὺς καὶ μάλιστα πρὸς τοὺς ἀσθενεστέρους εἰς τὴν πίστιν ἐκ τῶν Ἐθνικῶν, διὰ τοῦτο χειρίζεται τὸ θέμα μὲ πολλὴν προσοχήν· αὐτὸ ἀκριβῶς κάμνουν καὶ οἱ προφῆται ἐπὶ τοῦ Υἱοῦ, τὸν ὁποῖον

ἐπὶ τοῦ Υἱοῦ, οὐδαμοῦ σαφῶς αὐτοῦ μεμνημένοι διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων.

4. «Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις», φησί. Ποία αὕτη; ἡ περὶ τοῦ Θεοῦ ἢ ἡ περὶ τῶν εἰδωλοθύτων; Ἢ γὰρ τοὺς Ἕλληνας αἰνίττεται ἐνταῦθα, τοὺς πολλοὺς λέγοντας θεοὺς καὶ κυρίους καὶ οὐκ εἰδότας τὸν ὄντα Θεόν, ἢ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους ἔτι, τοὺς οὐδέπω σαφῶς εἰδότας ὅτι οὐ χρὴ δεδοικέναι τὰ εἴδωλα καὶ ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ. Τοῦτο δὲ εἰπὼν ἠρέμα παρεμυθήσατο καὶ ἐπῆρε τούτους. Οὐδὲ γὰρ πάντα καθάπτεσθαι ἔδει, καὶ μάλιστα μέλλοντα πάλιν καθικνεῖσθαι αὐτῶν σφοδρότερον.

«Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται». Ἔτι τρέμουσι, φησί, τὰ εἴδωλα. Μὴ γάρ μοι τὴν παροῦσαν εἴπῃς κατάστασιν, καὶ ὅτι ἐκ προγόνων τὴν εὐσέβειαν ἐδέξω· ἀλλὰ παράπεμψον τὴν διάνοιαν εἰς ἐκείνους τοὺς χρόνους, καὶ ἐννόησον, ἄρτι τοῦ κηρύγματος καθισταμένου, καὶ τῆς ἀσεβείας ἔτι κρατούσης, καὶ βωμῶν καιομένων, καὶ θυσιῶν καὶ σπονδῶν τελουμένων, καὶ τῶν πλειόνων Ἑλλήνων ὄντων, τοὺς ἐκ προγόνων διαδεξαμένους τὴν ἀσέβειαν, καὶ πατέρων καὶ πάππων καὶ ἐπιπάππων τοιούτων ὄντας ἐκγόνους, καὶ πολλὰ παρὰ τῶν δαιμόνων παθόντας κακά, ἀθρόον μεταστάντας, πῶς εἰκὸς ἦν διακεῖσθαι; πῶς δὲ δεδοικέναι καὶ τρέμειν τὰς τῶν δαιμόνων ἐπιβουλάς; οὓς καὶ αἰνιττόμενος ἔλεγε, «Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδωλοθύτου».

Οὔτε γὰρ ἐκκαλύπτει αὐτοὺς σαφῶς, ἵνα μὴ πλήξῃ, οὔτε παρατρέχει καθόλου, ἀλλ' ἀορίστως αὐτῶν μέμνηται λέγων, «Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσι»· τουτέστι, μετὰ τῆς αὐτῆς διανοίας, μεθ' ἧς πρότερον· «καὶ ἡ συνείδησις αὐτῶν ἀσθε-

18. αὐτ. 8,7.

πουθενὰ δὲν ἀναφέρουν σαφῶς λόγῳ τῆς ἀδυναμίας τῶν ἀκροατῶν των νὰ κατανοήσουν.

4. «Ἀλλὰ δὲν ἔχουν ὅλοι αὐτὴν τὴν γνῶσιν»[18], λέγει. Ποία εἶναι αὐτή; ἡ γνῶσις περὶ τοῦ Θεοῦ ἢ περὶ τῶν εἰδωλοθύτων; Ἢ δηλαδὴ ἐδῶ ὑπαινίσσεται τοὺς ἐθνικούς, οἱ ὁποῖοι ἐπίστευον εἰς πολλοὺς θεοὺς καὶ κυρίους καὶ δὲν ἐγνώριζον τὸν ἀληθινὸν Θεόν, ἢ τοὺς ἀσθενεστέρους ἀκόμη εἰς τὴν πίστιν Χριστιανοὺς ἐξ ἐθνικῶν, οἱ ὁποῖοι δὲν ἐγνώριζον ἀκόμη σαφῶς ὅτι δὲν πρέπει νὰ φοβῶνται τὰ εἴδωλα καὶ ὅτι οὐδὲν εἴδωλον ὑπάρχει εἰς τὸν κόσμον. Καὶ μὲ τὸ νὰ εἴπῃ τοῦτο μὲ ἠπιότητα τοὺς συνεβούλευσε καὶ τοὺς ἐνεθάρρυνε, διότι δὲν ἔπρεπε πάντοτε νὰ τοὺς ἐπιπλήττῃ, καὶ μάλιστα ἐφ' ὅσον ἐπρόκειτο μὲ μεγαλυτέραν σφοδρότητα πάλιν νὰ ἀσχοληθῇ μὲ αὐτούς.

«Μερικοὶ δὲ πιστεύοντες τὸ εἴδωλον ὡς θεότητα ἀκόμη ἕως τώρα τρώγουν τὸ κρέας ὡς κρέας θυσίας, καὶ ἡ συνείδησις αὐτῶν, ἐπειδὴ εἶναι ἀσθενής, μολύνεται». Μερικοί, λέγει, τρέμουν ἀκόμη τὰ εἴδωλα. Μὴ μοῦ προβάλῃς τὴν παροῦσαν κατάστασιν καὶ ὅτι ἐδέχθης τὴν εὐσέβειαν ἀπὸ τοὺς προγόνους σου, ἀλλὰ φέρε τὸν νοῦν σου εἰς ἐκείνους τοὺς χρόνους καὶ σκέψου πῶς ἦτο φυσικὸν νὰ αἰσθάνωνται οἱ ἄνθρωποι, ἐνῷ τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἦτο ἀκόμη εἰς τὴν ἀρχὴν καὶ ἐπεκράτει ἀκόμη ἡ ἀσέβεια καὶ ἔκαιον οἱ βωμοὶ καὶ ἐτελοῦντο θυσίαι καὶ σπουδαὶ καὶ οἱ περισσότεροι ἦσαν εἰδωλολάτραι καὶ εἶχαν δεχθῆ τὴν ἀσέβειαν ἀπὸ τοὺς προγόνους των καὶ ἦσαν ἀπόγονοι τέτοιων πατέρων, πάππων καὶ προπάππων καὶ εἶχον πάθει πολλὰ κακὰ ἀπὸ τοὺς δαίμονας, καὶ αὐτοὶ οἱ ἄνθρωποι διὰ μιᾶς ἤλλαξαν πίστιν; πῶς ἦτο ἑπόμενον νὰ φοβῶνται καὶ νὰ τρέμουν τὰς ἐπιβουλὰς τῶν δαιμόνων; αὐτοὺς τοὺς πιστοὺς ὑπαινισσόμενος ἔλεγε· «Μερικοὶ δὲ πιστεύοντες τὸ κρέας τῆς θυσίας ὡς κρέας εἰδώλου».

Οὔτε δηλαδὴ τοὺς ἀποκαλύπτει σαφῶς, διὰ νὰ μὴ τοὺς πλήξῃ, οὔτε τοὺς παραλείπει ἐντελῶς, ἀλλὰ ἀορίστως τοὺς ἀναφέρει λέγων· «Μερικοὶ δὲ πιστεύοντες τὸ εἴδωλον ὡς θεότητα ἀκόμη ἕως τώρα τρώγουν τὸ κρέας ὡς κρέας θυσίας»· δηλαδή, μὲ τὸν ἴδιον τρόπον σκέψεως, μὲ τὸν ὁποῖον καὶ προηγουμένως· «Καὶ ἡ συνεί-

νὴς οὖσα μολύνεται», οὐδέπω δυναμένη καταφρονῆσαι οὐδὲ καθάπαξ αὐτῶν καταγελάσαι, ἀλλ' ἔτι διακρινομένη. Ὥσπερ ἂν εἴ τις τῷ νεκροῦ ἅπτεσθαι νομίζοι μολύνειν ἑαυτὸν κατὰ Ἰουδαϊκὴν συνήθειαν, εἶτα ἑτέρους ὁρῶν ἁπτομένους μετὰ καθαροῦ συνειδότος, μὴ ἁπτόμενος μετὰ τῆς αὐτῆς γνώμης, μολύνοιτο· οὕτω κἀκεῖνοι τότε ἔπασχον. «Τινές», γάρ φησί, «τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι». Οὐχ ἁπλῶς τό, «ἕως ἄρτι», τέθεικεν, ἀλλ' ἵνα δείξῃ ὅτι οὐδὲν ἤνυσαν μὴ συγκαταβαίνοντες. Οὐδὲ γὰρ οὕτως αὐτοὺς ἐνάγειν ἐχρῆν, ἀλλ' ἑτέρως πως λόγῳ πείθοντας καὶ διδασκαλίᾳ.

«Καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται». Οὐδαμοῦ τέως περὶ τὴν φύσιν τοῦ πράγματος τὸν λόγον ἵστησιν, ἀλλ' ἄνω καὶ κάτω περὶ τὸ συνειδὸς τοῦ μεταλαμβάνοντος στρέφεται. Δέδοικε γὰρ μὴ θέλων διορθῶσαι τὸν ἀσθενῆ, πλήξῃ τὸν ἰσχυρόν, καὶ ἀσθενῆ καὶ τοῦτον ἐργάσηται. Διόπερ οὐχ ἧττον τούτου φείδεται ἢ ἐκείνου· καὶ οὐκ ἀφίησιν αὐτὸ νομισθῆναί τι ἀλλὰ πολὺν κατασκευάζει τὸν λόγον, ὥστε μὴ τοῦτο ὑποπτευθῆναι.

«Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν». Ὁρᾷς πῶς πάλιν αὐτῶν καθεῖλε τὸ φρόνημα; Εἰπὼν γὰρ ὅτι οὐ μόνοι ἐκεῖνοι, ἀλλὰ πάντες γνῶσιν ἔχομεν, καὶ ὅτι οὐδεὶς οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι, καὶ ὅτι ἡ γνῶσις φυσιοῖ, εἶτα παραμυθησάμενος αὐτοὺς καὶ εἰπὼν ὅτι οὐκ ἐν πᾶσιν ἡ γνῶσις καὶ ὅτι δι' ἀσθένειαν οὗτοι μολύνονται· ἵνα μὴ λέγωσιν ἐκεῖνοι, καὶ τί πρὸς ἡμᾶς, εἰ μὴ ἐν πᾶσιν ἡ γνῶσις; διὰ τί γὰρ μὴ ἔχει γνῶσιν ὁ δεῖνα; διὰ τί ἀσθενής; ἵνα μὴ ταῦτα ἀνθυποφέρωσιν, οὐκ εὐθέως ἦλθεν ἐπὶ τὸ δεῖξαι σαφῶς ὅτι διὰ τὴν ἐκείνου βλάβην ἀπέχεσθαι δεῖ, ἀλλὰ προακροβολισάμενος αὐτὸ μόνον, πρῶτον

19. αὐτ. 8.

δησις αὐτῶν, ἐπειδὴ εἶναι ἀσθενής, μολύνεται»· δὲν εἶναι ἀκόμη εἰς θέσιν νὰ καταφρονήσῃ τὰ εἰδωλόθυτα οὔτε ἅπαξ διὰ παντὸς νὰ τὰ περιγελάσῃ ἀλλὰ ἀκόμη ἀποδίδει εἰς αὐτὰ κάποιαν ἀξίαν. Ὅπως ἀκριβῶς, ἂν κάποιος νομίζῃ ὅτι μολύνει τὸν ἑαυτόν του μὲ τὸ νὰ ἐγγίσῃ νεκρὸν καὶ σύμφωνα μὲ τὴν ἰουδαϊκὴν ἀντίληψιν καὶ ἐπειδὴ βλέπει ἄλλους νὰ ἐγγίζουν χωρὶς νὰ πιστεύουν τὴν ἀντίληψιν αὐτήν, ἂν αὐτὸς ἐγγίσῃ τὸν νεκρὸν ἀποδεχόμενος τὴν ἰουδαϊκὴν ἀντίληψιν μολύνεται· τὸ ἴδιο καὶ ἐκεῖνοι τότε ἔπασχον· διότι λέγει· «Ὡρισμένοι δὲ πιστεύουν τὸ εἴδωλον ὡς θεότητα ἕως σήμερον». Δὲν ἔθεσε χωρὶς λόγον τὸ «ἕως τώρα», ἀλλὰ διὰ νὰ δείξῃ ὅτι τίποτε δὲν ὠφελοῦντο, ἐφ' ὅσον δὲν ἀπεδέχοντο τὴν νέαν ἀντίληψιν. Διότι οὔτε ἔπρεπε μὲ πιεστικὴν ἐπιμονὴν νὰ τοὺς παρακινῇ, ἀλλὰ κατ' ἄλλον τρόπον, μὲ τὴν πειθὼ καὶ τὴν διδασκαλίαν.

«Καὶ ἡ συνείδησις αὐτῶν, ἐπειδὴ εἶναι ἀσθενής, μολύνεται». Ἕως ἐδῶ πουθενὰ δὲν κάμνει λόγον διὰ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ στρέφεται συνεχῶς γύρω ἀπὸ τὴν συνείδησιν αὐτοῦ ποὺ τρώγει τὰ εἰδωλόθυτα· διότι φοβεῖται μήπως, θέλων νὰ διορθώσῃ τὸν ἀσθενῆ, βλάψῃ τὸν ἰσχυρὸν καὶ κάμῃ καὶ τοῦτον ἀσθενῆ. Διὰ τοῦτο ἐξ ἴσου σκέπτεται καὶ διὰ τοῦτον καὶ δι' ἐκεῖνον· καὶ δὲν ἀφήνει νὰ γίνῃ αὐτὸ ἀντιληπτόν, ἀλλὰ προσέχει πολὺ τὸν λόγον του, ὥστε νὰ μὴ ὑποπτευθοῦν τοῦτο.

«Τὸ φαγητὸν δὲν μᾶς συνιστᾷ εἰς τὸν Θεόν. Διότι, οὔτε, ἐὰν φάγωμεν, προοδεύομεν, οὔτε, ἐὰν δὲν φάγωμεν, ὑστεροῦμεν»[19]. Βλέπεις πῶς πάλιν περιώρισεν τὴν ἀλαζονείαν των; Διότι, ἀφοῦ εἶπεν ὅτι ἔχομεν γνῶσιν ὅλοι καὶ ὄχι μόνον ἐκεῖνοι, καὶ ὅτι κανεὶς τίποτε δὲν γνωρίζει ὅπως πρέπει νὰ τὸ γνωρίζῃ καὶ ὅτι ἡ γνῶσις καθιστᾷ τὸν ἄνθρωπον ἀλαζόνα, κατόπιν, ἀφοῦ τοὺς ἐπαρηγόρησε καὶ τοὺς εἶπεν, ὅτι ὅλοι δὲν κατέχουν τὴν γνῶσιν καὶ ὅτι αὐτοὶ μολύνονται ἐξ αἰτίας τῆς ἀδυναμίας των, διὰ νὰ μὴ λέγουν ἐκεῖνοι, Καὶ τί μᾶς ἐνδιαφέρει, ἂν ὅλοι δὲν κατέχουν τὴν γνῶσιν; διατί δὲν ἔχει γνῶσιν ὁ τάδε; διατί νὰ εἶναι ἀσθενὴς εἰς τὴν πίστιν; διὰ νὰ μὴ προβάλλουν αὐτὰ τὰ ἐπιχειρήματα, δὲν ἐπροχώρησεν εὐθέως νὰ τονίσῃ σαφῶς ὅτι πρέπει κανεὶς νὰ ἀπέχῃ ἀπὸ τὰ εἰδωλόθυτα, διὰ νὰ μὴ βλάψῃ ἐκεῖνον, ἀλλὰ ἀφοῦ ἀνέφερεν ἀκροθιγῶς αὐτὸ μόνον,

τὸ τούτου πλέον δείκνυσι. Ποῖον δὴ τοῦτο; Ὅτι εἰ καὶ μηδεὶς ἐβλάπτετο, μηδὲ ὁ τοῦ πλησίον προσῆν διαστροφή, οὐδὲ οὕτω δεῖ τοῦτο ποιεῖν· ματαιοπονεῖν γάρ τοῦτό ἐστιν. Ὁ γὰρ ἀκούσας ὅτι βλάπτεται μὲν ἕτερος, αὐτὸς δὲ ἔχει ἀπὸ τελείας γνώσεως γίνεσθαι; «Οὔτε γὰρ ἐὰν φάγωμεν, πεμάθῃ ὅτι οὐδὲν αὐτὸς ὠφελεῖται ἀπὸ τοῦ πράγματος. Διὰ τοῦτο πρῶτον τοῦτο τίθησι λέγων· «Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ». Εἶδες πῶς αὐτὸ ἐξευτελίζει, ὃ ἐδόκει ἀπὸ τελείας γνώσεως γίνεσθαι; «Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν», τουτέστιν, εὐδοκιμοῦμεν παρὰ τῷ Θεῷ ὡς ἀγαθόν τι ποιήσαντες καὶ μέγα· «οὔτε ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν», τουτέστιν, οὐκ ἔλαττόν τι ἔχομεν.

5. Τέως μὲν οὖν αὐτὸ ἔδειξε περιττὸν καὶ οὐδέν· ὃ γὰρ μήτε γινόμενον ὠφελεῖ, μήτε μὴ γινόμενον βλάπτει, περιττὸν ἂν εἴη· προϊὼν δὲ καὶ τὴν βλάβην ἐκκαλύπτει πᾶσαν τοῦ πράγματος. Νῦν μέντοι τὴν εἰς τοὺς ἀδελφοὺς γινομένην λέγει. «Βλέπετε» γάρ φησί, «μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν». Οὐκ εἶπεν ὅτι ἡ ἐξουσία ὑμῶν πρόσκομμα γίνεται, οὐδὲ ἀπεφήνατο, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ· ἀλλὰ πῶς; «Βλέπετε» φοβῶν αὐτοὺς καὶ ἐντρέπων καὶ ἐπὶ ἄρνησιν ἄγων τοῦ μὴ ποιεῖν. Καὶ οὐκ εἶπεν, «ἡ γνῶσις ὑμῶν αὕτη», ὅπερ ἦν ἐγκωμίου μᾶλλον, οὐδὲ «ἡ τελειότης ὑμῶν αὕτη», ἀλλ', «ἡ ἐξουσία», ὅπερ προπετείας μᾶλλον καὶ αὐθαδείας καὶ ἀλαζονείας εἶναι ἐδόκει. Καὶ οὐκ εἶπε, «τοῖς ἀδελφοῖς», ἀλλά, «τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν», αὔξων τὴν κατηγορίαν ὅτι οὐδὲ ἀσθενούντων φείδονται, καὶ ταῦτα ἀδελφῶν. Ἔστω γάρ· οὐ διορθοῖς οὐδὲ ἐγείρεις· τί καὶ ὑποσκελίζεις καὶ προσπταίειν ποιεῖς, δέον χεῖρα ὀρέγειν; Ἀλλ' οὐ βούλει τοῦτο· οὐκοῦν μηδὲ καταβάλῃς. Εἰ μὲν

---

20. αὐτ. 9.

κατὰ πρῶτον ἀναφέρει κάτι ἀνώτερον ἀπὸ αὐτό. Ποῖον λοιπὸν εἶναι τοῦτο; ὅτι καὶ ἂν ἀκόμη δὲν ἐβλάπτετο κανεὶς καὶ οὔτε ὑπῆρχεν ὁ κίνδυνος παρεξηγήσεως τοῦ πλησίον, οὔτε τότε θὰ ἔπρεπε νὰ κάμῃ κανεὶς τοῦτο. Αὐτὸ ὅμως θὰ ἦτο ματαιοπονία· διότι ἐκεῖνος ὁ ὁποῖος ἤκουσεν ὅτι βλάπτεται μὲν ἄλλος, ὁ ἴδιος ὅμως ἔχει κέρδος, δὲν ἀπέχει ἀπὸ κάτι, ἀλλὰ ἀπέχει μᾶλλον τότε, ὅταν μάθῃ ὅτι ὁ ἴδιος δὲν ἔχει καμμίαν ὠφέλειαν ἀπὸ τὸ πρᾶγμα. Δι' αὐτὸ θέτει τοῦτο πρῶτον λέγων «Τὸ φαγητὸν δὲν μᾶς συνιστᾷ εἰς τὸν Θεόν». Εἶδες πῶς ἐξευτελίζει αὐτό, τὸ ὁποῖον ἐφαίνετο ὅτι προήρχετο ἀπὸ τελείαν γνῶσιν; «Διότι οὔτε, ἐὰν φάγωμεν, προοδεύομεν», δηλαδὴ προοδεύομεν κατὰ Θεὸν μὲ τὸ νὰ κάμωμεν κάτι καλὸν καὶ μέγα· «οὔτε, ἐὰν δὲν φάγωμεν, ὑστεροῦμεν», δηλαδὴ δὲν ὑστεροῦμεν εἰς τίποτε.

5. Ἕως ἐδῶ λοιπὸν ἀπέδειξεν ὅτι αὐτὸ δὲν εἶναι τίποτε καὶ περιττόν· διότι ὅ,τι οὔτε ὠφελεῖ μὲ τὸ νὰ γίνεται οὔτε βλάπτει, ἂν δὲν γίνεται, αὐτὸ εἶναι περιττόν· εἰς τὴν συνέχειαν ὅμως ἀποκαλύπτει καὶ ὅλην τὴν βλάβην τοῦ πράγματος. Τώρα ὅμως ἀναφέρει τὴν βλάβην ποὺ γίνεται εἰς τοὺς ἀδελφούς· διότι λέγει· «Προσέχετε μήπως ἡ ἐλευθερία σας αὐτὴ γίνῃ ἐμπόδιον εἰς τοὺς ἀσθενεῖς κατὰ τὴν πίστιν ἀδελφούς»[20]. Δὲν εἶπεν ὅτι, ἡ ἐλευθερία σας γίνεται ἐμπόδιον, οὔτε ἐξέφρασε σαφῆ γνώμην, διὰ νὰ μὴ τοὺς καταστήσῃ περισσότερον ἀδιστάκτους· ἀλλὰ τί εἶπε; «Προσέχετε», προσπαθῶν νὰ τοὺς ἐμπνεύσῃ φόβον καὶ δισταγμὸν καὶ νὰ τοὺς φέρῃ νὰ ἀρνηθοῦν νὰ κάμουν αὐτό. Καὶ δὲν εἶπεν, αὐτὴ ἡ γνῶσις σας, τὸ ὁποῖον θὰ ἦτο μᾶλλον ἐγκώμιον, οὔτε εἶπεν, αὐτὴ ἡ τελειότης σας, ἀλλὰ «ἡ ἐλευθερία», τὸ ὁποῖον ἐθεωρεῖτο ὅτι εἶναι μᾶλλον χαρακτηριστικὸν ἀπερισκεψίας καὶ αὐθαδείας καὶ ἀλαζονείας. Καὶ δὲν εἶπεν, εἰς τοὺς ἀδελφούς, ἀλλὰ «εἰς τοὺς ἀσθενεῖς κατὰ τὴν πίστιν ἀδελφούς», αὐξάνων τὴν κατηγορίαν ὅτι δὲν σκέπτονται οὔτε τοὺς ἀσθενεῖς εἰς τὴν πίστιν, καὶ μάλιστα ἀδελφούς. Ἔστω λοιπόν· δὲν διορθώνεις οὔτε ἐγείρεις· διατί ἀντιθέτως καὶ ὑπονομεύεις καὶ συντελεῖς εἰς παραπτώματα, ἐνῷ ἔπρεπε νὰ βοηθῇς; Ἀλλὰ δὲν θέλεις νὰ κάνῃς τοῦτο; οὔτε νὰ καταστρέφῃς λοιπόν. Ἐὰν μὲν ἦτο πονηρός, θὰ ἐχρειάζετο κόλασιν· ἐφ' ὅσον ὅμως εἶναι ἀσθενής, χρειάζε-

γὰρ πονηρὸς ἦν, κολάσεως ἐδεῖτο· εἰ δὲ ἀσθενής, ἰατρείας. Νυνὶ δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἀδελφός.

«Ὅταν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;». Εἰπών, «Βλέπετε μὴ πρόσκομμα γένηται ἡ ἐξουσία ὑμῶν αὕτη», λέγει πῶς καὶ τίνι τρόπῳ γίνεται. Καὶ πανταχοῦ τὴν ἀσθένειαν τίθησιν, ἵνα μὴ δόξῃ τῆς τοῦ πράγματος φύσεως εἶναι ἡ βλάβη καὶ φοβεροὶ φανῶσιν οἱ δαίμονες. Νῦν μὲν γὰρ ἐγγύς ἐστιν ἀποστῆναι τέλειον τῶν εἰδώλων, φησί· σὲ δὲ ὁρῶν ἐμφιλοχωροῦντα ἐκείνοις, ἀντὶ παραινέσεως τὸ πρᾶγμα δέχεται, καὶ ἐναπομένει καὶ αὐτός. Ὥστε οὐ τῆς ἀσθενείας μόνον ἐστὶ τῆς ἐκείνου, ἀλλὰ καὶ τῆς σῆς ἀκαιρίας ἡ ἐπιβουλή· σὺ γὰρ αὐτὸν ἀσθενέστερον ποιεῖς.

«Καὶ ἀπόλλυται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ βρώσει, δι' ὃν Χριστὸς ἀπέθανε». Δύο γὰρ ἔχεις τὰ συγγνώμης σε ἀποστεροῦντα ἐπὶ τῇ βλάβῃ ταύτῃ, καὶ ὅτι ἀσθενὴς καὶ ὅτι ἀδελφός· μᾶλλον δὲ καὶ τρίτον, καὶ πάντων φοβερώτερον. Ποῖον δὴ τοῦτο; Ὅτι Χριστὸς μὲν οὐδὲ ἀποθανεῖν παρῃτήσατο ὑπὲρ αὐτοῦ, σὺ δὲ αὐτῷ οὐδὲ συγκαταβαίνειν ἀνέχῃ. Διὰ δὴ τοῦτο καὶ ἀναμιμνήσκει τὸν τέλειον, τίς ἦν καὶ αὐτὸς ἔμπροσθεν, καὶ ὅτι καὶ ὑπὲρ αὐτοῦ ἀπέθανε. Καὶ οὐκ εἶπεν, ὑπὲρ οὗ καὶ ἀποθανεῖν σε ἔδει, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, ὅτι καὶ Χριστὸς δι' αὐτὸν ἀπέθανεν. Εἶτα ὁ μὲν δεσπότης ὁ σὸς ἀποθανεῖν ὑπὲρ αὐτοῦ οὐ παρῃτήσατο, σὺ δὲ οὕτως οὐδένα αὐτοῦ ποιῇ λόγον, ὡς μηδὲ τραπέζης ἐναγοῦς ἀποσχέσθαι δι' αὐτόν· ἀλλ' ἐᾷς αὐτὸν ἀπόλλυσθαι μετὰ τὴν σωτηρίαν τὴν οὕτω γενομένην, καὶ τὸ δὴ χαλεπώτερον, διὰ βρῶμα; Οὐδὲ γὰρ εἶπεν, ἐπὶ τῇ σῇ τελειότητι, οὐδέ, ἐπὶ τῇ σῇ γνώσει, ἀλλ' «ἐπὶ τῇ σῇ βρώσει». Ὥστε τέσσαρα τὰ ἐγκλήματα καὶ

---

21. αὐτ. 10.
22. αὐτ. 11.

ται θεραπείαν. Τώρα μάλιστα δὲν εἶναι μόνον ἀσθενὴς ἀλλὰ καὶ ἀδελφός.

«Διότι, ὅταν κάποιος ἴδῃ ἐσέ, ποὺ ἔχεις γνῶσιν, νὰ κάθεσαι εἰς ναὸν εἰδώλου, ἡ συνείδησίς του ποὺ εἶναι ἀσθενὴς δὲν θὰ παρακινηθῇ εἰς τὸ νὰ τρώγῃ κρέατα θυσιῶν;»[21]. Ἀφοῦ εἶπε, «Προσέχετε μήπως ἡ ἐλευθερία σας αὐτὴ γίνῃ ἐμπόδιον», λέγει πῶς καὶ μὲ ποῖον τρόπον γίνεται. Καὶ θέτει παντοῦ τὴν ἀσθένειαν, διὰ νὰ μὴ φανῇ ὅτι ἡ βλάβη προέρχεται ἀπὸ τὴν φύσιν τοῦ πράγματος καὶ φανοῦν φοβεροὶ οἱ δαίμονες. Τώρα μέν, λέγει, εἶναι πολὺ πλησίον εἰς τὸ νὰ ἐγκαταλείψῃ ἐντελῶς τὰ εἴδωλα· ἐπειδὴ ὅμως βλέπει ἐσένα νὰ εἰσέρχεσαι εἰς τὸν ναὸν εἰδώλων μὲ εὐχαρίστησιν, τὸ ἐκλαμβάνει ὡς παραίνεσιν καὶ μένει καὶ ὁ ἴδιος ἐκεῖ. Ὥστε ἡ ἐπιβουλὴ δὲν εἶναι ἀποτέλεσμα μόνον τῆς ἀσθενείας ἐκείνου ἀλλὰ καὶ τῆς ἰδικῆς σου ἀκαίρου συμπεριφορᾶς· διότι σὺ τὸν κάμνεις ἀσθενέστερον.

«Καὶ ἐξ αἰτίας τοῦ ἰδικοῦ σου φαγητοῦ χάνεται ὁ ἀσθενὴς ἀδελφός, διὰ τὸν ὁποῖον ὁ Χριστὸς ἀπέθανε»[22]. Δηλαδή, δύο εἶναι αὐτά, ἐξ αἰτίας τῶν ὁποίων δὲν εἶναι δυνατὸν νὰ συγχωρηθῇς διὰ τὴν βλάβην αὐτήν, ὅτι εἶναι ἀσθενὴς εἰς τὴν πίστιν καὶ ὅτι εἶναι ἀδελφός· μᾶλλον δὲ ὑπάρχει καὶ τρίτον, ποὺ εἶναι καὶ τὸ φοβερώτερον ὅλων. Ποῖον λοιπὸν εἶναι τοῦτο; ὅτι ὁ Χριστὸς ἐδέχθη ἀκόμη καὶ νὰ ἀποθάνῃ ὑπὲρ αὐτοῦ, σὺ ὅμως δὲν ἀνέχεσαι οὔτε συγκατάβασιν νὰ δείξῃς εἰς αὐτόν. Διὰ τοῦτο λοιπὸν καὶ ὑπενθυμίζει τὸν τέλειον, ποῖος ἦτο καὶ ὁ ἴδιος προηγουμένως, καὶ ὅτι καὶ ὑπὲρ αὐτοῦ ἀπέθανε. Καὶ δὲν εἶπε, Διὰ τὸν ὁποῖον ἔπρεπε ἀκόμη καὶ νὰ ἀποθάνῃς, ἀλλὰ εἶπεν αὐτὸ ποὺ ἦτο πολὺ μεγαλύτερον, ὅτι καὶ ὁ ἴδιος ὁ Χριστὸς ἀπέθανε δι' αὐτόν. Ἑπομένως, ὁ μὲν Κύριός σου ἐδέχθη νὰ ἀποθάνῃ ὑπὲρ αὐτοῦ, σὺ δὲ τόσον πολὺ δὲν τὸν σκέπτεσαι, ὥστε νὰ μὴ ἀπομακρύνεσαι οὔτε ἀπὸ μολυσμένην τράπεζαν χάριν αὐτοῦ· καὶ μετὰ τὴν σωτηρίαν του, ἡ ὁποία ἔτσι τοῦ ἐδόθη, τὸν ἀφήνεις νὰ χαθῇ, καὶ τὸ φοβερώτερον, ἐξ αἰτίας τοῦ φαγητοῦ; διότι δὲν εἶπεν ἐξ αἰτίας τῆς τελειότητός σου, οὔτε ἐξ αἰτίας τῆς γνώσεώς σου, ἀλλὰ «ἐξ αἰτίας τοῦ φαγητοῦ σου». Ὥστε τέσσαρα εἶναι τὰ ἐγκλήματά σου καὶ μάλιστα πάρα πολὺ μεγάλα, ὅτι εἶναι

σφόδρα μέγιστα, ὅτι καὶ ἀδελφός, καὶ ἀσθενῶν, καὶ οὗ τοσοῦτον ὁ Χριστὸς ἐποιήσατο λόγον ὡς καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, καὶ ὅτι μετὰ ταῦτα πάντα διὰ βρῶμα ἀπόλλυται.

«Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν εἰς Χριστὸν ἁμαρτάνετε». Ὁρᾷς πῶς ἠρέμα καὶ κατὰ μικρὸν εἰς αὐτὴν τῆς παρανομίας τὴν κορυφὴν τὸ ἁμάρτημα ἀνήγαγε; Καὶ πάλιν τῆς ἀσθενείας μέμνηται τῆς ἐκείνων. Ὅπερ γὰρ ἐνόμιζον ὑπὲρ αὐτῶν εἶναι οὗτοι, τοῦτο πανταχοῦ εἰς τὴν αὐτῶν περιτρέπει κεφαλήν. Καὶ οὐκ εἶπε, σκανδαλίζοντες, ἀλλά, «τύπτοντες», ὥστε τῇ ἐμφάσει τῆς λέξεως τὴν ὠμότητα ἐνδείξασθαι. Τί γὰρ ἀπηνέστερον ἀνθρώπου γένοιτ' ἂν τοῦ τὸν νοσοῦντα τύπτοντος; Καὶ γὰρ πληγῆς ἁπάσης χαλεπώτερον τὸ σκανδαλίζειν· πολλάκις γοῦν καὶ θάνατον τοῦτο εἰργάσατο. Καὶ πῶς εἰς Χριστὸν ἁμαρτάνουσιν; Ἑνὶ μὲν τρόπῳ, ὅτι τὰ τῶν οἰκετῶν αὐτὸς οἰκειοῦται· δευτέρῳ δέ, ὅτι εἰς τὸ σῶμα αὐτοῦ καὶ εἰς τὸ μέλος τελοῦσιν οἱ τυπτόμενοι· τρίτῳ, ὅτι τὸ ἔργον αὐτοῦ, ὃ διὰ τῆς οἰκείας ᾠκοδόμησε σφαγῆς, τοῦτο οὗτοι καθαιροῦσι διὰ τὴν οἰκείαν φιλοτιμίαν.

«Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα». Τοῦτο διδασκάλου ἀρίστου, τὸ δι' ἑαυτοῦ παιδεύειν ἃ λέγει. Καὶ οὐκ εἶπεν, εἴτε δικαίως εἴτε ἀδίκως ἀλλ' ὁπωσοῦν. Καὶ οὐ λέγω, φησίν, εἰδωλόθυτον, ὃ καὶ δι' ἑτέραν αἰτίαν κεκώλυται· ἀλλ' εἴ τι καὶ τῶν ἐν ἐξουσίᾳ καὶ συγκεχωρημένων σκανδαλίζει, καὶ ἐκείνων ἀφέξομαι· καὶ οὐ μίαν οὐδὲ δευτέραν ἡμέραν, ἀλλὰ τὸν πάντα χρόνον τῆς ζωῆς. «Οὐ μὴ γὰρ φάγω», φησί, «κρέα εἰς τὸν αἰῶνα». Καὶ οὐκ εἶπεν, ἵνα μὴ ἀπολέσω τὸν ἀδελφόν, ἀλλ' ἵνα μηδὲ ἁπλῶς σκανδαλίσω. Καὶ γὰρ ἐσχάτης ἀνοίας τὰ περισπούδαστα τῷ Χριστῷ καὶ τοιαῦτα ὡς καὶ θάνατον ἑλέσθαι δι' αὐτά, ταῦτα οὕτως ἡμᾶς εὐκαταφρόνητα νομίζειν, ὡς μηδὲ βρωμάτων ἀπέχεσθαι δι' αὐτά.

---

23. αὐτ. 12.
24. αὐτ. 13.

ἀδελφός σου, ὅτι εἶναι ἀσθενὴς εἰς τὴν πίστιν, καὶ ὅτι ὁ Χριστὸς τόσον ἐνδιεφέρθη δι' αὐτόν, ὥστε καὶ νὰ ἀποθάνῃ ὑπὲρ αὐτοῦ, καὶ ὅτι πέραν ὅλων αὐτῶν χάνεται ἐξ αἰτίας τοῦ φαγητοῦ.

«Ἁμαρτάνοντες δὲ ἔτσι πρὸς τοὺς ἀδελφοὺς καὶ πληγώνοντες τὴν συνείδησίν των ποὺ εἶναι ἀσθενὴς ἁμαρτάνετε πρὸς τὸν Χριστόν»[23]. Βλέπεις πῶς ὀλίγον κατ' ὀλίγον ἀνήγαγε τὸ ἁμάρτημα εἰς τὴν ἰδίαν τὴν κορυφὴν τῆς παρανομίας; Καὶ πάλιν ὑπενθυμίζει τὴν ἀσθένειαν ἐκείνων. Αὐτὸ δηλαδὴ ποὺ ἐνόμιζον ἐκεῖνοι ὅτι εἶναι ὑπὲρ αὐτῶν, τοῦτο τὸ στρέφει ἀπὸ παντοῦ κατὰ τῆς κεφαλῆς των. Καὶ δὲν εἶπε, σκανδαλίζοντες, ἀλλὰ «πληγώνοντες», ὥστε μὲ τὴν ἔμφασιν τῆς λέξεως νὰ δείξῃ τὴν ὠμότητα. Διότι τί σκληρότερον θὰ ἦτο δυνατὸν νὰ ὑπάρξῃ ἀπὸ ἄνθρωπον, ὁ ὁποῖος κτυπᾷ ἀσθενῆ· διότι ὁ σκανδαλισμὸς εἶναι τὸ φοβερώτερον ἀπὸ κάθε κτύπημα· ὡς γνωστόν, αὐτὸς πολλάκις προεκάλεσεν ἀκόμη καὶ θάνατον. Καὶ πῶς ἁμαρτάνουν εἰς τὸν Χριστόν; Πρῶτον, μὲ τὸ νὰ θεωρῇ ἰδικά του ὅσα ἀνήκουν εἰς τοὺς δούλους του· δεύτερον δὲ ὅτι ὅσοι πληγώνονται τὸ ἀποδίδουν εἰς τὸ σῶμα καὶ εἰς τὸ μέλος αὐτοῦ· τρίτον, ὅτι τὸ ἔργον του, τὸ ὁποῖον οἰκοδόμησε μὲ τὴν ἰδικήν του θυσίαν, αὐτὸ τὸ καταστρέφουν μὲ τὴν πλεονεξίαν των.

«Διὰ τοῦτο, ἐὰν σκανδαλίζῃ τὸν ἀδελφόν μου τὸ φαγητόν, δὲν θὰ φάγω ποτὲ κρέας»[24]. Τοῦτο εἶναι χαρακτηριστικὸν διδασκάλου ἀρίστου, τὸ νὰ διαπαιδαγωγῇ διὰ τοῦ ἑαυτοῦ του εἰς ὅσα λέγει. Καὶ δὲν εἶπεν, εἴτε δικαίως εἴτε ἀδίκως, ἀλλὰ καθ' οἱονδήποτε τρόπον. Καὶ δὲν ἀναφέρω, λέγει, εἰδωλόθυτον, τὸ ὁποῖον μοῦ ἀπαγορεύεται καὶ δι' ἄλλην αἰτίαν· ἀλλ' ἐὰν σκανδαλίζῃ ἀκόμη καὶ κάτι ἀπὸ ὅσα ἔχω τὸ δικαίωμα καὶ μοῦ ἐπιτρέπονται, θὰ ἀποφύγω καὶ ἐκεῖνα· καὶ ὄχι μόνον μίαν ἢ δύο ἡμέρας, ἀλλὰ εἰς ὅλην τὴν ζωήν μου· διότι λέγει· «Δὲν θὰ φάγω ποτὲ κρέας». Καὶ δὲν εἶπε, διὰ νὰ μὴ συντελέσω εἰς τὴν ἀπώλειαν τοῦ ἀδελφοῦ, ἀλλὰ «ἁπλῶς διὰ νὰ μὴ σκανδαλίσω». Δεικνύει λοιπὸν ἐσχάτην μωρίαν αὐτὰ ποὺ εἶναι πολὺ σημαντικὰ διὰ τὸν Χριστὸν καὶ εἶναι τέτοια, ὥστε ἀκόμη καὶ θάνατον νὰ προτιμήσωμεν δι' αὐτά, αὐτὰ νὰ τὰ θεωρῶμεν τόσον εὐκαταφρόνητα, ὥστε οὔτε ἀπὸ φαγητὰ νὰ ἀπέχωμεν πρὸς χάριν των.

6. Ταῦτα δὲ οὐ πρὸς ἐκείνους μόνον ἀλλὰ καὶ πρὸς ἡμᾶς ἂν ἔχοι καιρὸν λέγεσθαι, τοὺς καταφρονοῦντας τῆς τῶν πλησίον σωτηρίας, καὶ τὰ σατανικὰ ἐκεῖνα φθεγγομένους ῥήματα. Τὸ γὰρ λέγειν, τί δέ μοι μέλει, ἂν ὁ δεῖνα σκανδαλίζηται, καὶ ὁ δεῖνα ἀπόλλυται; τῆς ὠμότητος τῆς ἐκείνου καὶ τῆς ἀπανθρωπίας ἐστί. Καίτοιγε τότε μὲν καὶ τῆς τῶν σκανδαλιζομένων ἀσθενείας ἦν τὸ συμβαῖνον· ἐφ' ἡμῶν δὲ οὐκέτι. Τοιαῦτα γὰρ ἁμαρτάνομεν, ἃ καὶ τοὺς ἰσχυροὺς σκανδαλίζει. Ὅταν γὰρ τύπτωμεν καὶ ἁρπάζωμεν καὶ πλεονεκτῶμεν καὶ ὡς ἀνδραπόδοις τοῖς ἐλευθέροις ἀποχρώμεθα, τίνα οὐχ ἱκανὰ ταῦτα σκανδαλίσαι; Μὴ γὰρ εἴπῃς ὅτι ὁ δεῖνα ὑποδηματορράφος, μηδ' ὅτι δευσοποιὸς ἕτερος, μηδ' ὅτι χαλκοτύπος ἄλλος· ἀλλ' ἐννόησον ὅτι πιστὸς καὶ ἀδελφός. Ἐκείνων γάρ ἐσμεν μαθηταὶ τῶν ἁλιέων, τῶν τελωνῶν, τῶν σκηνορράφων, ἐκείνου τοῦ τραφέντος ἐν οἰκίᾳ τέκτονος, καὶ τὴν μνηστὴν τούτου μητέρα καταξιώσαντος σχεῖν, καὶ ἐκ σπαργάνων ἐπὶ φάτνης κειμένου καὶ οὐκ ἔχοντος ὅπου κλίνῃ τὴν κεφαλήν, τοῦ τοσαῦτα ὁδοιποροῦντος, ὡς καὶ κοπιᾶν ἀπὸ τῆς ὁδοιπορίας, τοῦ παρ' ἑτέρων τρεφομένου.

Ταῦτα λογίζου, καὶ μηδὲν εἶναι νόμιζε τὸν τῦφον τὸν ἀνθρώπινον, ἀλλὰ καὶ τὸν σκηνοποιόν, καὶ τὸν ἐπ' ὀχήματος φερόμενον καὶ μυρίους παῖδας ἔχοντα καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς, ἀδελφὸν εἶναι νόμιζε· μᾶλλον δὲ τοῦτον πλέον ἢ ἐκεῖνον. Καὶ γὰρ ἀδελφὸς ἐκεῖνος εἰκότως ἂν λέγοιτο μᾶλλον ὁ μᾶλλον ἐοικώς. Τίς οὖν ἔοικε τοῖς ἁλιεῦσιν; ὁ ἐκ τῆς καθ' ἡμέραν ἐργασίας τρεφόμενος καὶ μηδὲ οἰκέτην ἔχων μηδὲ καταγώγιον ἀλλὰ πάντοθεν ἐσταυρωμένος, ἢ ἐκεῖνος ὁ τοσοῦτον περιβεβλημένος τῦφον καὶ τὰ ἐναντία ποιῶν τοῖς τοῦ Θεοῦ νόμοις; Μὴ δὴ καταφρόνει τοῦ μᾶλλον ἀδελφοῦ· τῆς γὰρ εἰκόνος οὗτος μᾶλλον ἕστηκεν ἐγγὺς τῆς ἀποστολικῆς.

Ἀλλ' οὐχ ἑκών, ἀλλ' ἀναγκαζόμενος, φησίν· οὐ γὰρ

6. Αὐτὰ θὰ ἦσαν ἐπίκαιρα νὰ λέγωνται ὄχι μόνον πρὸς ἐκείνους ἀλλὰ καὶ πρὸς ἐμᾶς, οἱ ὁποῖοι καταφρονοῦμεν τὴν σωτηρίαν τῶν πλησίον καὶ λέγομεν τοὺς σατανικοὺς ἐκείνους λόγους. Διότι τὸ νὰ λέγωμεν, τί μὲ μέλει, ἂν ὁ τάδε σκανδαλίζηται καὶ ὁ τάδε χάνῃ τὴν σωτηρίαν του; ὁμοιάζει μὲ τὴν ὠμότητα ἐκείνου (τοῦ Σατανᾶ) καὶ τὸ μῖσος του κατὰ τοῦ ἀνθρώπου. Καὶ τότε μὲν ὁ σκανδαλισμὸς ὠφείλετο εἰς τὴν ἀδυναμίαν τῶν σκανδαλιζομένων, εἰς τὴν ἐποχήν μας ὅμως δὲν ὀφείλεται πλέον εἰς αὐτήν· διότι εἶναι τέτοια τὰ ἁμαρτήματά μας, ποὺ σκανδαλίζουν καὶ τοὺς ἰσχυρούς. Ὅταν δηλαδὴ κτυπῶμεν καὶ ἁρπάζωμεν καὶ δεικνύωμεν πλεονεξίαν καὶ συμπεριφερώμεθα πρὸς ἐλευθέρους ἀνθρώπους ὡς εἰς δούλους, ποῖον δὲν ἠμποροῦν αὐτὰ νὰ σκανδαλίσουν; Μὴ εἴπῃς ὅτι ὁ τάδε εἶναι ὑποδηματοποιός, οὔτε ὅτι ὁ ἄλλος εἶναι βαφεύς, οὔτε ὅτι ὁ ἄλλος εἶναι χαλκουργός, ἀλλὰ σκέψου ὅτι εἶναι πιστὸς καὶ ἀδελφός. Εἴμεθα μαθηταὶ ἐκείνων τῶν ἁλιέων, τῶν τελωνῶν, τῶν σκηνοποιῶν, ἐκείνου ποὺ ἀνετράφη μέσα εἰς τὴν οἰκίαν ξυλουργοῦ, τὴν μνηστὴν τοῦ ὁποίου ἠξιώθη νὰ ἔχῃ μητέρα, ἐκείνου ποὺ ἐτοποθετήθη ἀπὸ τὰ σπάργανα ἐπάνω εἰς φάτνην καὶ δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλήν του, ἐκείνου ποὺ ἔκαμνε τόσας ὁδοιπορίας, ὥστε νὰ εἶναι κατάκοπος ἀπὸ αὐτάς, ἐκείνου ποὺ τὸν ἔτρεφον ἄλλοι.

Αὐτὰ νὰ σκέπτεσαι καὶ νὰ θεωρῇς τιποτένιαν τὴν ἀνθρωπίνην ἀλαζονείαν, ἀλλὰ καὶ τὸν σκηνοποιὸν καὶ ἐκεῖνον ποὺ μεταφέρεται ἐπάνω εἰς ὄχημα καὶ ἔχει μυρίους ὑπηρέτας καὶ προχωρεῖ εἰς τὴν ἀγορὰν μὲ μεγαλοπρέπειαν νὰ τὸν θεωρῇς ἀδελφόν, καὶ μάλιστα περισσότερον αὐτὸν παρὰ ἐκεῖνον. Ὀρθῶς ὀνομάζεται ἀδελφὸς ἐκεῖνος ποὺ ὁμοιάζει περισσότερον. Ποῖος λοιπὸν ὁμοιάζει τοὺς ἁλιεῖς; ἐκεῖνος ποὺ τρέφεται ἀπὸ τὴν καθημερινὴν ἐργασίαν του καὶ δὲν ἔχει δοῦλον μήτε κατοικίαν ἀλλὰ εἶναι καθ' ὅλα ἐσταυρωμένος ἢ ἐκεῖνος ὁ ὁποῖος ἔχει τόσην ἀλαζονείαν καὶ ἐνεργεῖ ἀντίθετα ἀπὸ τοὺς νόμους τοῦ Θεοῦ; Μὴ λοιπὸν καταφρονῇς τὸν ἀληθινὸν ἀδελφόν σου, διότι αὐτὸς εἶναι ἐγγύτερον πρὸς τὴν εἰκόνα τῶν Ἀποστόλων.

Ἀλλά, θὰ ἔλεγε κάποιος, αὐτὸς εἶναι ἔτσι ὄχι μὲ τὴν θέλησίν

κατὰ γνώμην τοῦτο ποιεῖ. Πόθεν τοῦτο; Οὐκ ἤκουσας, «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»; Ἵνα δὲ μάθῃς ὅτι οὐκ ἄκων, πρόσελθε καὶ δὸς μυρία χρυσίου τάλαντα, καὶ ὄψει διακρουόμενον. Ὥστε εἰ καὶ μὴ ἐκ προγόνων διεδέξατο πλοῦτον, ἀλλ' ὅταν, ἐξὸν λαβεῖν, μὴ προσῆται μηδὲ προστιθῇ τοῖς οὖσι, μέγιστον δεῖγμα ἐκφέρει τοῦ χρημάτων ὑπερορᾶν. Ἐπεὶ καὶ ὁ Ἰωάννης ὁ Ζεβεδαίου τοῦ σφόδρα πένητος υἱὸς ἦν· ἀλλ' οὐ δήπου διὰ τοῦτο κατηναγκασμένην αὐτοῦ τὴν πενίαν εἶναι φήσομεν. Ὅταν οὖν ἴδῃς ἠλοκοποῦντα, σφυροκοποῦντα, ἠσβολωμένον, μὴ διὰ τοῦτο καταφρόνει, ἀλλὰ διὰ τοῦτο θαύμαζε· ἐπεὶ καὶ Πέτρος καὶ διεζώσατο καὶ σαγήνην μετεχείριζε καὶ ἡλίευε μετὰ τὴν ἀνάστασιν τοῦ δεσπότου. Καὶ τί λέγω Πέτρον; Παῦλος γὰρ αὐτὸς οὗτος μετὰ τοὺς μυρίους διαύλους καὶ τὰ τοσαῦτα θαύματα ἐπὶ σκηνορραφείου ἑστὼς δέρματα ἔρραπτε, καὶ ᾐδοῦντο αὐτὸν ἄγγελοι καὶ δαίμονες ἔτρεμον· καὶ οὐκ ᾐσχύνετο λέγων· «Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται». Καὶ τί λέγω, οὐκ ᾐσχύνετο; Καὶ ἐνεκαλλωπίζετο μὲν οὖν τούτῳ.

Καὶ τίς ἐστι κατὰ τὴν ἀρετὴν τοῦ Παύλου, φησί, νῦν; Οἶδα κἀγὼ ὅτι οὐδείς, ἀλλ' οὐ διὰ τοῦτο τοῦ καταφρονεῖσθαι ἄξιοι οἱ νῦν ὄντες. Εἰ γὰρ διὰ τὸν Χριστὸν τιμᾷς, κἂν ἔσχατος ᾖ, πιστὸς δέ, δίκαιος ἂν εἴη τιμᾶσθαι. Καὶ γὰρ εἰ στρατηγοῦ καὶ στρατιώτου ψιλοῦ παραγενομένων, ἀμφοτέρων βασιλεῖ φίλων ὄντων, σὺ τὴν οἰκίαν ἑκατέροις ἀνέῳξας, διὰ τίνος μᾶλλον ἔδοξας ἂν τὸν βασιλέα τιμᾶν; Εὔδηλον ὅτι διὰ τοῦ στρατιώτου· ὁ μὲν γὰρ στρατηγὸς εἶχε καὶ τῆς τοῦ βασιλέως φιλίας χωρὶς πολλὰ ἱκανὰ πεῖσαι ταύτην παρασχεῖν αὐτῷ τὴν τιμήν, ὁ δὲ στρατιώτης οὐδὲν ἕτερον ἢ τὴν τοῦ βασιλέως φιλίαν. Διὰ τοῦτο καὶ χωλοὺς καὶ ἀναπήρους καὶ τοὺς οὐκ ἔχοντας ἀντιδοῦναι, καλεῖσθαι

---

25. Ματθ. 7,1.
26. Πρ. 20,34.

του, ἀλλὰ διότι πιέζεται ἀπὸ τὴν ἀνάγκην· δὲν τὸ κάμνει, διότι τὸ θέλει. Ἀπὸ ποῦ τὸ γνωρίζεις αὐτό; Δὲν ἤκουσες τὸ «Μὴ κρίνετε, διὰ νὰ μὴ κριθῆτε»[25]; Διὰ νὰ μάθῃς δὲ ὅτι ζῇ ἔτσι μὲ τὴν θέλησίν του, πλησίασε καὶ δῶσε μυρία χρυσᾶ τάλαντα, καὶ θὰ τὸν ἴδῃς νὰ τὰ ἀποκρούῃ. Ὥστε, ἂν καὶ δὲν ἐκληρονόμησε πλοῦτον ἀπὸ τοὺς προγόνους του, ἐφ' ὅσον, ἐνῷ τοῦ εἶναι δυνατὸν νὰ λάβῃ, δὲν τὸν δέχεται οὔτε τὸν προσθέτει εἰς ὅσα ἔχει, παρουσιάζει μέγιστον παράδειγμα περιφρονήσεως τῶν χρημάτων. Καὶ ὁ Ἰωάννης ὁ Ζεβεδαίου ἦτο υἱὸς πτωχοτάτου, ἀλλὰ ὁπωσδήποτε δὲν θὰ ἰσχυρισθῶμεν ὅτι ἡ πενία του ἦτο ἐξ ἀνάγκης. Ὅταν λοιπὸν ἴδῃς κάποιον νὰ καρφώνῃ καρφιά, νὰ σφυροκοπῇ τὰ σίδηρα, νὰ ἔχῃ μαυρισμένον τὸ πρόσωπόν του ἀπὸ τὴν καπνιὰν τοῦ ἐργαστηρίου του, μὴ διὰ τοῦτο τὸν περιφρονῇς, ἀλλὰ διὰ τοῦτο ἀκριβῶς θαύμαζε, διότι καὶ ὁ Πέτρος ἐφόρεσε ζώνην ἁπλοῦ ἐργάτου καὶ ἔσυρε δίκτυα καὶ ἡλίευε μετὰ τὴν ἀνάστασιν τοῦ Κυρίου. Καὶ τί ἀναφέρω τὸν Πέτρον; Ὁ ἴδιος ὁ Παῦλος μετὰ τὰ μύρια ταξίδια καὶ τὰ τόσα θαύματα ἔμενεν εἰς σκηνορραφεῖον καὶ ἔρραπτε δέρματα, καὶ οἱ ἄγγελοι τὸν ἐσέβοντο καὶ οἱ δαίμονες τὸν ἔτρεμον· καὶ δὲν ἐντρέπετο νὰ λέγῃ· «Αὐτὰ τὰ χέρια μου ὑπηρέτησαν τὰς ἀνάγκας τὰς ἰδικάς μας καὶ τῶν συνοδῶν μου»[26]. Καὶ τί λέγω ὅτι δὲν ἐντρέπετο; Ἀντιθέτως μάλιστα, ἐκαυχᾶτο δι' αὐτό.

Καὶ ποιὸς εἶναι τώρα, θὰ ἔλεγε κάποιος, ὅμοιος μὲ τὸν Παῦλον εἰς τὴν ἀρετήν; Καὶ ἐγὼ γνωρίζω ὅτι κανείς, ἀλλὰ διὰ τὸν λόγον αὐτὸν δὲν εἶναι ἄξιοι νὰ περιφρονῶνται οἱ ὑπάρχοντες τώρα. Διότι, ἐὰν τὸν τιμᾷς διὰ τὸν Χριστόν, ἀκόμη καὶ ἂν εἶναι ὁ ἔσχατος, εἶναι ὅμως πιστός, δικαιοῦται νὰ τιμᾶται. Ἐὰν δηλαδὴ ἔλθουν στρατηγὸς καὶ ἁπλοῦς στρατιώτης, καὶ οἱ δύο φίλοι τοῦ βασιλέως, καὶ σὺ ἀνοίξῃς τὴν οἰκίαν σου καὶ εἰς τοὺς δύο, μὲ ποῖον ἐφάνης περισσότερον ὅτι τιμᾷς τὸν βασιλέα; Εἶναι φανερὸν ὅτι μὲ τὸν στρατιώτην· διότι ὁ μὲν στρατηγὸς καὶ χωρὶς τὴν φιλίαν τοῦ βασιλέως εἶχε πολλὰ προσόντα ἱκανὰ νὰ σὲ πείσουν νὰ τοῦ ἀποδώσῃς αὐτὴν τὴν τιμήν, ὁ δὲ στρατιώτης δὲν εἶχε τίποτε ἄλλο παρὰ τὴν φιλίαν τοῦ βασιλέως. Διὰ τοῦτο καὶ ὁ Θεὸς μᾶς παρήγγειλε νὰ καλοῦμεν εἰς τὰ συμπόσια καὶ τὰ δεῖπνα μας χωλοὺς καὶ ἀναπήρους καὶ ὅσους δὲν

ἐπὶ τὰ συμπόσια καὶ τὰ δεῖπνα ἡμῶν ἐκέλευσεν ὁ Θεός, ὅτι αὗται μάλιστα κυρίως εἰσὶν αἱ διὰ τὸν Θεὸν γινόμεναι εὐποιΐαι. Ἂν δὲ μέγαν τινὰ καὶ περίβλεπτον ξενίσῃς, οὐχ οὕτω καθαρὰ ἐλεημοσύνη τὸ γινόμενον, ἀλλὰ μερίζεταί τι πρὸς σὲ καὶ κενοδοξία πολλάκις καὶ τὸ παθεῖν εὖ καὶ ἐπισημότερον πολλοῖς δι' ἐκεῖνον γίνεσθαι.

Πολλοὺς γοῦν ἔχοιμι ἂν ἐπιδεῖξαι καὶ διὰ τοῦτο τοὺς ἐπισημοτέρους τῶν ἁγίων θεραπεύοντας, ἵνα καὶ παρὰ ἄρχουσι πλείονος δι' ἐκείνων ἀπολαύσωσι παρρησίας, καὶ τοῖς αὐτῶν πράγμασι καὶ ταῖς οἰκίαις ἐντεῦθεν χρησιμώτεροι γίνωνται. Καὶ πολλὰς τοιαύτας τοὺς ἁγίους ἐκείνους ἀπαιτοῦσι χάριτας· ὅπερ αὐτοῖς λυμαίνεται τῆς φιλοξενίας τὴν ἀντίδοσιν, ὅταν αὐτὴν γνώμῃ τοιαύτῃ μετίωσι. Καὶ τί χρὴ λέγειν περὶ τῶν ἁγίων τοῦτο; Ὁ γὰρ παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβὰς τῶν πόνων ἐνταῦθα ζητῶν καὶ διὰ τὰ παρόντα μετιὼν ἀρετήν, ἠλάττωσεν αὐτοῦ τὸν μισθόν· ὁ δὲ ὁλοκλήρους ἀπαιτῶν ἐκεῖ τοὺς στεφάνους, πολὺ θαυμαστότερος φαίνεται, κατὰ τὸν Λάζαρον ἐκεῖνον τὸν πάντα ἐκεῖ ἀπολαβόντα τὰ ἀγαθά, κατὰ τοὺς παῖδας τοὺς τρεῖς, οἳ μέλλοντες εἰς τὴν κάμινον ἐμπίπτειν ἔλεγον ὅτι «Ἔστι Θεὸς ἐν οὐρανοῖς ἱκανὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν»· κατὰ τὸν Ἀβραάμ, ὃς καὶ ἀνήγαγε τὸν υἱὸν καὶ ἔσφαξε, καὶ ταῦτα οὐκ ἐπὶ μισθῷ τινι ἔπραττεν, ἀλλὰ μίαν ἡγούμενος μεγίστην ἀμοιβήν, τὸ ὑπακούειν τῷ δεσπότῃ.

Τούτους καὶ ἡμεῖς μιμώμεθα· οὕτω γὰρ καὶ δαψιλὴς ἡ ἀντίδοσις ἡμῖν ἥξει τῶν ἀγαθῶν, ὅτι μετὰ τοιαύτης ἅπαντα πράττομεν γνώμης, καὶ λαμπροτέρων ἐπιτευξόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

27. Δαν. 3,17-18.

ἠμποροῦν νὰ μᾶς τὰ ἀνταποδώσουν, διότι αὐταὶ πρὸ παντὸς εἶναι αἱ ἀγαθοεργίαι ποὺ γίνονται διὰ τὸν Θεόν. Ἂν φιλοξενήσῃς κάποιον μέγαν καὶ ἐπιφανῆ, ἡ πρᾶξις σου δὲν εἶναι ἐντελῶς καθαρὰ ἐλεημοσύνη, ἀλλὰ πολλάκις ἔχει μερίδιον καὶ κενοδοξία σου καὶ ἐπιθυμία σου νὰ εὐεργετῇς καὶ γίνεσαι ἐπιφανέστερος εἰς πολλοὺς χάρις εἰς ἐκεῖνον.

Θὰ ἠμποροῦσα λοιπὸν νὰ δείξω πολλούς, οἱ ὁποῖοι περιποιοῦνται τοὺς ἐπισημοτέρους τῶν ἁγίων, διὰ νὰ ἔχουν περισσοτέραν παρρησίαν εἰς τοὺς ἄρχοντας χάρις εἰς ἐκείνους καὶ διὰ τὸν λόγον αὐτὸν νὰ γίνωνται χρησιμώτεροι εἰς τὰς περιουσίας καὶ τὰς οἰκίας των. Καὶ πολλὰς τέτοιας χάριτας ζητοῦν ἀπὸ τοὺς ἁγίους ἐκείνους, πρᾶγμα τὸ ὁποῖον καταστρέφει τὴν ἀνταμοιβὴν τῆς φιλοξενίας, ἐφ' ὅσον τὴν προσφέρει μὲ τέτοια κίνητρα. Καὶ διατί πρέπει νὰ ἀναφέρω αὐτὸ περὶ τῶν ἁγίων; Διότι ἐκεῖνος ὁ ὁποῖος ζητεῖ ἀπὸ τὸν Θεὸν ἐδῶ τὴν ἀνταμοιβὴν τῶν κόπων του καὶ ἀσκεῖ τὴν ἀρετὴν διὰ τὰ παρόντα, ἐλαττώνει τὸν μισθόν του· ἐκεῖνος ὅμως ὁ ὁποῖος ζητεῖ ὁλοκλήρους τοὺς στεφάνους ἐκεῖ φαίνεται πολὺ θαυμαστότερος κατὰ τὸ παράδειγμα ἐκείνου τοῦ Λαζάρου, ποὺ ἀπελάμβανεν ὅλα τὰ ἀγαθὰ ἐκεῖ, κατὰ τὸ παράδειγμα τῶν τριῶν παιδιῶν, οἱ ὁποῖοι, ἐνῷ ἐπρόκειτο νὰ ριφθοῦν εἰς τὴν κάμινον ἔλεγον, ὅτι «Ὑπάρχει εἰς τὸν οὐρανὸν Θεὸς ἱκανὸς νὰ μᾶς σώσῃ· καὶ ἂν δὲν μᾶς σώσῃ, νὰ τὸ γνωρίζῃς βασιλεῦ, ὅτι δὲν λατρεύομεν τοὺς θεούς σου καὶ δὲν προσκυνοῦμεν τὴν χρυσῆν εἰκόνα, τὴν ὁποίαν ἔστησες»[27], κατὰ τὸ παράδειγμα τοῦ Ἀβραάμ, ὁ ὁποῖος ἔφερε τὸν υἱόν του εἰς τὸ ὄρος καὶ τὸν ἐθυσίασε, καὶ αὐτὰ δὲν τὰ ἔκαμνε διὰ κάποιον μισθόν, ἀλλὰ θεωρῶν μίαν ἀμοιβὴν μεγίστην, τὴν ὑπακοὴν εἰς τὸν Κύριον.

Αὐτοὺς ἂς τοὺς μιμώμεθα καὶ ἡμεῖς· διότι ἔτσι θὰ ἔλθῃ εἰς ἡμᾶς ἄφθονη ἡ ἀνταπόδοσις τῶν ἀγαθῶν, διότι μὲ τέτοια κίνητρα πράττομεν τὰ πάντα, ὁπότε θὰ ἐπιτύχωμεν λαμποτέρους στεφάνους· αὐτοὺς εἴθε νὰ τοὺς ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΑ.
Α΄ Κορ. 9,1-12

«Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ;».

1. Ἐπειδὴ εἶπεν ὅτι «Ἐὰν βρῶμα σκανδαλίζῃ τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα», ὅπερ οὐκ ἦν μὲν πεποιηκώς, ὑπέσχετο δὲ ποιήσειν, εἰ χρεία ἀπαιτοίη· ἵνα μή τις λέγῃ, ὅτι κομπάζεις εἰκῇ καὶ φιλοσοφεῖς ἐν λόγοις καὶ ὑπισχνῇ διὰ ῥημάτων, ὃ καὶ ἐμοὶ καὶ τῷ δεῖνι εὔκολον· εἰ γὰρ ἀπὸ ψυχῆς ταῦτα λέγεις, δεῖξον διὰ τῶν ἔργων τίνος κατεφρόνησας ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τὸν ἀδελφόν· διὰ τοῦτο ἀναγκάζεται λοιπὸν εἰς τὴν ἀπόδειξιν τούτων καθεῖναι, καὶ δεῖξαι πῶς καὶ τῶν συγκεχωρημένων ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, καίτοιγε οὐδενὸς αὐτὸν τοῦτο καταναγκάζοντος νόμου. Καὶ οὐ τοῦτό πω θαυμαστόν, καίπερ ὂν θαυμαστόν, ὅτι τῶν συγκεχωρημένων ἀπείχετο ὑπὲρ τοῦ μὴ σκανδαλίσαι, ἀλλ᾽ ὅτι καὶ μετὰ πολλοῦ τοῦ πόνου καὶ τοῦ κινδύνου.

Τί γὰρ χρὴ λέγειν περὶ τῶν εἰδωλοθύτων, φησί; Τοῦ γὰρ Χριστοῦ ἐπιτάξαντος τοὺς τὸ εὐαγγέλιον κηρύττοντας ἐκ τῶν μαθητευομένων ζῆν, ἐγὼ τοῦτο οὐκ ἐποίησα, ἀλλ᾽ εἱλόμην, εἰ δέοι, καὶ λιμῷ καταλῦσαι τὸν βίον, καὶ τὸν χαλεπώτατον θάνατον ἀποθανεῖν, ὥστε μὴ λαβεῖν παρὰ τῶν κατηχουμένων· οὐκ ἐπειδὴ σκανδαλίζεσθαι ἔμελλον, εἰ μὴ λάβοι, ἀλλ᾽ ἐπειδὴ οἰκοδομεῖσθαι, ὃ πολλῷ πλέον ἦν. Καὶ τούτου μάρτυρας αὐτοὺς εἰς μέσον παράγει, παρ᾽ οἷς καὶ ἐργαζόμενος καὶ λιμώττων ἔζη καὶ παρ᾽ ἑτέ-

---

1. Α΄ Κορ. 9,1.

ΛΟΓΟΣ ΚΑ'
Α' Κορ. 9, 1—12

«Δὲν εἶμαι ἀπόστολος; δὲν εἶμαι ἐλεύθερος; δὲν ἔχω ἰδεῖ τὸν Ἰησοῦν Χριστόν, τὸν Κύριόν σας; σεῖς δὲν εἶσθε τὸ ἔργον μου ἐν Κυρίῳ;»[1].

1. Ἐπειδὴ εἶπεν ὅτι «Ἐὰν φαγητὸν σκανδαλίζῃ τὸν ἀδελφόν μου, δὲν θὰ φάγω ποτὲ κρέας», πρᾶγμα τὸ ὁποῖον δὲν εἶχε μὲν κάμει, ὑπέσχετο ὅμως ὅτι θὰ τὸ ἔκαμνεν, ἐὰν παρίστατο ἀνάγκη, διὰ νὰ μὴ λέγῃ κανείς, ὅτι κομπάζεις ἀσκόπως καὶ φιλοσοφεῖς μὲ λόγους καὶ ὑπόσχεσαι μὲ τὸ στόμα μόνον, ποὺ εἶναι εὔκολον καὶ εἰς ἐμένα καὶ εἰς τὸν καθένα· ἐὰν αὐτὰ τὰ λέγῃς ἀπὸ τὴν ψυχήν σου, δεῖξε διὰ τῶν ἔργων τί κατεφρόνησες, διὰ νὰ μὴ σκανδαλίσῃς τὸν ἀδελφόν σου, διὰ τοῦτο ἀναγκάζεται ἐν συνεχείᾳ νὰ προχωρήσῃ εἰς τὴν ἀπόδειξιν αὐτῶν καὶ νὰ δείξῃ ὅτι ἀπεῖχεν ἀκόμη καὶ ἀπὸ ὅσα ἐπετρέποντο προκειμένου νὰ μὴ προκαλέσῃ σκανδαλισμόν, ἂν καὶ κανεὶς νόμος δὲν τὸν ἐξηνάγκαζεν εἰς τοῦτο. Καὶ δὲν εἶναι βέβαια αὐτὸ θαυμαστόν, ἂν καὶ εἶναι θαυμαστόν, ὅτι ἀπεῖχεν ἀπὸ ὅσα ἐπετρέποντο, διὰ νὰ μὴ σκανδαλίσῃ, ἀλλ' ὅτι τὸ ἔκαμνε μὲ πολὺν κόπον καὶ κίνδυνον.

Διατί, λέγει, πρέπει νὰ ἀναφέρω τὰ εἰδωλόθυτα; Διότι, ἐνῷ ὁ Χριστὸς παρήγγειλεν ὅσοι κηρύττουν τὸ Εὐαγγέλιον νὰ ζοῦν ἀπὸ τοὺς μαθητάς των, ἐγὼ δὲν ἔκαμα τοῦτο, ἀλλὰ προετίμησα, καὶ ἂν ἀκόμη παρίστατο ἀνάγκη, νὰ ἀποθάνω ἀπὸ τὴν πεῖναν καὶ νὰ εὕρω τὸν χειρότερον θάνατον, προκειμένου νὰ μὴ λάβω τίποτε ἀπὸ τοὺς κατηχουμένους· ὄχι διότι ἐπρόκειτο νὰ σκανδαλισθοῦν, ἐὰν δὲν ἐλάμβανεν, ἀλλ' ἐπειδὴ ἐπρόκειτο νὰ οἰκοδομηθοῦν, πρᾶγμα τὸ ὁποῖον ἦτο πολὺ σπουδαιότερον. Καὶ μάρτυρας τούτου παρουσιάζει αὐτούς, μεταξὺ τῶν ὁποίων ἔζη καὶ ἐργαζόμενος καὶ πεινῶν καὶ

ρων τρεφόμενος καὶ στενοχωρούμενος, ὥστε μὴ σκανδαλίσαι αὐτούς· καίτοιγε εἰκῇ ἐσκανδαλίζοντο· νόμον γὰρ οὗτος ἐπλήρου, ἀλλ' ὅμως ἐκ περιουσίας αὐτῶν ἐφείδετο. Εἰ δὲ ὑπὲρ τὸν νόμον ἐποίησεν αὐτός, ἵνα μὴ σκανδαλισθῶσι, καὶ τῶν ἐπιτετραμμένων ἀπείχετο εἰς οἰκοδομὴν ἑτέρων, τίνος ἂν εἶεν ἄξιοι οὗτοι οἱ τῶν εἰδωλοθύτων μὴ ἀπεχόμενοι, καὶ ταῦτα πολλῶν ἐντεῦθεν ἀπολλυμένων, ὃ καὶ χωρὶς τοῦ σκανδάλου φυγεῖν ἔδει διὰ τὸ τῶν δαιμόνων εἶναι τὴν τράπεζαν;

Τὸ μὲν οὖν κεφάλαιον ἅπαν τοῦτό ἐστιν, ὃ διὰ πολλῶν ἐργάζεται στίχων. Δεῖ δὲ ἄνωθεν ἐπεξελθεῖν τοῖς προκειμένοις. Οὐδὲ γὰρ σαφῶς αὐτὸ οὕτως, ὥσπερ εἶπον, τέθεικεν, οὐδὲ εὐθέως αὐτῷ ἐπιπηδᾷ, ἀλλ' ἑτέρωθεν ἄρχεται, οὕτω λέγων· «Οὐκ εἰμὶ ἀπόστολος;». Μετὰ γὰρ τῶν εἰρημένων καὶ αὕτη οὐ μικρὰ διαφορά, τὸ καὶ Παῦλον εἶναι τὸν ταῦτα ποιοῦντα. Ἵνα γὰρ μὴ λέγωσιν ὅτι ἔξεστιν ἀπογεύεσθαι σφραγίζοντι, τέως μὲν οὐχ ἵσταται πρὸς τοῦτο, ἀλλὰ λέγει ὅτι, εἰ καὶ ἐξῆν, οὐκ ἔδει διὰ τὴν βλάβην τῶν ἀδελφῶν τοῦτο ποιεῖν· ὕστερον δὲ δείκνυσιν ὅτι οὐδὲ ἔξεστι. Νῦν μέντοι τὸ πρότερον κατασκευάζει ἀπὸ τῶν καθ' ἑαυτόν· καὶ μέλλων λέγειν ὅτι οὐδὲν παρ' αὐτῶν ἔλαβεν, οὐκ εὐθέως αὐτὸ τίθησιν, ἀλλὰ τὸ ἀξίωμα αὐτοῦ πρῶτον, λέγων· «Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος;». Ἵνα γὰρ μὴ λέγωσιν ὅτι εἰ καὶ μὴ ἔλαβες, ἐπειδὴ μὴ ἐξὸν ἦν, οὐκ ἔλαβες, διὰ τοῦτο πρῶτον τίθησι τὰς αἰτίας δι' ἃς εὐλόγως ἂν ἔλαβεν, εἴπερ ἐβούλετο λαβεῖν. Εἶτα, ἵνα μὴ δόξῃ τοὺς περὶ Πέτρον διαβάλλων ταῦτα λέγειν — καὶ γὰρ ἐλάμβανον ἐκεῖνοι — πρότερον δείκνυσιν ὅτι ἐξῆν ἐκείνοις λαμβάνειν· εἶτα, ἵνα μή τις εἴπῃ ὅτι Πέτρῳ μὲν ἐξῆν λαβεῖν, σοὶ δὲ οὐκ ἐξῆν, προκαταλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐγκωμίοις τοῖς περὶ ἑαυτοῦ.

στενοχωρούμενος, ἐπειδὴ ἐτρέφετο ἀπὸ ἄλλους, μὴ τυχὸν τοὺς σκανδαλίσῃ· διότι πράγματι ἐσκανδαλίζοντο μὲ τὸ τίποτε· αὐτὸς ἐτήρει τὸν νόμον, ἀλλ' ὅμως ἐσκέπτετο αὐτοὺς πολὺ περισσότερον. Ἐφ' ὅσον λοιπὸν αὐτὸς ἔπραξε περισσότερα ἀπὸ ὅ,τι καθορίζει ὁ νόμος, διὰ νὰ μὴ σκανδαλισθοῦν, καὶ ἀπεῖχεν ἀκόμη καὶ ἀπὸ ἐπιτρεπόμενα, διὰ νὰ οἰκοδομήσῃ ἄλλους, τίνος καταδίκης θὰ ἦσαν ἄξιοι αὐτοὶ οἱ ὁποῖοι δὲν ἀπέχουν ἀπὸ τὰ εἰδωλόθυτα τὴν στιγμὴν μάλιστα, κατὰ τὴν ὁποίαν διὰ τὸν λόγον αὐτὸν πολλοὶ χάνονται, ἐνῷ θὰ ἔπρεπε νὰ τὰ ἀποφύγουν καὶ χωρὶς νὰ ὑπῆρχεν ὁ κίνδυνος τοῦ σκανδάλου διὰ μόνον τὸν λόγον ὅτι εἶναι ἡ τράπεζα τῶν δαιμόνων;

Αὐτὸ λοιπὸν εἶναι ὅλον τὸ νόημα, τὸ ὁποῖον ἀναλύει μὲ πολλοὺς στίχους. Πρέπει ὅμως τὸ θέμα αὐτὸ νὰ τὸ ἀναπτύξῃ ἐπὶ ἀνωτέρας βάσεως. Δὲν τὸ θέτει σαφῶς ἔτσι, ὅπως τὸ εἶπα, οὔτε εἰσέρχεται εἰς αὐτὸ εὐθέως, ἀλλὰ ἀρχίζει ἀπὸ ἄλλο σημεῖον λέγων τὰ ἑξῆς· «Δὲν εἶμαι ἀπόστολος;». Μαζὶ δηλαδὴ μὲ ὅσα ἔχουν λεχθῆ καὶ αὐτὴ δὲν εἶναι μικρὴ διαφορά, τὸ νὰ εἶναι ὁ Παῦλος αὐτὸς ποὺ κάμνει αὐτά. Διότι, διὰ νὰ μὴ λέγουν ὅτι ἐπιτρέπεται νὰ γεύεται κανείς, ὅταν σφραγίζῃ τὸ εἰδωλόθυτον μὲ τὸ σημεῖον τοῦ σταυροῦ, πρὸς τὸ παρὸν μὲν δὲν ἀρκεῖται εἰς τοῦτο, ἀλλὰ λέγει ὅτι, καὶ ἂν ἀκόμη ἐπετρέπετο, δὲν ἔπρεπε νὰ τὸ κάμῃ διὰ νὰ μὴ βλαβοῦν οἱ ἀδελφοί· κατόπιν ὅμως ἀποδεικνύει ὅτι οὔτε ἐπετρέπετο τοῦτο. Τώρα ὅμως ἀποδεικνύει τὸ πρῶτο ἀπὸ τὴν ἰδικήν του περίπτωσιν· καὶ ἐνῷ πρόκειται νὰ εἴπῃ ὅτι τίποτε δὲν ἔλαβεν ἀπὸ αὐτούς, δὲν τὸ ἀναφέρει εὐθὺς ἀμέσως, ἀλλὰ κατὰ πρῶτον ἀναφέρει τὸ ἀξίωμά του, λέγων· «Δὲν εἶμαι ἀπόστολος; δὲν εἶμαι ἐλεύθερος;». Διὰ νὰ μὴ λέγουν δηλαδὴ ὅτι καὶ ἂν δὲν ἔλαβες τίποτε, δὲν τὸ ἔλαβες, διότι δὲν σοῦ ἐπετρέπετο νὰ λάβῃς, διὰ τοῦτο κατὰ πρῶτον ἀναφέρει τὰς αἰτίας, διὰ τὰς ὁποίας εὐλόγως θὰ ἐλάμβανεν, ἐὰν ἤθελε νὰ λάβῃ κάτι. Ἔπειτα, διὰ νὰ μὴ φανῇ ὅτι διαβάλλει τοὺς περὶ τὸν Πέτρον —διότι ἐκεῖνοι ἐλάμβανον— κατὰ πρῶτον τονίζει ὅτι ἐπετρέπετο εἰς ἐκείνους νὰ λαμβάνουν· κατόπιν, διὰ νὰ μὴ εἴπῃ κανεὶς ὅτι εἰς τὸν Πέτρον μὲν ἐπετρέπετο νὰ λάβῃ, εἰς ἐσένα ὅμως δὲν ἐπετρέπετο, προλαμβάνει τὸν ἀκροατὴν μὲ τὰ ἐγκώμια τοῦ ἑαυτοῦ του.

Καὶ ὁρῶν ἀνάγκην οὖσαν ἑαυτὸν ἐγκωμιάσαι — οὕτω γὰρ Κορίνθιοι διωρθοῦντο — καὶ μηδὲν βουλόμενος μέγα περὶ ἑαυτὸν ἐπαινῶν, οὐχ ὅσον ἑαυτῷ συνῄδει, ἀλλ' ὅσον ἀπῄτει τῆς προκειμένης ὑποθέσεως ἡ χρεία. Δυνάμενος γὰρ εἰπεῖν ὅτι ἐμὲ μάλιστα πάντων ἐχρῆν λαμβάνειν, καὶ μᾶλλον ἢ ἐκείνους, ὅτι περισσότερον αὐτῶν ἐκοπίασα, τοῦτο μὲν οὐ λέγει, ὅπερ εἶχεν ὑπεροχήν· ἀφ' ὧν δὲ ἦσαν ἐκεῖνοι μεγάλοι καὶ ἀφ' ὧν δικαίως ἐλάμβανον, ταῦτα τίθησι μόνα, λέγων οὕτως· «Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος;». Τουτέστιν, οὐκ ἐξουσίαν ἔχω ἐμαυτοῦ; μὴ ὑπό τινά εἰμι τὸν ἀναγκάζοντά με καὶ κωλύοντα λαβεῖν; Ἀλλ' ἔχουσί τι πλέον ἐκεῖνοι, τὸ μετὰ Χριστοῦ γενέσθαι. Ἀλλ' οὐδὲ τούτου ἐστέρημαι. Διὰ τοῦτο λέγει, «Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα;». «Ἔσχατον γὰρ πάντων», φησίν, «ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί». Οὐ μικρὸν δὲ καὶ τοῦτο ἀξίωμα ἦν. «Πολλοὶ γὰρ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε», φησί, «καὶ οὐκ εἶδον», καί, «Ἐλεύσονται ἡμέραι, ὅτε θελήσετε μίαν τούτων ἰδεῖν τῶν ἡμερῶν».

Τί οὖν, εἰ καὶ ἀπόστολος εἶ καὶ ἐλεύθερος, καὶ τὸν Χριστὸν ἑώρακας, οὐδὲν δὲ ἐπεδείξω ἀποστόλου ἔργον, πῶς ὀφείλεις λαμβάνειν; Διὰ τοῦτο μετὰ ταῦτα ἐπήγαγεν· «Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ;». Τὸ γὰρ μέγα τοῦτό ἐστιν· ἐκεῖνα γὰρ οὐδὲν ὠφελεῖ τούτου χωρίς. Ἐπεὶ καὶ Ἰούδας καὶ ἀπόστολος ἦν καὶ ἐλεύθερος ἦν καὶ τὸν Χριστὸν εἶδεν, ἀλλ' ἐπειδὴ ἀποστόλου ἔργον οὐκ εἶχεν, οὐδὲν αὐτὸν ἐκεῖνα ὤνησε. Διὰ δὴ τοῦτο καὶ τοῦτο προστίθησι καὶ αὐτοὺς μάρτυρας καλεῖ. Καὶ ἐπειδὴ μέγα ἐφθέγξατο, ὅρα πῶς αὐτὸ κολάζει λέγων, «ἐν Κυρίῳ», τουτέστι, τοῦ Θεοῦ τὸ ἔργον ἐστί, οὐκ ἐμόν.

---

2. αὐτ. 15,8.
3. Ματθ. 13,17.
4. Λουκᾶ 17,22.

Καὶ ἐπειδὴ ἔδλεπεν ὅτι ἦτο ἀνάγκη νὰ ἐγκωμιάσῃ τὸν ἑαυτόν του —διότι ἔτσι διωρθώνοντο οἱ Κορίνθιοι— καὶ ἐπειδὴ συγχρόνως δὲν ἤθελε νὰ εἴπῃ τίποτε ὑπερβολικὸν διὰ τὸν ἑαυτόν του, πρόσεχε πῶς κάμνει καὶ τὰ δύο εἰς ὅσον βαθμὸν τὸ ἀπαιτεῖ ἡ ἀνάγκη, ἐπαινῶν τὸν ἑαυτόν του ὄχι τόσον ὅσον εἶχε ἐπίγνωσιν, ἀλλ' ὅσον τὸ ἀπῄτει ἡ ἀνάγκη τῆς προκειμένης ὑποθέσεως. Ἐνῷ δηλαδὴ ἠμποροῦσε νὰ εἴπῃ, ὅτι Ἐγὼ πρὸ πάντων ἔπρεπε νὰ λαμβάνω καὶ μάλιστα περισσότερα ἀπὸ ἐκείνους, διότι ἐκοπίασα περισσότερον ἀπὸ αὐτούς, δὲν λέγει μὲν τοῦτο, εἰς τὸ ὁποῖον εἶχεν ὑπεροχήν, δι' ὅσα ὅμως ἐκεῖνοι ἦσαν μεγάλοι καὶ δι' ὅσα δικαίως ἐλάμβανον, αὐτὰ μόνον ἀναφέρει λέγων τὰ ἑξῆς· «Δὲν εἶμαι ἀπόστολος; δὲν εἶμαι ἐλεύθερος;». Δηλαδή, δὲν ἐξουσιάζω τὸν ἑαυτόν μου; μήπως εἶμαι ὑπὸ τὴν ἐξουσίαν κάποιου, ποὺ μὲ ἀναγκάζει καὶ μὲ ἐμποδίζει νὰ λάβω; Ἀλλὰ ἐκεῖνοι ἔχουν κάτι ἐπὶ πλέον, ὅτι ἔζησαν μαζὶ μὲ τὸν Χριστόν. Ἀλλὰ οὔτε καὶ αὐτοῦ στεροῦμαι. Διὰ τοῦτο λέγει· «Δὲν ἔχω ἰδεῖ τὸν Χριστὸν τὸν Κύριόν μας;». Διότι λέγει· τελευταῖον ἀπὸ ὅλους ὡς εἰς ἔκτρωμα ἐνεφανίσθη καὶ εἰς ἐμέ»[2]. Δὲν ἦτο καὶ μικρὰ αὐτὴ ἡ τιμή, διότι λέγει· «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν νὰ ἴδουν ὅσα βλέπετε καὶ ὅμως δὲν τὰ εἶδον»[3], καί· «Θὰ ἔλθουν ἡμέραι, κατὰ τὰς ὁποίας θὰ θελήσετε νὰ ἴδῆτε μίαν ἀπὸ αὐτὰς τὰς ἡμέρας»[4].

Τί λοιπὸν καὶ ἂν εἶσαι ἀπόστολος καὶ ἐλεύθερος καὶ ἔχῃς ἰδεῖ τὸν Χριστόν, ἐφ' ὅσον ὅμως δὲν ἔδειξες ἔργον ἀποστόλου, πῶς δικαιοῦσαι νὰ λαμβάνῃς; θὰ ἔλεγε κάποιος. Διὰ τοῦτο μετὰ ἀπὸ αὐτὰ προσέθεσε· «Σεῖς δὲν εἶσθε τὸ ἔργον μου ἐν Κυρίῳ;». Διότι τὸ μέγα εἶναι τοῦτο· ἐκεῖνα χωρὶς αὐτὸ δὲν ὠφελοῦν καθόλου. Καὶ ὁ Ἰούδας καὶ ἀπόστολος ἦτο καὶ ἐλεύθερος ἦτο καὶ τὸν Χριστὸν εἶδεν, ἀλλὰ ἐπειδὴ δὲν εἶχεν ἔργον ἀποστόλου, ἐκεῖνα καθόλου δὲν τὸν ὠφέλησαν. Δι' αὐτὸ λοιπὸν προσθέτει καὶ τοῦτο καὶ ἐπικαλεῖται αὐτοὺς ὡς μάρτυρας. Καὶ ἐπειδὴ εἶπε μεγάλον λόγον, πρόσεχε πῶς τὸν μετριάζει, λέγων «ἐν Κυρίῳ», δηλαδή, τοῦ Θεοῦ εἶναι τὸ ἔργον, ὄχι ἰδικόν μου.

2. «Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι». Ὁρᾷς πῶς οὐκ ἔστι περιττός; Καίτοιγε εἶχε τὴν οἰκουμένην εἰπεῖν καὶ ἔθνη βάρβαρα καὶ γῆν καὶ θάλατταν, ἀλλ' ὅμως οὐδὲν ἐκείνων λέγει, ἀλλὰ κατὰ συνδρομὴν καὶ ἐκ περιουσίας νικᾷ. Τί γάρ μοι τῶν περιττῶν χρεία, φησίν, ὅταν καὶ ταῦτα ἀρκῇ πρὸς τὴν παροῦσαν ὑπόθεσιν; Οὐ λέγω τοίνυν τὰ παρ' ἄλλοις κατορθώματά μοι γεγενημένα, ἀλλ' ὧν ὑμεῖς ἐστε μάρτυρες. Ὥστε, εἰ καὶ μηδαμόθεν ἄλλοθεν, παρ' ὑμῶν μάλιστά με ἐχρῆν λαβεῖν. Ἀλλ' ὅμως παρ' ὧν μάλιστα ἔδει λαβεῖν — διδάσκαλος γὰρ ὑμῶν ἐγενόμην — παρὰ τούτων οὐκ ἔλαβον. «Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι». Πάλιν κατὰ συνδρομὴν τὸν λόγον τίθησι· καὶ γὰρ τῆς οἰκουμένης ἀπόστολος ἦν.

Ἀλλ' ὅμως οὐ λέγω τοῦτο, φησίν, οὐδὲ μάχομαι καὶ φιλονεικῶ, ἀλλὰ τὸ ὑμέτερον τίθημι. «Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε», τουτέστιν ἡ ἀπόδειξις. Κἂν βούληταί τις μαθεῖν πόθεν ὅτι ἀπόστολός εἰμι, ὑμᾶς προβάλλομαι· πάντα γὰρ τὰ τοῦ ἀποστόλου ἐν ὑμῖν ἐπεδειξάμην καὶ οὐδὲν ἐνέλιπον. Ὅπερ καὶ ἐν τῇ δευτέρᾳ φησὶν ἐπιστολῇ, «Εἰ καὶ οὐδέν εἰμι» λέγων, «τὰ μέντοι σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν, ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι. Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας;». Διὰ τοῦτό φησιν· «Ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε». Καὶ γὰρ καὶ σημεῖα ἀπεδειξάμην καὶ λόγῳ ἐδίδαξα καὶ κινδύνους ὑπέμεινα καὶ βίον παρεσχόμην ἄληπτον. Καὶ ταῦτα ὅλα διὰ τῶν ἐπιστολῶν τῶν δύο τούτων ἔστιν ἰδεῖν, πῶς ἑκάστου τούτων παρέχεται αὐτοῖς ἀπόδειξιν μετὰ ἀκριβείας ἁπάσης.

---

5. Α' Κορ. 9,2.

6. «Κατὰ συνδρομήν»: Προσωρινὴ παραδοχὴ τοῦ ἐπιχειρήματος τοῦ ἀντιδίκου καὶ μετ' ὀλίγον δι' ἰσχυρῶν ἐπιχειρημάτων ἐξαναγκασμὸς αὐ-

2. «Ἐὰν δι' ἄλλους δὲν εἶμαι ἀπόστολος, ἀλλὰ δι' ἐσᾶς τοὐλάχιστον εἶμαι»[5]. Βλέπεις ὅτι δὲν λέγει περιττά; Ἂν καὶ ἠμποροῦσε ν' ἀναφέρη τὴν οἰκουμένην καὶ ἔθνη βάρβαρα καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ἐν τούτοις δὲν ἀναφέρει τίποτε ἀπὸ ἐκεῖνα, ἀλλὰ νικᾷ χρησιμοποιῶν τὰ ρητορικὰ σχήματα 'κατὰ συνδρομήν' καὶ 'ἐκ περιουσίας'[6]. Τί μοῦ χρειάζονται, λέγει, τὰ ἐπὶ πλέον, ὅταν καὶ αὐτὰ ἀρκοῦν διὰ τὴν παροῦσαν ὑπόθεσιν; Δὲν ἀναφέρω λοιπὸν ὅσα κατώρθωσα εἰς ἄλλους, ἀλλ' ὅσων σεῖς εἶσθε μάρτυρες. Ὥστε, καὶ ἂν ἀκόμη ἀπὸ πουθενὰ ἀλλοῦ δὲν ἔπρεπε νὰ λάβω, ἀπὸ ἐσᾶς εἶχον κάθε δικαίωμα νὰ λάβω —διότι ὑπῆρξα ὁ διδάσκαλός σας— ἀπὸ αὐτοὺς δὲν ἔλαβα. «Ἐὰν δι' ἄλλους δὲν εἶμαι ἀπόστολος, δι' ἐσᾶς ὅμως τοὐλάχιστον εἶμαι». Πάλιν χρησιμοποιεῖ εἰς τὸν λόγον του τὸ σχῆμα «κατὰ συνδρομήν», διότι ἦτο ἀπόστολος τῆς οἰκουμένης.

Ἀλλ' ὅμως, λέγει, δὲν λέγω αὐτό, οὔτε μάχομαι καὶ φιλονεικῶ, ἀλλὰ ἀναφέρω τὴν ἰδικήν σας περίπτωσιν. «Διότι, σεῖς εἶσθε ἡ σφραγὶς τῆς ἀποστολῆς μου», δηλαδὴ ἡ ἀπόδειξις. Καὶ ἂν θέλῃ κανεὶς νὰ μάθῃ διὰ ποῖον λόγον εἶμαι ἀπόστολος, προβάλλω ἐσᾶς· διότι εἰς σᾶς ἐπέδειξα ὅλα τὰ χαρακτηριστικὰ τοῦ ἀποστόλου καὶ τίποτε δὲν ὑστέρησα. Αὐτὸ ἀκριβῶς τὸ ἀναφέρει καὶ εἰς τὴν δευτέραν ἐπιστολήν του λέγων· «Ἂν καὶ δὲν εἶμαι τίποτε, τὰ χαρακτηριστικὰ ὅμως τοῦ ἀποστόλου ἐπραγματοποιήθησαν πρὸς ἐσᾶς μὲ πολλὴν ὑπομονήν, μὲ σημεῖα, μὲ τέρατα καὶ μὲ δυνάμεις. Τί λοιπὸν εἶναι αὐτό, εἰς τὸ ὁποῖον εἶσθε κατώτεροι ἀπὸ τὰς ἄλλας ἐκκλησίας;»[7]. Διὰ τοῦτο λέγει· «Σεῖς εἶσθε ἡ σφραγὶς τῆς ἀποστολῆς μου». Καθ' ὅτι καὶ σημεῖα ἐπέδειξα καὶ μὲ τὸν λόγον μου ἐδίδαξα καὶ κινδύνους ὑπέμεινα καὶ βίον ἔζησα ἄψογον. Καὶ ὅλα αὐτὰ εἶναι δυνατὸν νὰ τὰ εἴδῃ κανεὶς διὰ τῶν δύο τούτων ἐπιστολῶν, πῶς διὰ κάθε ἕνα ἀπὸ αὐτὰ τοὺς φέρει ἀπόδειξιν μὲ κάθε ἀκρίβειαν.

τοῦ νὰ παραδεχθῇ τὸ ἀντίθετον.
«Ἐκ περιουσίας»: Ἀνάπτυξις ἑνὸς θέματος διεξοδικῶς.
7. Β' Κορ. 12,11-13.

«Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσίν ἐστιν αὕτη». Τί ἐστιν, «Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσίν ἐστιν αὕτη»; Τοῖς ζητοῦσι μαθεῖν πόθεν ὅτι ἀπόστολός εἰμι, ἢ τοῖς ἐγκαλοῦσί μοι ὡς χρήματα λαμβάνοντι, ἢ ἐρωτῶσι τὴν αἰτίαν δι' ἣν οὐ λαμβάνω, ἢ τοῖς βουλομένοις με δεῖξαι οὐκ ὄντα ἀπόστολον, ἡ ὑμετέρα κατήχησις καὶ ταῦτα ἃ μέλλω λέγειν, ἀπόδειξις καὶ ἀπολογία γίνεται. Ποῖα δὴ ταῦτα; «Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν;». Καὶ πῶς ταῦτα ἀπολογία; Ὅτι, ὅταν φαίνωμαι καὶ τῶν συγκεχωρημένων ἀπεχόμενος, οὐκ ἂν εἴην δίκαιος ὑποπτεύεσθαι ὡς ἀπατεὼν ἢ ἐπὶ χρήμασί τι ποιῶν. Τά τε οὖν ἔμπροσθεν εἰρημένα καὶ ἡ ὑμετέρα διδασκαλία καὶ ταῦτα, ἅπερ εἶπον, ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν, καὶ πρὸς ἅπαντας τοὺς ἀνκρίνοντάς με ἐντεῦθεν ἵσταμαι ἐκεῖνά τε λέγων καὶ ταῦτα· «Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν;». Ἀλλ' ὅμως καὶ ἔχων, ἀπέχομαι.

Τί οὖν; οὐκ ἔτρωγεν οὐδὲ ἔπινε· Μάλιστα μὲν πολλαχοῦ οὔτε ἔτρωγεν οὔτε ἔπινε· καὶ γὰρ «Ἐν λιμῷ», φησί, καὶ δίψει καὶ γυμνότητι διετρίβομεν». Ἐνταῦθα μέντοι οὐ τοῦτο λέγει, ἀλλὰ τί; Οὐ τρώγομεν οὐδὲ πίνομεν παρὰ τῶν μαθητευομένων λαμβάνοντες, καίτοιγε ἐξουσίαν ἔχοντες τοῦ λαβεῖν. «Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς;». Ὅρα σοφίαν· τὸν κορυφαῖον ὕστερον τέθεικε· τὸ γὰρ ἰσχυρότερον τῶν κεφαλαίων τότε τίθεται. Οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν δεῖξαι τοὺς ἄλλους τοῦτο ποιοῦντας, ὡς τὸν πρωτοστάτην καὶ τὰς κλεῖς ἐμπιστευθέντα τῶν οὐρανῶν. Πλὴν οὐ μόνον τίθησιν, ἀλλὰ πάντας, μο-

8. Α΄ Κορ. 9,3.
9. αὐτ. 4-5.
10. Β΄ Κορ. 11,27.

«Αὐτὴ εἶναι ἡ ἀπάντησίς μου εἰς ὅσους μὲ ἐξετάζουν»[8]. Τί σημαίνει, «Αὐτὴ εἶναι ἡ ἀπάντησίς μου εἰς ὅσους μὲ ἐξετάζουν»; Δι' ἐκείνους ποὺ ζητοῦν νὰ μάθουν διὰ ποίους λόγους εἶμαι ἀπόστολος ἢ δι' ὅσους μὲ κατηγοροῦν ὅτι δῆθεν λαμβάνω χρήματα ἢ ἐρωτοῦν τὴν αἰτίαν, διὰ τὴν ὁποίαν δὲν λαμβάνω ἢ δι' αὐτοὺς ποὺ θέλουν νὰ ἀποδείξουν ὅτι δὲν εἶμαι ἀπόστολος, ἡ ἰδική σας κατήχησις καὶ ὅσα πρόκειται νὰ εἴπω ἀποτελοῦν ἀπόδειξιν καὶ ἀπολογίαν. Ποῖα λοιπὸν εἶναι αὐτά; «Μήπως δὲν ἔχομεν δικαίωμα νὰ φάγωμεν καὶ νὰ πίωμεν; μήπως δὲν ἔχομεν δικαίωμα νὰ περιφέρωμεν γυναῖκα ἀδελφήν;»[9]. Καὶ πῶς αὐτὰ εἶναι ἀπολογία; Διότι, ὅταν εἶναι φανερὸν ὅτι ἀπέχω ἀκόμη καὶ ἀπὸ τὰ ἐπιτρεπόμενα, δὲν θὰ ἦτο δίκαιον νὰ μὲ ὑποπτεύωνται ὡς ἀπατεῶνα ἢ ὅτι κάμνω κάτι διὰ χρήματα. Ὅσα λοιπὸν ἔχω εἴπει προηγουμένως καὶ ἡ διδασκαλία μου πρὸς ἐσᾶς καὶ αὐτά, τὰ ὁποῖα εἶπον, ἀρκοῦν δι' ἀπολογίαν μου πρὸς ἐσᾶς, καὶ ἐδῶ στηρίζομαι καὶ λέγω ἐκεῖνα καὶ τὰ ἑξῆς πρὸς ὅλους ὅσοι ἀμφιβάλλουν δι' ἐμένα· «Μήπως δὲν ἔχομεν δικαίωμα νὰ φάγωμεν καὶ νὰ πίωμεν; μήπως δὲν ἔχομεν δικαίωμα νὰ περιφέρωμεν γυναῖκα ἀδελφήν;». Ἀλλ' ὅμως, ἂν καὶ ἔχω δικαίωμα, ἐν τούτοις ἀπέχω.

Τί λοιπόν; δὲν ἔτρωγε οὔτε ἔπινε; Πολλάκις πράγματι οὔτε ἔτρωγεν οὔτε ἔπινε, διότι λέγει· «Ζῶμεν νηστικοὶ καὶ διψασμένοι, χωρὶς ἐπαρκῆ ρουχισμόν»[10]. Ἐδῶ ὅμως δὲν ἐννοεῖ αὐτό, ἀλλὰ τί; Δὲν τρώγομεν οὔτε πίνομεν λαμβάνοντες ἀπὸ τοὺς μαθητάς μας, ἂν καὶ ἔχομεν δικαίωμα νὰ λάβωμεν. «Μήπως δὲν ἔχομεν δικαίωμα νὰ περιφέρωμεν ἀδελφὴν γυναῖκα, ὅπως κάνουν καὶ οἱ ἄλλοι ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ ὁ Κηφᾶς;». Πρόσεχε σοφίαν· τὸν κορυφαῖον τὸν ἔχει θέσει τελευταῖον· διότι τὸ ἰσχυρότερον τῶν κεφαλαίων τότε τίθεται. Δὲν θὰ ἦτο τόσον θαυμαστὸν νὰ δείξῃ ὅτι οἱ ἄλλοι κάμνουν αὐτὸν ὅσον ὁ πρωτοστάτης ποὺ τοῦ ἐμπιστεύθηκε ὁ Κύριος τὰ κλειδιὰ τῶν οὐρανῶν. Ἀλλὰ δὲν τὸν ἀναφέ-

νονουχὶ λέγων· ἄν τε καταδεεστέρους ζητῇς, ἄν τε ὑπερέχοντας, ἅπαντα κεῖται τὰ ὑποδείγματα. Καὶ γὰρ οἱ ἀδελφοὶ τοῦ Κυρίου τῆς προτέρας ἀπιστίας ἀπαλλαγέντες, τῶν δοκίμων ἦσαν γεγενημένοι, εἰ καὶ μὴ πρὸς τοὺς ἀποστόλους ἔφθανον. Διὸ δὴ καὶ μέσους αὐτοὺς τέθεικεν ἑκατέρωθεν τοὺς ἄκρους θείς. «Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;». Ὅρα τὴν ταπεινοφροσύνην καὶ τὴν φθόνου καθαρεύουσαν ψυχήν, πῶς ὃν ᾔδει κοινωνοῦντα αὐτῷ τῆς ἀκριβείας, οὐκ ἀπέκρυψεν. Εἰ γὰρ τὰ ἄλλα κοινά, πῶς τοῦτο οὐ κοινόν; Ἀπόστολοι κἀκεῖνοι καὶ ἡμεῖς, καὶ ἐλεύθεροι καὶ τὸν Χριστὸν ἑωράκαμεν καὶ τὰ τῶν ἀποστόλων ἐπεδειξάμεθα. Οὐκοῦν καὶ ἡμεῖς ἐξουσίαν ἔχομεν καὶ τοῦ ἀργοῦντες ζῆν καὶ τοῦ τρέφεσθαι παρὰ τῶν μαθητευομένων.

3. «Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ;». Ἐπειδὴ γάρ, ὅπερ ἰσχυρότατον ἦν, ἐκ τῶν ἀποστόλων ἀπέδειξεν ὅτι ἔξεστι τοῦτο ποιεῖν, ἐπὶ παραδείγματα λοιπὸν ἔρχεται καὶ τὴν κοινὴν συνήθειαν, ὅπερ ἔθος αὐτῷ ποιεῖν, «Τίς στρατεύεται ἰδίοις ὀψωνίοις», λέγων. Σὺ δέ μοι σκόπει πῶς τὰ ὑποδείγματα σφόδρα ἁρμόδια τῇ προκειμένῃ ἤγαγεν ὑποθέσει καὶ πῶς πρῶτον μέμνηται τοῦ ἐπικινδύνου, στρατιᾶς καὶ ὅπλων καὶ πολέμων. Τοιοῦτον γὰρ ἡ ἀποστολή, μᾶλλον δὲ καὶ τούτων πολλῷ μεῖζον· οὐδὲ γὰρ πρὸς ἀνθρώπους μόνον ὁ πόλεμος ἦν αὐτοῖς, ἀλλὰ καὶ πρὸς δαίμονας, καὶ πρὸς τὸν ἐκείνων ἀρχηγὸν ἡ παράταξις. Ὃ τοίνυν φησί, τοῦτό ἐστιν· ὅτι οὐδὲ οἱ ἔξωθεν ἄρχοντες ἀπαιτοῦσιν, οἱ ὠμοὶ καὶ ἄδικοι, στρατεύεσθαι καὶ κινδυνεύειν, καὶ οἴκοθεν τρέφεσθαι τοὺς στρατευομένους· πῶς οὖν ὁ Χριστὸς τοῦτό ποτε ἀπῄτησεν ἄν;

Καὶ οὐδὲ ἑνὶ ἀρκεῖται παραδείγματι. Τὸν γὰρ ἀφελέστερον καὶ παχύτερον καὶ τοῦτο μάλιστα ἀναπαύειν εἰω-

---

11. Α' Κορ. 9,6.
12. αὐτ. 7.

ρει μόνον, ἀλλὰ ὅλους ὡσὰν νὰ λέγῃ τὰ ἑξῆς περίπου· Ἂν ζητῇς καὶ κατωτέρους καὶ ἀνωτέρους, ὑπάρχουν ὅλα τὰ παραδείγματα. Οἱ ἀδελφοὶ τοῦ Κυρίου, ἀφοῦ ἀπελευθερώθησαν ἀπὸ τὴν πρώτην ἀπιστίαν των, ἦσαν ἀπὸ τοὺς ἀξιολόγους, ἂν καὶ δὲν ἔφθανον τοὺς ἀποστόλους· διὰ τοῦτο τοὺς ἔθεσεν εἰς τὸ μέσον μεταξὺ τῶν δύο ἄκρων. «Ἢ μόνος ἐγὼ καὶ ὁ Βαρνάβας δὲν ἔχομεν δικαίωμα νὰ μὴ ἐργαζώμεθα;»[11]. Πρόσεχε τὴν ταπεινοφροσύνην καὶ τὴν ψυχὴν ποὺ εἶναι καθαρὴ ἀπὸ φθόνον, πῶς δὲν ἀπέκρυψεν αὐτὸν ποὺ ἐγνώριζεν ὅτι ἦτο ἀκριβὴς εἰς τὴν ζωήν του ὅπως ὁ ἴδιος. Ἐφ' ὅσον δηλαδὴ τὰ ἄλλα εἶναι κοινά, πῶς τοῦτο δὲν εἶναι κοινόν; Ἀπόστολοι καὶ ἐκεῖνοι καὶ ἡμεῖς, καὶ ἐλεύθεροι καὶ τὸν Χριστὸν εἴδομεν καὶ ἐπεδείξαμεν ἔργον ἀποστόλων. Ἑπομένως καὶ ἐμεῖς ἔχομεν δικαίωμα καὶ νὰ ζῶμεν χωρὶς νὰ ἐργαζώμεθα καὶ νὰ τρεφώμεθα ἀπὸ τοὺς μαθητάς μας.

3. «Ποῖος ποτὲ ὑπηρετεῖ εἰς τὸν στρατὸν μὲ ἰδικά του ἔξοδα;»[12]. Ἀφοῦ λοιπόν, αὐτὸ τὸ ὁποῖον ἦτο ἰσχυρότατον, ἀπέδειξεν ὅτι ὡς ἀπόστολος ἔχει τὸ δικαίωμα νὰ τὸ κάμῃ, ἐν συνεχείᾳ ἔρχεται εἰς τὰ παραδείγματα καὶ τὴν κοινὴν συνήθειαν, πρᾶγμα τὸ ὁποῖον συνήθιζε, καὶ λέγει· «Ποῖος ὑπηρετεῖ εἰς τὸν στρατὸν μὲ ἰδικά του ἔξοδα;». Σὺ ὅμως πρόσεξε, σὲ παρακαλῶ, πόσον πολὺ κατάλληλα διὰ τὴν προκειμένην περίπτωσιν παραδείγματα ἔφερε καὶ ὅτι κατὰ πρῶτον ὑπενθυμίζει τὰ ἐπικίνδυνα, στρατὸν καὶ ὅπλα καὶ πολέμους· διότι τέτοια ἦτο ἡ ἀποστολή του, μᾶλλον δὲ πολὺ περισσότερον ἐπικίνδυνος ἀπὸ αὐτά, καθ' ὅσον ὁ πόλεμός των δὲν ἦτο μόνον πρὸς ἀνθρώπους ἀλλὰ καὶ πρὸς δαίμονας, καὶ παρετάσσοντο διὰ μάχην μὲ τὸν ἀρχηγὸν ἐκείνων. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ὅτι δηλαδὴ οὔτε οἱ ἄρχοντες τοῦ κόσμου, οἱ ὠμοὶ καὶ ἄδικοι, ἀπαιτοῦν οἱ στρατευόμενοι νὰ μετέχουν εἰς ἐκστρατείας καὶ νὰ κινδυνεύουν καὶ συγχρόνως νὰ τρέφωνται μὲ ἰδικά των ἔξοδα· πῶς λοιπὸν ἦτο δυνατὸν ποτὲ ὁ Χριστὸς νὰ ἀπαιτήσῃ τοῦτο;

Καὶ οὔτε ἀρκεῖται εἰς ἓν μόνον παράδειγμα, διότι τὸν πολὺ ἁπλοϊκὸν καὶ βραδύνουν ἄνθρωπον συνήθως τὸν ἀναπαύει πάρα πο-

θε, τὸ καὶ τὴν κοινὴν συνήθειαν ὁρᾶν τοῖς τοῦ Θεοῦ νόμοις συμβαίνουσαν. Διὸ καὶ ἐφ' ἕτερον πρόεισι, καί φησι· «Τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;» Δι' ἐκείνου μὲν γὰρ τοὺς κινδύνους, διὰ δὲ τούτου τὸν πόνον καὶ τὴν πολλὴν ταλαιπωρίαν καὶ ἐπιμέλειαν ἐνέφηνε. Καὶ τρίτον πάλιν προστίθησιν ὑπόδειγμα λέγων· «Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει;», τὴν κηδεμονίαν τὴν πολλὴν τὴν διδασκάλῳ πρέπουσαν περὶ τοὺς ἀρχομένους ἐπιδείκνυσθαι καὶ ἐκ τούτων ἐμφαίνων. Καὶ γὰρ καὶ στρατιῶται καὶ γεωργοὶ καὶ ποιμένες ἦσαν οἱ ἀπόστολοι, οὐ γῆς οὐδὲ ἀλόγων οὐδὲ πολέμων αἰσθητῶν, ἀλλὰ ψυχῶν λογικῶν καὶ τῆς πρὸς τοὺς δαίμονας παρατάξεως.

Παρατηρητέον δὲ κἀκεῖνο, ὅπως πανταχοῦ τὴν συμμετρίαν ἐφύλαξε, τὸ χρειῶδες ζητῶν μόνον, οὐχὶ τὸ περιττόν. Οὐ γὰρ εἶπε, τίς στρατεύεται, καὶ οὐ πλουτεῖ; ἀλλά, «Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ;»· οὐδὲ εἶπε, τίς φυτεύει ἀμπελῶνα καὶ οὐ συνάγει χρυσίον ἢ τὸν καρπὸν ὁλόκληρον οὐ τρυγᾷ; ἀλλ', «ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;» οὐδὲ εἶπε, τίς ποιμαίνει ποίμνην, καὶ οὐκ ἐμπορεύεται τοὺς ἄρνας; ἀλλὰ πῶς; «Καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει»· οὐκ ἐκ τῶν ἀρνῶν ἀλλ' ἐκ τοῦ γάλακτος δεικνὺς ὅτι μικρᾷ παραμυθίᾳ τὸν διδάσκαλον ἀρκεῖσθαι δεῖ καὶ τῇ ἀναγκαίᾳ μόνῃ τροφῇ. Ταῦτα πρὸς τοὺς βουλομένους πάντα κατεσθίειν καὶ τὸν καρπὸν ὁλόκληρον τρυγᾶν. Οὕτω καὶ ὁ Κύριος ἐνομοθέτησε λέγων· «Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν». Οὐ τοῦτο δὲ μόνον διὰ τῶν ὑποδειγμάτων κατασκευάζει, ἀλλὰ καὶ δείκνυσιν ὁποῖον εἶναι χρὴ τὸν ἱερέα. Καὶ γὰρ στρατιώτου ἀνδρείαν κεκτῆσθαι δεῖ καὶ γεωργοῦ ἐπιμέλειαν καὶ ποιμένος κηδεμονίαν, καὶ μετὰ ταῦτα πάντα μηδὲν πλέον τῶν ἀναγκαίων ζητεῖν.

4. Δείξας τοίνυν καὶ ἀπὸ τῶν ἀποστόλων ὅτι οὐ κεκώλυται λαμβάνειν τὸν διδάσκαλον, καὶ ἀπὸ τῶν κατὰ τὸν

---

13. Ματθ. 10,10.

λὺ νὰ βλέπῃ καὶ τὴν κοινὴν συνήθειαν νὰ ἐφαρμόζεται εἰς τοὺς νόμους τοῦ Θεοῦ. Διὰ τοῦτο προχωρεῖ καὶ εἰς ἄλλο παράδειγμα καὶ λέγει· «Ποῖος φυτεύει ἀμπελῶνα καὶ δὲν τρώγει ἀπὸ τὸν καρπόν του;». Μὲ ἐκεῖνο τὸ παράδειγμα ἐτόνισε τοὺς κινδύνους, μὲ αὐτὸ δὲ τὸν κόπον καὶ τὴν πολλὴν ταλαιπωρίαν καὶ τὴν φροντίδα. Καὶ τρίτον πάλιν παράδειγμα προσθέτει λέγων· «Ποῖος βόσκει ποίμνην καὶ δὲν τρώγει ἀπὸ τὸ γάλα της;», προσπαθῶν ἔτσι νὰ καταστήσῃ γνωστὴν τὴν πολλὴν καὶ ἀπαραίτητον φροντίδα τοῦ διδασκάλου διὰ τοὺς μαθητάς του. Διότι βεβαίως οἱ ἀπόστολοι ἦσαν καὶ στρατιῶται καὶ γεωργοὶ καὶ ποιμένες ὄχι γῆς οὔτε ζώων οὔτε φονερῶν πολέμων, ἀλλὰ λογικῶν ψυχῶν καὶ πολέμου πρὸς τοὺς δαίμονας.

Πρέπει δὲ νὰ παρατηρήσωμεν καὶ ἐκεῖνο, ὅτι δηλαδὴ παντοῦ διεφύλαξε τὴν συμμετρίαν ἐπιζητῶν μόνον τὸ ἀναγκαῖον, ὄχι τὸ περιττόν. Διότι δὲν εἶπε, Ποῖος ὑπηρετεῖ εἰς τὸν στρατὸν καὶ δὲν πλουτίζει; ἀλλά, «Ποῖος ποτὲ ὑπηρετεῖ εἰς τὸν στρατὸν μὲ ἰδικά του ἔξοδα;»· οὔτε εἶπε, Ποῖος φυτεύει ἀμπελῶνα καὶ δὲν συνάγει χρυσὸν ἢ δὲν τρυγᾷ ὁλόκληρον τὸν καρπόν; ἀλλά, «δὲν τρώγει ἀπὸ τὸν καρπόν του;»· οὔτε εἶπε, Ποῖος ποιμαίνει ποίμνην καὶ δὲν ἐμπορεύεται τὰ ἀρνιά; ἀλλὰ πῶς εἶπε; «Καὶ δὲν τρώγει ἀπὸ τὸ γάλα της;»· ὄχι ἀπὸ τὰ ἀρνιά, ἀλλὰ ἀπὸ τὸ γάλα, δεικνύων ὅτι ὁ διδάσκαλος πρέπει νὰ ἀρκῆται εἰς μικρὰν μόνον ἀνταπόδοσιν τῶν κόπων του καὶ εἰς τὴν ἀναγκαίαν μόνον τροφήν. Αὐτὰ δι' ὅσους θέλουν νὰ κατατρώγουν τὰ πάντα καὶ νὰ τρυγοῦν ὁλόκληρον τὸν καρπόν. Καὶ ὁ Κύριος ἔτσι ἐνομοθέτησε λέγων· «Ὁ ἐργάτης ἔχει δικαίωμα νὰ τρέφεται διὰ τὸν κόπον του»[13]. Καὶ δὲν ἐπιτυγχάνει μόνον τοῦτο μὲ τὰ παραδείγματα, ἀλλὰ καὶ δεικνύει ποῖος πρέπει νὰ εἶναι ὁ ἱερεύς· διότι πρέπει νὰ ἔχῃ καὶ ἀνδρείαν στρατιώτου καὶ ἐπιμέλειαν γεωργοῦ καὶ κηδεμονίαν ποιμένος καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ νὰ μὴ ἐπιζητῇ τίποτε περισσότερον ἀπὸ τὰ ἀναγκαῖα.

4. Ἀφοῦ λοιπὸν ἔδειξε καὶ ἀπὸ τὸ παράδειγμα τῶν ἀποστόλων καὶ ἀπὸ τὰ παραδείγματα τῆς ζωῆς ὅτι δικαιοῦται νὰ θεωρῆ-

βίον παραδειγμάτων, καὶ ἐπὶ τρίτον κεφάλαιον ἔρχεται οὕτω λέγων· «Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;». Ἐπειδὴ γὰρ τέως ἀπὸ Γραφῶν οὐδὲν εἶπεν, ἀλλὰ τὴν κοινὴν συνήθειαν προεβάλετο, μὴ νομίσητέ με, φησί, τούτοις ἰσχυρίζεσθαι μόνοις, μηδὲ ἀφ' ὧν τοῖς ἀνθρώποις δοκεῖ, ταῦτα νομοθετεῖν· ἔχω γὰρ δεῖξαι ὅτι καὶ τῷ Θεῷ ταῦτα δοκεῖ, καὶ παλαιὸν ἀναγινώσκω νόμον ταῦτα κελεύοντα. Διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον, ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων γίνεται, οὕτω λέγων· «Μὴ κατὰ ἄνθρωπον ταῦτα λέγω;» τουτέστι, μὴ ἐξ ἀνθρωπίνων μόνον παραδειγμάτων ἰσχυρίζομαι; «ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; Ἐν γὰρ τῷ νόμῳ Μωϋσέως γέγραπται· Οὐ φιμώσεις βοῦν ἀλοῶντα». Καὶ τίνος ἕνεκεν ἐμνήσθη τούτου τὸ τῶν ἱερέων ὑπόδειγμα ἔχων; Ἐκ πολλῆς τῆς περιουσίας αὐτὸ κατασκευάσαι βουλόμενος.

Εἶτα, ἵνα μή τις λέγῃ, καὶ τί πρὸς ἡμᾶς τὸ περὶ τῶν βοῶν εἰρημένον; ἐπεξεργάζεται αὐτὸ μετὰ ἀκριβείας λέγων· «Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;». Οὐ μέλει οὖν περὶ τῶν βοῶν, εἰπέ μοι, τῷ Θεῷ; Μέλει μὲν οὖν, οὐχ οὕτω δέ, ὡς καὶ νόμον θεῖναι ὑπὲρ τούτου. Ὥστε, εἰ μὴ μέγα τι ᾐνίττετο ἐγγυμνάζων τοῖς ἀλόγοις τοὺς Ἰουδαίους εἰς τὸ εἶναι φιλανθρώπους καὶ ἀπὸ τούτων καὶ περὶ τῶν διδασκάλων αὐτοῖς διαλεγόμενος, οὐκ ἂν τοσαύτην ἐποιήσατο σπουδήν, ὡς καὶ νόμον γράψαι ὑπὲρ τοῦ μὴ κημοῦσθαι τοὺς βοῦς. Ἐντεῦθεν καὶ ἕτερόν τι δείκνυσι, πολὺν τὸν πόνον τῶν διδασκάλων καὶ ὄντα καὶ εἶναι ὀφείλοντα· καὶ ἕτερον πάλιν. Ποῖον δὴ τοῦτο; Ὅτι ὅσαπερ ἂν ὑπὲρ τῆς τῶν ἀλόγων ἐπιμελείας παρὰ τῆς Παλαιᾶς λέγηται, προηγουμένως εἰς τὴν τῶν ἀνθρώπων συντελεῖ διδασκαλίαν· ὥσπερ οὖν καὶ τὰ ἄλλα ἅπαντα, τὰ περὶ ἱματίων ποικίλων καὶ τὰ περὶ ἀμπελώνων καὶ σπερμάτων καὶ τοῦ μὴ διάφορον

---

14. Α' Κορ. 9,8.
15. αὐτ. 9.

ται διδάσκαλος, ἔρχεται καὶ εἰς τρίτον κεφάλαιον λέγων τὰ ἑξῆς· «Μήπως τὰ λέγω αὐτὰ σκεπτόμενος ἀνθρωπίνως; ἢ δὲν τὰ λέγει αὐτὰ καὶ ὁ νόμος;»[14]. Ἐπειδὴ δηλαδὴ ἕως ἐδῶ δὲν εἶπε τίποτε ἀπὸ τὰς Γραφάς, ἀλλὰ προέβαλε τὴν κοινὴν συνήθειαν λέγει· Μὴ νομίσετε ὅτι ἐνισχύω τὴν θέσιν μου μὲ αὐτὰ μόνον τὰ ἐπιχειρήματα, οὔτε ὅτι νομοθετῶ αὐτὰ βασιζόμενος εἰς τὴν γνώμην τῶν ἀνθρώπων· ἠμπορῶ νὰ σᾶς ἀποδείξω ὅτι αὐτὴ εἶναι ἡ γνώμη καὶ τοῦ Θεοῦ, καὶ σᾶς διαβάζω παλαιὸν νόμον, ποὺ ὁρίζει αὐτά. Διὰ τοῦτο προχωρεῖ τὸν λόγον του μὲ ἐρώτησιν, πρᾶγμα τὸ ὁποῖον γίνεται διὰ θέματα γενικῆς ἀποδοχῆς, καὶ λέγει ὡς ἑξῆς· «Μήπως τὰ λέγω αὐτὰ σκεπτόμενος ἀνθρωπίνως;», δηλαδή, Μήπως ἐνισχύω τὴν θέσιν μου μόνον μὲ ἀνθρώπινα παραδείγματα; «ἢ δὲν τὰ λέγει αὐτὰ καὶ ὁ νόμος; Διότι εἰς τὸν νόμον τοῦ Μωϋσέως ἔχει γραφῆ: Μὴ φιμώσῃς τὸ στόμα τοῦ βοδιοῦ ποὺ ἀλωνίζει»[15]. Καὶ διὰ ποῖον λόγον ἀνέφερε τοῦτο, ἐφ' ὅσον εἶχεν εἰς τὸν νοῦν του τὴν περίπτωσιν τῶν ἱερέων; Ἐπειδὴ ἤθελε νὰ ἀναπτύξῃ αὐτὸ διεξοδικώτατα.

Ἔπειτα, διὰ νὰ μὴ εἴπῃ κανείς, καὶ ποίαν σχέσιν ἔχομεν ἐμεῖς μὲ αὐτὸ ποὺ εἶπες διὰ τὰ βόδια; ἀναπτύσσει αὐτὸ μὲ ἀκρίβειαν, λέγων· «Μήπως ὁ Θεὸς ἐνδιαφέρεται διὰ τὰ βόδια;». Εἰπέ μου λοιπόν, δὲν ἐνδιαφέρεται ὁ Θεὸς διὰ τὰ βόδια; Ἐνδιαφέρεται μέν, ὄχι ὅμως ἔτσι, ὥστε καὶ νόμον νὰ θεσπίσῃ διὰ τὸ θέμα τοῦτο. Ὥστε, ἐὰν δὲν ὑπαινίσσετο κάτι σημαντικὸν ἐκγυμνάζων τοὺς Ἰουδαίους εἰς τὸ νὰ εἶναι φιλάνθρωποι μὲ τὸ παράδειγμα τῶν ζώων καὶ μὲ βάσιν αὐτὰ ὁμιλῶν πρὸς αὐτοὺς περὶ τῶν διδασκάλων, δὲν θὰ ἔσπευδεν ἔτσι, ὥστε καὶ νόμον νὰ θεσπίσῃ διὰ τὴν φίμωσιν τῶν βοδιῶν. Μὲ αὐτὸ δεικνύει καὶ κάτι ἄλλο, ὅτι ὁ κόπος τῶν διδασκάλων καὶ εἶναι πολὺς καὶ ὀφείλει νὰ εἶναι· καὶ ἐπὶ πλέον καὶ κάτι ἄλλο. Ποῖον λοιπὸν εἶναι τοῦτο; Ὅτι ὅσα λέγονται ἀπὸ τὴν Παλαιὰν Διαθήκην διὰ τὴν φροντίδα τῶν ζώων, κυρίως συντελοῦν εἰς τὴν διδασκαλίαν τῶν ἀνθρώπων, ὅπως ἀκριβῶς καὶ ὅλα τὰ ἄλλα, τὰ περὶ ποικίλων ἱματίων καὶ τὰ περὶ ἀμπελώνων καὶ σπερμάτων

ποιεῖν τὴν γῆν, τὰ περὶ λέπρας καὶ τὰ ἄλλα, ὡς εἰπεῖν, ἅπαντα. Παχυτέροις γὰρ οὖσιν ἐντεῦθεν διελέγετο κατὰ μικρὸν ἀναβιβάζων αὐτούς.

Καὶ ὅρα πῶς αὐτὸ οὐδὲ κατασκευάζει λοιπόν, ἅτε φανερὸν ὂν καὶ αὐτόθεν δῆλον. Εἰπὼν γάρ, «Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;» ἐπήγαγεν, «Ἢ δι' ἡμᾶς πάντως λέγει;»· οὐδὲ τό, «πάντως», ἁπλῶς προσθείς, ἀλλ' ἵνα μὴ συγχωρήσῃ μηδ' ὁτιοῦν ἀντειπεῖν τῷ ἀκροατῇ. Καὶ ἐπιμένει τῇ μεταφορᾷ λέγων καὶ ἀποφαινόμενος· «Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν», τουτέστιν, ὁ διδάσκαλος ὀφείλει τῶν πόνων τὰς ἀμοιβὰς ἔχειν· «καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι». Καὶ θέα σύνεσιν. Ἀπὸ γὰρ τοῦ σπόρου ἐπὶ τὴν ἅλω τὸ πρᾶγμα μετήνεγκε, πάλιν κἀνταῦθα τοὺς πολλοὺς ἱδρῶτας τῶν διδασκάλων ἐμφαίνων, ὅτι αὐτοὶ καὶ ἀροτριῶσι καὶ τὴν ἅλω τρίβουσι. Καὶ ἐπὶ μὲν τοῦ ἀροτριᾶν, ἐπειδὴ οὐδὲν ἦν καρπώσασθαι, ἀλλὰ πόνον μόνον, τὴν ἐλπίδα τέθεικεν, ἐπὶ δὲ τοῦ τρίβειν τὴν ἅλω ἤδη τὴν ἀπόλαυσιν ἐχαρίσατο λέγων· «Καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχει». Εἶτα, ἵνα μὴ λέγῃ τις, αὕτη οὖν ἡ τῶν τοσούτων ἱδρώτων ἀμοιβή; προσέθηκεν, «ἐπ' ἐλπίδι», τουτέστι, τῇ μελλούσῃ. Οὐδὲν οὖν ἕτερον τὸ στόμα ἀκήμωτον ὂν τοῦ ζώου τούτου βοᾷ ἢ ὅτι τοὺς διδασκάλους τοὺς πονοῦντας δεῖ καὶ ἀμοιβῆς ἀπολαύειν.

5. «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;» Ἰδοὺ καὶ τέταρτον προστίθησι λογισμὸν ὑπὲρ τοῦ δεῖν παρέχειν. Ἐπειδὴ γὰρ εἶπε, «Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ;» καί, «τίς φυτεύει ἀμπελῶνα;» καί, «τίς ποιμαίνει ποίμνην;» καὶ παρήγαγε τὸν βοῦν τὸν ἀλοῶντα, δείκνυσι καὶ ἄλλην αἰ-

16. Δευτ. 22,9.
17. Α' Κορ. 9,10.
18. αὐτ. 11.

καὶ περὶ τοῦ νὰ μὴ μεταβάλῃ κανεὶς τὸν ἀγρόν του[16], τὰ περὶ λέπρας καὶ ὅλα γενικῶς τὰ ἄλλα. Διότι, ἐπειδὴ ἦσαν πολὺ ἀσθενεῖς εἰς τὴν πίστιν, μὲ τέτοια παραδείγματα ὡμίλει πρὸς αὐτοὺς ὀλίγον κατ' ὀλίγον ἀναβιβάζων αὐτοὺς πνευματικά.

Καὶ πρόσεχε ὅτι δὲν ἀναφέρει πολλὰ ἐπιχειρήματα δι' αὐτό, διότι ἦτο φανερὸν καὶ αὐτονόητον. Ἀφοῦ δηλαδὴ εἶπε, «Μήπως ὁ Θεὸς ἐνδιαφέρεται διὰ τὰ βόδια;», προσέθεσεν· «Ἢ ὁμιλεῖ ἀποκλειστικῶς δι' ἐμᾶς;»[17]· καὶ δὲν προσέθεσεν ἀσκόπως τὸ «ἀποκλειστικῶς», ἀλλὰ διὰ νὰ μὴ ἐπιτρέψῃ εἰς τὸν ἀκροατὴν νὰ ἀντείπῃ ὁ,τιδήποτε. Καὶ ἐπιμένει εἰς τὴν μεταφορὰν λέγων καὶ διακηρύττων· «Διότι δι' ἐμᾶς ἐγράφη ὅτι ἐκεῖνος ποὺ ὀργώνει ὀφείλει νὰ ὀργώνῃ μὲ ἐλπίδα», δηλαδὴ ὁ διδάσκαλος ὀφείλει νὰ ἔχῃ τὰς ἀμοιβὰς τῶν κόπων του· «καὶ ἐκεῖνος ποὺ ἀλωνίζει ὀφείλει νὰ ἀλωνίζῃ ἐλπίζων ὅτι θὰ λάβῃ μέρος τοῦ καρποῦ». Καὶ κοίταξε σύνεσιν! Ἀπὸ τὸν σπόρον μετέφερε τὸ θέμα εἰς τὸ ἀλώνι, δεικνύων καὶ μὲ τὸν τρόπον αὐτὸν τοὺς πολλοὺς ἱδρῶτας τῶν διδασκάλων, ὅτι αὐτοὶ καὶ ὀργώνουν καὶ ἀλωνίζουν. Καὶ διὰ μὲν τὸ ὄργωμα, ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ καρπωθοῦν κάτι ἀλλὰ τὸν πόνον μόνον, ἔχει θέσει τὴν ἐλπίδα, ἀλλὰ εἰς τὸ ἀλώνισμα ἀνέφερε πλέον τὴν ἀνταμοιβὴν λέγων· «Καὶ ἐκεῖνος ποὺ ἀλωνίζει ἐλπίζει ὅτι θὰ λάβῃ». Ἔπειτα, διὰ νὰ μὴ λέγῃ κανείς· Αὐτὴ λοιπὸν εἶναι ἡ ἀμοιβὴ τόσων πολλῶν ἱδρώτων; Προσέθεσε τὸ «ἐπ' ἐλπίδι», δηλαδὴ εἰς τὸ μέλλον. Τίποτε ἄλλο λοιπὸν δὲν βοᾷ τὸ ἀφίμωτον στόμα αὐτοῦ τοῦ ζώου, παρὰ τὸ ὅτι οἱ διδάσκαλοι ποὺ κοπιάζουν πρέπει καὶ νὰ ἀπολαύουν ἀμοιβῆς.

5. «Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά, εἶναι ὑπερβολικὸν ἐὰν ἐμεῖς θερίσωμεν ἀπὸ ἐσᾶς ὑλικὰ πράγματα;»[18]. Ἰδοὺ ὅτι προσθέτει καὶ τέταρτον συλλογισμὸν ὑπὲρ τοῦ ὅτι οἱ πιστοὶ πρέπει νὰ παρέχουν τὰ ἀναγκαῖα εἰς τοὺς ἀποστόλους διὰ τὴν συντήρησίν των. Ἀφοῦ δηλαδὴ εἶπε, «Ποῖος ποτὲ ὑπηρετεῖ εἰς τὸν στρατὸν μὲ ἰδικά του ἔξοδα;» καὶ «Ποῖος φυτεύει ἀμπελῶνα;», καὶ «ποῖος βόσκει ποίμνην;», καὶ ἀνέφερε τὸ βόδι ποὺ ἀλωνίζει, δεικνύει καὶ ἄλλην εὐλογωτάτην αἰτίαν, διὰ τὴν ὁποίαν εἶχον δικαίωμα νὰ λά-

τίαν εὐλογωτάτην, δι' ἣν ἦσαν δίκαιοι λαβεῖν, ὡς πολλῷ μείζονα παρεσχηκότες, οὐκέτι ὡς καμόντες μόνον. Τίς οὖν ἐστιν; «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;». Εἶδες δικαιοτάτην αἰτίαν καὶ τῶν προτέρων εὐλογωτέραν; Ἐκεῖ μὲν γάρ φησι, σαρκικὸς ὁ σπόρος, σαρκικὸς καὶ ὁ καρπός· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ὁ μὲν σπόρος πνευματικός, ἡ δὲ ἀντίδοσις σαρκική. Ἵνα γὰρ μὴ μέγα φρονῶσιν οἱ παρέχοντες τοῖς διδασκάλοις, ἔδειξεν ὅτι μείζονα λαμβάνουσιν ἢ διδόασιν· οἱ μὲν γὰρ γεωργοί, ἅπερ ἂν κατασπείρωσι, ταῦτα καὶ λαμβάνουσιν, ἡμεῖς δὲ σπείροντες εἰς τὰς ὑμετέρας ψυχὰς πνευματικά, θερίζομεν σαρκικά· τοιοῦτον γὰρ ἡ παρ' αὐτῶν διδομένη τροφή.

Εἶτα καὶ ἐντρεπτικώτερον· «Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ πολλῷ μᾶλλον ἡμεῖς;». Ἰδοὺ καὶ ἕτερος πάλιν λογισμός, καὶ αὐτὸς ἐκ παραδειγμάτων ἀλλ' οὐχ ὁμοίων. Οὐδὲ γὰρ Πέτρου μέμνηται ἐνταῦθα οὔτε τῶν ἀποστόλων ἀλλ' ἑτέρων τινῶν νόθων, πρὸς οὓς ὕστερον ἀποδύεται καὶ περὶ ὧν φησιν· «Εἴ τις ὑμᾶς κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει», καὶ τὸν πρὸς ἐκείνους ἤδη προανακρούεται πόλεμον. Διὸ οὐδὲ εἶπεν, εἰ ἄλλοι λαμβάνουσι παρ' ὑμῶν, ἀλλὰ δεικνὺς αὐτῶν τὴν αὐθάδειαν καὶ τὴν τυραννίδα καὶ τὴν ἐμπορίαν, φησίν· «Εἰ ἄλλοι τῆς ὑμῶν ἐξουσίας μετέχουσι», τουτέστι, κρατοῦσιν ὑμῶν, ἐξουσιάζουσιν, ὡς οἰκέταις ἀποκέχρηνται, οὐ λαμβάνοντες μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς αὐθεντίας. Διὸ προσέθηκεν, «Οὐ πολλῷ μᾶλλον ἡμεῖς;», ὅπερ οὐκ ἄν, εἰ περὶ τῶν ἀποστόλων ὁ λόγος ἦν, εἶπεν ἄν. Ἀλλ' εὔδηλον ὅτι τινὰς αἰνίττεται λυμεῶνας καὶ ἀπατῶντας αὐτούς. Ὥστε μετὰ τοῦ νόμου τοῦ Μωϋσέως καὶ ὑμεῖς αὐτοὶ νόμον τεθείκατε ὑπὲρ τοῦ δεῖν

---

19. αὐτ. 12.
20. Β' Κορ. 11,20.

βουν, διότι εἶχον προσφέρει πολὺ περισσότερα καὶ ὄχι μόνον διότι εἶχον κοπιάσει. Ποία εἶναι αὐτή; «Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά, εἶναι ὑπερβολικὸν ἐὰν ἐμεῖς θερίσωμεν ἀπὸ ἐσᾶς ὑλικὰ πράγματα;». Εἶδες δικαιοτάτην αἰτίαν καὶ εὐλογωτέραν ἀπὸ τὰς προηγουμένας; Λέγει δηλαδὴ ὅτι ἐκεῖ μὲν ὁ σπόρος ἦτο σαρκικός, σαρκικὸς ἦτο καὶ ὁ καρπός· ἐδῶ ὅμως δὲν εἶναι ἔτσι, ἀλλ' ὁ μὲν σπόρος εἶναι πνευματικός, ἡ δὲ ἀνταπόδοσις ὑλική. Διὰ νὰ μὴ μεγαλοφρονοῦν δηλαδὴ ὅσοι δίδουν εἰς τοὺς διδασκάλους, ἔδειξε ὅτι λαμβάνουν περισσότερα ἀπὸ ὅ,τι δίδουν· δηλαδή, οἱ μὲν γεωργοὶ ὅ,τι σπείρουν αὐτὰ καὶ λαμβάνουν, ἡμεῖς ὅμως σπείροντες πνευματικὰ εἰς τὰς ψυχάς σας θερίζομεν σαρκικά· διότι τέτοια ἦτο ἡ τροφὴ ποὺ ἔδιδον αὐτοί.

Ἔπειτα προκαλῶν καὶ περισσοτέραν ἐντροπὴν λέγει· «Ἐὰν ἄλλοι χρησιμοποιοῦν τὰ δικαιώματά τους πρὸς ἐσᾶς, ἐμεῖς δὲν δικαιούμεθα πολὺ περισσότερον;»[19]. Ἰδοὺ καὶ ἄλλος πάλιν συλλογισμός, καὶ αὐτὸς ἀπὸ παραδείγματα, ἀλλ' ὄχι ὅμοια. Ἐδῶ δηλαδὴ δὲν ὑπενθυμίζει οὔτε τὸν Πέτρον οὔτε τοὺς ἀποστόλους, ἀλλὰ κάποιους ἄλλους νόθους, ἐναντίον τῶν ὁποίων κατόπιν ἀγωνίζεται καὶ διὰ τοὺς ὁποίους λέγει· «Ἐὰν κάποιος σᾶς κατατρώγῃ, ἐὰν κάποιος παίρνῃ ἀπὸ τὴν περιουσίαν σας, ἐὰν κάποιος σᾶς φέρεται ἀλαζονικῶς, ἐὰν κάποιος σᾶς κτυπᾷ εἰς τὸ πρόσωπον»[20], ὡσὰν προανάκρουσμα πλέον τοῦ πολέμου του πρὸς ἐκείνους. Διὰ τοῦτο δὲν εἶπεν, ἐὰν ἄλλοι λαμβάνουν ἀπὸ σᾶς, ἀλλὰ δεικνύων τὴν αὐθάδειαν καὶ τὴν τυραννικὴν διάθεσιν καὶ τὴν ἐκμετάλλευσιν αὐτῶν, λέγει· «Ἐὰν ἄλλοι χρησιμοποιοῦν τὰ δικαιώματά τους πρὸς ἐσᾶς», δηλαδὴ ἐὰν κυριαρχοῦν ἐπάνω σας, σᾶς ἐξουσιάζουν, σᾶς συμπεριφέρωνται ὡσὰν δούλους, ὄχι ἁπλῶς λαμβάνοντες ἀλλὰ καὶ μὲ πολλὴν αὐταρχικότητα. Διὰ τοῦτο προσέθεσε «Δὲν δικαιούμεθα πολὺ περισσότερον ἐμεῖς;», τὸ ὁποῖον δὲν θὰ τὸ ἔλεγεν, ἐὰν ὁ λόγος ἦτο περὶ τῶν ἀποστόλων. Ἀλλὰ εἶναι φανερὸν ὅτι ὑπαινίσσεται μερικοὺς ἐκμεταλλευτάς των καὶ ἀπατεῶνας. Ὥστε ἐκτὸς τοῦ νόμου τοῦ Μωϋσέως καὶ σεῖς οἱ ἴδιοι ἐθεσπίσατε νόμον διὰ τὸ ὅτι πρέπει νὰ δίδετε. Ἀ-

παρέχειν. Εἰπὼν δέ, «Οὐ πολλῷ μᾶλλον ἡμεῖς;» οὐ κατασκευάζει διὰ τί οὐ πολλῷ μᾶλλον, ἀλλ' ἀφίησιν αὐτῶν τῷ συνειδότι τὸν ἔλεγχον, ὁμοῦ καὶ φοβῆσαι βουλόμενος καὶ ἐντρέψαι μειζόνως.

«Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ». Τουτέστιν, οὐκ ἐλάβομεν. Ὁρᾷς διὰ πόσων κατασκευάσας πρότερον ὅτι οὐ παράνομον τὸ λαμβάνειν, τότε εἶπεν ὅτι οὐ λαμβάνομεν, ἵνα μὴ δόξῃ ὡς κεκωλυμένου ἀπέχεσθαι; Οὐ γάρ, ἐπειδὴ μὴ ἔξεστι, φησίν, οὐ λαμβάνω· ἔξεστι γάρ, καὶ τοῦτο ἀπὸ πολλῶν ἀπεδείξαμεν, ἀπὸ τῶν ἀποστόλων, ἀπὸ τῶν ἐν βίῳ πραγμάτων, τοῦ στρατιώτου καὶ τοῦ γεωργοῦ καὶ τοῦ ποιμένος, ἀπὸ τοῦ νόμου Μωϋσέως, ἀπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως, ὅτι ἐσπείραμεν ὑμῖν πνευματικά, ἀφ' ὧν ὑμεῖς περὶ τοὺς ἄλλους πεποιήκατε. Ἀλλ' ὥσπερ, ἵνα μὴ δόξῃ καταισχύνειν τοὺς ἀποστόλους τοὺς λαμβάνοντας, ταῦτα τέθεικεν ἐντρέπων αὐτοὺς καὶ δεικνὺς ὅτι οὐ κεκωλυμένου πράγματος ἀπέχεται· οὕτω πάλιν, ἵνα μὴ διὰ τῆς πολλῆς κατασκευῆς καὶ τῶν παραδειγμάτων καὶ τῶν λογισμῶν, δι' ὧν ἔδειξεν ὅτι δεῖ λαμβάνειν, δόξῃ ἐπιζητεῖν τὸ λαμβάνειν καὶ διὰ τοῦτο ταῦτα λέγειν, ἤδη διορθοῦται αὐτό. Καὶ σαφέστερον μὲν ὕστερον αὐτὸ ποιεῖ, ὅταν λέγῃ· «Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί», ἐνταῦθα δέ φησιν ὅτι «Οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ». Καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ ἐκεῖνο ἔχοι τις ἂν εἰπεῖν, ὅτι ἐν εὐρυχωρίᾳ ὄντες οὐκ ἐχρησάμεθα, ἀλλὰ καὶ ἀνάγκης κατεπειγούσης οὐκ εἴξαμεν τῇ ἀνάγκῃ· ὃ καὶ ἐν τῇ δευτέρᾳ φησίν· «Ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν· καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ κατενάρκησα οὐδενός»· καὶ ἐν ταύτῃ πάλιν· «Καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα». Καὶ ἐνταῦθα πάλιν τὸ αὐτὸ αἰνίττεται

21. αὐτ. 8.
22. Α' Κορ. 4,11.

φοῦ δὲ εἶπε «Δὲν δικαιούμεθα πολὺ περισσότερον ἐμεῖς;», δὲν προσδιορίζει διατί πολὺ περισσότερον, ἀλλὰ ἀφήνει τὸν ἔλεγχον εἰς τὴν συνείδησίν των, ἐπειδὴ ἤθελε καὶ νὰ τοὺς φοβήσῃ καὶ νὰ τοὺς παρακινήσῃ ἐντονώτερον.

«Ἀλλὰ δὲν ἐχρησιμοποιήσαμεν αὐτὸ τὸ δικαίωμά μας». Δηλαδή, δὲν ἐλάβαμεν. Βλέπεις μὲ πόσα ἐπιχειρήματα ἀφοῦ ἀπέδειξε κατὰ πρῶτον ὅτι δὲν εἶναι παράνομον τὸ νὰ λαμβάνῃ ἕνας ἀπόστολος, ἔπειτα εἶπεν ὅτι δὲν λαμβάνομεν, διὰ νὰ μὴ φανῇ ὅτι δὲν ἐλάμβανε, διότι ἦτο ἀπηγορευμένον; Δὲν λαμβάνω, λέγει, ὄχι διότι δὲν μοῦ ἐπιτρέπεται· μοῦ ἐπιτρέπεται, καὶ τοῦτο τὸ ἀπεδείξαμεν ἀπὸ τὸ παράδειγμα τῶν ἀποστόλων, ἀπὸ τὸ παράδειγμα τῶν πραγμάτων τοῦ βίου τοῦ στρατιώτου καὶ τοῦ γεωργοῦ καὶ τοῦ ποιμένος, ἀπὸ τὸν νόμον τοῦ Μωϋσέως, ἀπὸ τὴν ἰδίαν τὴν φύσιν τοῦ πράγματος, ὅτι δηλαδὴ ἐσπείραμεν εἰς ἐσᾶς πνευματικά, ἀπὸ ὅσα τέλος ἔχετε κάνει διὰ τοὺς ἄλλους. Ἀλλ' ὅπως ἀνέφερεν αὐτά, διὰ νὰ μὴ φανῇ ὅτι ἐκθέτει τοὺς ἀποστόλους ποὺ λαμβάνουν, προκαλῶν τὴν ἐντροπήν των καὶ ἀποδεικνύων ὅτι δὲν ἀπεῖχεν ἀπηγορευμένου πράγματος, ἔτσι πάλιν, διὰ νὰ μὴ φανῇ ὅτι μὲ τὴν πολλὴν ἐπιχειρηματολογίαν καὶ τὰ παραδείγματα καὶ τοὺς συλλογισμοὺς —μὲ τοὺς ὁποίους ἀπέδειξεν ὅτι πρέπει νὰ λαμβάνῃ— ἐπιζητεῖ νὰ λαμβάνῃ καὶ διὰ τοῦτο τὰ λέγει αὐτά, ἐν συνεχείᾳ τὸ διορθώνει. Καὶ κατόπιν μὲν τὸ κάμνει σαφέστερον, ὅταν λέγῃ «Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί», ἐδῶ ὅμως λέγει ὅτι «Δὲν ἐχρησιμοποιήσαμεν αὐτὸ τὸ δικαίωμά μας». Καὶ τὸ σπουδαιότερον, ὅτι οὔτε θὰ ἦτο δυνατὸν νὰ εἴπῃ κανεὶς ἐκεῖνο, ὅτι δηλαδὴ δὲν ἐχρησιμοποιήσαμεν τὸ δικαίωμά μας, ἐπειδὴ δὲν εἴχομεν ἀνάγκην, ἀλλά, ἐνῷ εἴχομεν κατεπείγουσαν ἀνάγκην, ἐν τούτοις δὲν ὑπεκύψαμεν εἰς τὴν ἀνάγκην· αὐτὸ τὸ λέγει εἰς τὴν δευτέραν ἐπιστολήν του· «Ἄλλας ἐκκλησίας ἐλεηλάτησα μὲ τὸ νὰ πάρω τὰ ἀναγκαῖα διὰ νὰ σᾶς ὑπηρετῶ· καὶ ὅταν ἤμουν μαζί σας καὶ ἐνῷ ἀντεμετώπιζα στερήσεις, δὲν ἐπεβάρυνα κανένα»[21]· καὶ εἰς αὐτὴν τὴν ἐπιστολὴν πάλιν λέγει· «Καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἐλλείψεις εἰς ρουχισμὸν καὶ μᾶς κακομεταχειρίζονται»[22]· καὶ ἐδῶ πάλιν τὸ ἴδιο

λέγων, «Ἀλλὰ πάντα στέγομεν». Εἰπὼν γὰρ ὅτι πάντα στέγομεν καὶ λιμὸν αἰνίττεται καὶ στενοχωρίαν πολλὴν καὶ τὰ ἄλλα πάντα.

Ἀλλ' οὐδὲ οὕτως ἠναγκάσθημεν, φησί, λῦσαι τὸν νόμον, ὃν ἑαυτοῖς τεθείκαμεν. Διὰ τί; «Ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ». Ἐπειδὴ γὰρ ἀσθενέστερον Κορίνθιοι διέκειντο, ἵνα μὴ πλήξωμεν ὑμᾶς, φησί, λαμβάνοντες, εἱλόμεθα καὶ ὑπὲρ τὰ ἐπιτεταγμένα ποιῆσαι ἢ ἐγκοπήν τινα δοῦναι τῷ Εὐαγγελίῳ, τουτέστι τῇ κατηχήσει ὑμῶν. Εἰ δὲ ἡμεῖς, καὶ ἐπιτετραμμένον ἡμῖν καὶ πολλὴν πάσχοντες βίαν καὶ ἀποστόλους ἔχοντες ὑπόδειγμα, οὐκ ἐποιήσαμεν, ἵνα μὴ ἐγκοπὴν δῶμεν —καὶ οὐκ εἶπεν, ἀνατροπήν, ἀλλ' «ἐγκοπήν», καὶ οὐχ ἁπλῶς ἐγκοπήν, ἀλλ', «ἐγκοπήν τινα», ἵνα μηδὲ τὴν τυχοῦσαν, ὡς ἂν εἴποι τις, μέλλησιν καὶ ἀναβολὴν ἐμποιήσωμεν τῷ δρόμῳ τοῦ λόγου— εἰ τοίνυν ἡμεῖς τοσαύτῃ ἐχρησάμεθα τῇ σπουδῇ, φησί, πόσῳ μᾶλλον ὑμᾶς τοὺς καὶ πολὺ τῶν ἀποστόλων ἀποδέοντας καὶ οὐδὲ νόμον ἔχοντας εἰπεῖν τὸν ἐπιτρέποντα, ἀλλὰ καὶ τοὐναντίον τῶν κεκωλυμένων ἁπτομένους καὶ τῶν ἐπὶ βλάβῃ μεγάλῃ τοῦ Εὐαγγελίου, οὐκ ἐπὶ ἐγκοπῇ μόνον, καὶ οὐδὲ ἀνάγκην ὁρῶντας ἐπικειμένην, ἀπέχεσθαι δεῖ. Τοῦτον γὰρ ἅπαντα τὸν λόγον δι' ἐκείνους ἐκίνησε τοὺς διὰ τῆς βρώσεως τῶν εἰδωλοθύτων σκανδαλίζοντας τοὺς ἀσθενεστέρους ἀδελφούς.

6. Ταῦτα δὲ καὶ ἡμεῖς ἀκούωμεν, ἀγαπητοί· ἵνα μὴ καταφρονῶμεν τῶν σκανδαλιζομένων, μηδὲ ἐγκοπήν τινα ποιῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, ἵνα μὴ προδιδῶμεν τὴν ἡμετέραν σωτηρίαν. Μὴ γάρ μοι λέγε, ὅταν σκανδαλίζηται ὁ ἀδελφός, ὅτι οὐ κεκώλυται τὸ ἐφ' ᾧ σκανδαλίζεται, καὶ ὅτι ἐφεῖται. Ἐγὼ γάρ σοι μείζονα λέγω, ὅτι κἂν αὐτὸς ὁ Χριστὸς ἐπιτετραφὼς ᾖ, ἴδῃς δέ τινα βλαπτόμενον, ἐπίσχες καὶ μὴ χρήσῃ τῇ ἐπιτροπῇ. Τοῦτο γὰρ

ὑπαινίσσεται λέγων· «Ἀλλ' ὅλα τὰ ὑπομένομεν». Μὲ τὸ νὰ εἴπῃ δηλαδὴ ὅτι «Ὅλα τὰ ὑπομένομεν» ὑπαινίσσεται καὶ λιμὸν καὶ στενοχωρίαν πολλὴν καὶ ὅλα τὰ ἄλλα.

Ἀλλ' οὔτε ἔτσι ἠναγκάσθημεν, λέγει, νὰ παραβῶμεν τὸν νόμον, τὸν ὁποῖον ἔχομεν θέσει εἰς τὸν ἑαυτόν μας. Διατί; «Διὰ νὰ μὴ δημιουργήσωμεν κανένα ἐμπόδιον εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Ἐπειδὴ δηλαδὴ οἱ Κορίνθιοι ἦσαν ἀσθενέστεροι εἰς τὴν πίστιν, λέγει· Διὰ νὰ μὴ σᾶς βλάψωμεν λαμβάνοντες, ἐπροτιμήσαμεν νὰ κάμωμεν περισσότερα καὶ ἀπὸ τὰ διατεταγμένα παρὰ νὰ φέρωμὲν κάποιο ἐμπόδιον εἰς τὸ Εὐαγγέλιον, δηλαδὴ εἰς τὴν κατήχησίν σας. Ἐὰν δὲ ἡμεῖς, ἂν καὶ μᾶς ἦτο ἐπιτρεπτὸν καὶ ἐπιεζόμεθα πολὺ καὶ εἴχομεν τὸ παράδειγμα τῶν ἀποστόλων, ἐν τούτοις δὲν τὸ ἐκάμαμεν, διὰ νὰ μὴ φέρωμεν ἐμπόδιον —καὶ δὲν εἶπεν 'ἀνατροπήν', ἀλλ' «ἐμπόδιον», καὶ ὄχι ἁπλῶς «ἐμπόδιον», ἀλλὰ «κανένα ἐμπόδιον», διὰ νὰ μὴ φέρωμεν δηλαδὴ οὔτε τὴν ἐλαχίστην, ὅπως θὰ ἠμποροῦσε νὰ εἴπῃ κανείς, καθυστέρησιν καὶ ἀναβολὴν εἰς τὸν δρόμον τοῦ λόγου— ἐὰν λοιπόν, λέγει, ἐμεῖς ἐδείξαμεν τόσην φροντίδα, πόσον μᾶλλον πρέπει νὰ ἀπέχητε ἀπὸ τὰ εἰδωλόθυτα σεῖς οἱ ὁποῖοι ὑστερεῖτε πολὺ ἔναντι τῶν ἀποστόλων καὶ οὔτε ἠμπορεῖτε νὰ παρουσιάσητε νόμον ποὺ νὰ τὸ ἐπιτρέπῃ καὶ οἱ ὁποῖοι ἀντιθέτως ἐγγίζετε τὰ ἀπηγορευμένα καὶ ὅσα βλάπτουν πολὺ τὸ Εὐαγγέλιον ὄχι μόνον ἁπλῶς τὸ ἐμποδίζουν χωρὶς μάλιστα νὰ ἀντιμετωπίζετε καμμίαν ἀνάγκην. Ὅλα αὐτὰ δηλαδὴ τὰ εἶπε δι' ἐκείνους ποὺ σκανδαλίζουν τοὺς ἀσθενεστέρους εἰς τὴν πίστιν ἀδελφούς των μὲ τὸ νὰ τρώγουν εἰδωλόθυτα.

6. Αὐτὰ καὶ ἡμεῖς ἂς τὰ ἀκούωμεν, ἀγαπητοί μου, καὶ ἂς μὴ καταφρονῶμεν τοὺς σκανδαλιζομένους, οὔτε νὰ φέρωμεν κανένα ἐμπόδιον εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, διὰ νὰ μὴ προδίδωμεν τὴν σωτηρίαν μας. Ὅταν δηλαδὴ σκανδαλίζεται ὁ ἀδελφός, μὴ μοῦ λέγῃς ὅτι δὲν ἐμποδίζεται ἐκεῖνο, διὰ τὸ ὁποῖον σκανδαλίζεται, καὶ ὅτι ἐπιτρέπεται· διότι ἐγὼ σοῦ λέγω μεγαλύτερα, ὅτι καὶ ἂν ἀκόμη ὁ ἴδιος ὁ Χριστὸς τὸ εἶχεν ἐπιτρέψει, ἐὰν ἴδῃς ὅμως κάποιον νὰ βλάπτεται, συγκράτησε τὸν ἑαυτόν σου καὶ μὴ κάμνῃς χρῆσιν τῆς ἐλευθερίας σου. Αὐτὸ τὸ ἔκαμε καὶ ὁ Παῦλος μὲ τὸ νὰ μὴ λάβῃ,

καὶ Παῦλος ἐποίησεν, ἐξὸν λαβεῖν Χριστοῦ συγχωρήσαντος, μὴ λαβών. Καὶ γὰρ φιλάνθρωπος ὢν ὁ δεσπότης πολλὴν τοῖς ἐπιτάγμασιν ἐκέρασεν ἡμερότητα τοῖς αὐτοῦ, ἵνα μὴ μόνον ἐξ ἐπιταγῆς, ἀλλὰ καὶ ἐξ οἰκείας πολλὰ ποιῶμεν γνώμης. Καὶ γὰρ ἠδύνατο, εἰ μὴ τοῦτο ἐβούλετο, μᾶλλον ἐπιτεῖναι τὰ ἐπιτάγματα, καὶ εἰπεῖν· ὁ μὴ διόλου νηστεύων, κολαζέσθω· ὁ μὴ παρθενεύων, τιμωρείσθω· ὁ μὴ πάντα ἀποδυόμενος τὰ ὄντα, δίκην διδότω τὴν ἐσχάτην. Ἀλλ' οὐκ ἐποίησε τοῦτο, σοὶ παρέχων, εἰ βουληθείης, φιλοτιμεῖσθαι. Διὰ τοῦτο καὶ ὅτε περὶ παρθενίας διελέγετο, ἔλεγεν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω»· καὶ ἐπὶ τοῦ πλουσίου τὰ μὲν ἐπέταξε, τὰ δὲ ἐπέτρεψε τῇ ἐξουσίᾳ τῆς διανοίας. Οὐ γὰρ εἶπε, πώλησον τὰ ὑπάρχοντα, ἀλλ', «Εἰ θέλεις τέλειος εἶναι, πώλησον».

Ἀλλ' ἡμεῖς οὐ μόνον οὐ φιλοτιμούμεθα, οὐδὲ ὑπερβαίνομεν τὰ προστάγματα, ἀλλὰ καὶ τοῦ μέτρου τῶν κελευσθέντων σφόδρα ἀπολιμπανόμεθα. Καὶ Παῦλος μὲν ἐλίμωττεν, ἵνα μὴ ἐγκοπὴν τῷ Εὐαγγελίῳ δῷ, ἡμεῖς δὲ οὐδὲ τῶν ἀποκειμένων ἡμῖν ἅψασθαι τολμῶμεν μυρίας ὁρῶντες ἀνατρεπομένας ψυχάς. Τρωγέτω γάρ, φησίν, ὁ σής, καὶ μὴ τρωγέτω ὁ πένης· κατεσθιέτω ὁ σκώληξ, καὶ μὴ περιβαλλέσθω ὁ γυμνός· ἀναλισκέσθω πάντα τῷ χρόνῳ, καὶ μὴ τρεφέσθω ὁ Χριστός, καὶ ταῦτα πεινῶν. Καὶ τίς τοῦτο εἶπε, φησί; Τοῦτο γάρ ἐστι σφόδρα τὸ δεινόν, ὅτι οὐκ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς πράγμασι ταῦτα λέγεται. Καὶ γὰρ ἧττον ἂν ἦν δεινὸν ἐπὶ τῶν ῥημάτων λεγόμενον ἢ ἐπὶ τῶν ἔργων γινόμενον. Ἢ οὐχὶ ταῦτα βοᾷ καθ' ἑκάστην ἡμέραν ἡ ἀπάνθρωπος καὶ ὠμὴ καὶ τύραννος ἡ φιλαργυρία τοῖς αὐτῆς αἰχμαλώτοις; Προκείσθω καὶ συκοφάνταις καὶ λησταῖς καὶ ἐπιβούλους πρὸς τρυφὴν τὰ ὑμέτερα, καὶ μὴ τοῖς πεινῶσι μηδὲ τοῖς δεομένοις διατροφή. Οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς λῃστάς; οὐ γὰρ ὑμεῖς τῷ πυρὶ τῶν βα-

23. Ματθ. 19,12.
24. αὐτ. 21.

ἐνῷ τοῦ ἦτο δυνατὸν νὰ λάβῃ, ἐφ' ὅσον τὸ ἐπέτρεψεν ὁ Χριστός. Ἐπειδὴ δηλαδὴ ὁ Κύριος εἶναι φιλάνθρωπος, ἀνέμειξε πολλὴν ἠπιότητα εἰς τὰς ἐντολάς του, διὰ νὰ κάμνωμεν πολλὰ ὄχι μόνον κατόπιν ἐντολῆς, ἀλλὰ καὶ μὲ τὴν ἰδικήν μας προαίρεσιν. Διότι, ἐὰν δὲν ἤθελε τοῦτο, ἠμποροῦσε νὰ κάμῃ αὐστηροτέρας τὰς ἐντολάς του καὶ νὰ εἴπῃ· Ἐκεῖνος ποὺ δὲν νηστεύει καθόλου, νὰ τιμωρῆται· ἐκεῖνος ποὺ δὲν τηρεῖ τὴν παρθενίαν, νὰ τιμωρῆται· ἐκεῖνος ποὺ δὲν ἀποδεσμεύεται ἀπὸ ὅλα τὰ ἀγαθά του, νὰ τιμωρῆται μὲ τὴν ἐσχάτην τῶν ποινῶν. Ἀλλὰ δὲν ἔκαμε τοῦτο δίδων εἰς σὲ τὴν δυνατότητα νὰ φιλοτιμηθῇς, ἐὰν θελήσῃς. Διὰ τοῦτο καὶ ὅταν ὡμίλει περὶ παρθενίας, ἔλεγεν· «Ὅποιος ἠμπορεῖ νὰ προχωρήσῃ ἂς προχωρήσῃ»[23]· καὶ εἰς τὴν περίπτωσιν τοῦ πλουσίου ἄλλα μὲν διέταξεν, ἄλλα δὲ ἄφησεν εἰς τὴν κρίσιν τῆς διανοίας· διότι δὲν εἶπε, πώλησε τὴν περιουσίαν σου, ἀλλὰ «Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πώλησέ την»[24].

Ἀλλ' ἐμεῖς ὄχι μόνον δὲν φιλοτιμούμεθα, οὔτε ὑπερβαίνομεν τὰ πράγματα, ἀλλὰ ὑπολειπόμεθα πολὺ ἀκόμη καὶ τοῦ μέτρου τῶν ἐντολῶν. Καὶ ὁ μὲν Παῦλος ἐπείνα, διὰ νὰ μὴ φέρῃ πρόσκομμα εἰς τὸ Εὐαγγέλιον, ἐμεῖς ὅμως δὲν τολμῶμεν νὰ ἐγγίσωμεν οὔτε ὅσα μᾶς ἀναμένουν, ἐνῷ βλέπομεν μυρίας ψυχὰς νὰ καταστρέφωνται. Λέγει δηλαδὴ κάποιος· Νὰ τὰ φάγῃ ὁ σκώληξ, καὶ νὰ μὴ τὰ φάγῃ ὁ πτωχός· νὰ τὰ καταφάγῃ ὁ σκόρος, καὶ νὰ μὴ τὰ φορέσῃ ὁ γυμνός· ὅλα νὰ τὰ φάγῃ ὁ χρόνος, καὶ νὰ μὴ τραφῇ ὁ Χριστός, καὶ μάλιστα ἐνῷ πεινᾷ. Καὶ ποῖος τὸ εἶπεν αὐτό; θὰ ἔλεγε κάποιος. Αὐτὸ ἀκριβῶς εἶναι τὸ πολὺ φοβερόν, ὅτι αὐτὰ λέγονται ὄχι μὲ λόγους, ἀλλὰ μὲ πράξεις. Θὰ ἦτο ὀλιγώτερον φοβερόν, ἐὰν ἐλέγετο μὲ λόγους, παρὰ νὰ γίνεται μὲ ἔργα. Ἢ μήπως αὐτὰ καθημερινῶς δὲν βοᾷ εἰς τοὺς αἰχμαλώτους της ἡ ἀπάνθρωπος καὶ ὠμὴ καὶ τυραννικὴ φιλαργυρία; Ἂς δοθοῦν τὰ ἀγαθά σας διὰ ἀπόλαυσιν καὶ εἰς τοὺς συκοφάντας καὶ τοὺς λῃστὰς καὶ τοὺς δολίους καὶ ὄχι διὰ διατροφὴν εἰς τοὺς πεινῶντας οὔτε εἰς τοὺς ἔχοντας ἀνάγκην. Σεῖς λοιπὸν δὲν κάμνετε τοὺς λῃστάς; σεῖς λοιπὸν δὲν δίδετε τροφὴν εἰς

σκάνων παρέχετε τροφήν; οὐ γὰρ ὑμεῖς ποιεῖτε τοὺς δραπέτας καὶ τοὺς ἐπιβούλους, καθάπερ δέλεαρ αὐτοῖς τὸν ὑμέτερον προτιθέντες πλοῦτον; Τίς ἡ μανία αὕτη; Μανία γὰρ καὶ παραπληξία σαφής, τὰ μὲν κιβώτια μεστὰ ἱματίων ποιεῖν, τὸν δὲ κατ' εἰκόνα Θεοῦ γενόμενον καὶ καθ' ὁμοίωσιν, γυμνὸν καὶ τρέμοντα ὑπὸ τοῦ κρυμοῦ περιορᾶν, καὶ μόλις ὀρθούμενον.

Ἀλλὰ προφασίζεται, φησί, τὸν τρόμον καὶ τὴν ἀσθένειαν. Εἶτα οὐ δέδοικας μὴ σκηπτὸς ἄνωθεν ἀπὸ τοῦ ῥήματος ἀναφθεὶς τούτου κατενεχθῇ; Διαρρήγνυμαι γὰρ ὑπὸ τοῦ θυμοῦ· σύγγνωτε. Σὺ μὲν γαστριζόμενος καὶ πιαινόμενος καὶ εἰς ἑσπέραν βαθεῖαν τὸν πότον παρατείνων καὶ μαλακοῖς ἐνθαπτόμενος στρώμασιν, οὐκ ἀξιοῖς δοῦναι δίκην οὕτω παρανόμως τοῖς τοῦ Θεοῦ χρώμενος δώροις — οὐδὲ γὰρ ἵνα μεθύωμεν, ὁ οἶνος, οὐδ' ἵνα γαστριζώμεθα, ἡ τροφὴ γέγονεν, οὐδ' ἵνα διασπῶμεν τὴν γαστέρα, τὰ σιτία — τὸν δὲ πένητα, τὸν ἄθλιον, τὸν οὐδὲν ἄμεινον νεκροῦ διακείμενον, τοῦτον εὐθύνας ἀπαιτεῖς ἀκριβεῖς, καὶ οὐ δέδοικας τοῦ Χριστοῦ τὸ δικαστήριον τὸ φρικτὸν ἐκεῖνο καὶ φοβερόν; Καὶ γὰρ εἰ ὑποκρίνεται, ἐξ ἀνάγκης ὑποκρίνεται καὶ ἐνδείας διὰ τὴν ὠμότητα τὴν σὴν καὶ τὴν ἀπανθρωπίαν τὴν τοιούτων δεομένην προσωπείων, τὴν μὴ ἐπικλωμένην πρὸς ἔλεον. Τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς μηδεμιᾶς ἀνάγκης ἐπικειμένης ὑπὲρ ἑνὸς ἄρτου τοιαῦτα ἀσχημονεῖν καὶ κόπτεσθαι, καὶ τοσαύτην ὑπομένειν δίκην; Ὥστε ἡ ὑπόκρισις ἡ ἐκείνου τὴν σῆς ἀπανθρωπίας περιέρχεται γιγνομένη κῆρυξ.

Ἐπειδὴ γὰρ ἱκετεύων καὶ λιπαρῶν καὶ ἐλεεινὰ προϊέμενος ῥήματα καὶ ὀδυρόμενος καὶ δακρύων καὶ δι' ὅλης περιϊὼν τῆς ἡμέρας, οὐδὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, ἴσως καὶ ταύτην ἐπενόησε τὴν μηχανὴν οὐκ ἐκείνῳ τοσαύτην ὅσην σοὶ φέρουσαν τὴν ἀσχημοσύνην καὶ τὴν κατηγορίαν. Ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι δίκαιος, ὅτι εἰς τοσαύτην κατῆλθεν ἀνάγκην, ἡμεῖς δὲ μυρίων ἄξιοι τιμω-

τὸ πῦρ τοῦ φθόνου; σεῖς λοιπὸν δὲν κάμνετε τοὺς δραπέτας καὶ τοὺς δολίους μὲ τὸ νὰ παρουσιάζετε εἰς αὐτοὺς ὡς δόλωμα τὸν πλοῦτον σας; Τί τρέλλα εἶναι αὐτή; Διότι εἶναι τρέλλα καὶ σαφὴς παραφροσύνη τὸ νὰ γεμίζῃ μὲν κανεὶς τὰ κιβώτια μὲ ἐνδύματα, νὰ ἀδιαφορῇ δὲ ποὺ εἶναι γυμνὸς καὶ τρέμει ἀπὸ τὸ ψῦχος· καὶ μὲ δυσκολίαν ἠμπορεῖ νὰ σταθῇ εἰς τὰ πόδια του αὐτὸς ποὺ ἐγεννήθη κατ' εἰκόνα Θεοῦ καὶ καθ' ὁμοίωσιν.

Ἀλλά, θὰ ἔλεγε κάποιος, αὐτὸς προφασίζεται τρόμον καὶ ἀδυναμίαν. Καὶ δὲν φοβεῖσαι μήπως πέσῃ ἀπὸ ἐπάνω κεραυνός, ποὺ τὸν ἦναψεν ὁ λόγος αὐτός; Ἐξανίσταμαι ἀπὸ τὸν θυμόν· συγχωρήσατέ με. Σὺ μὲν τρώγων ὑπερβολικῶς καὶ παχυνόμενος καὶ πίνων ἕως βαθείας ἑσπέρας καὶ κοιμώμενος εἰς μαλακὰ στρώματα νομίζεις ὅτι δὲν θὰ τιμωρηθῇς ποὺ τόσον παρανόμως χρησιμοποιεῖς τὰ δῶρα τοῦ Θεοῦ —διότι ὁ οἶνος δὲν ἐδόθη διὰ νὰ μεθύωμεν, οὔτε ἡ τροφὴ διὰ νὰ τρώγωμεν ὑπερβολικῶς, οὔτε τὰ τρόφιμα, διὰ νὰ διασπῶμεν τὴν κοιλίαν— καὶ ἀπαιτεῖς μὲ ἀκρίβειαν εὐθύνας ἀπὸ αὐτόν, τὸν πτωχὸν ποὺ εὑρίσκεται εἰς ἀθλίαν κατάστασιν καὶ δὲν εἶναι καλύτερος ἀπὸ νεκρόν, καὶ δὲν φοβεῖσαι τὸ φρικτὸν ἐκεῖνο καὶ φοβερὸν δικαστήριον τοῦ Χριστοῦ; Διότι, ἐὰν ὑποκρίνεται, ὑποκρίνεται ἀπὸ ἀνάγκην καὶ πτωχείαν, ἐξ αἰτίας τῆς ὠμότητος καὶ τῆς ἀπανθρωπίας σου, ἡ ὁποία χρειάζεται τέτοια προσωπεῖα καὶ δὲν κάμπτεται πρὸς εὐσπλαγχνίαν. Ποῖος λοιπὸν εἶναι τόσον ἄθλιος καὶ ταλαίπωρος, ὥστε, χωρὶς νὰ ὑπάρχῃ καμμίαν ἀνάγκη, νὰ ἔχῃ τόσον ἀθλίαν ἐμφάνισιν καὶ νὰ κτυπᾷ τὸ στῆθος του καὶ νὰ ὑπομένῃ τόσας ποινάς; Ὥστε ἡ ὑποκρισία ἐκείνου καταλήγει νὰ γίνεται κῆρυξ τῆς ἰδικῆς σου ἀπανθρωπίας.

Ἐπειδὴ δηλαδὴ ἱκετεύων καὶ ἐκλιπαρῶν καὶ ἐκφράζων διὰ λόγων τὴν ἀθλιότητά του καὶ ὀδυρόμενος καὶ δακρύζων καὶ περιερχόμενος τὰς ὁδοὺς ὅλην τὴν ἡμέραν δὲν ἐξοικονομεῖ οὔτε τὴν ἀναγκαίαν τροφήν του, ἴσως ἐπενόησε καὶ αὐτὸ τὸ τέχνασμα, ποὺ ὄχι τόσον εἰς ἐκεῖνον ὅσον εἰς σὲ φέρει ἀπρέπειαν καὶ κατηγορίαν· διότι ἐκεῖνος μὲν δικαιοῦται νὰ ἐλεῆται, ἐφ' ὅσον ἔφθασεν εἰς τόσον μεγάλην ἀνάγκην, ἐμεῖς ὅμως εἴμεθα ἄξιοι μυρίων τιμωριῶν, διότι

ριῶν, ὅτι τοὺς πένητας τοιαῦτα βιαζόμεθα πάσχειν. Εἰ γὰρ ἐξ εὐκολίας ἐπεκλώμεθα, οὐκ ἄν ποτε εἵλετο ἐκεῖνος τοιαῦτα ὑπομένειν. Καὶ τί λέγω γύμνωσιν καὶ τρόμον; Τὸ γὰρ τούτου φρικωδέστερον ἐρῶ, ὅτι καὶ παῖδας ἠναγκάσθησαν πηρῶσαί τινες ἄωρον ἄγοντας ἡλικίαν, ἵνα τῆς ἡμετέρας ἀναισθησίας καθίκωνται. Ἐπειδὴ γὰρ βλέποντες καὶ γυμνοὶ περιϊόντες οὔτε ἀπὸ τῆς ἡλικίας οὔτε ἀπὸ τῆς συμφορᾶς ἀπεσπάσαντο τοὺς ἀνηλεεῖς, προσέθηκαν τοῖς τοσούτοις κακοῖς ἑτέραν χαλεπωτέραν τραγῳδίαν, ἵνα λύσωσι τὸν λιμὸν κουφότερον εἶναι νομίζοντες ἀπεστερῆσθαι τοῦ κοινοῦ τούτου φωτὸς καὶ τῆς πᾶσι δεδομένης ἀκτῖνος ἢ λιμῷ παλαίειν διηνεκεῖ καὶ τὸν οἴκτιστον ὑπομένειν θάνατον. Ἐπειδὴ γὰρ οὐ πενίαν ἐμάθετε ἐλεεῖν ἀλλὰ τέρπεσθαι συμφοραῖς, πληροῦσιν ὑμῶν τὴν ἀκόρεστον ἐπιθυμίαν καὶ ἑαυτοῖς καὶ ἡμῖν χαλεπωτέραν τῆς γεέννης ἀνάπτοντες τὴν φλόγα.

7. Καὶ ἵνα μάθητε ὅτι διὰ τοῦτο ταῦτα γίνεται καὶ τὰ τοιαῦτα, τεκμήριον ὑμῖν ὡμολογημένον ἐρῶ, πρὸς ὃ μηδεὶς ἀντερεῖ. Εἰσὶν ἕτεροι πένητες κοῦφοι καὶ μετέωροι τὰς ψυχάς, καὶ οὐκ εἰδότες φέρειν λιμόν, ἀλλὰ πάντα μᾶλλον ἢ τοῦτο ὑπομένοντες. Οὗτοι πολλάκις ἡμῖν ἐλεεινοῖς καὶ σχήμασι καὶ ῥήμασιν ἐντυχόντες, ἐπειδὴ οὐδὲν ὤνησαν, τὰς ἱκετηρίας ἀφέντες ἐκείνας τοὺς θαυματοποιοὺς ἡμῖν λοιπὸν παρήλασαν, οἱ μὲν δέρματα ὑποδημάτων μασώμενοι πεπονηκότων, οἱ δὲ κατὰ τῆς κεφαλῆς ἥλους ὀξεῖς διαπείροντες, ἕτεροι πεπηγόσιν ὕδασιν ὑπὸ τοῦ κρυμοῦ γυμνῇ τῇ γαστρὶ προσομιλοῦντες, ἄλλοι δὲ τούτων ἕτερα ἀτοπώτερα ὑπομένοντες, ἵνα τὸ πονηρὸν περιστήσωσι θέατρον.

Σὺ δὲ τούτων γινομένων ἕστηκας γελῶν καὶ θαυμάζων καὶ ἐμπομπεύων τοῖς ἑτέρων κακοῖς, τῆς κοινῆς φύσεως ἀσχημονούσης. Καὶ τί πλέον ἂν ἐργάσαιτο τούτων δαίμων ἄγριος; Εἶτα ἵνα προθυμότερον ποιήσῃ ταῦτα, δαψιλέστερον δίδως ἀργύριον. Καὶ τῷ μὲν εὐχομένῳ καὶ τὸν

ἐξαναγκάζομεν τοὺς πτωχοὺς τέτοια νὰ πάσχουν. Ἐὰν δηλαδὴ εὐκόλως τὸν εὐσπλαγχνιζώμεθα, ἐκεῖνος ποτὲ δὲν θὰ ἐπροτίμα νὰ ὑποφέρῃ τέτοια. Καὶ διατί ἀναφέρω γύμνωσιν καὶ τρόμον; Θὰ ἀναφέρω κάτι φρικωδέστερον ἀπὸ αὐτό, ὅτι μερικοὶ ἠναγκάσθησαν νὰ τυφλώσουν καὶ τὰ παιδιά των ἀκόμη, ἐνῷ εὑρίσκοντο εἰς μικρὰν ἡλικίαν, διὰ νὰ ἐγγίσουν τὴν ἰδικήν μας ἀναισθησίαν. Ἐπειδὴ δηλαδὴ μὲ τὸ νὰ βλέπουν καὶ νὰ περιφέρωνται γυμνοὶ δὲν συνεκίνησαν τοὺς ἀσπλάγχνους οὔτε μὲ τὴν ἡλικίαν των οὔτε μὲ τὴν συμφοράν των, προσέθεσαν εἰς τὰ τόσα κακὰ ἄλλην φοβερωτέραν τραγῳδίαν, διὰ νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν πεῖναν, νομίζοντες ὅτι εἶναι ἐλαφρότερον νὰ στερηθοῦν αὐτοῦ τοῦ κοινοῦ φωτὸς καὶ τῶν ἀκτίνων τοῦ ἡλίου, ποὺ ἔχουν δοθῆ εἰς ὅλους, παρὰ νὰ παλαίουν μὲ συνεχῆ πεῖναν καὶ νὰ ὑποφέρουν τὸν οἰκτρότερον θάνατον. Ἐπειδὴ δηλαδὴ δὲν ἐμάθατε νὰ εὐπλαγχνίζεσθε τὴν πενίαν, ἀλλὰ νὰ τέρπεσθε μὲ τὰς συμφοράς, ἱκανοποιοῦν τὴν ἀκόρεστον ἐπιθυμίαν σας ἀνάπτοντες τὴν φλόγα τῆς κολάσεως φοβερωτέραν καὶ διὰ τοὺς ἑαυτούς των καὶ δι' ἡμᾶς.

7. Καὶ διὰ νὰ μάθετε ὅτι διὰ τοῦτο γίνονται αὐτὰ καὶ τὰ παρόμοια, θὰ σᾶς φέρω ἀπόδειξιν παραδεκτὴν ἀπὸ ὅλους, εἰς τὴν ὁποίαν κανεὶς δὲν θὰ διαφωνήσῃ. Ὑπάρχουν ἄλλοι πτωχοί, κούφιοι καὶ ἐπιπόλαιοι ποὺ δὲν γνωρίζουν νὰ ὑπομένουν τὴν πεῖναν, ἀλλὰ ὑποφέρουν ὅλα τὰ ἄλλα περισσότερον ἀπὸ τὴν πεῖναν. Αὐτοὶ πολλάκις μᾶς ἐπλησίασαν μὲ ἀθλίαν ἐμφάνισιν καὶ λόγους, καὶ ἐπειδὴ τίποτε δὲν ὠφελήθησαν, ἐγκατέλειψαν ἐκείνας τὰς παρακλήσεις καὶ εἰς τὸ ἑξῆς μᾶς παρουσιάζουν τοὺς θαυματοποιούς· καὶ ἄλλοι μὲν μασοῦν δέρματα παλαιῶν ὑποδημάτων, ἄλλοι διαπερνοῦν μυτερὰ καρφιὰ εἰς τὴν κεφαλήν των, ἄλλοι βάζουν ἐπάνω εἰς τὴν γυμνὴν κοιλίαν των νερὰ παγωμένα ἀπὸ τὸ ψῦχος, ἄλλοι ὑπομένουν ἄλλα φοβερώτερα ἀπὸ αὐτά, διὰ νὰ δημιουργήσουν τὸ πονηρὸν θέατρον.

Σὺ δέ, ἐνῷ γίνονται αὐτά, στέκεσαι γελῶν καὶ θαυμάζων καὶ παρακολουθεῖς τὰς συμφορὰς τῶν ἄλλων μαζὶ μὲ τὸ πλῆθος, τὴν στιγμὴν ἀκριβῶς ποὺ ἡ κοινὴ φύσις ἀσχημονεῖ. Τί περισσότερον ἀπὸ αὐτὰ θὰ ἔκαμνεν ὁ ἄγριος δαίμων; Ἔπειτα καὶ τοῦ δίδεις περισσότερα χρήματα, διὰ νὰ κάμνῃ αὐτὰ προθυμότερον. Καὶ αὐτὸν

Θεὸν καλοῦντι καὶ μετ' ἐπιεικείας προσιόντι οὐδὲ ἀποκρίνεσθαι ἀξιοῖς οὐδὲ ἐμβλέψαι, ἀλλὰ καὶ τὰ φορτικὰ ἐκεῖνα πρὸς αὐτὸν φθέγγῃ ῥήματα, ὅταν συνεχῶς ἐνοχλήσῃ· τοῦτον δὲ ζῆν, ἀναπνεῖν δὲ ὅλως ἢ τὸν ἥλιον τοῦτον ὁρᾶν; πρὸς δὲ ἐκείνους φαιδρὸς καὶ φιλότιμος, ἅτε ἀγωνοθέτης τις ὢν τῆς καταγελάστου καὶ σατανικῆς ἀσχημοσύνης ἐκείνης. Διὸ καὶ εὐλογώτερον πρὸς τοὺς τιθέντας τοὺς ἀγῶνας τούτους καὶ μὴ προϊεμένους μηδὲν ἕως ἂν ἴδωσι κολαζομένους ἑτέρους, ταῦτα ἂν λεχθείη τὰ ῥήματα· ζῆν δὲ τούτους ἀναπνεῖν δὲ ὅλως, τὸν δὲ ἥλιον τοῦτον ὁρᾶν, τοὺς εἰς τὴν κοινὴν παρανομοῦντας φύσιν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας; Τοῦ μὲν Θεοῦ λέγοντος, δὸς ἐλεημοσύνην, καὶ δίδωμί σοι βασιλείαν οὐρανῶν, οὐκ ἤκουσας· τοῦ διαβόλου δὲ κεφαλὴν καθηλωμένην δεικνύντος, ἐξαίφνης φιλότιμος γέγονας. Καὶ μᾶλλον ἐπέκαμψεν ἡ τοῦ πονηροῦ δαίμονος μηχανὴ τοσαύτην ἔχουσα βλάβην ἢ ἡ τοῦ Θεοῦ ὑπόσχεσις μυρία κομίζουσα τὰ ἀγαθά. Δέον, εἰ καὶ χρυσίον καταβαλεῖν ἐχρῆν ὑπὲρ τοῦ ταῦτα μὴ γίνεσθαι, μηδὲ γινόμενα ὁρᾶν, πάντα ποιεῖν καὶ ὑπομένειν, ὥστε ἀνελεῖν τὴν πολλὴν ταύτην μανίαν· ὑμεῖς δὲ ὑπὲρ τοῦ καὶ γίνεσθαι καὶ γινόμενα ὁρᾶν, πάντα ποιεῖτε καὶ πραγματεύεσθε.

Ἔτι οὖν ἐρωτᾷς, εἰπέ μοι, διὰ τί γέεννα; Ἀλλὰ μηκέτι τοῦτο ἐρώτα, ἀλλὰ πῶς μία γέεννα μόνη. Πόσων γὰρ οὐκ ἄξιοι κολάσεων οὗτοι οἱ τὸ ὠμὸν τοῦτο καὶ ἀπηνὲς συγκροτοῦντες θέατρον, καὶ γελῶντες ἐφ' οἷς δακρύειν ἔδει κἀκείνους καὶ ὑμᾶς αὐτούς· μᾶλλον δὲ ὑμᾶς τοὺς ταῦτα ἀναγκάζοντας ἀσχημονεῖν; Ἀλλ' οὐκ ἀναγκάζω, φησί. Πῶς οὐκ ἀναγκάζεις, εἰπέ μοι, τοῖς μὲν ἐπιεικεστέροις καὶ δακρύουσι καὶ τὸν Θεὸν παρακαλοῦσιν οὐδὲ προσέχειν ἀνεχόμενος· τούτοις δὲ καὶ ἀργύριον παρέχων δαψιλές, καὶ πολλοὺς περιϊστῶν τοὺς θαυμάζοντας; Καὶ ἀποστῶμεν, φησίν, ἐλεοῦντες αὐτούς; καὶ σὺ τοῦτο κελεύεις; Οὐκ ἔστι τοῦτο ἐλεεῖν, ἄνθρωπε, τὸ τοσαύτην ἀπαιτεῖν δίκην ὑπὲρ

μὲν ποὺ εὔχεται καὶ ἐπικαλεῖται τὸν Θεὸν καὶ σὲ πλησιάζει μὲ διστακτικότητα δὲν τὸν κρίνεις ἄξιον οὔτε νὰ τοῦ ἀποκρίνεσαι οὔτε νὰ τὸν κοιτάζῃς, ἀλλὰ τοῦ λέγεις ἐκείνους τοὺς βαρεῖς λόγους, ὅταν συνεχῶς σὲ ἐνοχλῇ· αὐτὸν ὅμως τὸν κρίνεις ἄξιον νὰ ζῇ, νὰ ἀναπνέῃ μὲ ἄνεσιν, νὰ βλέπῃ τὸν ἴδιον τὸν ἥλιον; ἐνῷ πρὸς ἐκείνους εἶσαι γελαστὸς καὶ γενναιόδωρος· ὡσὰν νὰ εἶσαι ἀγωνοθέτης ἐκείνης τῆς καταγελάστου καὶ σατανικῆς ἀσχημοσύνης. Διὰ τοῦτο πρὸς ὅσους ὀργανώνουν αὐτοὺς τοὺς ἀγῶνας καὶ δὲν παραλείπουν τίποτε ἕως ὅτου ἰδοῦν τοὺς ἄλλους νὰ ὑποφέρουν πολὺ θὰ ἐταίριαζε νὰ λαχθοῦν τὰ ἑξῆς· Κρίνεις ἀξίους νὰ ζοῦν, νὰ ἀναπνέουν ἀνέτως, νὰ βλέπουν τοῦτον τὸν ἥλιον αὐτοὶ ποὺ παρανομοῦν εἰς τὴν κοινὴν φύσιν καὶ προσβάλλουν τὸν Θεόν; Καὶ ὅταν μὲν ὁ Θεὸς λέγῃ, δῶσε ἐλεημοσύνην καὶ θὰ σοῦ δώσω τὴν βασιλείαν τῶν οὐρανῶν, δὲν ἀκοῦς, ὅταν ὅμως ὁ διάβολος σοῦ δεικνύῃ καρφωμένην κεφαλήν, ἀμέσως γίνεσαι γενναιόδωρος. Καὶ σὲ συνεκίνησε περισσότερον τοῦ πονηροῦ δαίμονος τὸ τέχνασμα, ποὺ φέρει τόσην βλάβην, παρὰ τοῦ Θεοῦ ἡ ὑπόσχεσις, ποὺ κομίζει μύρια ἀγαθά. Καὶ ἂν ἀκόμη παρίστατο ἀνάγκη νὰ καταβάλῃ κανεὶς χρήματα, διὰ νὰ μὴ γίνωνται αὐτὰ οὔτε νὰ τὰ βλέπῃ νὰ γίνωνται, ἔπρεπε νὰ κάμῃ καὶ νὰ ὑπομένῃ τὰ πάντα, ὥστε νὰ ἐξαφανίσῃ αὐτὴν τὴν πολλὴν παραφροσύνην· σεῖς ὅμως κάμνετε καὶ μηχανεύεσθε τὰ πάντα, διὰ νὰ γίνωνται αὐτὰ καὶ νὰ τὰ βλέπετε ποὺ γίνονται.

Εἰπέ μου λοιπόν· ἐρωτᾷς ἀκόμη διατί ὑπάρχει κόλασις; Ὅμως μὴ ἐρωτᾷς τοῦτο, ἀλλὰ πῶς ὑπάρχει μία μόνον κόλασις. Διότι πόσων κολάσεων ἄξιοι δὲν εἶναι αὐτοὶ ποὺ συγκροτοῦν αὐτὸ τὸ ἄγριον καὶ σκληρὸν θέατρον καὶ γελοῦν διὰ πράγματα διὰ τὰ ὁποῖα ἔπρεπε καὶ ἐκεῖνοι καὶ σεῖς νὰ χύνετε δάκρυα, καὶ μάλιστα σεῖς ποὺ ἀναγκάζετε νὰ γίνωνται αὐταὶ αἱ ἀσχημίαι; Ἀλλὰ δὲν ἀναγκάζω, θὰ ἔλεγε κάποιος. Πῶς δὲν ἀναγκάζεις, εἰπέ μου, σὺ ποὺ δὲν ἀνέχεσαι οὔτε νὰ προσέξῃς ἐκείνους ποὺ εἶναι διστακτικοὶ καὶ δακρύζουν καὶ παρακαλοῦν τὸν Θεόν, ἐνῷ εἰς αὐτοὺς δίδεις καὶ χρήματα ἄφθονα καὶ πολλοὺς θαυμαστάς; Νὰ παύσωμεν λοιπόν, θὰ ἔλεγε κάποιος, νὰ ἐλεῶμεν αὐτούς; συμβουλεύεις καὶ σὺ αὐτό; Δὲν εἶναι, ἄνθρωπε, ἐλεημοσύνη αὐτό, τὸ νὰ ἐπιβάλλῃ κανεὶς τέτοιας

ὀλίγων ὀβολῶν, τὸ κελεύειν ὑπὲρ ἀναγκαίας κατακόπτεσθαι τροφῆς, καὶ εἰς πολλὰ διατέμνειν τῆς κεφαλῆς τὴν δορὰν οὕτω πικρῶς καὶ ἐλεεινῶς.

Εὐφήμει, φησίν· οὐ γὰρ ἡμεῖς ἐσμεν οἱ τὰς κεφαλὰς καθηλοῦντες ἐκείνας. Εἴθε σύ· καὶ οὐκ ἦν οὕτω δεινὸν τὸ δεινόν. Ὁ γὰρ σφάττων τινὰ τοῦ κελεύοντος ἑαυτὸν σφάττειν πολλῷ χαλεπώτερον ποιεῖ· ὃ δὴ καὶ ἐπὶ τούτων συμβαίνει. Καὶ γὰρ δριμυτέρας ὑπομένουσι τὰς ὀδύνας, ὅταν καὶ αὐτουργοὶ κελεύωνται γίνεσθαι τῶν πονηρῶν τούτων ἐπιταγμάτων, καὶ ταῦτα ἐν Ἀντιοχείᾳ, ἐν ᾗ πρῶτον ἐχρημάτισαν Χριστιανοί, ἐν ᾗ πάντων ἀνθρώπων ἡμερώτεροι γεγόνασιν, ἐν ᾗ πολὺς ὁ τῆς ἐλεημοσύνης τὸ παλαιὸν ἐκόμα καρπός· οὐδὲ γὰρ τοῖς παροῦσι μόνον ἀλλὰ καὶ τοῖς πόρρωθεν ἔπεμπον ἐκ πολλοῦ τοῦ διαστήματος, καὶ ταῦτα λιμοῦ προσδοκωμένου.

Τί οὖν δεῖ ποιεῖν, φησί; Τῆς μὲν θηριωδίας ταύτης καθυφεῖναι, πεῖσαι δὲ τοὺς δεομένους ἅπαντας ὅτι ταῦτα μὲν ποιοῦντες οὐδὲν λήψονται, ἐπιεικῶς δὲ προσιόντες πολλῆς ἀπολαύσονται τῆς φιλοτιμίας. Κἂν ταῦτα μάθωσι, κἂν πάντων ὦσιν ἀθλιώτεροι, οὐχ αἱρήσονται οὐδέποτε τοιαῦτα κολάζεσθαι, ἐγὼ ἐγγυῶμαι· ἀλλὰ καὶ χάριν ὑμῖν εἴσονται, ὅτι καὶ τοῦ γέλωτος καὶ τῆς ὀδύνης αὐτοὺς ἀπηλλάξατε ἐκείνης. Νῦν δὲ ὑπὲρ μὲν ἡνιόχων καὶ παῖδας ἂν ἐκδοίητε τοὺς ὑμετέρους, καὶ ὑπὲρ ὀρχηστῶν καὶ αὐτὰς ἂν πρόοισθε τὰς ψυχάς· ὑπὲρ δὲ τοῦ Χριστοῦ πεινῶντες οὐδὲ τὸ πολλοστὸν τῆς οὐσίας προΐεσθε μέρος, ἀλλ' ἂν ὀλίγον δῶτε ἀργύριον, ὡς τὸ πᾶν ἐκτετικότες, οὕτω διάκεισθε, οὐκ εἰδότες ὅτι οὐ τὸ δοῦναι, ἀλλὰ τὸ μετὰ δαψιλείας δοῦναι, τοῦτο μάλιστά ἐστιν ἐλεημοσύνη. Διὰ τοῦτο καὶ ὁ προφήτης οὐ τοὺς διδόντας ἁπλῶς ἀνακηρύττει καὶ μα-

25. Ὑπενθυμίζεται ὅτι αἱ ὁμιλίαι ἐξεφωνήθησαν εἰς Ἀντιόχειαν ἀπὸ τὸν τότε Πρεσβύτερον Ἰωάννην τὸν Χρυσόστομον, τὸν μετέπειτα Πατριάρχην Κωνσταντινουπόλεως.

ποινὰς διὰ ὀλίγους ὀβολούς, νὰ παρακινῇ, νὰ κοπιάζῃ κανεὶς τόσον πολὺ διὰ τὴν ἀναγκαίαν τροφήν του καὶ νὰ κόπτῃ τὸ δέρμα τῆς κεφαλῆς του εἰς πολλὰ μέρη κατὰ τρόπον τόσον ἀποκρουστικὸν καὶ ἐλεεινόν.

Μίλα ὀρθά, θὰ ἔλεγε κάποιος· δὲν εἴμεθα ἡμεῖς ἐκεῖνοι οἱ ὁποῖοι καρφώνομεν ἐκείνας τὰς κεφαλάς. Εἴθε νὰ ἦσουν σύ· δὲν θὰ ἦτο τότε τὸ φοβερὸν τόσον φοβερόν· διότι αὐτὸς ποὺ σφάζει κάποιον κάμνει κάτι πολὺ φοβερώτερον ἀπὸ ἐκεῖνον ποὺ προτρέπει νὰ σφάξουν τὸν ἑαυτόν του· αὐτὸ συμβαίνει καὶ μὲ αὐτούς· καθ' ὅσον ὑπομένουν σκληροτέρας ὀδύνας, ὅταν διατάσσωνται νὰ γίνουν οἱ ἴδιοι ἐκτελεσταὶ τῶν φοβερῶν διαταγῶν. Καὶ ὅλα αὐτὰ γίνονται εἰς τὴν Ἀντιόχειαν[25], εἰς τὴν ὁποίαν διὰ πρώτην φορὰν ὠνομάσθησαν Χριστιανοί, εἰς τὴν ὁποίαν ὑπάρχουν οἱ ἡμερώτεροι ὅλων τῶν ἀνθρώπων, εἰς τὴν ὁποίαν κάποτε ὑπῆρχε πλούσιος ὁ καρπὸς τῆς ἐλεημοσύνης· διότι δὲν ἔστελλον μόνον εἰς τοὺς παρόντας, ἀλλὰ καὶ εἰς ὅσους ἀπεῖχον πολύ, καὶ αὐτὰ ἐνῷ ἐπερίμενον πεῖναν.

Τί λοιπὸν πρέπει νὰ κάμωμεν;, θὰ ἔλεγε κάποιος. Νὰ ἐγκαταλείψωμεν μὲν αὐτὴν τὴν θηριωδίαν, νὰ πείσωμεν δὲ ὅλους ὅσοι ἔχουν ἀνάγκην ὅτι μὲ τὸ νὰ κάμνουν μὲν αὐτὰ δὲν θὰ λαμβάνουν τίποτε, ἐὰν ὅμως μᾶς πλησιάζουν μὲ ἀγαθότητα, θὰ ἀπολαύσουν πολλῆς τῆς γενναιοδωρίας μας. Καὶ ἂν μάθουν αὐτά, ἀκόμη καὶ ἂν εἶναι οἱ δυστυχέστεροι ὅλων, ποτὲ δὲν θὰ προτιμήσουν νὰ ὑφίστανται τέτοια, ἐγὼ τὸ ἐγγυῶμαι· ἐπὶ πλέον θὰ σᾶς χρεωστοῦν καὶ εὐγνωμοσύνην, διότι τοὺς ἀπηλλάξατε ἀπὸ τὸν γέλωτα καὶ τὴν ὀδύνην. Τώρα ὅμως διὰ μὲν τοὺς ἡνιόχους θὰ ἐπροδίδατε ἀκόμη καὶ τὰ παιδιά σας, καὶ διὰ τοὺς χορευτὰς θὰ ἦτο δυνατὸν νὰ προσφέρετε τὰς ἰδίας τὰς ψυχάς σας, ἐνῷ ὑπὲρ τοῦ Χριστοῦ ποὺ πεινᾷ δὲν δίδετε οὔτε τὸ ἐλάχιστον μέρος τῆς περιουσίας σας· καὶ ἂν δώσετε ὀλίγα χρήματα, συμπεριφέρεσθε ὡσὰν νὰ εἴχατε δώσει τὸ πᾶν, διότι δὲν γνωρίζετε, ὅτι ἐλεημοσύνη δὲν εἶναι ἁπλῶς νὰ δίδῃς, ἀλλὰ νὰ δίδῃς μὲ γενναιοδωρίαν. Διὰ τοῦτο καὶ ὁ προφήτης ἀνακηρύσσει καὶ μακαρίζει ὄχι ἐκείνους ποὺ ἁπλῶς δίδουν, ἀλλὰ ὅσους δίδουν

καρίζει, ἀλλὰ τοὺς ἀφθόνως ἐκχέοντας· οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ἔδωκεν, ἀλλὰ πῶς; «Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι».

Τί γὰρ ὄφελος, ὅταν πλουτῶν τοσοῦτον δῷς, ὅσον ἂν τις ἀπὸ πελάγους κύαθον δῴη, καὶ μηδὲ χήρας γυναικὸς μεγαλοψυχίαν ζηλώσῃς; Πῶς δὲ ἐρεῖς, «Κύριε, ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου», οὐ κατὰ τὸ μέγα ἔλεος αὐτὸς ἐλεῶν, τάχα δὲ οὐδὲ κατὰ τὸ μικρόν; Καὶ γὰρ σφόδρα αἰσχύνομαι, ὅταν ἴδω πολλοὺς τῶν πλουτούντων ἐφ' ἵππων χρυσοχαλίνων φερομένους, καὶ οἰκέτας χρυσοφοροῦντας ἐπισυρομένους, καὶ κλίνας ἀργυρᾶς ἔχοντας, καὶ ἑτέραν πλείονα φαντασίαν, καὶ ἡνίκα ἂν πένητι δέῃ παρασχεῖν, τῶν σφόδρα πενήτων πτωχοτέρους γινομένους.

8. Ἀλλὰ τίς ὁ πολὺς αὐτῶν λόγος; Ἔχει τὸ κοινὸν τῆς Ἐκκλησίας, φησί. Καὶ τί τοῦτο πρὸς σέ; Οὐδὲ γάρ, ἐὰν ἐγὼ δῶ, σὺ διεσώθης· οὐδ' ἂν ἡ Ἐκκλησία παράσχῃ, σὺ τὰ ἁμαρτήματα ἐξήλειψας τὰ σά. Εἰ γὰρ διὰ τοῦτο οὐ δίδως, ἐπειδὴ ἡ Ἐκκλησία ὀφείλει δοῦναι τοῖς δεομένοις· ἐπειδὴ εὔχονται οἱ ἱερεῖς, σὺ οὐκ εὔξῃ ποτέ; καὶ ἐπειδὴ νηστεύουσιν ἕτεροι, μεθυσθήσῃ διηνεκῶς; Οὐκ οἶσθα ὅτι οὐχ οὕτω διὰ τοὺς πένητας τὰ περὶ ἐλεημοσύνης ἐνομοθέτησεν ὁ Θεός, ὡς δι' αὐτοὺς τοὺς παρέχοντας; Ἀλλ' ὑποπτεύεις τὸν ἱερέα; Μάλιστα μὲν χαλεπὴ καὶ τοῦτο ἁμαρτία, πλὴν οὐδὲν ἀκριβολογοῦμαι· διὰ σαυτοῦ πάντα ποίει, καὶ διπλοῦν οὕτω καρπώσῃ τὸν μισθόν. Καὶ γὰρ ἅπερ ἡμεῖς ὑπὲρ ἐλεημοσύνης λέγομεν, οὐχ ἵνα ἡμῖν προσαγάγῃς λέγομεν, ἀλλ' ἵνα αὐτὸς διὰ σαυτοῦ διακονῇς. Ἐμοὶ μὲν γὰρ προσφέρων ἴσως καὶ κενοδοξίᾳ ἁλώσῃ, πολλάκις δὲ καὶ σκανδαλισθεὶς ἀπελεύσῃ τῷ πονηρὰ ὑποπτεῦσαι· ἂν δὲ δι' ἑαυτῶν πάντα ποιῆτε, καὶ σκανδάλων ἀπαλλαγήσεσθε καὶ ὑποψίας ἀτόπου, καὶ πλείων ὑμῖν ὁ μισθός.

---

26. Ψαλ. 111,9.
27. αὐτ. 50,3.

μὲ ἀφθονίαν· διότι δὲν εἶπεν ἁπλῶς, ἔδωκεν, ἀλλὰ πῶς; «Ἐσκόρπισεν, ἔδωκεν εἰς τοὺς πτωχούς»[26].

Τί ὄφελος, ὅταν, ἐνῷ εἶσαι πλούσιος, δίδῃς τόσον ὀλίγα ὅπως θὰ ἔδιδε κάποιος ἕνα κύπελλον νεροῦ, ἐνῷ εἶχε πέλαγος, καὶ οὔτε ζηλεύῃς τὴν μεγαλοψυχίαν τῆς χήρας γυναικός; Καὶ πῶς θὰ εἴπῃς, «Κύριε, ἐλέησέ με σύμφωνα μὲ τὸ μέγα ἔλεός σου, καὶ σύμφωνα μὲ τὴν ἀπέραντον εὐσπλαγχνίαν σου ἐξάλειψε τὸ ἀνόμημά μου»[27], ἐνῷ σὺ ὁ ἴδιος δὲν ἐλεεῖς κατὰ τὸ μέγα ἔλεός σου, ἴσως δὲ οὔτε κατὰ τὸ μικρόν; Πράγματι, πολὺ ἐντρέπομαι, ὅταν ἴδω πολλοὺς πλουσίους νὰ κινοῦνται ἐπάνω εἰς χρυσοχαλίνους ἵππους καὶ νὰ ἀκολουθοῦν ὑπηρέται μὲ χρυσᾶ ἐνδύματα καὶ νὰ ἔχουν ἀργυρᾶς κλίνας καὶ ἄλλα περισσότερον φανταστικὰ ἀγαθά, καὶ ὅμως νὰ γίνωνται πτωχότεροι ἀπὸ τοὺς πτωχοτέρους, ὅταν πρόκειται νὰ δώσουν εἰς πτωχόν.

8. Ἀλλὰ τί συνήθως λέγουν αὐτοί; Ὑπάρχει τὸ κοινὸν ταμεῖον τῆς Ἐκκλησίας, θὰ ἔλεγε κάποιος. Καὶ αὐτὸ ποίαν σχέσιν ἔχει μὲ ἐσένα; Διότι, ἐὰν ἐγὼ δώσω, σὺ δὲν σώζεσαι· οὔτε, ἂν δώσῃ ἡ Ἐκκλησία, ἐξαλείφεις τὰ ἰδικά σου ἁμαρτήματα. Ἐὰν δηλαδὴ δὲν δίδῃς διὰ τοῦτο, ἐπειδὴ ἡ Ἐκκλησία ὀφείλει νὰ δώσῃ εἰς ὅσους ἔχουν ἀνάγκην, ἐπομένως ἐπειδὴ προσεύχονται οἱ ἱερεῖς, σὺ δὲν θὰ προσευχηθῇς ποτέ; καὶ ἐπειδὴ νηστεύουν ἄλλοι, σὺ συνεχῶς θὰ μεθᾷς; Δὲν γνωρίζεις ὅτι ὁ Θεὸς δὲν ἐνομοθέτησεν διὰ τοὺς πτωχοὺς τὰ σχετικὰ μὲ τὴν ἐλεημοσύνην ἔτσι ὅπως διὰ τοὺς ἰδίους ποὺ δίδουν; Ἀλλὰ βλέπεις μὲ καχυποψίαν τὸν ἱερέα; καὶ τοῦτο εἶναι πολὺ βαρεῖα ἁμαρτία, ἀλλὰ δὲν τὸ ἐξετάζω μὲ λεπτομέρειαν· κάμνε τὰ πάντα μὲ τὸν ἑαυτόν σου, καὶ ἔτσι θὰ καρπωθῇς διπλὸν τὸν μισθόν σου. Ὅσα λέγομεν ἐμεῖς ὑπὲρ τῆς ἐλεημοσύνης, δὲν τὰ λέγομεν διὰ νὰ προσφέρῃς εἰς ἡμᾶς, ἀλλὰ διὰ νὰ διακονῇς σὺ ὁ ἴδιος τὸν ἑαυτόν σου. Διότι, ἂν προσφέρῃς εἰς ἐμένα, ἴσως θὰ κυριευθῇς καὶ ἀπὸ κενοδοξίαν, πολλάκις δὲ θὰ φύγῃς σκανδαλισμένος, διότι ὑποπτεύεσαι πονηρά· ἂν ὅμως κάμνετε ὅλα διὰ τὸν ἑαυτόν σας, θὰ ἀπαλλαγῆτε καὶ ἀπὸ σκάνδαλα καὶ ἀπὸ ἀδικαιολόγητον ὑποψίαν, καὶ ὁ μισθός σας θὰ εἶναι μεγαλύτερος.

Οὐ τοίνυν ἐκβιαζόμενος ὑμᾶς ἐνταῦθα κομίζειν τὰ χρήματα, ταῦτα λέγω, οὐδὲ ἀγανακτῶν ὑπὲρ τῶν κακῶς ἀκουόντων ἱερέων. Εἰ γὰρ ἀγανακτεῖν χρὴ καὶ ἀλγεῖν, ὑπὲρ ὑμῶν ἀλγεῖν δεῖ τῶν λεγόντων κακῶς· τοῖς μὲν γὰρ ἀκούουσιν εἰκῇ καὶ μάτην κακῶς ὁ μισθὸς μείζων, τοῖς δὲ λέγουσι τὸ κρίμα καὶ ἡ τιμωρία βαρυτέρα. Οὐ τοίνυν ὑπὲρ αὐτῶν ταῦτα λέγω, ἀλλ' ὑμῶν κηδόμενος καὶ φροντίζων. Τί γὰρ θαυμαστόν, εἰ ἐπὶ τῆς γενεᾶς τινες ὑποπτεύονται τῆς ἡμετέρας, ὅπου γε ἐπὶ τῶν ἁγίων ἐκείνων τῶν τοὺς ἀγγέλους μιμησαμένων, τῶν οὐδὲν ἴδιον κεκτημένων, τῶν ἀποστόλων λέγω, γογγυσμὸς ἦν ἐν τῇ διακονίᾳ τῶν χηρῶν, ὅτι παρεθεωροῦντο οἱ πένητες, ὅτε οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά;

Μὴ δὴ ταύτας προβαλλώμεθα τὰς προφάσεις, μηδὲ ἀπολογίαν εἶναι νομίζωμεν τὸ τὴν 'Εκκλησίαν πολλὰ κεκτῆσθαι. Ὅταν γὰρ τῆς οὐσίας αὐτῆς τὸ μέγεθος ἴδῃς, ἐννόησον καὶ τῶν ἐγγεγραμμένων πενήτων τὰς ἀγέλας, τῶν ἀρρωστούντων τὰ πλήθη, τῶν μυρίων χορηγιῶν τὰς ὑποθέσεις· περιέργασαι, πολυπραγμόνησον, οὐδεὶς ὁ κωλύσων, ἀλλὰ καὶ ἕτοιμοι λόγον ὑμῖν παρασχεῖν. Πλὴν ὑπερβολὴν ποιήσασθαι βούλομαι. Ὅταν γὰρ παράσχωμεν τὰς εὐθύνας καὶ δείξωμεν οὐκ ἐλάττονα τῆς προσόδου τὴν δαπάνην οὖσαν ἀλλ' ἔστιν ὅπου καὶ πλείω, ἡδέως ἂν ὑμᾶς ἐκεῖνο ἐροίμην· ἡνίκα ἂν ἀπέλθωμεν ἐκεῖ καὶ ἀκούσωμεν τὰς εὐθύνας καὶ δείξωμεν οὐκ ἐλάττονα τῆς προσόδου τὴν δαπάνην οὖσαν ἀλλ' ἔστιν ὅπου καὶ πλείω, ἡδέως ἂν ὑμᾶς ἐκεῖνο ἐροίμην· ἡνίκα ἂν ἀπέλθωμεν ἐκεῖ καὶ ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, «Πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε, γυμνόν, καὶ οὐ περιεβάλετε», τί ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα; Τὸν δεῖνα καὶ τὸν δεῖνα εἰς μέσον οἴσομεν τὸν παρακούσαντα τούτων, καί τινας τῶν ἱερέων τῶν ὑπόπτων; Καὶ τί τοῦτο πρὸς σέ;

---

28. Ματθ. 25,42.

Δὲν τὰ λέγω λοιπὸν αὐτὰ προσπαθῶν νὰ σᾶς ἀναγκάσω νὰ φέρετε ἐδῶ χρήματα, οὔτε διότι ἀγανακτῶ διὰ τὰς συκοφαντίας εἰς βάρος τῶν ἱερέων. Ἐὰν πρέπει νὰ ἀγανακτῶ καὶ νὰ πονῶ, πρέπει νὰ πονῶ διὰ σᾶς ποὺ συκοφαντεῖτε· διότι ἐκεῖνοι ποὺ συκοφαντοῦνται χωρὶς λόγον καὶ ἀδίκως θὰ ἔχουν μεγαλύτερον μισθόν, οἱ συκοφάνται ὅμως θὰ ἔχουν βαρυτέραν τιμωρίαν. Δὲν τὰ λέγω λοιπὸν αὐτὰ πρὸς ὑπεράσπισιν αὐτῶν, ἀλλὰ ἀπὸ ἐνδιαφέρον καὶ φροντίδα διὰ σᾶς. Τί τὸ παράξενον, ἂν εἰς τὴν ἐποχήν μας μερικοὶ ὑποπτεύωνται, ἐφ᾽ ὅσον εἰς τὴν ἐποχὴν τῶν ἁγίων ἐκείνων ποὺ ἐμιμήθησαν τοὺς ἀγγέλους καὶ δὲν εἶχον τίποτε ἰδικόν των, ἐννοῶ τοὺς ἀποστόλους, ὑπῆρχε γογγυσμὸς εἰς τὴν διακονίαν τῶν χωρῶν, ὅτι παρεθεωροῦντο οἱ πένητες, τὴν στιγμὴν κατὰ τὴν ὁποίαν κανεὶς τίποτε ἀπὸ τὴν περιουσίαν του δὲν ἔλεγεν ὅτι εἶναι ἰδικόν του, ἀλλὰ ὅλα τὰ εἶχον αὐτοὶ κοινά;

Ἄς μὴ προβάλλωμεν λοιπὸν αὐτὰς τὰς προφάσεις, οὔτε νὰ νομίζωμεν ὅτι εἶναι ἀπολογία μας τὸ ὅτι ἡ Ἐκκλησία ἔχει πολλὴν περιουσίαν. Διότι, ὅταν ἴδῃς τὸ μέγεθος αὐτῆς τῆς περιουσίας, σκέψου καὶ τὰ πλήθη τῶν πτωχῶν ποὺ εἶναι γραμμένοι εἰς τοὺς καταλόγους της, τὰ πλήθη τῶν ἀρρώστων, τὰς περιπτώσεις τῶν μυρίων βοηθημάτων· ἐξέτασε μὲ περιέργειαν, ἐρεύνησε ὅλα τὰ σημεῖα, κανεὶς δὲν θὰ σὲ ἐμποδίσῃ, ἀλλὰ εἴμεθα καὶ ἕτοιμοι νὰ δώσωμεν λόγον εἰς ἐσᾶς. Θέλω ὅμως νὰ ὁμιλήσω κάπως ὑπερβολικά. Ὅταν δηλαδὴ δώσωμεν λόγον τῶν πράξεών μας καὶ ἀποδείξωμεν ὅτι αἱ δαπάναι δὲν εἶναι μικρότεραι ἀπὸ τὰ ἔσοδα ἀλλ᾽ εἰς μερικὰς περιπτώσεις καὶ μεγαλύτεραι, μὲ εὐχαρίστησίν μου θὰ σᾶς ὑπέβαλλα τὴν ἑξῆς ἐρώτησιν· Ὅταν ἀπέλθωμεν ἐκεῖ καὶ ἀκούσωμεν τὸν Χριστὸν νὰ λέγῃ, «Μὲ εἴδατε πεινασμένον καὶ δὲν μὲ ἐθρέψατε, μὲ εἴδατε γυμνὸν καὶ δὲν μὲ ἐνδύσατε»[28], τί θὰ εἴπωμεν; τί θὰ ἀπολογηθῶμεν; Θὰ φέρωμεν εἰς τὸ μέσον τὸν τάδε καὶ τὸν τάδε, ποὺ παρήκουσεν αὐτά, καὶ μερικοὺς ἀπὸ τοὺς ὑπόπτους ἱερεῖς; Καὶ τοῦτο εἰς τί σὲ ὠφελεῖ;

Ἐγὼ γάρ σοι ἐγκαλῶ, φησίν, ἅπερ αὐτὸς ἥμαρτες· ἀπολογία δὲ τούτων τὸ τὰ οἰκεῖα ἀπολούσασθαι ἁμαρτήματα, οὐ τὸ δεῖξαι ἑτέρους τὰ αὐτά σοι πεπλημμεληκότας. Καὶ γὰρ ἡ Ἐκκλησία διὰ τὴν ὑμετέραν μικρολογίαν ἔχειν ἀναγκάζεται ἅπερ ἔχει νῦν· ὡς εἴγε κατὰ τοὺς ἀποστολικοὺς πάντα ἔπραττον νόμους, πρόσοδον αὐτῆς εἶναι ἐχρῆν τὴν ὑμετέραν γνώμην, ὃ καὶ ταμεῖον ἀσφαλὲς ἦν καὶ ἀνάλωτος θησαυρός. Νῦν δέ, ὅταν ὑμεῖς μὲν θησαυρίζητε ἐπὶ γῆς καὶ πάντα ἐν τοῖς ταμιείοις ἀποκλείητε τοῖς ὑμετέροις, αὕτη δὲ ἀναγκάζηται δαπανᾶν χηρῶν συλλόγοις, παρθένων χοροῖς, ξένων ἐπιδημίαις, ἀποδημούντων ταλαιπωρίαις, δεσμωτῶν συμφοραῖς, ἀρρωστούντων καὶ λελωβημένων ἀνάγκαις, ἑτέραις τοιαύταις προφάσεσι, τί δεῖ ποιεῖν; Ἀποστρέφεσθαι τούτους ἅπαντας, καὶ τοσούτους προσχῶσαι λιμένας; Καὶ τίς ἂν τοῖς γινομένοις ναυαγίοις ἀρκέσειε; τοῖς ὀδυρμοῖς, τοῖς θρήνοις, ταῖς οἰμωγαῖς ταῖς πανταχόθεν φερομέναις;

Μὴ τοίνυν ἁπλῶς τὸ ἐπιὸν φθεγγώμεθα. Νῦν μὲν γάρ, ὅπερ ἔφθην εἰπών, καὶ τὰς εὐθύνας παρασχεῖν ὑμῖν ἕτοιμοι· εἰ δὲ καὶ τοὐναντίον ἦν, καὶ διεφθαρμένους εἴχετε διδασκάλους καὶ πάντα ἁρπάζοντας καὶ πλεονεκτοῦντας, οὐδὲ οὕτως ὑμῖν ἀπολογία ἡ ἐκείνων πονηρία ἦν. Ὁ γὰρ φιλάνθρωπος καὶ πάνσοφος, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ πάντα ὁρῶν, καὶ εἰδὼς ὅτι συμβαίνει πολλοὺς ἐν τῷ μακρῷ χρόνῳ καὶ τῇ τοσαύτῃ οἰκουμένῃ ἱερέας γενέσθαι διεφθαρμένους· ἵνα μὴ τῶν ἀρχομένων ἡ ῥᾳθυμία ἐπιτείνηται διὰ τῆς ἐκείνων ὀλιγωρίας, πᾶσαν ἀναιρῶν ἀπολογίαν ῥᾳθυμίας, «Ἐπὶ τῆς καθέδρας Μωϋσέως», φησίν, «ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε», δεικνὺς ὅτι, κἂν διδάσκαλον ἔχῃς φαῦλον, οὐδέν σε τοῦτο ὀνῆσαι δυνήσεται, ἂν μὴ προσέχῃς τοῖς λεγομένοις.

---

29. αὐτ. 23,2.

Ἐγὼ κατηγορῶ ἐσένα, λέγει, δι' ὅσα ἁμαρτήματα σὺ ὁ ἴδιος ἔκαμες· ἀπολογία δι' αὐτὰ θὰ ἦτο τὸ νὰ ἀπαλλαγῆς ἀπὸ τὰ ἁμαρτήματά σου, ὄχι τὸ νὰ δείξης ἄλλους ποὺ ἔχουν κάμει τὰ ἴδια μὲ ἐσὲ πλημμελήματα. Πράγματι, ἡ Ἐκκλησία ἐξ αἰτίας τῆς ἰδικῆς σας φιλαργυρίας ἀναγκάζεται νὰ ἔχῃ ὅσα ἔχει τώρα· διότι, ἐὰν ἔπραττον τὰ πάντα κατὰ τοὺς ἀποστολικοὺς νόμους, ἑπόμενον θὰ ἦτο ἔσοδά της νὰ εἶναι ἡ ψυχή σας, πρᾶγμα τὸ ὁποῖον θὰ ἦτο ἀσφαλὲς θησαυροφυλάκιον καὶ ἀνεξάντλητος θησαυρός. Τώρα ὅμως, ὅταν σεῖς μὲν θησαυρίζετε ἐπὶ τῆς γῆς καὶ κλείετε ὅλα τὰ θησαυροφυλάκιά σας, αὐτὴ δὲ ἀναγκάζεται νὰ δαπανᾷ διὰ τὰ πλήθη τῶν χηρῶν καὶ τῶν παρθένων, διὰ τὴν φιλοξενίαν τῶν ξένων, διὰ τὰς ταλαιπωρίας τῶν ἀποδήμων, διὰ τὰς συμφορὰς τῶν φυλακισμένων, διὰ ἄλλας τέτοιας αἰτίας, τί πρέπει νὰ κάμνῃ; Νὰ ἀποστρέφεται ὅλους αὐτοὺς καὶ νὰ φράξῃ τόσους λιμένας; Καὶ ποῖος θὰ ἦτο δυνατὸν νὰ ἐπαρκέσῃ διὰ τὰ ναυάγια ποὺ θὰ συνέβαινον; τοὺς ὀδυρμούς, τοὺς θρήνους, τὰς κραυγὰς ἀπελπισίας ποὺ ἀκούγονται ἀπὸ παντοῦ;

Ἂς μὴ λέγωμεν λοιπὸν μὲ εὐκολίαν ὅ,τι μᾶς ἔρχεται εἰς τὸ στόμα. Τώρα μὲν —πρᾶγμα τὸ ὁποῖον εἶπον καὶ προηγουμένως— εἴμεθα ἕτοιμοι νὰ σᾶς δώσωμεν λογαριασμόν· ἐὰν δὲ συνέβαινε τὸ ἀντίθετον, καὶ εἴχετε διδασκάλους διεφθαρμένους καὶ ἅρπαγας καὶ πλεονέκτας, οὔτε τότε ἡ πονηρία ἐκείνων θὰ ἦτο δικαιολογία σας· διότι ὁ φιλάνθρωπος καὶ πάνσοφος, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ὁποῖος βλέπει τὰ πάντα καὶ γνωρίζει ὅτι μέσα εἰς τὸν μακρὸν χρόνον καὶ εἰς τὴν τόσην οἰκουμένην συμβαίνει πολλοὶ διεφθαρμένοι νὰ γίνουν ἱερεῖς, διὰ νὰ μὴ ἐπιτείνεται ἡ ραθυμία τῶν πιστῶν ἀπὸ τὴν ἀδιαφορίαν ἐκείνων, ἀνατρέπων πᾶσαν δικαιολογίαν ραθυμίας λέγει· «Οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἐκάθισαν εἰς τὴν ἕδραν τοῦ Μωϋσέως· ὅλα λοιπὸν ὅσα σᾶς λέγουν νὰ κάμνετε, νὰ τὰ κάμνετε, νὰ μὴ ἐνεργῆτε ὅμως σύμφωνα μὲ τὰ ἔργα των»[29], δεικνύων ἔτσι ὅτι, καὶ ἂν ἀκόμη ἔχῃς διδάσκαλον κακόν, τοῦτο καθόλου δὲν θὰ ἠμπορέσῃ νὰ σὲ ὠφελήσῃ ἂν δὲν προσέχῃς εἰς τοὺς λόγους του·

Οὐ γὰρ ἀφ' ὧν ὁ διδάσκαλος ἔπραξεν, ἀλλὰ ἀφ' ὧν ἀκούσας παρήκουσας, ἀπὸ τούτων σοι φέρει τὰς ψήφους ὁ Θεός.

Ὥστε, ἐὰν μὲν ποιῇς τὰ ἐπιτεταγμένα, μετὰ πολλῆς τότε στήσῃ τῆς παρρησίας· ἂν δὲ παρακούσῃς τῶν λεγομένων, κἂν μυρίους ἱερέας διεφθαρμένους δείξῃς, οὐδέν σου τοῦτο προστήσεται. Ἐπεὶ καὶ Ἰούδας ἀπόστολος ἦν, ἀλλ' ὅμως οὐδὲν τοῦτο ὑπὲρ τῶν ἱεροσύλων καὶ φιλαργύρων ἀπολογήσεταί ποτε, οὐδὲ δυνήσεταί τις ἐγκαλούμενος λέγειν ὅτι, καὶ γὰρ ὁ ἀπόστολος κλέπτης ἦν καὶ ἱερόσυλος καὶ προδότης· ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἡμᾶς τιμωρήσεται καὶ κατακρινεῖ, ὅτι μηδὲ τοῖς ἑτέρων κακοῖς ἐσωφρονίσθημεν. Διὰ γὰρ τοῦτο καὶ ἀναγέγραπται ἐκεῖνα, ἵνα φύγωμεν αὐτῶν τὸν ζῆλον. Διὸ τὸν δεῖνα καὶ τὸν δεῖνα ἀφέντες, ἡμεῖς ἑαυτοῖς προσέχωμεν· ἕκαστος γὰρ ἡμῶν ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

Ἵν' οὖν τὸν λόγον τοῦτον μετὰ καλῆς παράσχωμεν ἀπολογίας, τὸν ἑαυτῶν ῥυθμίσωμεν βίον καὶ δαψιλῆ τὴν χεῖρα ἐκτείνωμεν τοῖς δεομένοις, εἰδότες ὅτι αὕτη μόνη ἡμῖν ἐστιν ἀπολογία, τὸ δεῖξαι ἡμᾶς αὐτοὺς κατωρθωκότας τὰ ἐπιτεταγμένα, ἑτέρα δὲ οὐδεμία. Κἂν ταύτην δυνηθῶμεν παρασχεῖν, τὰς ἀφορήτους ἐκείνας ὀδύνας τῆς γεέννης διαφευξόμεθα καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

διότι ὁ Θεὸς θὰ σὲ κρίνῃ ὄχι ἀπὸ ὅ,τι ἔπραξεν ὁ διδάσκαλός σου, ἀλλὰ ἀπὸ ὅ,τι ἤκουσες καὶ ὅμως παρήκουσες.

Ὥστε, ἂν μὲν ἐκτελῇς τὰς ἐντολάς, θὰ σταθῇς τότε μὲ παρρησίαν· ἂν ὅμως παρακούσῃς εἰς τοὺς λόγους, ἀκόμη καὶ ἂν δείξῃς μυρίους διεφθαρμένους ἱερεῖς, τοῦτο καθόλου δὲν θὰ σὲ βοηθήσῃ. Διότι καὶ ὁ Ἰούδας ἦτο ἀπόστολος, ἀλλ' ὅμως τοῦτο καθόλου δὲν ἠμπορεῖ νὰ χρησιμοποιηθῇ ὡς δικαιολογία τῶν ἱεροσύλων καὶ φιλαργύρων, οὔτε κανεὶς κατηγορούμενος θὰ ἠμπορέσῃ νὰ λέγῃ ὅτι, Καὶ ὁ ἀπόστολος ἦτο κλέπτης καὶ ἱερόσυλος καὶ προδότης· ἀλλὰ ὅμως αὐτὸ ἀκριβῶς θὰ ἐπιτείνῃ τὴν τιμωρίαν μας καὶ τὴν κατάκρισίν μας, ὅτι δὲν ἐσωφρονίσθημεν οὔτε μὲ τὰς τιμωρίας ἄλλων. Διὰ τοῦτο ἀκριβῶς ἔχουν γραφῆ ἐκεῖνα, διὰ νὰ ἀποφύγωμεν νὰ μιμηθῶμεν αὐτούς. Διὰ τοῦτο, ἀφοῦ ἀφήσωμεν τὸν τάδε καὶ τὸν τάδε, ἡμεῖς ἂς προσέχωμεν εἰς τοὺς ἑαυτούς μας, διότι κάθε ἕνας ἀπὸ μᾶς θὰ δώσῃ λόγον διὰ τὸν ἑαυτόν του εἰς τὸν Θεόν.

Διὰ νὰ δώσωμεν λοιπὸν αὐτὸν τὸν λόγον μὲ καλὴν ἀπολογίαν, ἂς βάλωμεν τάξιν εἰς τὸν βίον μας καὶ ἂς ἁπλώσωμεν γενναιόδωρον τὸ χέρι μας εἰς ὅσους ἔχουν ἀνάγκην, γνωρίζοντες ὅτι αὐτὴ εἶναι ἡ μόνη ἀπολογία μας καὶ καμμία ἄλλη, ὅτι ἡμεῖς ἔχομεν κατορθώσει νὰ ἐκτελέσωμεν τὰς ἐντολάς. Καὶ ἂν ἠμπορέσωμεν νὰ δώσωμεν αὐτὴν τὴν ἀπολογίαν, θὰ ἀποφύγωμεν τὰς ἀφορήτους ἐκείνας ὀδύνας τῆς κολάσεως καὶ θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εὔχομαι νὰ τὰ ἐπιτύχωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει δόξα, τιμὴ καὶ δύναμις εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον καὶ ζωοποιὸν Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

— Διὰ τὰ χωρία τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, διὰ τὰ ὀνόματα τοῦ κειμένου παραπέμπουν εἰς σελίδας καὶ στίχους, διὰ δὲ τὰ ὀνόματα τῆς εἰσαγωγῆς καὶ τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, εὑρίσκονται δὲ ἐντὸς παρενθέσεων.

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Β' Κορινθίους

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Ι

Ρ

Σ

Φ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ